Or. X. Inscr. ΕΛΕΝΗ Bs. ex Arist. (Rhet. III, 14), Harpocratione (s. v. Θεράπναι et Ὁμηρίδαι), rhetoribus (Walz. II, 45. 446. VII, 1032): Ἑλένης ἐγκώμιον codd. — § 1 εἰσὶ — 2 συγγράμμ.] „haec codicis Γ primam faciunt paginam suntque lectu difficillima. codicis Δ recentius est folium primum (1 εἰσὶ — 13 ἐφικέσθαι καὶ)“ Bk. — δύω Δ Turr.: δω Ε pr., δύο v. — κατὰ πάντων Δ v. — vv. ἄλλοι — δυναμένας del. Usener. — 2 γεγενημένην Δ v. — τῇ ante καινότητι add. Γ Bk. — αὐτῶν] αὐτούς Δ v. — οὕτως ὀψιμ. ἐστιν Δ v. — καὶ τὰ τοιαῦτα Δ Bs. — τούτων ἔτι πραγμ. Δ v. — 3 καὶ πάλιν ἀδύνατα om. pr Γ. — 4 ἀποδειξάντων Δ v. — τόπον] τρόπον Γ. — τερθρείας ΓΔ Bk. (Cor.): ceteri codd. τερθρίας vel τερατείας. — 5 τὴν ante τούτων om. Ε. — μᾶλλον add. Γ Bk. — καὶ τοῖς . . ὠφ. del. Fuhr. — 6 φιλοσοφία Γ Bk.: φιλονεικία Δ v. — πω add. Γ Bk. — 7 τὰς post καὶ add. Γ Bk. — ἰδίοις add. Γ Bk. — 8 ζηλώτερος Γ. — ἢ τῶν ἄλλων Bs.: ἢ ὁ τῶν ἄ. v. (ἢ . . ἀνθρώπων del. K.). — περὶ τῶν καλῶν καὶ ἀγαθῶν Δ v. — 9 ἀπόδειξιν Δ v. — ἄλλων Ἑλλήνων ἀλλ' Δ v. — 12 ἀρετῇ τι λέγειν Δ v. — 13 μικρὰ del. ci. Cor. — ἃ ΓΔ Bk.: ὅ. — 14 εὐλογεῖν ci. Bk. (Cf. Euag. 11). — μὲν post φησί add. Δ Bk. — 15 ἔργων om. pr Γ; ἀνθρώπων potius intellegendum esse ex proximis apparet. — τῆς αὐτῆς Γ Bk.: αὐτῆς. — 16 τὴν ἀρχὴν v. corr. Δ Bk.: τοιαύτην Γ Bs. — γεννηθ. ὑπὸ Διὸς v. — ταύτης τῆς γυναικὸς v. — δέδωκεν ΓΔΕ Doxopater Walz. II, 446. — post ἄλλων add. ἁπάντων v. — 17 λαμπρότητας καὶ τὰς ἐπιφανείας v. — βουλόμενος ΔΕ Bs.: καὶ βουλόμενος. — 18 οὔπω] οὕτω Bk. — ἤδη Γ Bk.: εἴδει. — ὁ ante κρατεῖν add. Γ Bk. — 19 ἀνέμενον v. — Κάστορός τε καὶ Δ. — κατέθετο ΓΔ Bk.: ἐκόμισε v. ΕΖ (Lucian. Charid. c. 16). — 20 παρακαλοῦντος Γ Bs.: παρ. αὐτόν. — εἰς ante Ἅιδου add. ΓΔ. — προσταττομένων v. — 21 οὐδ' ἑνὸς Bs.: οὐδενὸς ΓΔ, οὐθ' ἑνὸς Λ, cett. cod. οὐθενός. — 22 πρέπειν add. ΓΔ Bk. — 23 περὶ Θησέως

τοῦτ' εἰπεῖν ἔχω v. — ἐφάμιλλον v. — παραπλησίοις ΓΔ Bk. (Cor.): cett. cod. παραπλησίως. — γὰρ γεγον. ΓΔ Bk.: δὲ γεγ. v. — τοῦ ante τῶν add. ΓΔ Bk. — 24 τῆς ante Ἐρυθ. add. ΓΔ Bk. — ἄγειν ΓΔ. — τὰ ante τῶν add. ΓΔ Bk. — πόνους ἄλλους v. — ὠφελεῖν v. — 25 προήρητο v. — ἤμελλεν] ἤλπιζεν Δ et mg Γ. — γενήσεσθαι ΓΔ Bk.: νομισθήσεσθαι. — πολλῆς ΓΔ Bk.: μεγάλης v. — τοὺς οἰκοῦντας ΓΔ Bk.: πάντας τ. οἰκ. v. — 26 στρατευσάμενος Γ Bs.: καὶ στρατ. — οἳ καὶ τάχει Δ v. Bs.: οἳ τάχει Bk. Γ. — καὶ τόλμῃ om. Γ (propter ὁμοιοτέλευτον) Bs. — χρόνῳ post ὕστερον add. ΓΔ Bk., omisit Bs. (coll. 8, 34) propter χρόνους quod sequitur. — 27 γενόμενον] εμενον Γ, deleta antea littera una. — πάνδημον v. — ἄρχων Γ Bk.: αἰσχρῶς Δ, αἰσχρῶς ἄρχων v. — 28 σωμάτων τοιούτων v. — δυσαπαράλλακτον Γ. — 29 τὴν Σκείρωνος v. — 31 μάχαις αἷς scripsi: μάχαις ἐν αἷς v. — τὴν Καδμείαν v. — καὶ τὴν σωφροσύνην v. Bs.: om. τὴν ΓΔ Bk. (καὶ τ. σωφρ. del. K.). — 32 ἄρχειν ζητοῦντας v. Bs.: ζητοῦντας ἄρχειν ΓΔ Bk. — μὲν τῶν πολιτῶν ΓΔ Bk.: μὲν τῆς πόλεως Z v. — ἐπιστρατευομένους Z v. Bs.: πολεμίους ΓΔ Bk. — μετ' ἄλλων δέ τινων v. — 33 ἀποκτιννύντας v. — 34 ἀεὶ om. Γ Bk., reduxit Bs. — ἀπέδειξεν Δ v. — 35 πολιτευομένων v. — τῆς ἀρετῆς ΓΔ Bk.: τὴν ἀρχὴν v., τῆς ἀρχῆς Bs. — 36 τοσούτου δ' Bk.: τοσούτου ΓΔΕ („Γ quidem ante deletam litteram unam, quam putavi esse δ'" Bk.), τοσοῦτον non addita particula Z v. — 37 ἐπεισάκτῳ v. — 38 περὶ τὸν αὐτὸν τόπον δι' ἀπορ. v. — 39 αὖθις ex coni. Sauppii Bs. (cll. Luc. Charid. c. 17): αὐτῆς. — μνηστεύσασθαι v. — ἅπαντες om. pr Γ. — δυναστ. ἐν ταῖς πόλεσι τὴν Δ v. — ἦλθον ὡς ἐκείνην v. — 40 συνοικεῖν v. — ἅπασιν ἀνθρώποις ἐσομ. v. — ταύτην τὴν ἐπικουρίαν v. — 41 ἧς ἔσχον] ἣν ἔ. Δ v. — καὶ γενομένης v. — θεαῖς v. — βασιλείαν τῆς Ἀσίας v. — τοῖς ante πολ. add. ΓΔ Bk. — 42 τὴν Ἑλένης ΓΔ Bk.: τῆς Ἑλ. v. — καὶ ante τοῦτο add. ΓΔ Bk. — 43 γενέσθαι καὶ κληθῆναι κηδ. Δ v. Malim κληθῆναι om. γενέσθαι καί, cf. § 16. — παραγενήσεσθαι v. — κάλλιον κτῆμα v. — μὴ μόνον . . ἀλλὰ καὶ ΓΔ Bk.: καὶ . . καὶ v. — 44 ταχέως] εὐχερῶς rc. γρ Δ. — 45 σκοπούντων v. — 46 καταγελαστότατον v. — δήπου ΓΔ Bk.: δή v. — ἔριν ΓΔ Bk.: φιλονεικίαν v. — κριτὴν ἐκλέξ. v. — ὅσην περ περὶ scripsi: ὅσην περὶ Γ v. Bk., ὅσην περ ΔΕ. Cf. 5, 127; 6, 62. 92; 7, 62. — 47 τῆς ante τῶν add. ΓΔ Bk. — τὸν ante πολὺ om. pr Δ. — 48 ἦν ΔΛ Bk. (Cor.): εἴη Γ v. — τοὺς θεοὺς . . φιλονεικοῦντας Γ Bs. (coll. § 41): τὰς θεὰς . . φιλονεικούσας. — 49 περὶ μὲν v.: ὑπὲρ μὲν ΓΔΕ Bs. Cf. ad 9, 81. — ἤγαγον v. — τηλικοῦτον] τοσοῦτον v. — 50 τὰς πόλεις Bs. — αὐτὴν τοῖς Ἕλλησιν v. — ἀπελθεῖν ΓΔ Bs.: ἐπανελθεῖν. — 51 φιλονικοῦντες cum Γ: φιλονεικοῦντες. — τὴν χώραν εὐθύ

μονεστέραν v. — 52 προειδὼς] praepos. a correctore habet Γ, fuisse videtur δειδως. — Ἠὼς] Ἥρα Δ et corr. Γ, qui quid pr. habuerit non liquet. — συνεξέπεμψαν v. Hertlein: συνέπεμψαν (ΓΔ) Bk. — 53 διενοήθησαν ΓΔ Bk.: ἔγνωσαν. — παράταξιν et Γίγαντας ΓΔ Bk.: τὴν παρ. et τοὺς Γ. v. — 54 μετέσχηκεν v. — διαγνῶναι v. — μὴ add. Γ Bk., in Δ erasum aliquid ante μετεχόντων (Luc. Charid. c. 26 om. μὴ et ἢ τούτων ἕκαστον, quem secutus Lange ἢ τ. ἕκ. uncis inclusit). — ἀλλὰ καὶ πάντα Δ. — τῆς ἰδέας ταύτης v. — ὅτι ΓΔ Bk.: διότι. — 55 βουλεύσασθαι v. — 56 τὴν post ἑκάστην add. ΓΔ Bk. — προσάγωνται v. — 57 παραγγέλλουσιν Hirschig (ἐπαγγ. etiam Lucian. l. c. 23). — ὑπ' add. ΓΔ Bk. (et e Luc. Lange). — νομίζομεν εἶναι v. — 58 καὶ αὐτῶν κεκτημένων τὸ κ. v. — ἐξαμαρτάνοντας v. — ὁμοίως add. ΓΔ Bk. — ποιήσαντας ΓΔ Bk.: δράσαντας v. — 59 γιγνόμενος] γενόμενος v. — τὰς φύσεις τὰς τοιαύτας v. — 60 τῶν εἰρημένων pr Γ Bs.: τ. εἰρ. τεκμήριον. — 61 εὐσεβῶς αὐτοὺς Δ v. — κατακαλέσωνται mg E Fuhr: ἐπικαλέσωνται (ΔE) v. Bk., κάτω κατακαλέσωνται Γ Bs. — 62 Μενελάῳ τοσαύτην v. — θεὸν ἀντὶ v. Bs.: θεὸν αὐτὸν ἀντὶ ΓΔ Bk. — 63 τὴν Σπαρτιατῶν ΓΔ Bk.: τῶν Σπ. v. — ἁγίους καὶ πατρίους v. — ἐπιτελοῦσιν Δ v. — 64 ἐπεδείξατο Δ v. — ἀπεστερημένος Δ v. — 65 τῆς νυκτὸς ΓΔ Bk.: νυκτὸς v. — προστάξαι v. — τὸν τῶν ΓΔ Bk.: τῶν v. — μέν τι καὶ v.: μὲν Γ, μέν τι Δ Bk. — 66 λαμβάνειν v. — 67 καὶ χωρὶς v. — γὰρ καὶ τοὺς v. — διὰ ταύτην v. — κατὰ τῆς Ἀσίας Δ v. — 68 ἠξίουν ἄρχειν v. — δὲ ὁ Σιδώνιος Δ v. — μετ' ἐκεῖνον δὲ v. — 69 ἐπεξεργάζεσθαι Δ v. — πολλοῖς καὶ καλοῖς καὶ καινοῖς v. — subscribit Γ ἑλένης ἐγκώμιον. ἑλικώνιος.

ΥΠΟΘΕΣΕΙΣ.

Hac parte (I.) continentur:

Orat. I. *ad Demonicum*. (p. 1—18.)

ΥΠΟΘΕΣΙΣ ΑΝΩΝΥΜΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἔγραψε πολλοὺς λόγους, ὧν εἰσὶν αἱ παραινέσεις, εἰ καί τινες ἠβουλήθησαν αὐτὰς εἰπεῖν μὴ εἶναι αὐτοῦ διὰ τὸ ἀσθενὲς τῆς φράσεως, ἃς πρῶτον εἰκότως ἀναγινώσκομεν, οὐχ ὡς βελτίονας οὔσας τῶν ἄλλων λόγων· καὶ γὰρ καὶ ὁ πανηγυρικὸς αὐτῶν προέχει καὶ ἄλλοι πολλοί· ἀλλ' ὅτι περὶ ἠθῶν διαλαμβάνουσιν. ἀναγκαῖον δὲ τὰ ἤθη πρὸ τῶν λόγων κοσμῆσαι, ὥσπερ ὁ γεωργὸς ὀφείλει πρὸ τῶν σπερμάτων καὶ ἧς μέλλει καταβάλλειν φυτείας ἐκκόπτειν ἀπὸ τῶν χωρίων τὰ λυμαινόμενα τούτοις, οἷον ἄγρωστιν καὶ τὰ τούτοις παραπλήσια· δι' ὅ, ὡς καὶ πρὸς παῖδας ταῦτα γράφων, ἠναγκάσθη ταπεινοτέρᾳ χρήσασθαι τῇ φράσει· ὥστε αὐτοῦ ἂν εἴησαν καὶ αἱ παραινέσεις. ἄξιον δὲ ζητῆσαι, διὰ ποίαν αἰτίαν οὕτως αὐτὰς ἀναγινώσκομεν κατὰ τάξιν, πρῶτον τὴν πρὸς Δημόνικον, ἔπειτα τὴν πρὸς Νικοκλέα, καὶ μὴ ἀδιαφόρως, ὥσπερ ἐν τοῖς ἄλλοις αὐτοῦ λόγοις. λέγομεν, ὅτι Ἰσοκράτης βουλόμενος κοινωφελὴς γενέσθαι, φορτικὸν δὲ ἡγούμενος τὸ πρὸς πάντας γράφειν τὰς συμβουλάς, ἤθελεν ὡς πρὸς τούτους γράφειν. τὸ δὲ ἀληθὲς πᾶσι παραινεῖ διὰ τῶν τριῶν παραινέσεων, ὥσπερ καὶ ὁ Ἡσίοδος, ὡς πρὸς τὸν ἀδελφὸν λέγων, ἐργάζευ νήπιε Πέρση, πᾶσι παραινεῖ. οὕτω καὶ ὁ Ἰσοκράτης. τάττει οὖν πρῶτον τὸν πρὸς Δημόνικον, ὡς πρὸς ἰδιώτας πρῶτον διαλεγόμενος, εἶτα βασιλεύειν διδάσκων ἐν τῷ πρὸς Νικοκλέα· πρῶτον γάρ τις ἰδιώτης γενόμενος ὕστερον ἔρχεται ἐπὶ τὴν βασιλείαν. εἶτα λέγει ἐν τῷ πρὸς Νικοκλέα ἢ συμμαχικῷ, πῶς δεῖ καὶ τὸν ἰδιώτην βασιλεύεσθαι. — Ἀνάγονται δὲ αἱ παραινέσεις ὑπὸ τὸ συμβουλευτικὸν εἶδος, κέκληνται δὲ παραινέσεις παρὰ τὸν αἶνον, ὅ ἐστι τὴν συμβουλήν, ὡς καὶ Ἡσίοδος· νῦν δ' αἶνον βασιλεῦσι· στάσιν δὲ οὐκ ἐπιδέχονται· οὐ γὰρ ἔχουσι τὸν ἀντιλέγοντα. καιρὸς μὲν ἤδη, ὡς εἴπομεν, ἐπ' αὐτὰς λοιπὸν χωρεῖν τῶν λόγων τὰς ἐξηγήσεις. ἀλλ' ἐπειδὴ ἀναγκαῖον πρὸ αὐτῶν τῶν ἐξηγήσεων προηγεῖσθαι τὰς ὑποθέσεις καὶ τοὺς σκοποὺς τῶν λόγων, δεικτέον πρῶτον τοῦ λόγου τὴν ὑπόθεσιν. Ἱππόνικός τις, ὡς ἔχει ὁ πολὺς λόγος, Κύπριος μὲν ἦν τῷ γένει, Ἰσοκράτους δὲ φίλος τοῦ σοφιστοῦ· οὗτος τελευτήσας κατέλειψε παῖδα, ὀνόματι Δημόνικον. τοῦτον Ἰσοκράτης ὁρῶν παῖδα ὄντα καὶ πολλῆς ἐπιμελείας λόγων δεόμενον, γράφει αὐτῷ ὑποθήκας,

ὅπως δεῖ ζῆν αὐτὸν διδάξαι βουλόμενος, ὥσπερ ἣν εἶχε πρὸς τὸν πατέρα εὔνοιαν παραπέμψαι καὶ μέχρι τοῦ παιδὸς, ὡς καὶ ἐν αὐτῇ τῇ ἀρχῇ τοῦ λόγου προοιμιάζεται. συμβουλεύει οὖν αὐτῷ, γράψας δι' ἐπιστολῆς· οὐ γὰρ ἐδύνατο καταλεῖψαι τὰς Ἀθήνας διὰ τοὺς μαθητάς. τινὲς δὲ ἐπιχειροῦσι λέγειν τὸν λόγον, ἐπιστολὴ πρὸς Δημόνικον. καὶ ἡ μὲν φαινομένη ὑπόθεσις αὕτη. εἰρήκαμεν δὲ ἐν τοῖς ἄνω, ὡς ὅτι κοινωφελεῖς αὐτοῦ βούλεται ποιήσασθαι τὰς παραινέσεις καὶ συμβουλεῦσαι, πῶς δεῖ ζῆν τὸν ἰδιώτην, καὶ τοῦτο ποιεῖ ἐνταῦθα διὰ τοῦ Δημονίκου, καὶ τὸ πῶς δεῖ βασιλεύειν προβαλλόμενος τὸν Νικοκλέα. φεύγων δὲ τὸ φορτικὸν οὐ φανερῶς ἐπιφέρει τοῖς ἑαυτοῦ λόγοις τὸν ἴδιον σκοπόν. ἄρχεται δὲ ἀπὸ θείων, εἶτα εἰς γονέας μεταβαίνει, εἶτα φίλους καὶ οἶκον καὶ πατρίδα, τήν τε δίαιταν καὶ τὴν περὶ τὸ σῶμα καὶ τὴν περὶ ψυχήν. χωρητέον οὖν λοιπὸν καὶ ἐπὶ τὸ προοίμιον, παρὰ τὸν οἶμον, ὅ ἐστιν ὁδόν. Ἡσίοδος

μακρός τε καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν.

ὁδός δὲ τοῦ λόγου οἱ ἀγῶνες καὶ αἱ πράξεις.

Orat. II. *ad Nicoclem.* (p. 13—25.)

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ ΑΝΩΝΥΜΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἤδη φθάσαντες εἰρήκαμεν τὴν αἰτίαν, δι' ἣν οὕτως ἀναγινώσκομεν· ἡ δὲ φαινομένη ὑπόθεσις αὕτη. Νικοκλῆς υἱὸς μὲν ὢν Εὐαγόρου, κατάγων δὲ τὸ γένος ἀπὸ Τεύκρου καὶ Τελαμῶνος, ὡς σὺν θεῷ μαθησόμεθα ἐν αὐτῷ τῷ Εὐαγόρᾳ, ἐβασίλευσε Σαλαμῖνος, μιᾶς πόλεως ἐν Κύπρῳ τῆς νῦν Κωνσταντίνου καλουμένης καὶ μητροπόλεως οὔσης τῆς Κύπρου. πρὸς τοῦτον γράφει πάλιν ὁ Ἰσοκράτης παραινέσεις, πῶς δεῖ βασιλεύειν ὀρθῶς. Ἕρμιππος δέ φησιν ἐν τῷ περὶ τοῦ Ἰσοκράτους, παρατιθέμενος Εὔανδρόν τινα κατὰ τῶν σοφιστῶν εἰρηκότα, ὡς ὅτι λαβὼν εἴκοσι τάλαντα παρὰ τοῦ Νικοκλέους αὐτὸς ὁ Ἰσοκράτης, ἔπεμψεν αὐτῷ τὸν λόγον τοῦτον, τελευτήσαντος τοῦ Εὐαγόρου, ὥσπερ καὶ τούτῳ βουλόμενος χρήσιμος γενέσθαι μετὰ τὴν τοῦ πατρὸς τελευτήν.

Orat. III. *Nicocles.* (p. 26—41.)

ΥΠΟΘΕΣΙΣ ΕΙΣ ΤΟΝ ΝΙΚΟΚΛΕΑ Η ΣΥΜΜΑΧΙΚΟΝ ΑΝΩΝΥΜΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Οὗτος ὁ λόγος οὔτε περὶ τῶν αὐτῶν ἐστιν οὔτε μὴν παρὰ τοῦ αὐτοῦ λέγεται. ἐν γὰρ τῷ πρὸ αὐτοῦ λόγῳ διελέγετο, πῶς δεῖ βασιλεύειν, ὧδε δὲ πῶς δεῖ βασιλεύεσθαι τὸ ὑπήκοον. καὶ πάλιν ἐκεῖ παρὰ Ἰσοκράτους ἦν λεγόμενα πρὸς Νικοκλέα, ὧδε δὲ παρὰ τοῦ Νικοκλέους πρὸς τοὺς τῶν ὑπηκόων τιμιωτάτους, τοῦ Ἰσοκράτους αὐτῷ πέμψαντος τὸν λόγον. Εἰ δέ τις εἴποι, διὰ τί γὰρ μὴ πρὸς τοὺς ὑπηκόους ἔπεμψε τόν λόγον Ἰσοκράτης,

λέγομεν, ὅτι εἰκότως οὐ δι' ἑαυτοῦ ἀλλὰ διὰ τοῦ βασιλέως αὐτοῖς συμβουλεύει, ἐπειδὴ πλήθει συμβουλεύων ἀνάγκην εἶχε καὶ φόβον κεράσαι τῷ λόγῳ, ἵνα πάντως πεισθῇ τοῖς λεγομένοις τὸ πλῆθος. ἐπιγέγραπται δὲ Νικοκλῆς ἢ συμμαχικός, οὐχ ὅτι διὰ τοῦ συνδέσμου ἀναιροῦμεν τὸ ἕν, ἀλλ' ὅτι καὶ τὰ δύο ἕν ἐστιν, ὥσπερ καὶ οὗτος· Φαίδων ἢ περὶ ψυχῆς. καὶ λέγεται οὗτος ὁ σύνδεσμος διαζευκτικός, ὁ καὶ τὸ πρότερον πρᾶγμα διαβεβαιούμενος. καὶ γὰρ καὶ ὁ λόγος ὑπὸ Νικοκλέους λέγεται καὶ πρὸς τοὺς ξυμμάχους καὶ ὑπηκόους. ὅτι δὲ διὰ τοῦτο παρ' Ἰσοκράτους ἐστὶν ὁ λόγος πρὸς τὸν βασιλέα πεμφθείς, αὐτὸς ἡμῖν σαφὲς ποιεῖ, ἐν τῷ λόγῳ λέγων· τὸν μὲν οὖν ἕτερον λόγον, ὡς χρὴ τυραννεῖν, Ἰσοκράτους ἠκούσατε, ἃ δὲ δεῖ ποιεῖν τοὺς ἀρχομένους, ἐγὼ πειράσομαι διελθεῖν, οὐχ ὡς ἐκεῖνον ὑπερβαλούμενος ἀλλ' ὡς πρέπον μοι περὶ αὐτῶν διελθεῖν.

Orat. IV. *Panegyricus*. (p. 41—87.)

ΥΠΟΘΕΣΙΣ ΙΣΟΚΡΑΤΟΥΣ (Antid. § 57 sq.)

Ὁ λόγος κατ' ἐκείνους ἐγράφη τοὺς χρόνους, ὅτε Λακεδαιμόνιοι μὲν ἦρχον τῶν Ἑλλήνων, ἡμεῖς δὲ ταπεινῶς ἐπράττομεν. ἔστι δὲ τοὺς μὲν Ἕλληνας παρακαλῶν ἐπὶ τὴν τῶν βαρβάρων στρατείαν, Λακεδαιμονίοις δὲ περὶ τῆς ἡγεμονίας ἀμφισβητῶν. τοιαύτην δὲ τὴν ὑπόθεσιν ποιησάμενος ἀποφαίνω τὴν πόλιν ἁπάντων τῶν ὑπαρχόντων τοῖς Ἕλλησιν ἀγαθῶν αἰτίαν γεγενημένην. ἀφορισάμενος δὲ τὸν λόγον τὸν περὶ τῶν τοιούτων εὐεργεσιῶν καὶ βουλόμενος τὴν ἡγεμονίαν ἔτι σαφέστερον ἀποφαίνειν ὡς ἔστι τῆς πόλεως, ἐνθένδε ποθὲν ἐπιχειρῶ διδάσκειν περὶ τούτων, ὡς τῇ πόλει τιμᾶσθαι προσήκει πολὺ μᾶλλον ἐκ τῶν περὶ τὸν πόλεμον κινδύνων ἢ τῶν ἄλλων εὐεργεσιῶν.

Orat. V. *Philippus*. (p. 88—125.)

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΦΙΛΙΠΠΟΝ ΛΟΓΟΥ ΑΔΗΛΟΥ ΤΟΥ ΓΡΑΨΑΝΤΟΣ.

Ἰστέον, ὅτι τὸν λόγον τοῦτον ἔγραψε τῷ Φιλίππῳ ὁ Ἰσοκράτης μετὰ τὴν εἰρήνην τὴν γενομένην ὑπὸ τῶν περὶ τὸν Αἰσχίνην καὶ Δημοσθένην· διὸ καὶ ἔσχε καιρὸν γράψαι αὐτῷ, τῷ Φιλίππῳ, ὡς φίλῳ γενομένῳ τῆς Ἀθηναίων πόλεως. ἐν σχήματι δὲ τοῦ ἐγκωμιάσαι αὐτὸν παραινεῖ αὐτῷ διαλλάξαντα τὰς Ἑλληνικὰς πόλεις τὰς μεγάλας, πρὸς ἑαυτὰς στασιαζούσας, στρατεῦσαι κατὰ Περσῶν. πρέπει γάρ σοι, φησί, τοῦτο ποιῆσαι, Ἡρακλείδῃ ὄντι καὶ οὕτω δυνατῷ. καὶ ὁ μὲν Φίλιππος λαβὼν τὸν λόγον καὶ ἀναγνοὺς οὐκ ἐπείσθη τοῖς λεγομένοις ἀλλ' ἀνεβάλετο τέως· ὕστερον δὲ ὁ παῖς ὁ τούτου Ἀλέξανδρος ἀναγνοὺς τὸν λόγον καὶ ἐρεθισθεὶς ἐστράτευσε κατὰ Δαρείου τοῦ ὑστέρο-

καὶ λεγομένου Ὤχου. τὸ μὲν γὰρ κύριον ὄνομα Ὦχος ἐλέγετο, κολακεύοντες δ᾽ αὐτὸν οἱ Πέρσαι ἐπίκλην αὐτὸν ὠνόμαζον Δαρεῖον, ὡς πρὸς τοὺς πρώτους προγόνους.

Ἡ δὲ στάσις τοῦ λόγου πραγματική· συμβουλεύει γάρ. ἔγραψε δὲ ὁ Ἰσοκράτης τὸν λόγον γέρων ὤν, μικρὸν πρὸ τῆς ἑαυτοῦ καὶ Φιλίππου τελευτῆς, ὥς φησιν ὁ Ἕρμιππος.

Orat. VI. *Archidamus.* (p. 125—152.)

ΥΠΟΘΕΣΙΣ ΑΔΗΛΟΥ ΤΟΥ ΓΡΑΨΑΝΤΟΣ.

Μετὰ τὰ Λευκτρικὰ κατέτρεχον τὴν Λακεδαίμονα Θηβαῖοι, καὶ πολλάκις αὐτὴν ἐκάκωσαν, ὡς καὶ τὰς Λακεδαιμονίων γυναῖκας ἀπαντῆσαι Λακεδαιμονίοις συνεχῶς φεύγουσι, καὶ εἰπεῖν „ἦ καὶ δεύτερον ὑμᾶς ἔχομεν ἐν τῇ γαστρὶ δέξασθαι;“ καὶ οὕτω συστραφέντες ἐν Μαντινείᾳ ἐνίκησαν, τῶν Ἀθηναίων ἱππέων καλῶς παραταξαμένων. μετὰ τὰ ἐν Μαντινείᾳ οὖν ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Θηβαίους, αἰτοῦντες αὐτοὺς τὴν εἰρήνην· οἱ δὲ ὑπέσχοντο αὐτοῖς ἡσυχάσειν, εἰ Μεσσήνην ἀνοικίσωσι καὶ αὐτόνομον ἐάσωσι. τῶν οὖν ἄλλων συμβουλευόντων Λακεδαιμονίοις ἀνοικίσαι, Ἀρχίδαμος ὁ νεώτερος συμβουλεύει Λακεδαιμονίοις μὴ ἀνοικίσαι. κατάγεται δ᾽ οὕτως ὁ μικρὸς Ἀρχίδαμος· Ζευξίδαμος, οὗ Ἀρχίδαμος, οὗ Ἆγις, οὗ Ἀγησίλαος, οὗ Ἀρχίδαμος. καὶ οἱ μὲν λέγουσιν, ὅτι πέμψας Ἀρχίδαμος ἐν Ἀθήναις τὸν λόγον παρὰ Ἰσοκράτους ἐδέξατο· ἄλλοι δέ φασι γυμνασίαν εἶναι τὸν λόγον Ἰσοκράτους, τίνας ἂν εἴποι λόγους Ἀρχίδαμος συμβουλεύων Λακεδαιμονίοις. καὶ ἡ μὲν ὑπόθεσις αὕτη, στάσις δὲ τῷ λόγῳ πραγματική, κεφάλαιον δὲ τὸ ξυμφέρον.

Orat. VII. *Areopagiticus.* (p. 152—171.)

ΥΠΟΘΕΣΙΣ ΑΝΩΝΥΜΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἐν τούτῳ τῷ λόγῳ συμβουλεύει ὥστε τοὺς Ἀρεοπαγίτας ἀναλαβεῖν τὴν προτέραν πολιτείαν, ἥτις ἦν ἔχουσα πᾶσαν ἐξουσίαν, σχεδὸν εἰπεῖν, τῶν ἐν τῇ πόλει πάντων πραγμάτων. ἦσαν γὰρ αὐτὴν ἀποβαλόντες ἀπὸ τοιαύτης αἰτίας. Ἐφιάλτης τις καὶ Θεμιστοκλῆς χρεωστοῦντες τῇ πόλει χρήματα καὶ εἰδότες, ὅτι, ἐὰν δικάσωσιν οἱ Ἀρεοπαγῖται, πάντως ἀποδώσουσι, καταλῦσαι αὐτοὺς ἔπεισαν τὴν πόλιν, οὕτως οὔπως τινὸς μέλλοντος κριθῆναι (ὁ γὰρ Ἀριστοτέλης λέγει ἐν τῇ πολιτείᾳ τῶν Ἀθηναίων, ὅτι καὶ ὁ Θεμιστοκλῆς αἴτιος ἦν μὴ πάντα δικάζειν τοὺς Ἀρεοπαγίτας)· δῆθεν μέν, ὡς δι᾽ αὐτοὺς τοῦτο ποιοῦντες, τὸ δ᾽ ἀληθὲς διὰ τοῦτο πάντα κατασκευάζοντες. εἶτα οἱ Ἀθηναῖοι ἀσμένως ἀκούσαντες τῆς τοιαύτης συμβουλῆς κατέλυσαν αὐτούς. καὶ ἡ μὲν ὑπόθεσις αὕτη· ἡ δὲ στάσις τοῦ λόγου πραγματική. κεφάλαιον δὲ τὸ συμφέρον. ἐγράφη δ᾽ ὁ λόγος ἐν ἀρχαῖς τῶν Φιλιππικῶν χρόνων, ὡς καὶ αὐτὸς δηλοῖ.

Orat. VIII. *de Pace.* (p. 172—206.)

ΥΠΟΘΕΣΙΣ ΑΔΗΛΟΥ ΤΟΥ ΓΡΑΨΑΝΤΟΣ.

Πεμφθεὶς ὁ Χάρης καταδουλώσασθαι τὴν Ἀμφίπολιν, αὐτονομουμένην κατ' ἐκεῖνον τὸν χρόνον καὶ καθ' ἑαυτὴν γενομένην, ὡς τῶν Λακεδαιμονίων μὲν κακῶς διακειμένων μετὰ τὰ Λευκτρικά, τῶν Ἀθηναίων δ' ἀσθενῶν ὄντων, οὗτος νομίζων εὐχερῶς αὐτὴν ὅτε δή ποτε λαβεῖν, καὶ μᾶλλον βουλόμενος τὴν ἀρχαίαν δύναμιν περιποιῆσαι τοῖς Ἀθηναίοις, ἐπεχείρησε Χίοις καὶ Ῥοδίοις καὶ τοῖς λοιποῖς συμμάχοις. εἶτα ἐκεῖνοι ἀντέστησαν, καὶ ἡττήθη ὁ Χάρης οὕτως ὥστε λοιπὸν αὐτὸν ἀπορεῖν, τί δεῖ ποιῆσαι· καὶ γὰρ εἰ ἀνεχώρησεν ἐξ αὐτῶν καὶ ἦλθεν εἰς Ἀμφίπολιν, αὐτοὶ ἂν ἀμυνόμενοι ἤρχοντο εἰς τὴν Ἀττικήν. ταῦτα δὲ οἱ Ἀθηναῖοι ἀκούσαντες ᾔτησαν σπονδάς, καὶ εὐθὺς οἱ Χῖοι καὶ Ῥόδιοι σὺν τοῖς ἄλλοις συνέθεντο. καὶ οὗτός ἐστιν ὁ συμμαχικὸς πόλεμος. Νῦν οὖν πρόκειται ἐκκλησία περὶ τοῦ καταθέσθαι τὸν πόλεμον, καὶ ἀνίσταται ὁ Ἰσοκράτης συμβουλεύων, ὡς δεῖ μὴ πολυπραγμονεῖν ἀλλ' ἡσυχάζειν. καὶ μερίζει τὸν λόγον εἰς δύο, ἓν μὲν τὸ καὶ τοὺς Χίους καὶ τοὺς ἄλλους ἐᾶσαι αὐτονόμους, ἓν δὲ τὸ ἐᾶσαι τὴν ἡγεμονίαν τὴν κατὰ θάλατταν. κατὰ τοῦτο δὲ τὸ μέρος λέγεται Ἀριστείδης ἐπαφεῖναι τὸν ἀντιρρητικὸν τῆς εἰρήνης. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, κεφάλαιον δὲ τοῦ λόγου τὸ συμφέρον, ἡ δὲ στάσις πραγματική· συμβουλὴ γὰρ περὶ τῆς εἰρήνης.

Ἐὰν δέ ποτε ἀναγκασθῇς κοινὸν προοίμιον εἰπεῖν, τὴν κατασκευὴν αὐτῷ ἰδίαν πρόσαγε, ὡς ἐν τῷδε τῷ περὶ εἰρήνης Ἰσοκράτους ἡ κατασκευὴ ἰδία προσετέθη, ὅπου φησί, „περὶ μεγάλων ἥκομεν· περὶ γὰρ πολέμου καὶ εἰρήνης.“ κάλλιστον δὲ ἐν τούτοις καὶ τὸ τῆς μεθόδου, εἰ μεθοδεύοιμεν αὐτὰ ἐπισημαινόμενοι, εἰ καὶ πᾶσιν εἰωθὼς ὁ λόγος εἴη.

Orat IX. *Euagoras.* (p. 206—225.)

ΥΠΟΘΕΣΙΣ ΑΝΩΝΥΜΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἰστέον, ὅτι τὸν λόγον τοῦτον ἔγραφεν Ἰσοκράτης πρὸς τὸν Νικοκλέα μετὰ τὴν παραίνεσιν τὴν πρὸς αὐτόν. πόθεν δὲ τοῦτο δῆλον; λέγομεν, ἐπειδὴ αὐτὸς φανερὸν ἡμῖν τοῦτο καθίστησι περὶ τὸ τέλος τοῦ λόγου τούτου λέγων ὅτι οὐ νῦν σὲ παρακελεύομαι σπουδάζειν περὶ τὴν ἀρετὴν ἀλλὰ καὶ πάλαι, ὅ ἐστιν ἐν ταῖς παραινέσεσιν. πρῶτον οὖν ἔγραφεν αὐτῷ τὰς παραινέσεις μετὰ τὸν τοῦ πατρὸς θάνατον, εἶτα δεύτερον τὸν ἐπιτάφιον τοῦτον, ἵνα πλέον καὶ διὰ τούτου εὔνους αὐτῷ φανῇ τιμῶν τὸν Εὐαγόρου θάνατον. λέγουσι δέ τινες, ὅτι καὶ τριάκοντα τάλαντα ὑπὲρ τούτου ἐδέξατο. Ζητήσειε δ' ἄν τις ἐν τῷ λόγῳ τούτῳ, διὰ τί ἐπιταφίου ὄντος καὶ τοῦ ἐπιταφίου ἀπαιτοῦντος παρὰ τὰ ἐγκωμιαστικὰ πάντα κεφάλαια πλέον τό τε θρηνητικὸν ἐν τῇ ἀρχῇ καὶ τὸ παραμυθητικὸν ἐν τῷ τέλει, ἐν γὰρ μόνοις τοῖς

δύο τούτοις κεφαλαίοις διαφέρουσιν ὅ τε ἐπιτάφιος λόγος καὶ τὸ ἐγκώμιον, ἐνταῦθα δὲ παρῆκε τὰ δύο κεφάλαια; καὶ λέγομεν, ὅτι φαίνεται ἐκ πολλοῦ τοῦ χρόνου τετελευτηκὼς Εὐαγόρας· καὶ ὁ Ἰσοκράτης νῦν πέμψας τὸν λόγον μετὰ πολὺ τοῦ ἐκείνου θανάτου, ἄτοπον ἡγεῖτο θρηνητικὸν τάττειν καὶ ἀναμιμνήσκειν τῶν θρήνων τῶν ὀφειλόντων πρότου λεχθῆναι παρ' αὐτὸν τὸν θάνατον. Εἰ δέ τις εἴποι, ὅτι, εἰ διὰ ταύτην τὴν αἰτίαν παρῆκε τὸ θρηνητικὸν, διὰ τί καὶ ἐν τῷ τέλει ἐξέστη τοῦ εἰπεῖν τὸ παραμυθητικόν; λέγομεν, ὅτι, εἰ τοῦτο ἐπήγαγε, μὴ προηγησαμένου τοῦ θρηνητικοῦ, ἔτι πλέον ἀκαιρότερον ἐδόκει ποιεῖν. Ἔνθα γὰρ εἰσι θρῆνοι, ἐκεῖ ὀφείλει καὶ ἡ παραμυθία παρέπεσθαι· εἰ δὲ μηδένα ἐθρηνήσαμεν τῷ λόγῳ, ὑπὲρ τίνος ἐμέλλομεν παραμυθεῖσθαι τοὺς τῷ γένει προσήκοντας; Ὥστε οὖν δύναται ὁ λόγος καὶ Ἐπιτάφιος λέγεσθαι καὶ Ἐγκώμιον· Ἐπιτάφιος μὲν, διότι εἰς τὸν τετελευτηκότα Εὐαγόραν γράφει τὸν λόγον, Ἐγκώμιον δὲ, διότι παρῆκε τὰ δύο κεφάλαια τοῦ Επιταφίου. Ἐνίκησε δὲ αὐτὸν τὸν λόγον Ἐγκώμιον μᾶλλον λέγεσθαι. Ἰστέον δὲ, ὡς ὅτι ἀντὶ τῶν δύο τούτων κεφαλαίων ἕτερα δύο ἀντεισήγαγε, τό τε τρίτον προοίμιον, ὅπερ οὐκ ἔστιν εὑρεῖν περὶ ἐγκώμιον, ὡς προείρηται, καὶ τὸ παραινετικόν. Καὶ τὸ μὲν προσθεῖναι τρίτον προοίμιον ἦν ἀντὶ τοῦ θρηνητικοῦ· τὸ δὲ παραινετικὸν ἐν τῷ τέλει ἀντὶ τοῦ παραμυθητικοῦ· ἐν ᾧ αὐτῷ παραινεῖ, ὅτι „Ὀφείλεις, ὦ Νικόκλεις, μιμήσασθαι τὰς πράξεις τὰς τοῦ πατρὸς, ἃς νῦν διήλθομεν ἐν τῷ ἐπιταφίῳ.“ Διὰ τοῦτο γὰρ καὶ τὸ παραινετικὸν ἐν τῷ τέλει ἔταξε καὶ οὐκ ἐν τῇ ἀρχῇ, ἐπειδὴ ἔδει πρῶτον ἀποδειχθῆναι τοῦ πατρὸς τὰς πράξεις, ἵνα πρὸς ταύτας ὕστερον δυνηθῇ αὐτῷ παραινεῖν βιῶναι.

Orat. X. *Helena*. (p. 225—241.)

ΥΠΟΘΕΣΙΣ ΑΝΩΝΥΜΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Τινὲς λέγουσιν, ὡς ὅτι καὶ τὸν λόγον τοῦτον ἔγραψε πρὸς Πολυκράτην, ἐπιλαμβανόμενος αὐτοῦ καὶ ἐν τούτῳ, οὐκ ἔστι δέ· καὶ γὰρ τὸ ἐναντίον συνέβη. ἐκεῖνος γὰρ Πολυκράτης ἐπελάβετο τοῦ Ἰσοκράτους ὡς κακῶς γράψαντος τὸν λόγον τοῦτον, ὥσπερ ἐκείνου ἐπελάβετο ἐν τῷ Βουσίριδι. ἀλλὰ τί οὖν ἐροῦμεν; λέγομεν, ὅτι Γοργίου ἐπιλαμβάνεται τοῦ Λεοντίνου, τοῦ ἐνεγκόντος τὴν ῥητορικὴν εἰς τὴν Ἑλλάδα, ὡς κακῶς γράψαντος, ὡς καὶ αὐτὸς ἐν τοῖς προοιμίοις δηλοῖ ὑποκατιών. (βέλτιον δὲ λέγειν, ὥσπερ ὁ Μαχάων, ὅτι πρὸς Ἀναξιμένην τὸν Λαμψακηνὸν γράφει. φέρεται δὲ ἐκείνου λόγος, Ἑλένης ἀπολογία μᾶλλον οὖσα ἤπερ ἐγκώμιον.) ἐπαινεῖ μὲν γὰρ αὐτὸν, καθὸ καλὴν ὑπόθεσιν προείλετο γράφειν, περὶ Ἑλένης· ψέγει δὲ διὰ πολλῶν ἐν τοῖς προοιμίοις φιλοσόφους τινὰς, τοὺς μὴ αἱρουμένους τοιαύτας τινὰς καλὰς ὑποθέσεις γράφειν, ἀλλ' ἁπλῶς ἄτοπά τινα καὶ παράδοξα λέγειν ἐπιχειροῦντας, μηδεμίαν ὄνησιν ἔχοντα, ἅτινα καὶ διεξέρχεται.

1.
ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ.

(α΄.) Ἐν πολλοῖς μὲν, ὦ Δημόνικε, πολὺ διε- 1
στώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας καὶ Steph.
τὰς τῶν φαύλων διανοίας, πολὺ δὲ μεγίστην διαφο-
ρὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις· οἱ
μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν, οἱ δὲ
καὶ μακρὰν ἀπόντας ἀγαπῶσι, καὶ τὰς μὲν τῶν φαύ-
λων συνηθείας ὀλίγος χρόνος διέλυσε, τὰς δὲ τῶν b
σπουδαίων φιλίας οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν.
2 ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρεγομένους καὶ
παιδείας ἀντιποιουμένους τῶν σπουδαίων ἀλλὰ μὴ
τῶν φαύλων εἶναι μιμητὰς, ἀπέσταλκά σοι τόνδε τὸν
λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ὑμᾶς εὐνοίας,
σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας· πρέπει
γὰρ τοὺς παῖδας ὥσπερ τῆς οὐσίας οὕτω καὶ τῆς φι-
3 λίας τῆς πατρικῆς κληρονομεῖν. (β΄.) Ὁρῶ δὲ καὶ τὴν c
τύχην ἡμῖν συλλαμβάνουσαν καὶ τὸν παρόντα καιρὸν
συναγωνιζόμενον· σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς,
ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ, καὶ σοὶ μὲν ἀκμὴ
φιλοσοφεῖν, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ.
ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς προτρεπτι-
κοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχει-
4 ροῦσιν, οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας
διατρίβουσιν· ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ d
δι' ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν,
ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι πεφυκέναι

δόξουσι, τοσούτῳ μᾶλλον ἐκείνων τοὺς ἀκούοντας 3
ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον μόνον παρακαλοῦ-
σιν, οἱ δὲ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι.

5 Διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες ἀλλὰ παρ-
αίνεσιν γράψαντες μέλλομέν σοι συμβουλεύειν, ὧν
χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι καὶ τίνων ἔργων ἀπέχε-
σθαι καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν καὶ πῶς τὸν
ἑαυτῶν βίον οἰκονομεῖν. ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν
ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι b
γνησίως ἠδυνήθησαν, ἧς οὐδὲν κτῆμα σεμνότερον
6 οὐδὲ βεβαιότερόν ἐστι. κάλλος μὲν γὰρ ἢ χρόνος
ἀνήλωσεν ἢ νόσος ἐμάρανε, πλοῦτος δὲ κακίας μᾶλ-
λον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν, ἐξουσίαν μὲν τῇ
ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέ-
ους παρακαλῶν· ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέ-
λησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἔβλαψε,
καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ
7 τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν. ἡ δὲ τῆς ἀρετῆς c
κτῆσις οἷς ἂν ἀκιβδήλως ταῖς διανοίαις συναυξηθῇ,
μόνη μὲν συγγηράσκει, πλούτου δὲ κρείττων, χρησι-
μωτέρα δ' εὐγενείας ἐστί, τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα
δυνατὰ καθιστᾶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ θαρσα-
λέως ὑπομένουσα, καὶ τὸν μὲν ὄκνον ψόγον, τὸν δὲ
8 πόνον ἔπαινον ἡγουμένη. ῥᾴδιον δὲ τοῦτο καταμα-
θεῖν ἐστὶν ἔκ τε τῶν Ἡρακλέους ἄθλων καὶ τῶν Θη-
σέως ἔργων, οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐ- d
δοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν ὥστε μηδὲ τὸν
ἅπαντα χρόνον δύνασθαι λήθην ἐμποιῆσαι τῶν ἐκεί-
νοις πεπραγμένων.

9 (γ'.) Οὐ μὴν ἀλλὰ καὶ τὰς τοῦ πατρὸς προαιρέ-
σεις ἀναμνησθεὶς οἰκεῖον καὶ καλὸν ἕξεις παράδειγμα
τῶν ὑπ' ἐμοῦ σοι λεγομένων. οὐ γὰρ ὀλιγωρῶν τῆς ἀρε-

τῆς οὐδὲ ῥᾳθυμῶν διετέλεσε τὸν βίον, ἀλλὰ τὸ μὲν
σῶμα τοῖς πόνοις ἐγύμναζεν, τῇ δὲ ψυχῇ τοὺς κινδύ- e
νους ὑπέμενεν. οὐδὲ τὸν πλοῦτον παρακαίρως ἠγά-
πα, ἀλλ' ἀπέλαυε μὲν τῶν παρόντων ἀγαθῶν ὡς θνη-
τὸς, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθάνατος.
10 οὐδὲ ταπεινῶς διῴκει τὸν αὑτοῦ βίον, ἀλλὰ φιλόκα-
λος ἦν καὶ μεγαλοπρεπὴς καὶ τοῖς φίλοις κοινὸς, καὶ 4
μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὑτὸν σπουδάζοντας ἢ
τοὺς γένει προσήκοντας· ἡγεῖτο γὰρ εἶναι πρὸς ἑται-
ρίαν πολλῷ κρείττω φύσιν νόμου καὶ τρόπον γένους
11 καὶ προαίρεσιν ἀνάγκης. ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς
χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαί-
μεθα. ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς
δηλώσομεν, δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν
ἐξενηνόχαμεν, πρὸς ὃν δεῖ ζῆν σ' ὥσπερ πρὸς παρά- b
δειγμα, νόμον μὲν τὸν ἐκείνου τρόπον ἡγησάμενον,
μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γιγνό-
μενον· αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ
καλὰ τῶν ζώων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς
12 σπουδαίους τῶν γονέων. ἡγοῦ δὲ μηδενὶ τῶν ἀθλη-
τῶν οὕτω προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν,
ὡς σοὶ σκοπεῖν, ὅπως ἐνάμιλλος γενήσει τοῖς τοῦ πα-
τρὸς ἐπιτηδεύμασιν. οὕτω δὲ τὴν γνώμην οὐ δυνατὸν c
διατεθῆναι τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων
πεπληρωμένον· τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις
πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι
πέφυκε. διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑπο-
θέσθαι, δι' ὧν ἂν μοι δοκεῖς ἐπιτηδευμάτων πλεῖ-
στον πρὸς ἀρετὴν ἐπιδοῦναι καὶ παρὰ τοῖς ἄλλοις
ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι.
13 (δ'). Πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεοὺς d
μὴ μόνον θύων ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο

μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο
δὲ τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον. τίμα τὸ
δαιμόνιον ἀεὶ μέν, μάλιστα δὲ μετὰ τῆς πόλεως· οὕτω
γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν καὶ τοῖς νόμοις
14 ἐμμένειν. τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν e
εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτοῦ παῖδας.
ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων μὴ τὰ πρὸς τὴν
ῥώμην ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν· τούτου δ' ἂν ἐπι-
τύχοις, εἰ λήγοις τῶν πόνων ἔτι πονεῖν δυνάμενος.
15 μήτε γέλωτα προπετῆ στέργε μήτε λόγον μετὰ θρά-
σους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν.
ἃ ποιεῖν αἰσχρόν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι κα-
λόν. ἔθιζε σεαυτὸν εἶναι μὴ σκυθρωπὸν ἀλλὰ σύν-
νουν· δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρό-
νιμος εἶναι δόξεις. ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν [κό-
σμον] αἰσχύνην, δικαιοσύνην, σωφροσύνην· τούτοις b
γὰρ ἅπασι δοκεῖ κοσμεῖσθαι τὸ τῶν νεωτέρων ἦθος.
16 μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ
γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σεαυτῷ συνειδήσεις. τοὺς
μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους
αἰσχύνου, τοῖς δὲ νόμοις πείθου. τὰς ἡδονὰς θήρευε
τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ καλῷ μὲν ἄριστον, c
17 ἄνευ δὲ τούτου κάκιστον. εὐλαβοῦ τὰς διαβολάς, κἂν
ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνο-
οῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. ἅπαντα δόκει
ποιεῖν ὡς μηδένα λήσων· καὶ γὰρ ἂν παραυτίκα κρύ-
ψῃς, ὕστερον ὀφθήσει. μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ
φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράτ- d
18 τουσιν ἐπιτιμῴης. ἐὰν ᾖς φιλομαθής, ἔσει πολυμα-
θής. ἃ μὲν ἐπίστασαι, ταῦτα διαφύλαττε ταῖς μελέ-
ταις, ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστή-
μαις· ὁμοίως γὰρ αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον

μὴ μαθεῖν καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων
μὴ λαβεῖν. καταναλίσκε τὴν ἐκ τῷ βίῳ σχολὴν εἰς τὴν
τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χα- e
λεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν.
19 ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημά-
των κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ
πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ μόνον τῶν
κτημάτων ἀθάνατον. μὴ κατόκνει μακρὰν ὁδὸν πο- 6
ρεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελ-
λομένους· αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα
πελάγη διαπερᾶν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρ-
χουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν
πορείας ὑπομένειν ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν αὑ-
20 τῶν διάνοιαν. τῷ μὲν τρόπῳ γίγνου φιλοπροσήγορος,
τῷ λόγῳ δ' εὐπροσήγορος. ἔστι δὲ φιλοπροσηγορίας b
μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορίας
δὲ τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν. ἡδέως
μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις· οὕτω
γὰρ τοῖς μὲν οὐκ ἀπεχθήσει, τοῖς δὲ φίλος γενήσει. τὰς
ἐντεύξεις μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς, μηδὲ μακρὰς
21 περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων. γύμναζε
σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύνῃ καὶ τοὺς
ἀκουσίους ὑπομένειν. ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν c
αἰσχρὸν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους,
ὀργῆς, ἡδονῆς, λύπης. ἔσει δὲ τοιοῦτος, ἐὰν κέρδη
μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις ἀλλὰ μὴ δι'
ὧν εὐπορήσεις, τῇ δ' ὀργῇ παραπλησίως ἔχῃς πρὸς
τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς ἑαυτὸν ἁμαρ-
τάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας, ἐν δὲ τοῖς
τερπνοῖς ἐὰν αἰσχρὸν ὑπολάβῃς τῶν μὲν οἰκετῶν ἄρ-
χειν, ταῖς δ' ἡδοναῖς δουλεύειν, ἐν δὲ τοῖς πονηροῖς d
ἐὰν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς καὶ σεαυτὸν ὡς

22 ἄνθρωπος ὢν ὑπομιμνήσκῃς. Μᾶλλον τήρει τας τῶν
λόγων ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ
τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαί-
νεσθαι παρεχομένους. προσήκειν ἡγοῦ τοῖς πονηροῖς
ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. περὶ τῶν
ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς e
πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι κἀκείνοις τοῖς
23 ἀκούουσιν. ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφά-
σεις, ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ
μεγάλων κινδύνων διασῴζων. ἕνεκα δὲ χρημάτων μη-
δένα θεῶν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς· δόξεις 7
γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν.
24 Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς, πῶς κέ-
χρηται τοῖς πρότερον φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ
περὶ σὲ γενέσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους
γέγονε. βραδέως μὲν φίλος γίγνου, γενόμενος δὲ πει-
ρῶ διαμένειν. ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν
καὶ πολλοὺς ἑταίρους μεταλλάττειν. μήτε μετὰ βλάβης b
πειρῶ τῶν φίλων μήτ' ἄπειρος εἶναι τῶν ἑταίρων
θέλε. τοῦτο δὲ ποιήσεις, ἐὰν μὴ δεόμενος τὸ δεῖσθαι
25 προσποιῇ. περὶ τῶν ῥητῶν ὡς ἀπορρήτων ἀνακοινοῦ·
μὴ τυχὼν μὲν γὰρ οὐδὲν βλαβήσει, τυχὼν δὲ μᾶλλον
αὐτῶν τὸν τρόπον ἐπιστήσει. δοκίμαζε τοὺς φίλους ἔκ
τε τῆς περὶ τὸν βίον ἀτυχίας καὶ τῆς ἐν τοῖς κινδύνοις
κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ βασανίζο-
μεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγιγνώσκομεν. c
οὕτως ἄριστα χρήσει τοῖς φίλοις, ἐὰν μὴ προσμένῃς
τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος αὐτοῖς
26 ἐν τοῖς καιροῖς βοηθῇς. ὁμοίως αἰσχρὸν εἶναι νόμιζε
τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιίαις καὶ τῶν φίλων
ἡττᾶσθαι ταῖς εὐεργεσίαις. ἀποδέχου τῶν ἑταίρων μὴ
μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας ἀλλὰ καὶ

τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας· πολλοὶ γὰρ d
ἀτυχοῦσι μὲν συνάχθονται, καλῶς δὲ πράττουσι φθο-
νοῦσι. τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρ-
όντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν.
27 εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ
μὴ καλλωπιστής. ἔστι δὲ φιλοκάλου μὲν τὸ μεγαλο-
πρεπὲς, καλλωπιστοῦ δὲ τὸ περίεργον. ἀγάπα τῶν e
ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν
ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν. καταφρόνει τῶν περὶ
τὸν πλοῦτον σπουδαζόντων μὲν, χρῆσθαι δὲ τοῖς ὑπάρ-
χουσι μὴ δυναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι
πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν κα- 8
28 κῶς ἱππεύειν ἐπιστάμενος. πειρῶ τὸν πλοῦτον χρή-
ματα καὶ κτήματα κατασκευάζειν· ἔστι δὲ χρήματα μὲν
τοῖς ἀπολαύειν ἐπισταμένοις, κτήματα δὲ τοῖς κτᾶσθαι
δυναμένοις. τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνε-
κεν, τοῦ τε ζημίαν μεγάλην ἐκτῖσαι δύνασθαι καὶ τοῦ
φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι· πρὸς δὲ τὸν b
ἄλλον βίον μηδὲν ὑπερβαλλόντως ἀλλὰ μετρίως αὐτὴν
29 ἀγάπα. στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βέλτιστα.
μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ
μέλλον ἀόρατον. τοὺς ἀγαθοὺς εὖ ποίει· καλὸς γὰρ
θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη.
κακοὺς εὖ ποιῶν ὅμοια πείσει τοῖς τὰς ἀλλοτρίας
κύνας σιτίζουσιν· ἐκεῖναί τε γὰρ τοὺς διδόντας ὥσπερ c
τοὺς τυχόντας ὑλακτοῦσιν οἵ τε κακοὶ τοὺς ὠφελοῦν-
30 τας ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσιν. μίσει τοὺς κο-
λακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ
πιστευθέντες τοὺς πιστεύσαντας ἀδικοῦσιν. ἐὰν ἀπο-
δέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατον χαριζομέ-
νους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπ-
εχθανομένους. γίγνου πρὸς τοὺς πλησιάζοντας ὁμι- d

ληπτικὸς ἀλλὰ μὴ σεμνός· τὸν μὲν γὰρ τῶν ὑπεροπτι-
κῶν ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν, τὸν δὲ
τῶν ὁμιλητικῶν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν.
31 ὁμιλητικὸς δ' ἔσει μὴ δύσερις ὢν μηδὲ δυσάρεστος μη-
δὲ πρὸς πάντα φιλόνικος, μηδὲ πρὸς τὰς τῶν πλη-
σιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μηδ' ἂν ἀδίκως
ὀργιζόμενοι τυγχάνωσιν, ἀλλὰ θυμουμένοις μὲν αὐ- e
τοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων·
μηδὲ παρὰ τὰ γελοῖα σπουδάζων, μηδὲ παρὰ τὰ σπου-
δαῖα τοῖς γελοίοις χαίρων· τὸ γὰρ ἄκαιρον πανταχοῦ
λυπηρόν· μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος,
ὅπερ πάσχουσιν οἱ πολλοὶ, ποιοῦντες μὲν, ἀηδῶς δὲ
τοῖς φίλοις ὑπουργοῦντες· μηδὲ φιλαίτιος ὢν, βαρὺ 9
32 γὰρ, μηδὲ φιλεπιτιμητὴς, παροξυντικὸν γάρ. μάλιστα
μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἐὰν δέ
ποτέ σοι συμπέσῃ καιρὸς, ἐξανίστασο πρὸ μέθης. ὅταν
γὰρ ὁ νοῦς ὑπ' οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς
ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβαλοῦσιν· ἐκεῖνά τε
γὰρ ἀτάκτως φέρεται διαμαρτόντα τῶν εὐθυνούντων
ἥ τε ψυχὴ πολλὰ σφάλλεται διαφθαρείσης τῆς δια- b
νοίας. ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι, θνη-
33 τὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν. ἡγοῦ
τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαι-
δευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνον-
τες πράττουσιν, αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς
ἔχοντας· πολλάκις γὰρ ὧν τοῖς λόγοις ἐλύπησαν, τού-
των τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν. οὓς ἂν βούλῃ c
ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς
τοὺς ἀπαγγελοῦντας· ἀρχὴ γὰρ φιλίας μὲν ἔπαινος,
ἔχθρας δὲ ψόγος.

34 Βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα
τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανε-

ϱοῦ ταχίστην ἔχει τὴν διάγνωσιν. βουλεύου μὲν βρα-
δέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα. ἡγοῦ κράτιστον
εἶναι, παρὰ μὲν τῶν θεῶν εὐτυχίαν, παρὰ δ' ἡμῶν
αὐτῶν εὐβουλίαν. περὶ ὧν ἂν αἰσχύνῃ παρρησιάσα- d
σθαι, βούλῃ δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ
τοῖς λόγοις ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος· οὕτω
γὰρ τὴν ἐκείνων τε διάνοιαν αἰσθήσει καὶ σεαυτὸν οὐ
35 καταφανῆ ποιήσεις. ὅταν ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς
τινὶ συμβούλῳ χρῆσθαι, σκόπει πρῶτον πῶς τὰ ἑαυ-
τοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς περὶ τῶν οἰ-
κείων οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλο- e
τρίων. οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυν-
θείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέ-
ψειας· καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν,
ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀρρωστίας ἀναμνησθῶμεν.
36 μιμοῦ τὰ τῶν βασιλέων ἤθη καὶ δίωκε τὰ ἐκείνων ἐπι- 10
τηδεύματα· δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι καὶ ζη-
λοῦν, ὥστε σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον
εὐδοκιμεῖν καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν
ἔχειν. πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασι-
λέων κειμένοις, ἰσχυρότατον μέντοι νόμον ἡγοῦ τὸν
ἐκείνων τρόπον. ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολι-
τευόμενον τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν b
ἐν μοναρχίᾳ κατοικοῦντα τὸν βασιλέα προσήκει θαυ-
37 μάζειν. εἰς ἀρχὴν κατασταθεὶς μηδενὶ χρῶ πονηρῷ
πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ
τὰς αἰτίας ἀναθήσουσιν. ἐκ τῶν κοινῶν ἐπιμελειῶν
ἀπαλλάττου μὴ πλουσιώτερος ἀλλ' ἐνδοξότερος· πολ-
λῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους c
ἔπαινος. μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο
μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράτ-
38 τειν, οἷά περ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς. παρα-

σκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δυνάμενον, ἀνέχου
δὲ τὸ ἴσον ἔχων, ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης
μὴ δι' ἀσθένειαν ἀλλὰ δι' ἐπιείκειαν. μᾶλλον ἀποδέ-
χου δικαίαν πενίαν ἢ πλοῦτον ἄδικον· τοσούτῳ γὰρ d
κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας
μόνον ὠφελεῖ, τὸ δὲ καὶ τελευτήσασι δόξαν παρασκευ-
άζει, κἀκείνων μὲν καὶ τοῖς φαύλοις μέτεστι, τούτου δὲ
39 τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν. μηδένα ζήλου
τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου
τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι τῶν
ἀδίκων εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι e
40 γε σπουδαίαις ὑπερέχουσιν. πάντων μὲν ἐπιμελοῦ τῶν
περὶ τὸν βίον, μάλιστα δὲ τὴν σαυτοῦ φρόνησιν ἄσκει·
μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου
σώματι. πειρῶ τῷ σώματι μὲν εἶναι φιλόπονος, τῇ δὲ 11
ψυχῇ φιλόσοφος, ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαν-
41 τα, τῇ δὲ προορᾶν ἐπίστῃ τὰ συμφέροντα. πᾶν ὅ τι
ἂν μέλλῃς ἐρεῖν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολ-
λοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας. δύο ποιοῦ b
καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ
ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις ὁ λόγος
τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν
ἢ λέγειν.

42 Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον·
οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσει περιχαρὴς οὔτε δυστυχῶν
περίλυπος. χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγα-
θῶν, λυποῦ δὲ μετρίως ἐπὶ τοῖς γιγνομένοις τῶν κα-
κῶν, γίγνου δὲ τοῖς ἄλλοις μηδ' ἐν ἑτέροις ὢν κατά-
δηλος· ἄτοπον γὰρ τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις
ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περι-
43 πατεῖν. μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον· δεῖ γὰρ c
εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευ-

τὴν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν. μά-
λιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν· ἐὰν δέ ποτέ
σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σω-
τηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φή-
μης· τὸ μὲν γὰρ τελευτῆσαι πάντων ἡ πεπρωμένη
κατέκρινε, τὸ δὲ καλῶς ἀποθανεῖν ἴδιον τοῖς σπου- d
δαίοις ἡ φύσις ἀπένειμεν.

44 (ε.) Καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν εἰρημένων
οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν· οὐδὲ
γὰρ ἐμὲ τοῦτο διέλαθεν· ἀλλὰ προειλόμην διὰ τῆς αὐ-
τῆς πραγματείας ἅμα τοῦ τε παρόντος βίου συμβου-
λίαν ἐξενεγκεῖν καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα
καταλιπεῖν. τὴν μὲν γὰρ τούτων χρείαν ῥᾳδίως εἰδή-
σεις, τὸν δὲ μετ' εὐνοίας συμβουλεύοντα χαλεπῶς εὑ-
ρήσεις. ὅπως οὖν μὴ παρ' ἑτέρου τὰ λοιπὰ ζητῇς ἀλλ' e
ἐντεῦθεν ὥσπερ ἐκ ταμιείου προφέρῃς, ᾠήθην δεῖν
μηδὲν παραλιπεῖν ὧν ἔχω σοι συμβουλεύειν.

45 Πολλὴν δ' ἂν τοῖς θεοῖς χάριν σχοίην, εἰ μὴ δια-
μάρτοιμι τῆς δόξης ἧς ἔχων περὶ σοῦ τυγχάνω. τῶν 12
μὲν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν ὥσπερ τῶν
σιτίων τοῖς ἡδίστοις μᾶλλον ἢ τοῖς ὑγιεινοτάτοις χαί-
ροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι
πλησιάζοντας ἀλλ' οὐ τοῖς νουθετοῦσι. σὲ δὲ νομίζω
τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ
περὶ τὴν ἄλλην παιδείαν φιλοπονίᾳ· τὸν γὰρ αὑτῷ τὰ
βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν
ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχε- b
46 σθαι. μάλιστα δ' ἂν παροξυνθείης ὀρέγεσθαι τῶν κα-
λῶν ἔργων, εἰ καταμάθοις, ὅτι καὶ τὰς ἡδονὰς ἐκ τού-
των μάλιστα γνησίως ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥᾳθυ-
μεῖν καὶ τὰς πλησμονὰς ἀγαπᾶν εὐθὺς αἱ λῦπαι ταῖς
ἡδοναῖς παραπεπήγασι, τὸ δὲ περὶ τὴν ἀρετὴν φιλο-

*πονεῖν καὶ σωφρόνως τὸν αὑτοῦ βίον οἰκονομεῖν ἀεὶ
τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀποδίδωσι·
47 κἀκεῖ μὲν πρότερον ἡσθέντες ὕστερον ἐλυπήθησαν, c
ἐνταῦθα δὲ μετὰ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν. ἐν πᾶσι
δὲ τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς
τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν· τὰ γὰρ πλεῖστα
τῶν περὶ τὸν βίον οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν,
48 ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκεν διαπονοῦμεν. (ϛ'.) Ἐν-
θυμοῦ δ' ὅτι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα
πράττειν· εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται
τὴν ὑπόθεσιν· τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς d
ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας.
πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας
ὡς τοὺς ἐπιεικεῖς μὲν φήσαντας εἶναι, μηδὲν δὲ τῶν
49 τυχόντων διαφέροντας, εἰκότως· ὅπου γὰρ τοὺς τῷ
λόγῳ μόνον ψευδομένους ἀποδοκιμάζομεν, ἦ πού γε
τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους φαύλους εἶναι
φήσομεν. δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολάβοιμεν
μὴ μόνον εἰς αὑτοὺς ἁμαρτάνειν ἀλλὰ καὶ τῆς τύχης e
εἶναι προδότας· ἡ μὲν γὰρ αὐτοῖς χρήματα καὶ δόξαν
καὶ φίλους ἐνεχείρισεν, οἱ δὲ σφᾶς αὐτοὺς ἀναξίους
50 τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν. εἰ δὲ δεῖ
θνητὸν ὄντα τῆς τῶν θεῶν στοχάσασθαι διανοίας, 1
ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δη-
λῶσαι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους καὶ τοὺς σπου-
δαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάν-
ταλον γεννήσας, ὡς οἱ μῦθοι λέγουσι καὶ πάντες πι-
στεύουσι, τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε,
τὸν δὲ διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκό-
51 λασεν. οἷς δεῖ παραδείγμασι χρώμενόν σ' ὀρέγεσθαι τῆς
καλοκαγαθίας, καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις b
ἐμμένειν ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθά-*

νειν καὶ τῶν ἄλλων σοφιστῶν εἴ τι χρήσιμον εἰρήκα-
52 σιν ἀναγιγνώσκειν. ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν
ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ'
ἑκάστου δὲ τὰ βέλτιστα λαμβάνουσαν, οὕτω δεῖ καὶ
τοὺς παιδείας ὀρεγομένους μηδενὸς μὲν ἀπείρως ἔχειν,
πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. μόλις γὰρ ἂν
τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας c
ἐπικρατήσειεν.

2.

ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ.

(α'.) Οἱ μὲν εἰωθότες, ὦ Νικόκλεις, τοῖς βασι- 14
λεῦσιν ὑμῖν ἐσθῆτας ἄγειν ἢ χαλκὸν ἢ χρυσὸν εἰργα-
σμένον ἢ τῶν ἄλλων τι τῶν τοιούτων κτημάτων, ὧν
αὐτοὶ μὲν ἐνδεεῖς εἰσιν, ὑμεῖς δὲ πλουτεῖτε, λίαν ἔδο- 15
ξαν εἶναί μοι καταφανεῖς οὐ δόσιν ἀλλ' ἐμπορίαν ποι-
ούμενοι καὶ πολὺ τεχνικώτερον αὐτὰ πωλοῦντες τῶν
2 ὁμολογούντων καπηλεύειν· ἡγησάμην δ' ἂν γενέσθαι
ταύτην καλλίστην δωρεὰν καὶ χρησιμωτάτην καὶ μά-
λιστα πρέπουσαν ἐμοί τε δοῦναι καὶ σοὶ λαβεῖν, εἰ δυ-
νηθείην ὁρίσαι, ποίων ἐπιτηδευμάτων ὀρεγόμενος καὶ
τίνων [ἔργων] ἀπεχόμενος ἄριστ' ἂν καὶ τὴν πόλιν
καὶ τὴν βασιλείαν διοικοίης. τοὺς μὲν γὰρ ἰδιώτας ἐστὶ b
πολλὰ τὰ παιδεύοντα, μάλιστα μὲν τὸ μὴ τρυφᾶν
ἀλλ' ἀναγκάζεσθαι περὶ τοῦ βίου καθ' ἑκάστην βου-
3 λεύεσθαι τὴν ἡμέραν, ἔπειθ' οἱ νόμοι, καθ' οὓς ἕκα-
στοι πολιτευόμενοι τυγχάνουσιν, ἔτι δ' ἡ παρρησία
καὶ τὸ φανερῶς ἐξεῖναι τοῖς τε φίλοις ἐπιπλῆξαι καὶ
τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις· πρὸς

δὲ τούτοις καὶ τῶν ποιητῶν τινὲς τῶν προγεγενημέ-
νων ὑποθήκας ὡς χρὴ ζῆν καταλελοίπασιν· ὥστ' ἐξ c
ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίγνεσθαι.
4 τοῖς δὲ τυράννοις οὐδὲν ὑπάρχει τοιοῦτον, ἀλλ' οὓς
ἔδει παιδεύεσθαι μᾶλλον τῶν ἄλλων, ἐπειδὰν εἰς τὴν
ἀρχὴν καταστῶσιν, ἀνουθέτητοι διατελοῦσιν· οἱ μὲν
γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοῖς οὐ πλησιάζουσιν,
οἱ δὲ συνόντες πρὸς χάριν ὁμιλοῦσιν. καὶ γάρ τοι κύ-
ριοι γιγνόμενοι καὶ χρημάτων πλείστων καὶ πραγμά- d
των μεγίστων, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταύταις ταῖς
ἀφορμαῖς πεποιήκασιν ὥστε πολλοὺς ἀμφισβητεῖν,
πότερόν ἐστιν ἄξιον ἑλέσθαι τὸν βίον τὸν τῶν ἰδιω-
τευόντων μέν, ἐπιεικῶς δὲ πραττόντων, ἢ τὸν τῶν
5 τυραννευόντων. ὅταν μὲν γὰρ ἀποβλέψωσιν εἰς τὰς
τιμὰς καὶ τοὺς πλούτους καὶ τὰς δυναστείας, ἰσοθέ-
ους ἅπαντες νομίζουσι τοὺς ἐν ταῖς μοναρχίαις ὄντας·
ἐπειδὰν δ' ἐνθυμηθῶσι τοὺς φόβους καὶ τοὺς κινδύ-
νους, καὶ διεξιόντες ὁρῶσι τοὺς μὲν ὑφ' ὧν ἥκιστα e
χρῆν διεφθαρμένους, τοὺς δ' εἰς τοὺς οἰκειοτάτους
ἐξαμαρτεῖν ἠναγκασμένους, τοῖς δ' ἀμφότερα ταῦτα
συμβεβηκότα, πάλιν ὁπωσοῦν ζῆν ἡγοῦνται λυσιτε-
λεῖν μᾶλλον ἢ μετὰ τοιούτων συμφορῶν ἁπάσης τῆς
6 Ἀσίας βασιλεύειν. ταύτης δὲ τῆς ἀνωμαλίας καὶ τῆς 16
ταραχῆς αἴτιόν ἐστιν, ὅτι τὴν βασιλείαν ὥσπερ ἱερω-
σύνην παντὸς ἀνδρὸς εἶναι νομίζουσιν, ὃ τῶν ἀνθρω-
πίνων πραγμάτων μέγιστόν ἐστι καὶ πλείστης προ-
νοίας δεόμενον.

(β'.) Καθ' ἑκάστην μὲν οὖν τὴν πρᾶξιν, ἐξ ὧν
ἄν τις μάλιστα δύναιτο κατὰ τρόπον διοικεῖν καὶ τὰ
μὲν ἀγαθὰ διαφυλάττειν, τὰς δὲ συμφορὰς διαφεύ-
γειν, τῶν ἀεὶ παρόντων ἔργον ἐστὶ συμβουλεύειν·
καθ' ὅλων δὲ τῶν ἐπιτηδευμάτων, ὧν χρὴ στοχάζε- b

σθαι καὶ περὶ ἃ δεῖ διατρίβειν, ἐγὼ πειράσομαι διελ-
7 θεῖν. εἰ μὲν οὖν ἔσται τὸ δῶρον ἐξεργασθὲν ἄξιον τῆς
ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν· πολλὰ
γὰρ καὶ τῶν μετὰ μέτρου ποιημάτων καὶ τῶν κατα-
λογάδην συγγραμμάτων ἔτι μὲν ἐν ταῖς διανοίαις ὄντα
τῶν συντιθέντων μεγάλας τὰς προσδοκίας παρέσχεν,
ἐπιτελεσθέντα δὲ καὶ τοῖς ἄλλοις ἐπιδειχθέντα πολὺ
8 καταδεεστέραν τὴν δόξαν τῆς ἐλπίδος ἔλαβεν· οὐ μὴν c
ἀλλὰ τό γ' ἐπιχείρημα καλῶς ἔχει, τὸ ζητεῖν τὰ παρα-
λελειμμένα καὶ νομοθετεῖν ταῖς μοναρχίαις. οἱ μὲν γὰρ
τοὺς ἰδιώτας παιδεύοντες ἐκείνους μόνον ὠφελοῦσιν·
εἰ δέ τις τοὺς κρατοῦντας τοῦ πλήθους ἐπ' ἀρετὴν
προτρέψειεν, ἀμφοτέρους ἂν ὀνήσειε, καὶ τοὺς τὰς
δυναστείας ἔχοντας καὶ τοὺς ὑπ' αὐτοῖς ὄντας· τοῖς
μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφαλεστέρας, τοῖς δὲ τὰς πο-
λιτείας πραοτέρας ποιήσειεν.
9 (γ'.) Πρῶτον μὲν οὖν σκεπτέον, τί τῶν βασιλευ- d
όντων ἔργον ἐστίν· ἂν γὰρ ἐν κεφαλαίοις τὴν δύνα-
μιν ὅλου τοῦ πράγματος καλῶς περιλάβωμεν, ἐνταῦθ'
ἀποβλέποντες ἄμεινον καὶ περὶ τῶν μερῶν ἐροῦμεν.
οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι προσήκειν αὐτοῖς πό-
λιν δυστυχοῦσαν παῦσαι καὶ καλῶς πράττουσαν
διαφυλάξαι καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι· τὰ γὰρ
ἄλλα τὰ συμπίπτοντα κατὰ τὴν ἡμέραν ἑκάστην τού- e
10 των ἕνεκα πρακτέον ἐστίν. καὶ μὴν ἐκεῖνό γε φανε-
ρὸν, ὅτι δεῖ τοὺς ταῦτα δυνησομένους καὶ περὶ τηλι-
κούτων βουλευομένους μὴ ῥᾳθυμεῖν μηδ' ἀμελεῖν
ἀλλὰ σκοπεῖν, ὅπως φρονιμώτερον διακείσονται τῶν
ἄλλων. δέδεικται γὰρ, ὅτι τοιαύτας τὰς βασιλείας ἕξου- 17
11 σιν, οἵας περ ἂν τὰς αὐτῶν γνώμας παρασκευάσωσιν.
ὥστ' οὐδενὶ τῶν ἀσκητῶν οὕτω προσήκει τὸ σῶμα
γυμνάζειν ὡς τοῖς βασιλεύουσι τὴν ψυχὴν τὴν αὐτῶν·

ἅπασαι γὰρ αἱ πανηγύρεις οὐδὲν μέρος τιθέασι τούτων
τῶν ἄθλων, περὶ ὧν ὑμεῖς καθ' ἑκάστην ἀγωνίζεσθε
τὴν ἡμέραν. (δʹ.) Ὧν ἐνθυμούμενον χρὴ προσέχειν
τὸν νοῦν, ὅπως ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προ-
12 έχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. καὶ b
μὴ νόμιζε τὴν ἐπιμέλειαν ἐν μὲν τοῖς ἄλλοις πράγμασι
χρησίμην εἶναι, πρὸς δὲ τὸ βελτίους ἡμᾶς καὶ φρονι-
μωτέρους γίγνεσθαι μηδεμίαν δύναμιν ἔχειν· μηδὲ
καταγνῷς τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν, ὡς
περὶ μὲν τὰ θηρία τέχνας εὑρήκαμεν, αἷς αὐτῶν τὰς
ψυχὰς ἡμεροῦμεν καὶ πλείονος ἀξίας ποιοῦμεν, ἡμᾶς
δ' αὐτοὺς οὐδὲν ἂν πρὸς ἀρετὴν ὠφελήσαιμεν, ἀλλ'
ὡς καὶ τῆς παιδεύσεως καὶ τῆς ἐπιμελείας μάλιστα δυ- c
13 ναμένης τὴν ἡμετέραν φύσιν εὐεργετεῖν, οὕτω διάκεισο
τὴν γνώμην, καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις
πλησίαζε καὶ τῶν ἄλλων οὓς ἂν δύνῃ μεταπέμπου,
καὶ μήτε τῶν ποιητῶν τῶν εὐδοκιμούντων μήτε τῶν
σοφιστῶν μηδενὸς οἴου δεῖν ἀπείρως ἔχειν, ἀλλὰ τῶν
μὲν ἀκροατὴς γίγνου, τῶν δὲ μαθητής, καὶ παρασκεύ-
αζε σαυτὸν τῶν μὲν ἐλαττόνων κριτήν, τῶν δὲ μει-
ζόνων ἀγωνιστήν· διὰ γὰρ τούτων τῶν γυμνασίων d
τάχιστ' ἂν γένοιο τοιοῦτος, οἷον ὑπεθέμεθα δεῖν εἶναι
τὸν ὀρθῶς βασιλεύσοντα καὶ τὴν πόλιν ὡς χρὴ διοι-
14 κήσοντα. μάλιστα δ' ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακλη-
θείης, εἰ δεινὸν ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων
ἄρχειν καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις
προστάττειν· ὅσῳ γὰρ ἂν ἐρρωμενεστέρως τὴν τῶν
ἄλλων ἄνοιαν ἀτιμάσῃς, τοσούτῳ μᾶλλον τὴν αὑτοῦ
διάνοιαν ἀσκήσεις.

15 (εʹ.) Ἄρχεσθαι μὲν οὖν ἐντεῦθεν χρὴ τοὺς μέλ-
λοντάς τι τῶν δεόντων ποιήσειν, πρὸς δὲ τούτοις φιλ- e
άνθρωπον εἶναι δεῖ καὶ φιλόπολιν· οὔτε γὰρ ἵππων

οὔτε κυνῶν οὔτ' ἀνδρῶν οὔτ' ἄλλου πράγματος οὐδενὸς οἷόν τε καλῶς ἄρχειν, ἂν μή τις χαίρῃ τούτοις, ὧν αὐτὸν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν. μελέτω σοι τοῦ πλήθους, καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως
16 αὐτοῖς ἄρχειν, γιγνώσκων, ὅτι καὶ τῶν ὀλιγαρχιῶν 18
καὶ τῶν ἄλλων πολιτειῶν αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύωσιν. καλῶς δὲ δημαγωγήσεις, ἢν μήθ' ὑβρίζειν τὸν ὄχλον ἐᾷς μήθ' ὑβριζόμενον περιορᾷς, ἀλλὰ σκοπῇς, ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δ' ἄλλοι μηδὲν ἀδικήσονται· ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα
17 χρηστῆς πολιτείας ἐστίν. (ς'.) Τῶν προσταγμάτων καὶ τῶν ἐπιτηδευμάτων κίνει καὶ μετατίθει τὰ μὴ καλῶς b
καθεστῶτα, καὶ μάλιστα μὲν εὑρετὴς γίγνου τῶν βελτίστων, εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις ὀρθῶς ἔχοντα. ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους καὶ συμφέροντας καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους, πρὸς δὲ τούτοις οἵτινες τὰς μὲν ἀμφισβητήσεις ὡς ἐλαχίστας, τὰς δὲ διαλύσεις ὡς οἷόν τε ταχίστας τοῖς πολίταις ποιοῦσιν· ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς
18 κειμένοις. τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας, c
τὰς δὲ πραγματείας ἐπιζημίους, ἵνα τὰς μὲν φεύγωσι, πρὸς δὲ τὰς προθυμότερον ἔχωσιν. τὰς κρίσεις ποιοῦ περὶ ὧν ἂν πρὸς ἀλλήλους ἀμφισβητῶσι μὴ πρὸς χάριν μηδ' ἐναντίας ἀλλήλαις, ἀλλ' ἀεὶ ταὐτὰ περὶ τῶν αὐτῶν γίγνωσκε· καὶ γὰρ πρέπει καὶ συμφέρει τὴν τῶν βασιλέων γνώμην ἀκινήτως ἔχειν περὶ τῶν δικαίων, ὥσ-
19 περ τοὺς νόμους τοὺς καλῶς κειμένους. οἴκει τὴν πό- d
λιν ὁμοίως ὥσπερ τὸν πατρῷον οἶκον ταῖς μὲν κατασκευαῖς λαμπρῶς καὶ βασιλικῶς, ταῖς δὲ πράξεσιν ἀκριβῶς, ἵν' εὐδοκιμῇς ἅμα καὶ διαρκῇς. τὴν μεγαλοπρέπειαν ἐπιδείκνυσο μηδ' ἐν μιᾷ τῶν πολυτελειῶν τῶν

εὐθὺς ἀφανιζομένων ἀλλ' ἔν τε τοῖς προειρημένοις καὶ
τῷ κάλλει τῶν κτημάτων καὶ ταῖς τῶν φίλων εὐεργε-
σίαις· τὰ γὰρ τοιαῦτα τῶν ἀναλωμάτων αὐτῷ τε σοὶ
παραμενεῖ καὶ τοῖς ἐπιγιγνομένοις πλείονος ἄξια τῶν e
δεδαπανημένων καταλείψεις.

20 Τὰ πρὸς τοὺς θεοὺς ποίει μὲν ὡς οἱ πρόγονοι
κατέδειξαν, ἡγοῦ δὲ θῦμα τοῦτο κάλλιστον εἶναι καὶ
θεραπείαν μεγίστην, ἂν ὡς βέλτιστον καὶ δικαιότατον
σαυτὸν παρέχῃς· μᾶλλον γὰρ ἐλπὶς τοὺς τοιούτους ἢ
τοὺς ἱερεῖα πολλὰ καταβάλλοντας πράξειν τι παρὰ τῶν 19
θεῶν ἀγαθόν. (ζ.) Τίμα ταῖς μὲν ἀρχαῖς [τῶν φίλων]
τοὺς οἰκειοτάτους, ταῖς δ' ἀληθείαις αὐταῖς τοὺς εὐ-
21 νουστάτους. φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώμα-
τος εἶναι τήν τε τῶν φίλων ἀρετὴν καὶ τὴν τῶν πολι-
τῶν εὔνοιαν καὶ τὴν σαυτοῦ φρόνησιν· διὰ γὰρ τούτων
καὶ κτᾶσθαι καὶ σώζειν τὰς τυραννίδας μάλιστ' ἄν
τις δύναιτο. κήδου τῶν οἴκων τῶν πολιτικῶν, καὶ νό-
μιζε καὶ τοὺς δαπανῶντας ἀπὸ τῶν σῶν ἀναλίσκειν b
καὶ τοὺς ἐργαζομένους τὰ σὰ πλείω ποιεῖν· ἅπαντα
γὰρ τὰ τῶν οἰκούντων τὴν πόλιν οἰκεῖα τῶν καλῶς
22 βασιλευόντων ἐστί. διὰ παντὸς τοῦ χρόνου τὴν ἀλή-
θειαν οὕτω φαίνου προτιμῶν ὥστε πιστοτέρους εἶναι
τοὺς σοὺς λόγους μᾶλλον ἢ τοὺς τῶν ἄλλων ὅρκους.
ἅπασι μὲν τοῖς ξένοις ἀσφαλῆ τὴν πόλιν πάρεχε καὶ
πρὸς τὰ συμβόλαια νόμιμον, περὶ πλείστου δὲ ποιοῦ
τῶν ἀφικνουμένων μὴ τοὺς σοὶ δωρεὰς ἄγοντας ἀλλὰ c
τοὺς παρὰ σοῦ λαμβάνειν ἀξιοῦντας· τιμῶν γὰρ τοὺς
23 τοιούτους μᾶλλον παρὰ τοῖς ἄλλοις εὐδοκιμήσεις. τοὺς
πολλοὺς φόβους ἐξαίρει τῶν πολιτῶν, καὶ μὴ βούλου
περιδεεῖς εἶναι τοὺς μηδὲν ἀδικοῦντας· ὅπως γὰρ ἂν
τοὺς ἄλλους πρὸς σαυτὸν διαθῇς, οὕτω καὶ σὺ πρὸς
ἐκείνους ἕξεις. ποίει μὲν μηδὲν μετ' ὀργῆς, δόκει δὲ τοῖς

ἄλλοις, ὅταν σοι καιρὸς ᾖ. δεινὸς μὲν φαίνου τῷ μηδέν
σε λανθάνειν τῶν γιγνομένων, πρᾶος δὲ τῷ τὰς τιμω- d
ρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων.
24 Ἀρχικὸς εἶναι βούλου μὴ χαλεπότητι μηδὲ τῷ
σφόδρα κολάζειν ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς
διανοίας καὶ νομίζειν ὑπὲρ τῆς αὑτῶν σωτηρίας ἄμει-
νον αὑτῶν σὲ βουλεύεσθαι. πολεμικὸς μὲν ἴσθι ταῖς
ἐπιστήμαις καὶ ταῖς παρασκευαῖς, εἰρηνικὸς δὲ τῷ μη-
δὲν παρὰ τὸ δίκαιον πλεονεκτεῖν. οὕτως ὁμίλει τῶν
πόλεων πρὸς τὰς ἥττους ὥσπερ ἂν τὰς κρείττους πρὸς e
25 ἑαυτὸν ἀξιώσειας. φιλονίκει μὴ περὶ πάντων, ἀλλὰ
περὶ ὧν κρατήσαντί σοι μέλλοι συνοίσειν. φαύλους
ἡγοῦ μὴ τοὺς συμφερόντως ἡττωμένους αλλὰ τοὺς
μετὰ βλάβης περιγιγνομένους. μεγαλόφρονας νόμιζε 20
μὴ τοὺς μείζω περιβαλλομένους ὧν οἷοί τ' εἰσι κατα-
σχεῖν, ἀλλὰ τοὺς καλῶν μὲν ἐφιεμένους, ἐξεργάζεσθαι
26 δὲ δυναμένους οἷς ἂν ἐπιχειρῶσιν. ζήλου μὴ τοὺς με-
γίστην ἀρχὴν κτησαμένους ἀλλὰ τοὺς ἄριστα τῇ παρ-
ούσῃ χρησαμένους, καὶ νόμιζε τελέως εὐδαιμονήσειν,
οὐκ ἐὰν πάντων ἀνθρώπων μετὰ φόβων καὶ κινδύνων
καὶ κακίας ἄρξῃς, ἀλλ' ἂν τοιοῦτος ὢν οἷον χρὴ καὶ
πράττων ὥσπερ ἐν τῷ παρόντι μετρίων ἐπιθυμῇς καὶ b
μηδενὸς τούτων ἀτυχῇς.
27 (η'.) Φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους
ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας, μηδὲ μεθ' ὧν
ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πόλιν
διοικήσεις. ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν σύν-
όντων, εἰδὼς, ὅτι πάντες οἱ μή σοι πλησιάσαντες
ὅμοιόν σε τοῖς χρωμένοις εἶναι νομιοῦσιν. τοιούτους
ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γιγνομένοις, c
ὡς αὐτὸς τὰς αἰτίας ἕξων ὧν ἂν ἐκεῖνοι πράξωσιν.
28 πιστοὺς ἡγοῦ μὴ τοὺς ἅπαν ὅ τι ἂν λέγῃς ἢ ποιῇς

ἐπαινοῦντας ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτι-
μῶντας. δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ
ὧν ἂν ἀμφιγνοῇς ἔχῃς τοὺς συνδοκιμάσοντας. διόρα
καὶ τοὺς τέχνῃ κολακεύοντας καὶ τοὺς μετ' εὐνοίας
θεραπεύοντας, ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν
ἔχωσιν. ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων, καὶ
πειρῶ γνωρίζειν ἅμα τούς τε λέγοντας, ὁποῖοί τινές
29 εἰσι, καὶ περὶ ὧν ἂν λέγωσιν. ταῖς αὐταῖς κόλαζε ζη- d
μίαις τοὺς ψευδῶς διαβάλλοντας αἷσπερ τοὺς ἐξαμαρ-
τάνοντας.

Ἄρχε σαυτοῦ μηδὲν ἧττον ἢ τῶν ἄλλων, καὶ τοῦθ'
ἡγοῦ βασιλικώτατον, ἂν μηδεμιᾷ δουλεύῃς τῶν ἡδο-
νῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολι-
τῶν. μηδεμίαν συνουσίαν εἰκῇ προσδέχου μηδ' ἀλογί-
στως, ἀλλ' ἐπ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σαυτὸν
χαίρειν, ἐξ ὧν αὐτός τ' ἐπιδώσεις καὶ τοῖς ἄλλοις βελ- e
30 τίων εἶναι δόξεις. (θ'.) Μὴ φαίνου φιλοτιμούμενος
ἐπὶ τοῖς τοιούτοις, ἃ καὶ τοῖς κακοῖς διαπράξασθαι
δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν
μέρος τοῖς πονηροῖς μέτεστιν. νόμιζε τῶν τιμῶν ἀλη-
θεστάτας εἶναι μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γι-
γνομένας, ἀλλ' ὅταν αὐτοὶ παρ' αὐτοῖς ὄντες μᾶλλόν 21
σου τὴν γνώμην ἢ τὴν τύχην θαυμάζωσιν. λάνθανε
μὲν, ἤν ἐπί τῳ σοι συμβῇ τῶν φαύλων χαίρειν, ἐνδεί-
31 κνυσο δὲ περὶ τὰ μέγιστα σπουδάζων. μὴ τοὺς μὲν
ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως,
ἀλλὰ τὴν σαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις
καθίστη, γιγνώσκων, ὅτι τὸ τῆς πόλεως ὅλης ἦθος
ὁμοιοῦται τοῖς ἄρχουσιν. σημεῖον ἔστω σοι τοῦ καλῶς
βασιλεύειν, ἂν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους b
καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπιμέ-
32 λειαν. περὶ πλείονος ποιοῦ δόξαν καλὴν ἢ πλοῦτον

*μέγαν τοῖς παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητὸς, ἡ δ'
ἀθάνατος, καὶ δόξῃ μὲν χρήματα κτητὰ, δόξα δὲ χρη-
μάτων οὐκ ὠνητὴ, καὶ τὰ μὲν καὶ φαύλοις παρα-
γίγνεται, τὴν δ' οὐχ οἷόν τ' ἀλλ' ἢ τοὺς διενεγκόντας
κτήσασθαι. τρύφα μὲν ἐν ταῖς ἐσθῆσι καὶ τοῖς περὶ
τὸ σῶμα κόσμοις, καρτέρει δ' ὡς χρὴ τοὺς βασιλεύον- c
τας ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασιν, ἵν' οἱ μὲν ὁρῶντες
διὰ τὴν ὄψιν ἄξιόν σε τῆς ἀρχῆς εἶναι νομίζωσιν, οἱ
δὲ συνόντες διὰ τὴν τῆς ψυχῆς ῥώμην τὴν αὐτὴν ἐκεί-
33 νοις γνώμην ἔχωσιν. ἐπισκόπει τοὺς λόγους ἀεὶ τοὺς
σαυτοῦ καὶ τὰς πράξεις, ἵν' ὡς ἐλαχίστοις ἁμαρτήμασι
περιπίπτῃς. κράτιστον μὲν γὰρ τῆς ἀκμῆς τῶν καιρῶν
τυγχάνειν, ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλεί-
πειν αἱροῦ καὶ μὴ πλεονάζειν· αἱ γὰρ μετριότητες d
μᾶλλον ἐν ταῖς ἐνδείαις ἢ ταῖς ὑπερβολαῖς ἔνεισιν.
34 (ι'.) Ἀστεῖος εἶναι πειρῶ καὶ σεμνός· τὸ μὲν γὰρ τῇ
τυραννίδι πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει.
χαλεπώτατον δὲ τοῦτο πάντων ἐστὶ τῶν προσταγμάτων·
εὑρήσεις γὰρ ὡς ἐπὶ τὸ πολὺ τοὺς μὲν σεμνυνομένους
ψυχροὺς ὄντας, τοὺς δὲ βουλομένους ἀστείους εἶναι
ταπεινοὺς φαινομένους. δεῖ δὲ χρῆσθαι μὲν ἀμφοτέ-
ραις ταῖς ἰδέαις ταύταις, τὴν δὲ συμφορὰν τὴν ἑκατέρᾳ e
35 προσοῦσαν διαφεύγειν. ὅ τι ἂν ἀκριβῶσαι βουληθῇς
ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίᾳ μέτ-
ιθι καὶ φιλοσοφίᾳ· τὸ μὲν γὰρ φιλοσοφεῖν τὰς ὁδούς
σοι δείξει, τὸ δ' ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι
δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει.* 22

*Θεώρει τὰ γιγνόμενα καὶ τὰ συμπίπτοντα καὶ
τοῖς ἰδιώταις καὶ τοῖς τυράννοις· ἂν γὰρ τὰ παρε-
ληλυθότα μνημονεύῃς, ἄμεινον περὶ τῶν μελλόν-
36 των βουλεύσει. δεινὸν ἡγοῦ τῶν μὲν ἰδιωτῶν τινὰς
ἐθέλειν ἀποθνήσκειν, ἵνα τελευτήσαντες ἐπαινε-*

θῶσι, τοὺς δὲ βασιλέας μὴ τολμᾶν χρῆσθαι τοῖς ἐπιτη-
δεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκιμήσουσιν. βούλου
τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον ἢ τοῦ σώμα- b
τος καταλιπεῖν. μάλιστα μὲν πειρῶ τὴν ἀσφάλειαν καὶ
σαυτῷ καὶ τῇ πόλει διαφυλάττειν· ἢν δ' ἀναγκασθῇς
κινδυνεύειν, αἱροῦ τεθνάναι καλῶς μᾶλλον ἢ ζῆν αἰ-
37 σχρῶς. ἐν πᾶσι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας,
καὶ φρόντιζ' ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης
πράξεις. (ια'.) Μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν ἅπασαν
ἅμα διαλυθεῖσαν· ἀλλ' ἐπειδὴ θνητοῦ σώματος ἔτυχες,
38 πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν. με- c
λέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθι-
σθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. ἅττ' ἂν σοι λογι-
ζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει.
ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις. ἃ τοῖς αὑτοῦ
παισὶν ἂν συμβουλεύσειας, τούτοις αὐτὸς ἐμμένειν
39 ἀξίου. χρῶ τοῖς εἰρημένοις ἢ ζήτει βελτίω τούτων.
σοφοὺς νόμιζε μὴ τοὺς ἀκριβῶς περὶ μικρῶν ἐρίζον- d
τας ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγάλων λέγοντας· μηδὲ
τοὺς τοῖς μὲν ἄλλοις εὐδαιμονίαν ὑπισχνουμένους,
αὐτοὺς δ' ἐν πολλαῖς ἀπορίαις ὄντας, ἀλλὰ τοὺς
μέτρια μὲν περὶ αὑτῶν λέγοντας, ὁμιλεῖν δὲ καὶ τοῖς
πράγμασι καὶ τοῖς ἀνθρώποις δυναμένους, καὶ μὴ
διαταραττομένους ἐν ταῖς τοῦ βίου μεταβολαῖς, ἀλλὰ
καλῶς καὶ μετρίως καὶ τὰς συμφορὰς καὶ τὰς εὐτυ-
χίας φέρειν ἐπισταμένους.

40 (ιβ'.) Καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν λεγομένων e
ἐστὶν, ἃ καὶ σὺ γιγνώσκεις· οὐδὲ γὰρ ἐμὲ τοῦτο παρέ-
λαθεν, ἀλλ' ἠπιστάμην, ὅτι τοσούτων ὄντων τὸ πλῆ-
θος καὶ τῶν ἄλλων καὶ τῶν ἀρχόντων οἱ μέν τι τού-
των εἰρήκασιν, οἱ δ' ἀκηκόασιν, οἱ δ' ἑτέρους ποιοῦν- 23
τας ἑωράκασιν, οἱ δ' αὐτοὶ τυγχάνουσιν ἐπιτηδεύοντες.

41 ἀλλὰ γὰρ οὐκ ἐν τοῖς λόγοις χρὴ τούτοις [τῶν ἐπιτηδευ-
μάτων] ζητεῖν τὰς καινότητας, ἐν οἷς οὔτε παράδοξον
οὔτ' ἄπιστον οὔτ' ἔξω τῶν νομιζομένων οὐδὲν ἔξεστιν
εἰπεῖν, ἀλλ' ἡγεῖσθαι τοῦτον χαριέστατον, ὃς ἂν τῶν
διεσπαρμένων ἐν ταῖς τῶν ἄλλων διανοίαις ἀθροῖσαι
πλεῖστα δυνηθῇ καὶ φράσαι κάλλιστα περὶ αὐτῶν. b
42 ἐπεὶ κἀκεῖνό μοι πρόδηλον ἦν, ὅτι τὰ συμβουλεύοντα
καὶ τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων χρησιμώ-
τατα μὲν ἅπαντες νομίζουσιν, οὐ μὴν ἥδιστά γ' αὐτῶν
ἀκούουσιν, ἀλλὰ πεπόνθασιν ὅπερ πρὸς τοὺς νουθε-
τοῦντας· καὶ γὰρ ἐκείνους ἐπαινοῦσι μέν, πλησιάζειν
δὲ βούλονται τοῖς συνεξαμαρτάνουσιν ἀλλ' οὐ τοῖς
43 ἀποτρέπουσιν. σημεῖον δ' ἄν τις ποιήσαιτο τὴν Ἡσιό- c
δου καὶ Θεόγνιδος καὶ Φωκυλίδου ποίησιν· καὶ γὰρ
τούτους φασὶ μὲν ἀρίστους γεγενῆσθαι συμβούλους
τῷ βίῳ τῷ τῶν ἀνθρώπων, ταῦτα δὲ λέγοντες αἱροῦν-
ται συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον ἢ ταῖς
44 ἐκείνων ὑποθήκαις. ἔτι δ' εἴ τις ἐκλέξειε τῶν προε-
χόντων ποιητῶν τὰς καλουμένας γνώμας, ἐφ' αἷς ἐκεῖ-
νοι μάλιστ' ἐσπούδασαν, ὁμοίως ἂν καὶ πρὸς ταύτας
διατεθεῖεν· ἥδιον γὰρ ἂν κωμῳδίας τῆς φαυλοτά- d
της ἢ τῶν οὕτω τεχνικῶς πεποιημένων ἀκούσειαν.
45 (ιγ'.) Καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα διατρίβειν;
ὅλως γὰρ εἰ θέλοιμεν σκοπεῖν τὰς φύσεις τὰς τῶν ἀν-
θρώπων, εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν οὔτε τῶν σι-
τίων χαίροντας τοῖς ὑγιεινοτάτοις οὔτε τῶν ἐπιτηδευ-
μάτων τοῖς καλλίστοις οὔτε τῶν πραγμάτων τοῖς βελ-
τίστοις οὔτε τῶν θρεμμάτων τοῖς ὠφελιμωτάτοις, ἀλλὰ
παντάπασιν ἐναντίας τῷ συμφέροντι τὰς ἡδονὰς ἔχον- e
τας, καὶ δοκοῦντας καρτερικοὺς καὶ φιλοπόνους εἶναι
46 τοὺς τῶν δεόντων τι ποιοῦντας· ὥστε πῶς ἄν τις τοῖς
τοιούτοις ἢ παραινῶν ἢ διδάσκων ἢ χρήσιμόν τι λέ-

γων ἀρέσειεν; οἳ πρὸς τοῖς εἰρημένοις φθονοῦσι μὲν
τοῖς εὖ φρονοῦσιν, ἁπλοῦς δ' ἡγοῦνται τοὺς νοῦν οὐκ 24
ἔχοντας, οὕτω δὲ τὰς ἀληθείας τῶν πραγμάτων φεύ-
γουσιν, ὥστ' οὐδὲ τὰ σφέτερ' αὐτῶν ἴσασιν, ἀλλὰ
λυποῦνται μὲν περὶ τῶν ἰδίων λογιζόμενοι, χαίρουσι
δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενοι, βούλοιντο δ' ἂν
τῷ σώματι κακοπαθῆσαι μᾶλλον ἢ τῇ ψυχῇ πονῆσαι
47 καὶ σκέψασθαι περί τινος τῶν ἀναγκαίων. εὕροι δ' ἂν
τις αὐτοὺς ἐν μὲν ταῖς πρὸς ἀλλήλους συνουσίαις ἢ
λοιδοροῦντας ἢ λοιδορουμένους, ἐν δὲ ταῖς ἐρημίαις b
οὐ βουλευομένους ἀλλ' εὐχομένους. λέγω δ' οὐ καθ'
ἁπάντων ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς εἰρημένοις ὄν-
48 των. ἐκεῖνο δ' οὖν φανερὸν, ὅτι δεῖ τοὺς βουλομένους
ἢ ποιεῖν ἢ γράφειν τι κεχαρισμένον τοῖς πολλοῖς μὴ
τοὺς ὠφελιμωτάτους τῶν λόγων ζητεῖν ἀλλὰ τοὺς μυ-
θωδεστάτους· ἀκούοντες μὲν γὰρ τῶν τοιούτων χαί-
ρουσι, θεωροῦντες δὲ τοὺς ἀγῶνας καὶ τὰς ἁμίλλας. c
διὸ καὶ τὴν Ὁμήρου ποίησιν καὶ τοὺς πρώτους εὑρόν-
τας τραγῳδίαν ἄξιον θαυμάζειν, ὅτι κατιδόντες τὴν
φύσιν τὴν τῶν ἀνθρώπων ἀμφοτέραις ταῖς ἰδέαις
49 ταύταις κατεχρήσαντο πρὸς τὴν ποίησιν. ὁ μὲν γὰρ
τοὺς ἀγῶνας καὶ τοὺς πολέμους τοὺς τῶν ἡμιθέων
ἐμυθολόγησεν, οἱ δὲ τοὺς μύθους εἰς ἀγῶνας καὶ
πράξεις κατέστησαν, ὥστε μὴ μόνον ἀκουστοὺς ἡμῖν
ἀλλὰ καὶ θεατοὺς γενέσθαι. τοιούτων οὖν παρα- d
δειγμάτων ὑπαρχόντων δέδεικται τοῖς ἐπιθυμοῦσι
τοὺς ἀκροωμένους ψυχαγωγεῖν, ὅτι τοῦ μὲν νουθετεῖν
καὶ συμβουλεύειν ἀφεκτέον, τὰ δὲ τοιαῦτα λεκτέον,
οἷς ὁρῶσι τοὺς ὄχλους μάλιστα χαίροντας.
50 (ιδ'.) Ταῦτα δὲ διῆλθον ἡγούμενος σὲ δεῖν, τὸν
οὐχ ἕνα τῶν πολλῶν ἀλλὰ πολλῶν ὄντα τύραννον,
μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις, μηδὲ τὰ

σπουδαῖα τῶν πραγμάτων μηδὲ τοὺς εὖ φρονοῦντας
τῶν ἀνθρώπων ταῖς ἡδοναῖς κρίνειν, ἀλλ' ἐπὶ τῶν e
51 χρησίμων αὐτοὺς δοκιμάζειν, ἄλλως τ' ἐπειδὴ περὶ
μὲν τῶν γυμνασίων τῶν τῆς ψυχῆς ἀμφισβητοῦσιν οἱ
περὶ τὴν φιλοσοφίαν ὄντες, καί φασιν οἱ μὲν διὰ τῶν
ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν πολιτικῶν, οἱ δὲ δι' 26
ἄλλων τινῶν φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλη-
σιάζοντας, ἐκεῖνο δὲ πάντες ὁμολογοῦσιν, ὅτι δεῖ τὸν
καλῶς πεπαιδευμένον ἐξ ἑκάστου τούτων φαίνεσθαι
52 βουλεύεσθαι δυνάμενον. χρὴ τοίνυν ἀφέμενον τῶν
ἀμφισβητουμένων ἐπὶ τοῦ συνομολογουμένου λαμ-
βάνειν αὐτῶν τὸν ἔλεγχον, καὶ μάλιστα μὲν ἐπὶ τῶν
καιρῶν θεωρεῖν συμβουλεύοντας, εἰ δὲ μή, καὶ καθ'
ὅλων τῶν πραγμάτων λέγοντας. καὶ τοὺς μὲν μηδὲν b
γιγνώσκοντας τῶν δεόντων ἀποδοκίμαζε· δῆλον γὰρ
ὡς ὁ μηδὲν ὢν αὐτὸς χρήσιμος οὐδ' ἂν ἄλλον φρόνι-
53 μον ποιήσειε· τοὺς δὲ νοῦν ἔχοντας καὶ δυναμένους
ὁρᾶν πλέον τι τῶν ἄλλων περὶ πολλοῦ ποιοῦ καὶ θε-
ράπευε, γιγνώσκων, ὅτι σύμβουλος ἀγαθὸς χρησιμώ-
τατον καὶ τυραννικώτατον ἁπάντων τῶν κτημάτων
ἐστίν. ἡγοῦ δὲ τούτους μεγίστην σοι ποιεῖν τὴν βασι-
λείαν, οἵτινες ἂν τὴν διάνοιαν τὴν σὴν πλεῖστ' ὠφε- c
λῆσαι δυνηθῶσιν.

54 (ιε'.) Ἐγὼ μὲν οὖν ἅ τε γιγνώσκω παρήνεκα καὶ
τιμῶ σε τούτοις οἷς τυγχάνω δυνάμενος· βούλου δὲ
καὶ τοὺς ἄλλους, ὅπερ εἶπον ἀρχόμενος, μὴ τὰς εἰθι-
σμένας ἄγειν σοι δωρεάς, ἃς ὑμεῖς πολὺ πλείονος
ἀγοράζετε παρὰ τῶν διδόντων ἢ παρὰ τῶν πωλούν-
των, ἀλλὰ τοιαύτας, αἷς κἂν σφόδρα χρῇ καὶ μηδεμίαν
ἡμέραν διαλείπῃς οὐ κατατρίψεις, ἀλλὰ μείζους καὶ d
πλείονος ἀξίας ποιήσεις.

3.
ΝΙΚΟΚΛΗΣ Η ΚΥΠΡΙΟΙ.

(α΄.) Εἰσί τινες, οἳ δυσκόλως ἔχουσι πρὸς τοὺς 26
λόγους καὶ διαμέμφονται τοὺς φιλοσοφοῦντας καί
φασιν αὐτοὺς οὐκ ἀρετῆς ἀλλὰ πλεονεξίας ἕνεκα ποι-
εῖσθαι τὰς τοιαύτας διατριβάς. ἡδέως ἂν οὖν πυθοί-
μην τῶν οὕτω διακειμένων, διὰ τί τοὺς μὲν εὖ λέγειν
ἐπιθυμοῦντας ψέγουσι, τοὺς δ' ὀρθῶς πράττειν βου-
λομένους ἐπαινοῦσιν· εἰ γὰρ αἱ πλεονεξίαι λυποῦσιν b
αὐτούς, πλείους καὶ μείζους ἐκ τῶν ἔργων ἢ τῶν λό-
2 γων εὑρήσομεν γιγνομένας. ἔπειτα κἀκεῖν' ἄτοπον
εἰ λέληθεν αὐτούς, ὅτι τὰ περὶ τοὺς θεοὺς εὐσεβοῦ-
μεν καὶ τὴν δικαιοσύνην ἀσκοῦμεν καὶ τὰς ἄλλας ἀρε- 27
τὰς ἐπιτηδεύομεν, οὐχ ἵνα τῶν ἄλλων ἔλαττον ἔχω-
μεν, ἀλλ' ὅπως ἂν ὡς μετὰ πλείστων ἀγαθῶν τὸν βίον
διάγωμεν. ὥστ' οὐ κατηγορητέον τῶν πραγμάτων τού-
των ἐστίν, δι' ὧν ἄν τις μετ' ἀρετῆς πλεονεκτήσειεν,
ἀλλὰ τῶν ἀνθρώπων τῶν περὶ τὰς πράξεις ἐξαμαρτα-
νόντων ἢ τοῖς λόγοις ἐξαπατώντων καὶ μὴ δικαίως
3 χρωμένων αὐτοῖς. (β΄.) Θαυμάζω δὲ τῶν ταύτην τὴν b
γνώμην ἐχόντων, ὅπως οὐ καὶ τὸν πλοῦτον καὶ τὴν
ῥώμην καὶ τὴν ἀνδρίαν κακῶς λέγουσιν. εἴπερ γὰρ διὰ
τοὺς ἐξαμαρτάνοντας καὶ τοὺς ψευδομένους πρὸς τοὺς
λόγους χαλεπῶς ἔχουσι, προσήκει καὶ τοῖς ἄλλοις ἀγα-
θοῖς αὐτοὺς ἐπιτιμᾶν· φανήσονται γάρ τινες καὶ τῶν
ταῦτα κεκτημένων ἐξαμαρτάνοντες καὶ πολλοὺς διὰ
4 τούτων κακῶς ποιοῦντες. ἀλλὰ γὰρ οὐ δίκαιον, οὔτ'
εἴ τινες τοὺς ἀπαντῶντας τύπτουσι, τῆς ῥώμης κατη- c
γορεῖν, οὔτε διὰ τοὺς ἀποκτείνοντας οὓς οὐ δεῖ τὴν
ἀνδρίαν λοιδορεῖν, οὐθ' ὅλως τὴν τῶν ἀνθρώπων

πονηρίαν ἐπὶ τὰ πράγματα μεταφέρειν, ἀλλ' αὐτοὺς
ἐκείνους ψέγειν, ὅσοι τοῖς ἀγαθοῖς κακῶς χρῶνται καὶ
τοῖς ὠφελεῖν δυναμένοις τούτοις βλάπτειν τοὺς συμ-
5 πολιτευομένους ἐπιχειροῦσιν. νῦν δ' ἀμελήσαντες
τοῦτον τὸν τρόπον περὶ ἑκάστου διορίζεσθαι πρὸς
ἅπαντας τοὺς λόγους δυσκόλως διάκεινται, καὶ το-
σοῦτον διημαρτήκασιν, ὥστ' οὐκ αἰσθάνονται τοιούτῳ
πράγματι δυσμενῶς ἔχοντες, ὃ πάντων τῶν ἐνόντων d
ἐν τῇ τῶν ἀνθρώπων φύσει πλείστων ἀγαθῶν αἴτιόν
ἐστιν. (γ'.) Τοῖς μὲν γὰρ ἄλλοις οἷς ἔχομεν οὐδὲν
τῶν ζώων διαφέρομεν, ἀλλὰ πολλῶν καὶ τῷ τάχει
καὶ τῇ ῥώμῃ καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι
6 τυγχάνομεν ὄντες· ἐγγενομένου δ' ἡμῖν τοῦ πείθειν
ἀλλήλους καὶ δηλοῦν πρὸς ἡμᾶς αὐτοὺς, περὶ ὧν ἂν
βουληθῶμεν, οὐ μόνον τοῦ θηριωδῶς ζῆν ἀπηλλά-
γημεν ἀλλὰ καὶ συνελθόντες πόλεις ᾠκίσαμεν καὶ νό- e
μους ἐθέμεθα καὶ τέχνας εὕρομεν, καὶ σχεδὸν ἅπαντα
τὰ δι' ἡμῶν μεμηχανημένα λόγος ἡμῖν ἐστὶν ὁ συγκα-
7 τασκευάσας. οὗτος γὰρ περὶ τῶν δικαίων καὶ τῶν ἀδί-
κων καὶ τῶν καλῶν καὶ τῶν αἰσχρῶν ἐνομοθέτησεν·
ὧν μὴ διαταχθέντων οὐκ ἂν οἷοί τ' ἦμεν οἰκεῖν μετ' 28
ἀλλήλων. τούτῳ καὶ τοὺς κακοὺς ἐξελέγχομεν καὶ τοὺς
ἀγαθοὺς ἐγκωμιάζομεν. διὰ τούτου τούς τ' ἀνοήτους
παιδεύομεν καὶ τοὺς φρονίμους δοκιμάζομεν· τὸ γὰρ
λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποι-
ούμεθα, καὶ λόγος ἀληθὴς καὶ νόμιμος καὶ δίκαιος
8 ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστιν. μετὰ τούτου
καὶ περὶ τῶν ἀμφισβητησίμων ἀγωνιζόμεθα καὶ περὶ
τῶν ἀγνοουμένων σκοπούμεθα· ταῖς γὰρ πίστεσιν, b
αἷς τοὺς ἄλλους λέγοντες πείθομεν, ταῖς αὐταῖς ταύ-
ταις βουλευόμενοι χρώμεθα, καὶ ῥητορικοὺς μὲν κα-
λοῦμεν τοὺς ἐν τῷ πλήθει λέγειν δυναμένους, εὐβού-

λους δὲ νομίζομεν, οἵτινες ἂν αὐτοὶ πρὸς αὑτοὺς ἄρι-
9 στα περὶ τῶν πραγμάτων διαλεχθῶσιν. εἰ δὲ δεῖ συλ-
λήβδην περὶ τῆς δυνάμεως ταύτης εἰπεῖν, οὐδὲν τῶν
φρονίμως πραττομένων εὑρήσομεν ἀλόγως γιγνόμε- c
νον, ἀλλὰ καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάν-
των ἡγεμόνα λόγον ὄντα, καὶ μάλιστα χρωμένους αὐ-
τῷ τοὺς πλεῖστον νοῦν ἔχοντας· ὥστε τοὺς τολμῶντας
βλασφημεῖν περὶ τῶν παιδευόντων καὶ φιλοσοφούν-
των ὁμοίως ἄξιον μισεῖν ὥσπερ τοὺς εἰς τὰ τῶν θεῶν
ἐξαμαρτάνοντας.
10 Ἐγὼ δ' ἀποδέχομαι μὲν ἅπαντας τοὺς λόγους τοὺς
καὶ κατὰ μικρὸν ἡμᾶς ὠφελεῖν δυναμένους, οὐ μὴν d
ἀλλὰ καλλίστους ἡγοῦμαι καὶ βασιλικωτάτους καὶ μά-
λιστα πρέποντας ἐμοὶ τοὺς περὶ τῶν ἐπιτηδευμάτων
καὶ τῶν πολιτειῶν παραινοῦντας, καὶ τούτων αὐτῶν
ὅσοι διδάσκουσι τούς τε δυναστεύοντας, ὡς δεῖ τῷ
πλήθει χρῆσθαι, καὶ τοὺς ἰδιώτας, ὡς χρὴ πρὸς τοὺς
ἄρχοντας διακεῖσθαι· διὰ γὰρ τούτων ὁρῶ τὰς πόλεις
11 εὐδαιμονεστάτας καὶ μεγίστας γιγνομένας. (δ'.) Τὸν
μὲν οὖν ἕτερον, ὡς χρὴ τυραννεῖν, Ἰσοκράτους ἠκού-
σατε, τὸν δ' ἐχόμενον, ἃ δεῖ ποιεῖν τοὺς ἀρχομένους, e
ἐγὼ πειράσομαι διελθεῖν, οὐχ ὡς ἐκεῖνον ὑπερβαλού-
μενος, ἀλλ' ὡς προσῆκόν μοι περὶ τούτων μάλιστα
διαλεχθῆναι πρὸς ὑμᾶς. εἰ μὲν γὰρ ἐμοῦ μὴ δηλώσαν-
τος ἃ βούλομαι ποιεῖν ὑμᾶς διαμάρτοιτε τῆς ἐμῆς γνώ- 2
μης, οὐκ ἂν εἰκότως ὑμῖν ὀργιζοίμην· εἰ δὲ προει-
πόντος ἐμοῦ μηδὲν γίγνοιτο τούτων, δικαίως ἂν ἤδη
12 τοῖς μὴ πειθομένοις μεμφοίμην. ἡγοῦμαι δ' οὕτως ἂν
μάλιστα παρακαλέσαι καὶ προτρέψαι πρὸς τὸ μνημο-
νεύειν ὑμᾶς τὰ ῥηθέντα καὶ πειθαρχεῖν αὐτοῖς, οὐκ
εἰ περὶ τὸ συμβουλεύειν μόνον γενοίμην καὶ ταῦτ'
ἀπαριθμήσας ἀπαλλαγείην, ἀλλ' εἰ προεπιδείξαιμι

πρῶτον μὲν τὴν πολιτείαν τὴν παροῦσαν ὡς ἄξιόν b
ἐστιν ἀγαπᾶν οὐ μόνον διὰ τὴν ἀνάγκην, οὐδ' ὅτι
πάντα τὸν χρόνον μετὰ ταύτης οἰκοῦμεν, ἀλλ' ὅτι βελ-
13 τίστη τῶν πολιτειῶν ἐστιν, ἔπειθ' ὡς ἐγὼ ταύτην ἔχω
τὴν ἀρχὴν οὐ παρανόμως οὐδ' ἀλλοτρίαν ἀλλ' ὁσίως
καὶ δικαίως καὶ διὰ τοὺς ἐξ ἀρχῆς προγόνους καὶ διὰ
τὸν πατέρα καὶ δι' ἐμαυτόν. τούτων γὰρ προαποδει-
χθέντων τίς οὐκ αὐτὸς αὑτοῦ καταγνώσεται τὴν μεγί- c
στην ζημίαν, ἂν μὴ πειθαρχῇ τοῖς ὑπ' ἐμοῦ συμβου-
λευθεῖσι καὶ προσταχθεῖσιν;

14 (ε'.) Περὶ μὲν οὖν τῶν πολιτειῶν, ἐντεῦθεν γὰρ
ὑποτιθέμενος ἠρξάμην, οἶμαι πᾶσι δοκεῖν δεινότατον
μὲν εἶναι τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς καὶ
τοὺς πονηρούς, δικαιότατον δὲ τὸ διωρίσθαι περὶ
τούτων καὶ μὴ τοὺς ἀνομοίους τῶν ὁμοίων τυγχάνειν,
ἀλλὰ καὶ πράττειν καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν ἑκά- d
15 στους. αἱ μὲν τοίνυν ὀλιγαρχίαι καὶ δημοκρατίαι τὰς
ἰσότητας τοῖς μετέχουσι τῶν πολιτειῶν ζητοῦσι, καὶ
τοῦτ' εὐδοκιμεῖ παρ' αὐταῖς, ἢν μηδὲν ἕτερος ἑτέρου
δύνηται πλέον ἔχειν· ὃ τοῖς πονηροῖς συμφέρον ἐστίν·
αἱ δὲ μοναρχίαι πλεῖστον μὲν νέμουσι τῷ βελτίστῳ,
δευτέρῳ δὲ τῷ μετ' ἐκεῖνον, τρίτῳ δὲ καὶ τετάρτῳ καὶ
τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν λόγον. καὶ ταῦτ' εἰ μὴ
πανταχοῦ καθέστηκεν, ἀλλὰ τό γε βούλημα τῆς πολι- e
16 τείας τοιοῦτόν ἐστιν. καὶ μὲν δὴ διορᾶν καὶ τὰς φύσεις
τῶν ἀνθρώπων καὶ τὰς πράξεις ἅπαντες ἂν τὰς τυ-
ραννίδας μᾶλλον ὁμολογήσειαν. καίτοι τίς οὐκ ἂν δέ-
ξαιτο τῶν εὖ φρονούντων τοιαύτης πολιτείας μετ-
έχειν, ἐν ᾗ μὴ διαλήσει χρηστὸς ὤν, μᾶλλον ἢ φέρε- 30
σθαι μετὰ τοῦ πλήθους μὴ γιγνωσκόμενος, ὁποῖός τίς
ἐστιν; ἀλλὰ μὴν καὶ πραοτέραν τοσούτῳ δικαίως ἂν
αὐτὴν εἶναι κρίνοιμεν, ὅσῳπερ ῥᾷόν ἐστιν ἑνὸς ἀν-

δρὸς γνώμῃ προσέχειν τὸν νοῦν μᾶλλον ἢ πολλαῖς καὶ
17 παντοδαπαῖς διανοίαις ζητεῖν ἀρέσκειν. ὅτι μὲν οὖν
ἡδίων ἐστὶ καὶ πραοτέρα καὶ δικαιοτέρα, διὰ πλειόνων b
μὲν ἄν τις ἀποδείξειεν, οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων
συνιδεῖν ῥᾴδιόν ἐστι· περὶ δὲ τῶν λοιπῶν, ὅσον αἱ
μοναρχίαι πρὸς τὸ βουλεύεσθαι καὶ πρᾶξαί τι τῶν
δεόντων διαφέρουσιν, οὕτως ἂν κάλλιστα θεωρήσαι-
μεν, εἰ τὰς μεγίστας τῶν πράξεων παρ' ἀλλήλας τι-
θέντες ἐξετάζειν ἐπιχειρήσαιμεν [αὐτάς]. οἱ μὲν τοίνυν
κατ' ἐνιαυτὸν εἰς τὰς ἀρχὰς εἰσιόντες πρότερον ἰδιῶ-
ται γίγνονται, πρὶν αἰσθέσθαι τι τῶν τῆς πόλεως καὶ c
18 λαβεῖν ἐμπειρίαν αὐτῶν· οἱ δ' ἀεὶ τοῖς αὐτοῖς ἐπι-
στατοῦντες, ἢν καὶ τὴν φύσιν καταδεεστέραν ἔχωσιν,
ἀλλ' οὖν ταῖς γ' ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχου-
σιν. ἔπειθ' οἱ μὲν πολλῶν καταμελοῦσιν, εἰς ἀλλήλους
ἀποβλέποντες, οἱ δ' οὐδενὸς ὀλιγωροῦσιν, εἰδότες, ὅτι
πάντα δεῖ δι' αὐτῶν γίγνεσθαι. πρὸς δὲ τούτοις οἱ
μὲν ἐν ταῖς ὀλιγαρχίαις καὶ ταῖς δημοκρατίαις διὰ τὰς
πρὸς σφᾶς αὐτοὺς φιλονικίας λυμαίνονται τοῖς κοι-
νοῖς· οἱ δ' ἐν ταῖς μοναρχίαις ὄντες, οὐκ ἔχοντες ὅτῳ d
φθονήσουσι, πάντων ὡς οἷόν τ' ἐστὶ τὰ βέλτιστα πράτ-
19 τουσιν. ἔπειθ' οἱ μὲν ὑστερίζουσι τῶν πραγμάτων·
τὸν μὲν γὰρ πλεῖστον χρόνον ἐπὶ τοῖς ἰδίοις διατρί-
βουσιν, ἐπειδὰν δ' εἰς τὰ συνέδρια συνέλθωσιν, πλεο-
νάκις ἄν τις αὐτοὺς εὕροι διαφερομένους ἢ κοινῇ βου-
λευομένους· οἱ δ' οὔτε συνεδρίων οὔτε χρόνων αὐτοῖς
ἀποδεδειγμένων ἀλλὰ καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας
ἐπὶ ταῖς πράξεσιν ὄντες οὐκ ἀπολείπονται τῶν και- e
20 ρῶν, ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσιν. ἔτι δ' οἱ
μὲν δυσμενῶς ἔχουσι, καὶ βούλοιντ' ἂν καὶ τοὺς πρὸ
αὐτῶν ἄρχοντας καὶ τοὺς ἐφ' αὐτοῖς ὡς κάκιστα διοι-
κῆσαι τὴν πόλιν, ἵν' ὡς μεγίστην δόξαν αὐτοὶ λάβω-

σιν· οἱ δὲ διὰ παντὸς τοῦ βίου κύριοι τῶν πραγμά- 31
των ὄντες εἰς ἅπαντα τὸν χρόνον καὶ τὰς εὐνοίας
21 ἔχουσιν. τὸ δὲ μέγιστον· τοῖς γὰρ κοινοῖς οἱ μὲν ὡς
ἰδίοις, οἱ δ' ὡς ἀλλοτρίοις προσέχουσι τὸν νοῦν, καὶ
συμβούλοις χρῶνται περὶ αὐτῶν οἱ μὲν τῶν ἀστῶν
τοῖς τολμηροτάτοις, οἱ δ' ἐξ ἁπάντων ἐκλεξάμενοι τοῖς
φρονιμωτάτοις, καὶ τιμῶσιν οἱ μὲν τοὺς ἐν τοῖς ὄχλοις
εἰπεῖν δυναμένους, οἱ δὲ τοὺς χρῆσθαι τοῖς πράγμα-
22 σιν ἐπισταμένους. (ς΄.) Οὐ μόνον δ' ἐν τοῖς ἐγκυ- b
κλίοις καὶ τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην γιγνομένοις
αἱ μοναρχίαι διαφέρουσιν, ἀλλὰ καὶ τὰς ἐν τῷ πολέμῳ
πλεονεξίας ἁπάσας περιειλήφασιν. καὶ γὰρ παρασκευ-
άσασθαι δυνάμεις καὶ χρήσασθαι ταύταις ὥστε καὶ
λαθεῖν καὶ φθῆναι, καὶ τοὺς μὲν πεῖσαι, τοὺς δὲ βιά-
σασθαι, παρὰ δὲ τῶν ἐκπρίασθαι, τοὺς δὲ ταῖς ἄλ-
λαις θεραπείαις προσαγαγέσθαι μᾶλλον αἱ τυραννί-
δες τῶν ἄλλων πολιτειῶν οἷαί τ' εἰσίν. καὶ ταῦτ' ἐκ c
τῶν ἔργων ἄν τις οὐχ ἧττον ἢ τῶν λόγων πιστεύσειεν.
23 τοῦτο μὲν γὰρ τὴν τῶν Περσῶν δύναμιν ἅπαντες
ἴσμεν τηλικαύτην τὸ μέγεθος γεγενημένην οὐ διὰ τὴν
τῶν ἀνδρῶν φρόνησιν, ἀλλ' ὅτι μᾶλλον τῶν ἄλλων
τὴν βασιλείαν τιμῶσι· τοῦτο δὲ Διονύσιον τὸν τύραν-
νον, ὅτι παραλαβὼν τὴν μὲν ἄλλην Σικελίαν ἀνάστα-
τον γεγενημένην, τὴν δ' αὑτοῦ πατρίδα πολιορκουμέ-
νην, οὐ μόνον αὐτὴν τῶν παρόντων κινδύνων ἀπήλ- d
λαξεν, ἀλλὰ καὶ μεγίστην τῶν Ἑλληνίδων πόλεων
24 ἐποίησεν· ἔτι δὲ Καρχηδονίους καὶ Λακεδαιμονίους,
τοὺς ἄριστα τῶν ἄλλων πολιτευομένους, οἴκοι μὲν
ὀλιγαρχουμένους, παρὰ δὲ τὸν πόλεμον βασιλευομέ-
νους. ἔχοι δ' ἄν τις ἐπιδεῖξαι καὶ τὴν πόλιν τὴν μάλι-
στα τὰς τυραννίδας μισοῦσαν, ὅταν μὲν πολλοὺς ἐκ-
πέμψῃ στρατηγούς, ἀτυχοῦσαν, ὅταν δὲ δι' ἑνὸς ποιή-

25 σηται τοὺς κινδύνους, κατορθοῦσαν. καίτοι πῶς ἄν τις e
σαφέστερον ἐπιδείξειεν ἢ διὰ τοιούτων παραδειγμά-
των πλείστου τὰς μοναρχίας ἀξίας οὔσας; φαίνονται
γὰρ οἵ τε διὰ τέλους τυραννευόμενοι μεγίστας δυνά-
μεις ἔχοντες, οἵ τε καλῶς ὀλιγαρχούμενοι, περὶ ἃ μά- 32
λιστα σπουδάζουσιν, οἱ μὲν ἕνα μόνον στρατηγὸν,
οἱ δὲ βασιλέα τῶν στρατοπέδων κύριον καθιστάντες,
οἵ τε μισοῦντες τὰς τυραννίδας, ὁπόταν πολλοὺς ἄρ-
χοντας ἐκπέμψωσιν, οὐδὲν τῶν δεόντων πράττοντες.
26 εἰ δὲ δεῖ τι καὶ τῶν ἀρχαίων εἰπεῖν, λέγεται καὶ τοὺς
θεοὺς ὑπὸ Διὸς βασιλεύεσθαι. περὶ ὧν εἰ μὲν ἀληθὴς
ὁ λόγος ἐστὶ, δῆλον ὅτι κἀκεῖνοι ταύτην τὴν κατάστα-
σιν προκρίνουσιν, εἰ δὲ τὸ μὲν σαφὲς μηδεὶς οἶδεν, b
αὐτοὶ δ' εἰκάζοντες οὕτω περὶ αὐτῶν ὑπειλήφαμεν,
σημεῖον ὅτι πάντες τὴν μοναρχίαν προτιμῶμεν· οὐ
γὰρ ἄν ποτ' αὐτῇ χρῆσθαι τοὺς θεοὺς ἔφαμεν, εἰ μὴ
πολὺ τῶν ἄλλων αὐτὴν προέχειν ἐνομίζομεν.
27 Περὶ μὲν οὖν τῶν πολιτειῶν, ὅσον ἀλλήλων δια-
φέρουσιν, ἅπαντα μὲν οὔθ' εὑρεῖν οὔτ' εἰπεῖν δυνα-
τόν ἐστιν· οὐ μὴν ἀλλὰ πρός γε τὸ παρὸν ἀποχρών-
τως καὶ νῦν εἴρηται περὶ αὐτῶν. (ζ΄.) Ὡς δὲ προση- c
κόντως τὴν ἀρχὴν ἡμεῖς ἔχομεν, πολὺ τούτου συντο-
28 μώτερος καὶ μᾶλλον ὁμολογούμενος ὁ λόγος ἐστίν. τίς
γὰρ οὐκ οἶδεν, ὅτι Τεῦκρος μὲν ὁ τοῦ γένους ἡμῶν
ἀρχηγὸς, παραλαβὼν τοὺς τῶν ἄλλων πολιτῶν προ-
γόνους, πλεύσας δεῦρο καὶ τὴν πόλιν αὐτοῖς ἔκτισε
καὶ τὴν χώραν κατένειμεν, ὁ δὲ πατὴρ Εὐαγόρας ἀπο-
λεσάντων ἑτέρων τὴν ἀρχὴν πάλιν ἀνέλαβεν, ὑποστὰς
τοὺς μεγίστους κινδύνους, καὶ τοσοῦτον μετέστησεν d
ὥστε μηκέτι Φοίνικας Σαλαμινίων τυραννεῖν, ἀλλ'
ὧνπερ ἦν τὴν ἀρχὴν, τούτους καὶ νῦν ἔχειν τὴν βα-
σιλείαν;

29 (η′.) Λοιπὸν οὖν ἐστὶν ὧν προεθέμην περὶ ἐμαυ-
τοῦ διελθεῖν, ἵν' ἐπίστησθ' ὅτι τοιοῦτός ἐστιν ὑμῶν
ὁ βασιλεύων, ὃς οὐ μόνον διὰ τοὺς προγόνους ἀλλὰ
καὶ δι' ἐμαυτὸν δικαίως ἂν καὶ μείζονος τιμῆς ἢ τη-
λικαύτης ἠξιώθην. οἶμαι γὰρ ἐγὼ πάντας ἂν ὁμολο-
γῆσαι πλείστου τῶν ἀρετῶν ἀξίας εἶναι τήν τε σωφρο-
30 σύνην καὶ τὴν δικαιοσύνην. οὐ γὰρ μόνον ἡμᾶς τὸ e
καθ' αὑτὰς ὠφελοῦσιν, ἀλλ' εἰ 'θέλοιμεν σκοπεῖν καὶ
τὰς φύσεις καὶ τὰς δυνάμεις καὶ τὰς χρήσεις τῶν
πραγμάτων, εὑρήσομεν τὰς μὲν μὴ μετεχούσας τού-
των τῶν ἰδεῶν μεγάλων κακῶν αἰτίας οὔσας, τὰς δὲ
μετὰ δικαιοσύνης καὶ σωφροσύνης γιγνομένας πολλὰ 33
τὸν βίον τὸν τῶν ἀνθρώπων ὠφελούσας. εἰ δή τινες
τῶν προγεγενημένων ἐπὶ ταύταις ταῖς ἀρεταῖς εὐδοκί-
μησαν, ἡγοῦμαι κἀμοὶ προσήκειν τῆς αὐτῆς δόξης
ἐκείνοις τυγχάνειν.
31 (θ′.) Τὴν μὲν οὖν δικαιοσύνην ἐκεῖθεν ἂν μάλι-
στα κατίδοιτε. παραλαβὼν γὰρ, ὅτ' εἰς τὴν ἀρχὴν
καθιστάμην, τὰ μὲν βασίλεια χρημάτων κενὰ καὶ πάν-
τα κατηναλωμένα, τὰ δὲ πράγματα ταραχῆς μεστὰ καὶ b
πολλῆς ἐπιμελείας δεόμενα καὶ φυλακῆς καὶ δαπάνης,
εἰδὼς ἑτέρους ἐν τοῖς τοιούτοις καιροῖς ἐκ παντὸς τρό-
που τὰ σφέτερ' αὐτῶν διορθουμένους καὶ πολλὰ παρὰ
32 τὴν φύσιν τὴν αὑτῶν πράττειν ἀναγκαζομένους, ὅμως
οὐδ' ὑφ' ἑνὸς τούτων διεφθάρην, ἀλλ' οὕτως ὁσίως
καὶ καλῶς ἐπεμελήθην τῶν πραγμάτων ὥστε μηδὲν
ἐλλείπειν, ἐξ ὧν οἷόν τ' ἦν αὐξηθῆναι καὶ πρὸς εὐδαι-
μονίαν ἐπιδοῦναι τὴν πόλιν. πρός τε γὰρ τοὺς πολί- c
τας μετὰ τοιαύτης πραότητος προσηνέχθην ὥστε μήτε
φυγὰς μήτε θανάτους μήτε χρημάτων ἀποβολὰς μήτ'
ἄλλην μηδεμίαν τοιαύτην συμφορὰν ἐπὶ τῆς ἐμῆς γε-
33 γενῆσθαι βασιλείας. ἀβάτου δὲ τῆς Ἑλλάδος ἡμῖν οὔ-

σης διὰ τὸν πόλεμον τὸν γεγενημένον, καὶ πανταχοῦ
συλωμένων ἡμῶν, τὰ πλεῖστα τούτων διέλυσα, τοῖς
μὲν ἅπαντ' ἀποτίνων, τοῖς δὲ μέρη, τῶν δ' ἀναβαλέ-
σθαι δεόμενος, πρὸς δὲ τοὺς ὅπως ἠδυνάμην περὶ τῶν d
ἐγκλημάτων διαλλαττόμενος. ἔτι δὲ καὶ τῶν τὴν νῆσον
οἰκούντων δυσκόλως πρὸς ἡμᾶς διακειμένων, καὶ βα-
σιλέως τῷ μὲν λόγῳ διηλλαγμένου, τῇ δ' ἀληθείᾳ τρα-
34 χέως ἔχοντος, ἀμφότερα ταῦτα κατεπράϋνα, τῷ μὲν
προθύμως ὑπηρετῶν, πρὸς δὲ τοὺς δίκαιον ἐμαυτὸν
παρέχων. τοσούτου γὰρ δέω τῶν ἀλλοτρίων ἐπιθυ-
μεῖν, ὥσθ' ἕτεροι μέν, ἢν καὶ μικρῷ μείζω τῶν ὁμό-
ρων δύναμιν ἔχωσιν, ἀποτέμνονται τῆς γῆς καὶ πλεο- e
νεκτεῖν ζητοῦσιν, ἐγὼ δ' οὐδὲ τὴν διδομένην χώραν
ἠξίωσα λαβεῖν, ἀλλ' αἱροῦμαι μετὰ δικαιοσύνης τὴν
ἐμαυτοῦ μόνον ἔχειν μᾶλλον ἢ μετὰ κακίας πολλα-
35 πλασίαν τῆς ὑπαρχούσης κτήσασθαι. καὶ τί δεῖ καθ' 34
ἓν ἕκαστον λέγοντα διατρίβειν, ἄλλως τε καὶ συντό-
μως ἔχοντα δηλῶσαι περὶ ἐμαυτοῦ; φανήσομαι γὰρ
οὐδένα μὲν πώποτ' ἀδικήσας, πλείους δὲ καὶ τῶν πο-
λιτῶν καὶ τῶν ἄλλων Ἑλλήνων εὖ πεποιηκὼς καὶ μεί-
ζους δωρεὰς ἑκατέροις δεδωκὼς ἢ σύμπαντες οἱ πρὸ
ἐμοῦ βασιλεύσαντες. καίτοι χρὴ τοὺς μέγα φρονοῦν-
τας ἐπὶ δικαιοσύνῃ καὶ προσποιουμένους χρημάτων
εἶναι κρείττους τοιαύτας ὑπερβολὰς ἔχειν εἰπεῖν περὶ b
αὑτῶν.

36 (ι΄.) Καὶ μὲν δὴ καὶ περὶ σωφροσύνης ἔτι μείζω
τούτων ἔχω διελθεῖν. εἰδὼς γὰρ ἅπαντας ἀνθρώπους
περὶ πλείστου ποιουμένους τοὺς παῖδας τοὺς αὑτῶν
καὶ τὰς γυναῖκας, καὶ μάλιστ' ὀργιζομένους τοῖς εἰς
ταῦτ' ἐξαμαρτάνουσι, καὶ τὴν ὕβριν τὴν περὶ ταῦτα
μεγίστων κακῶν αἰτίαν γιγνομένην, καὶ πολλοὺς ἤδη
καὶ τῶν ἰδιωτῶν καὶ τῶν δυναστευσάντων διὰ ταύτην

ἀπολομένους, οὕτως ἔφυγον τὰς αἰτίας ταύτας, ὥστ' c
ἐξ οὗ τὴν βασιλείαν ἔλαβον, οὐδενὶ φανήσομαι σώματι
37 πεπλησιακὼς πλὴν τῆς ἐμαυτοῦ γυναικὸς, οὐκ ἀγνο-
ῶν, ὅτι κἀκεῖνοι παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσιν,
ὅσοι περὶ μὲν τὰ τῶν πολιτῶν δίκαιοι τυγχάνουσιν
ὄντες, ἄλλοθεν δέ ποθεν αὐτοῖς ἐπορίσαντο τὰς ἡδο-
νὰς, ἀλλὰ βουλόμενος ἅμα μὲν ἐμαυτὸν ὡς πορρω-
τάτω ποιῆσαι τῶν τοιούτων ὑποψιῶν, ἅμα δὲ παρά-
δειγμα καταστῆσαι τὸν τρόπον τὸν ἐμαυτοῦ τοῖς ἄλ- d
λοις πολίταις, γιγνώσκων, ὅτι φιλεῖ τὸ πλῆθος ἐν
τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον διάγειν, ἐν οἷς ἂν
38 τοὺς ἄρχοντας τοὺς αὑτῶν ὁρῶσι διατρίβοντας. ἔπειτα
καὶ προσήκειν ἡγησάμην τοσούτῳ τοὺς βασιλέας βελ-
τίους εἶναι τῶν ἰδιωτῶν, ὅσῳ περ καὶ τὰς τιμὰς μεί-
ζους αὐτῶν ἔχουσι, καὶ δεινὰ ποιεῖν, ὅσοι τοὺς μὲν
ἄλλους κοσμίως ζῆν ἀναγκάζουσιν, αὐτοὶ δ' αὐτοὺς
39 μὴ σωφρονεστέρους τῶν ἀρχομένων παρέχουσιν. πρὸς e
δὲ τούτοις τῶν μὲν ἄλλων πράξεων ἑώρων ἐγκρατεῖς
τοὺς πολλοὺς γιγνομένους, τῶν δ' ἐπιθυμιῶν τῶν
περὶ τοὺς παῖδας καὶ τὰς γυναῖκας καὶ τοὺς βελτίστους
ἡττωμένους· ἠβουλήθην οὖν ἐν τούτοις ἐμαυτὸν ἐπι-
δεῖξαι καρτερεῖν δυνάμενον, ἐν οἷς ἤμελλον οὐ μόνον
τῶν ἄλλων διοίσειν, ἀλλὰ καὶ τῶν ἐπ' ἀρετῇ μέγα 35
40 φρονούντων. ἔτι δὲ καὶ τῶν τοιούτων πολλὴν κακίαν
κατεγίγνωσκον, ὅσοι γυναῖκας λαβόντες καὶ κοινω-
νίαν ποιησάμενοι παντὸς τοῦ βίου μὴ στέργουσιν οἷς
ἔπραξαν, ἀλλὰ ταῖς αὑτῶν ἡδοναῖς λυποῦσι ταύτας,
ὑφ' ὧν αὐτοὶ μηδὲν ἀξιοῦσι λυπεῖσθαι, καὶ περὶ μὲν
ἄλλας τινὰς κοινωνίας ἐπιεικεῖς σφᾶς αὐτοὺς παρέχου-
σιν, ἐν δὲ ταῖς πρὸς τὰς γυναῖκας ἐξαμαρτάνουσιν·
ἃς ἔδει τοσούτῳ μᾶλλον διαφυλάττειν, ὅσῳ περ οἰκειό-
41 τεραι καὶ μείζους οὖσαι τῶν ἄλλων τυγχάνουσιν. εἶτα b

λανθάνουσιν ἔνδον ἐν τοῖς βασιλείοις στάσεις καὶ δια-
φορὰς αὐτοῖς ἐγκαταλείποντες. καίτοι χρὴ τοὺς ὀρθῶς
βασιλεύοντας μὴ μόνον τὰς πόλεις ἐν ὁμονοίᾳ πειρᾶ-
σθαι διάγειν, ὧν ἂν ἄρχωσιν, ἀλλὰ καὶ τοὺς οἴκους
τοὺς ἰδίους καὶ τοὺς τόπους, ἐν οἷς ἂν κατοικῶσιν·
ἅπαντα γὰρ ταῦτα σωφροσύνης ἔργα καὶ δικαιοσύνης
42 ἐστίν. οὐ τὴν αὐτὴν δὲ γνώμην ἔσχον οὐδὲ περὶ τῆς
παιδοποιίας τοῖς πλείστοις τῶν βασιλέων, οὐδ' ᾠήθην c
δεῖν τοὺς μὲν ἐκ ταπεινοτέρας ποιήσασθαι τῶν παί-
δων, τοὺς δ' ἐκ σεμνοτέρας, οὐδὲ τοὺς μὲν νόθους
αὑτῶν, τοὺς δὲ γνησίους καταλιπεῖν, ἀλλὰ πάντας
ἔχειν τὴν αὐτὴν φύσιν καὶ πρὸς πατρὸς καὶ πρὸς μη-
τρὸς ἀνενεγκεῖν τῶν μὲν θνητῶν εἰς Εὐαγόραν τὸν
πατέρα, τῶν δ' ἡμιθέων εἰς Αἰακίδας, τῶν δὲ θεῶν
εἰς Δία, καὶ μηδένα τῶν ἐξ ἐμοῦ γενομένων ἀποστερη-
θῆναι ταύτης τῆς εὐγενείας. d

43 (ια'.) Πολλῶν δέ με προτρεπόντων ἐμμένειν τοῖς
ἐπιτηδεύμασι τούτοις, οὐχ ἥκιστα κἀκεῖνο παρεκάλε-
σεν, ὅτι τῆς μὲν ἀνδρίας καὶ τῆς δεινότητος καὶ τῶν
ἄλλων τῶν εὐδοκιμούντων ἑώρων καὶ τῶν κακῶν ἀν-
δρῶν πολλοὺς μετέχοντας, τὴν δὲ δικαιοσύνην καὶ
τὴν σωφροσύνην ἴδια κτήματα τῶν καλῶν κἀγαθῶν
ὄντα. κάλλιστον οὖν ὑπέλαβον, εἴ τις δύναιτο ταύ-
ταις ταῖς ἀρεταῖς προέχειν τῶν ἄλλων, ὧν οὐδὲν μέ- e
ρος τοῖς πονηροῖς μέτεστιν, ἀλλὰ γνησιώταται καὶ
βεβαιόταται καὶ μεγίστων ἐπαίνων ἄξιαι τυγχάνουσιν
44 οὖσαι. τούτων ἕνεκα καὶ ταῦτα διανοηθεὶς περιττο-
τέρως τῶν ἄλλων ἤσκησα τὴν σωφροσύνην καὶ προει-
λόμην τῶν ἡδονῶν οὐ τὰς ἐπὶ τοῖς ἔργοις τοῖς μηδε-
μίαν τιμὴν ἔχουσιν, ἀλλὰ τὰς ἐπὶ ταῖς δόξαις ταῖς δι'
ἀνδραγαθίαν γιγνομέναις. χρὴ δὲ δοκιμάζειν τὰς ἀρε-
τὰς οὐκ ἐν ταῖς αὐταῖς ἰδέαις ἁπάσας, ἀλλὰ τὴν μὲν

δικαιοσύνην ἐν ταῖς ἀπορίαις, τὴν δὲ σωφροσύνην ἐν
ταῖς δυναστείαις, τὴν δ' ἐγκράτειαν ἐν ταῖς τῶν νεω-
45 τέρων ἡλικίαις. ἐγὼ τοίνυν ἐν πᾶσι τοῖς καιροῖς φα-
νήσομαι πεῖραν τῆς ἐμαυτοῦ φύσεως δεδωκώς. ἐνδεὴς
μέν γε χρημάτων καταλειφθεὶς οὕτω δίκαιον ἐμαυ- b
τὸν παρέσχον ὥστε μηδένα λυπῆσαι τῶν πολιτῶν· λα-
βὼν δ' ἐξουσίαν ὥστε ποιεῖν ὅ τι ἂν βούλωμαι, σω-
φρονέστερος τῶν ἰδιωτῶν ἐγενόμην· τούτων δ' ἀμ-
φοτέρων ἐκράτησα ταύτην ἔχων τὴν ἡλικίαν, ἐν ᾗ
τοὺς πλείστους ἂν εὕροιμεν μάλιστα περὶ τὰς πράξεις
46 ἐξαμαρτάνοντας. καὶ ταῦτ' ἐν ἑτέροις μὲν ἴσως ἂν
ὤκνουν εἰπεῖν, οὐχ ὡς οὐ φιλοτιμούμενος ἐπὶ τοῖς c
πεπραγμένοις, ἀλλ' ὡς οὐκ ἂν πιστευθεὶς ἐκ τῶν λε-
γομένων· ὑμεῖς δ' αὐτοί μοι μάρτυρές ἐστε πάντων
τῶν εἰρημένων. ἄξιον μὲν οὖν καὶ τοὺς φύσει κοσμί-
ους ὄντας ἐπαινεῖν καὶ θαυμάζειν, ἔτι δὲ μᾶλλον τοὺς
47 καὶ μετὰ λογισμοῦ τοιούτους ὄντας· οἱ μὲν γὰρ τύχῃ
καὶ μὴ γνώμῃ σωφρονοῦντες τυχὸν ἂν καὶ μεταπει-
σθεῖεν· οἱ δὲ πρὸς τῷ πεφυκέναι καὶ διεγνωκότες,
ὅτι μέγιστόν ἐστι τῶν ἀγαθῶν ἀρετή, δῆλον ὅτι πάν-
τα τὸν βίον ἐν ταύτῃ τῇ τάξει διαμενοῦσιν. διὰ τοῦτο d
δὲ πλείους ἐποιησάμην τοὺς λόγους καὶ περὶ ἐμαυτοῦ
καὶ περὶ τῶν ἄλλων τῶν προειρημένων, ἵνα μηδε-
μίαν ὑπολίπω πρόφασιν, ὡς οὐ δεῖ ποιεῖν ὑμᾶς ἑκόν-
τας καὶ προθύμως, ἅττ' ἂν ἐγὼ συμβουλεύσω καὶ
προστάξω.

48 (ιβ'.) Φημὶ δὲ χρῆναι πράττειν ἕκαστον ὑμῶν ἐφ'
οἷς ἐφέστηκεν ἐπιμελῶς καὶ δικαίως· καθ' ὁπότερον
γὰρ ἂν ἐλλίπητε τούτων, ἀνάγκη κακῶς σχεῖν ταύτῃ e
τὰς πράξεις. μηδενὸς ὀλιγωρεῖτε μηδὲ καταφρο-
νεῖτε τῶν προστεταγμένων, ὑπολαμβάνοντες, ὡς οὐ
παρὰ τοῦτ' ἐστίν, ἀλλ' ὡς παρ' ἕκαστον τῶν μερῶν ἢ

καλῶς ἢ κακῶς τὸ σύμπαν ἕξον, οὕτω σπουδάζετε περὶ
49 αὐτῶν. κήδεσθε μηδὲν ἧττον τῶν ἐμῶν ἢ τῶν ὑμετέ- 37
ρων αὐτῶν, καὶ μὴ νομίζετε μικρὸν ἀγαθὸν εἶναι τὰς
τιμάς, ἃς ἔχουσιν οἱ καλῶς τῶν ἡμετέρων ἐπιστατοῦν-
τες. ἀπέχεσθε τῶν ἀλλοτρίων, ἵν' ἀσφαλέστερον τοὺς
οἴκους τοὺς ὑμετέρους αὐτῶν κεκτῆσθε. τοιούτους εἶ-
ναι χρὴ περὶ τοὺς ἄλλους, οἷόν περ ἐμὲ περὶ ὑμᾶς
50 ἀξιοῦτε γίγνεσθαι. μὴ σπεύδετε πλουτεῖν μᾶλλον ἢ
χρηστοὶ δοκεῖν εἶναι, γιγνώσκοντες, ὅτι καὶ τῶν Ἑλ-
λήνων καὶ τῶν βαρβάρων οἱ μεγίστας ἐπ' ἀρετῇ δόξας b
ἔχοντες πλείστων ἀγαθῶν δεσπόται καθίστανται. τοὺς
χρηματισμοὺς τοὺς παρὰ τὸ δίκαιον γιγνομένους ἡγεῖ-
σθε μὴ πλοῦτον ἀλλὰ κίνδυνον ποιήσειν. μὴ τὸ μὲν
λαβεῖν κέρδος εἶναι νομίζετε, τὸ δ' ἀναλῶσαι ζημίαν·
οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν,
ἀλλ' ὁπότερον ἂν ἐν καιρῷ καὶ μετ' ἀρετῆς γίγνηται,
51 τοῦτ' ὠφελεῖ τοὺς ποιοῦντας. μηδὲ πρὸς ἓν χαλεπῶς c
ἔχετε τῶν ὑπ' ἐμοῦ προσταττομένων· ὅσοι γὰρ ἂν
ὑμῶν περὶ πλεῖστα τῶν ἐμῶν χρησίμους αὑτοὺς πα-
ράσχωσιν, οὗτοι πλεῖστα τοὺς οἴκους τοὺς αὑτῶν
ὠφελήσουσιν. ὅ τι ἂν ὑμῶν ἕκαστος αὐτὸς αὑτῷ
τύχῃ συνειδώς, ἡγείσθω μηδ' ἐμὲ λήσειν, ἀλλ' ἐὰν καὶ
τὸ σῶμα μὴ παρῇ, τὴν διάνοιαν τὴν ἐμὴν οἰέσθω τοῖς
γιγνομένοις παρεστάναι· ταύτην γὰρ τὴν γνώμην d
ἔχοντες σωφρονέστερον βουλεύσεσθε περὶ ἁπάντων.
52 μηδὲν ἀποκρύπτεσθε μήθ' ὧν κέκτησθε μήθ' ὧν ποι-
εῖτε μήθ' ὧν μέλλετε πράττειν, εἰδότες, ὅτι περὶ τὰ
κεκρυμμένα τῶν πραγμάτων ἀναγκαῖόν ἐστι πολλοὺς
φόβους γίγνεσθαι. μὴ τεχνικῶς ζητεῖτε πολιτεύεσθαι
μηδ' ἀφανῶς ἀλλ' οὕτως ἁπλῶς καὶ φανερῶς, ὥστε
μηδ' ἄν τις βούληται ῥᾴδιον ὑμᾶς εἶναι διαβαλεῖν.
δοκιμάζετε τὰς πράξεις, καὶ νομίζετε πονηρὰς μέν, e

ἃς πράττοντες λανθάνειν ἐμὲ βούλεσθε, χρηστὰς δὲ,
περὶ ὧν ἐγὼ μέλλω πυθόμενος βελτίους ὑμᾶς νομιεῖν.
53 μὴ κατασιωπᾶτ' ἄν τινας ὁρᾶτε περὶ τὴν ἀρχὴν τὴν
ἐμὴν πονηροὺς ὄντας, ἀλλ' ἐξελέγχετε, καὶ νομίζετε
τῆς αὐτῆς ζημίας ἀξίους εἶναι τοὺς συγκρύπτοντας
τοῖς ἁμαρτάνουσιν. εὐτυχεῖν νομίζετε μὴ τοὺς λανθά- 38
νοντας, ἄν τι κακὸν ποιήσωσιν, ἀλλὰ τοὺς μηδὲν ἐξα-
μαρτάνοντας· τοὺς μὲν γὰρ εἰκὸς τοιαῦτα παθεῖν,
οἷά περ αὐτοὶ ποιοῦσι, τοὺς δὲ χάριν ἀπολαβεῖν, ἧς
54 ἄξιοι τυγχάνουσιν ὄντες. ἑταιρείας μὴ ποιεῖσθε μηδὲ
συνόδους ἄνευ τῆς ἐμῆς γνώμης· αἱ γὰρ τοιαῦται συ-
στάσεις ἐν μὲν ταῖς ἄλλαις πολιτείαις πλεονεκτοῦσιν,
ἐν δὲ ταῖς μοναρχίαις κινδυνεύουσιν. μὴ μόνον ἀπ-
έχεσθε τῶν ἁμαρτημάτων ἀλλὰ καὶ τῶν ἐπιτηδευμά- b
των τῶν τοιούτων, ἐν οἷς ἀναγκαῖόν ἐστιν ὑποψίαν
ἐγγίγνεσθαι. (ιγ΄.) Τὴν ἐμὴν φιλίαν ἀσφαλεστάτην
55 καὶ βεβαιοτάτην εἶναι νομίζετε. διαφυλάττετε τὴν
παροῦσαν κατάστασιν, καὶ μηδεμιᾶς ἐπιθυμεῖτε μετα-
βολῆς, εἰδότες, ὅτι διὰ τὰς ταραχὰς ἀναγκαῖόν ἐστι
καὶ τὰς πόλεις ἀπόλλυσθαι καὶ τοὺς οἴκους τοὺς ἰδίους
ἀναστάτους γίγνεσθαι. μὴ μόνον τὰς φύσεις αἰτίας
νομίζετε τοῦ χαλεποὺς ἢ πράους εἶναι τοὺς τυράννους, c
ἀλλὰ καὶ τὸν τρόπον τὸν τῶν πολιτῶν· πολλοὶ γὰρ
ἤδη διὰ τὴν τῶν ἀρχομένων κακίαν τραχύτερον ἢ κατὰ
τὴν αὑτῶν γνώμην ἄρχειν ἠναγκάσθησαν. θαρρεῖτε
μὴ μᾶλλον διὰ τὴν πραότητα τὴν ἐμὴν ἢ διὰ τὴν ὑμε-
56 τέραν αὐτῶν ἀρετήν. τὴν ἐμὴν ἀσφάλειαν ἄδειαν ὑμῖν
αὐτοῖς εἶναι νομίζετε· καλῶς γὰρ τῶν περὶ ἐμὲ καθε-
στώτων τὸν αὐτὸν τρόπον καὶ τὰ περὶ ὑμᾶς ἕξει. τα- d
πεινοὺς μὲν εἶναι χρὴ πρὸς τὴν ἀρχὴν τὴν ἐμὴν, ἐμ-
μένοντας τοῖς ἤθεσι καὶ διαφυλάττοντας τοὺς νόμους
τοὺς βασιλικοὺς, λαμπροὺς δ' ἔν τε ταῖς ὑπὲρ τῆς πόλεως

λειτουργίαις καὶ τοῖς ἄλλοις τοῖς ὑπ' ἐμοῦ προσταττο-
57 μένοις. προτρέπετε τοὺς νεωτέρους ἐπ' ἀρετὴν μὴ μό-
νον παραινοῦντες ἀλλὰ καὶ περὶ τὰς πράξεις ὑποδει-
κνύοντες αὐτοῖς, οἵους εἶναι χρὴ τοὺς ἄνδρας τοὺς
ἀγαθούς. διδάσκετε τοὺς παῖδας τοὺς ὑμετέρους αὐ- e
τῶν βασιλεύεσθαι, καὶ περὶ τὴν παίδευσιν τὴν εἰρημέ-
νην ἐθίζετ' αὐτοὺς ὡς μάλιστα διατρίβειν· ἢν γὰρ κα-
λῶς ἄρχεσθαι μάθωσι, πολλῶν ἄρχειν δυνήσονται,
καὶ πιστοὶ μὲν ὄντες καὶ δίκαιοι μεθέξουσι τῶν ἡμε-
τέρων ἀγαθῶν, κακοὶ δὲ γενόμενοι κινδυνεύσουσι
58 περὶ τῶν ὑπαρχόντων. μέγιστον ἡγεῖσθε καὶ βεβαιό- 39
τατον τοῖς παισὶ πλοῦτον παραδώσειν, ἢν αὐτοῖς
δύνησθε τὴν ἡμετέραν εὔνοιαν καταλείπειν. ἀθλιωτά-
τους ἡγεῖσθε καὶ δυστυχεστάτους, ὅσοι περὶ τοὺς πι-
στεύσαντας ἄπιστοι γεγόνασιν· ἀνάγκη γὰρ τοὺς τοιού-
τους ἀθύμως ἔχοντας καὶ φοβουμένους ἅπαντα καὶ
μηδὲν μᾶλλον πιστεύοντας τοῖς φίλοις ἢ τοῖς ἐχθροῖς
59 τὸν ἐπίλοιπον χρόνον διάγειν. ζηλοῦτε μὴ τοὺς πλεῖ-
στα κεκτημένους ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐ- b
τοῖς συνειδότας· μετὰ γὰρ τοιαύτης ψυχῆς ἥδιστ' ἂν
τις δύναιτο τὸν βίον διαγαγεῖν. μὴ τὴν κακίαν οἴεσθε
δύνασθαι μὲν πλείω τῆς ἀρετῆς ὠφελεῖν, τὸ δ' ὄνομα
δυσχερέστερον ἔχειν, ἀλλ' οἵων περ ὀνομάτων ἕκα-
στον τῶν πραγμάτων τετύχηκε, τοιαύτας ἡγεῖσθε καὶ
60 τὰς δυνάμεις αὐτῶν εἶναι. μὴ φθονεῖτε τοῖς παρ' ἐμοὶ
πρωτεύουσιν ἀλλ' ἁμιλλᾶσθε, καὶ πειρᾶσθε χρηστοὺς
ὑμᾶς αὐτοὺς παρέχοντες ἐξισοῦσθαι τοῖς προέχουσιν. c
φιλεῖν οἴεσθε δεῖν καὶ τιμᾶν οὕσπερ ἂν [καὶ] ὁ βασι-
λεύς, ἵνα καὶ παρ' ἐμοῦ τυγχάνητε τῶν αὐτῶν τούτων.
οἷά περ περὶ παρόντος μου λέγετε, τοιαῦτα καὶ περὶ
61 ἀπόντος φρονεῖτε. τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς ἐν τοῖς
ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ τοῖς λόγοις. ἃ πάσχον-

τες ὑφ' ἑτέρων ὀργίζεσθε, ταῦτα τοὺς ἄλλους μὴ ποιεῖτε. περὶ ὧν ἂν ἐν τοῖς λόγοις κατηγορῆτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ἐπιτηδεύετε. τοιαῦτα προσδο- d
κᾶτε πράξειν, οἷ' ἂν περὶ ἡμῶν διανοῆσθε. μὴ μόνον
62 *ἐπαινεῖτε τοὺς ἀγαθοὺς ἀλλὰ καὶ μιμεῖσθε. τοὺς λόγους τοὺς ἐμοὺς νόμους εἶναι νομίζοντες πειρᾶσθε τούτοις ἐμμένειν, εἰδότες, ὅτι τοῖς μάλιστα ποιοῦσιν ὑμῶν ἁγὼ βούλομαι, τάχιστα τούτοις ἐξέσται ζῆν, ὡς αὐτοὶ βούλονται. (ιδ'.) Κεφάλαιον τῶν εἰρημένων· οἵους περ τοὺς ὑφ' ὑμῶν ἀρχομένους οἴεσθε δεῖν περὶ ὑμᾶς εἶναι, τοιούτους χρὴ καὶ περὶ τὴν ἀρχὴν* e
τὴν ἐμὴν ὑμᾶς γίγνεσθαι.

63 *Καὶ ταῦτ' ἂν ποιῆτε, τί δεῖ περὶ τῶν συμβησομένων μακρολογεῖν; ἢν γὰρ ἐγώ τε παρέχω τοιοῦτον ἐμαυτὸν, οἷόν περ ἐν τῷ παρελθόντι χρόνῳ, καὶ τὰ παρ' ὑμῶν ὑπηρετῆται, ταχέως ὄψεσθε καὶ τὸν βίον* 40
τὸν ὑμέτερον αὐτῶν ἐπιδεδωκότα καὶ τὴν ἀρχὴν τὴν ἐμὴν ηὐξημένην καὶ τὴν πόλιν εὐδαίμονα γεγενημέ-
64 *νην. ἄξιον μὲν οὖν τηλικούτων ἀγαθῶν ἕνεκα καὶ μηδὲν ἐλλείπειν, ἀλλὰ καὶ πόνους καὶ κινδύνους οὑστινασοῦν ὑπενεγκεῖν· ὑμῖν δ' ἔξεστι μηδὲν ταλαιπωρηθεῖσιν ἀλλὰ πιστοῖς μόνον καὶ δικαίοις οὖσιν ἅπαντα ταῦτα διαπράξασθαι.*

4.

ΠΑΝΗΓΥΡΙΚΟΣ

(α'.) Πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις 41
συναγαγόντων καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων, ὅτι τὰς μὲν τῶν σωμάτων εὐτυχίας οὕτω με-

γάλων δωρεῶν ἠξίωσαν, τοῖς δ᾽ ὑπὲρ τῶν κοινῶν ἰδίᾳ
πονήσασι καὶ τὰς αὑτῶν ψυχὰς οὕτω παρασκευάσασιν
ὥστε καὶ τοὺς ἄλλους ὠφελεῖν δύνασθαι, τούτοις δ᾽
2 οὐδεμίαν τιμὴν ἀπένειμαν, ὧν εἰκὸς ἦν αὐτοὺς μᾶλ- b
λον ποιήσασθαι πρόνοιαν· τῶν μὲν γὰρ ἀθλητῶν δὶς
τοσαύτην ῥώμην λαβόντων οὐδὲν ἂν πλέον γένοιτο
τοῖς ἄλλοις, ἑνὸς δ᾽ ἀνδρὸς εὖ φρονήσαντος ἅπαντες
ἂν ἀπολαύσειαν οἱ βουλόμενοι κοινωνεῖν τῆς ἐκείνου
3 διανοίας. οὐ μὴν ἐπὶ τούτοις ἀθυμήσας εἱλόμην ῥᾳ-
θυμεῖν, ἀλλ᾽ ἱκανὸν νομίσας ἆθλον ἔσεσθαί μοι τὴν
δόξαν τὴν ἀπ᾽ αὐτοῦ τοῦ λόγου γενησομένην ἥκω συμ-
βουλεύσων περί τε τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρ-
βάρους καὶ τῆς ὁμονοίας τῆς πρὸς ἡμᾶς αὐτοὺς, οὐκ c
ἀγνοῶν, ὅτι πολλοὶ τῶν προσποιησαμένων εἶναι σο-
4 φιστῶν ἐπὶ τοῦτον τὸν λόγον ὥρμησαν, ἀλλ᾽ ἅμα μὲν 42
ἐλπίζων τοσοῦτον διοίσειν ὥστε τοῖς ἄλλοις μηδὲν πώ-
ποτε δοκεῖν εἰρῆσθαι περὶ αὐτῶν, ἅμα δὲ προκρίνας
τούτους καλλίστους εἶναι τῶν λόγων, οἵτινες περὶ με-
γίστων τυγχάνουσιν ὄντες καὶ τούς τε λέγοντας μάλιστ᾽
ἐπιδεικνύουσι καὶ τοὺς ἀκούοντας πλεῖστ᾽ ὠφελοῦσιν,
5 ὧν εἷς οὗτός ἐστιν. ἔπειτ᾽ οὐδ᾽ οἱ καιροί πω παρελη-
λύθασιν ὥστ᾽ ἤδη μάτην εἶναι τὸ μεμνῆσθαι περὶ
τούτων. τότε γὰρ χρὴ παύεσθαι λέγοντας, ὅταν ἢ τὰ b
πράγματα λάβῃ τέλος καὶ μηκέτι δέῃ βουλεύεσθαι περὶ
αὐτῶν, ἢ τὸν λόγον ἴδῃ τις ἔχοντα πέρας ὥστε μηδε-
6 μίαν λελεῖφθαι τοῖς ἄλλοις ὑπερβολήν. ἕως δ᾽ ἂν τὰ
μεν ὁμοίως ὥσπερ πρότερον φέρηται, τὰ δ᾽ εἰρημένα
φαύλως ἔχοντα τυγχάνῃ, πῶς οὐ χρὴ σκοπεῖν καὶ φι-
λοσοφεῖν τοῦτον τὸν λόγον, ὃς ἢν κατορθωθῇ, καὶ
τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους καὶ τῆς ταραχῆς τῆς
παρούσης καὶ τῶν μεγίστων κακῶν ἡμᾶς ἀπαλλάξει; c
7 πρὸς δὲ τούτοις εἰ μὲν μηδαμῶς ἄλλως οἷόν τ᾽ ἦν δη-

λοῦν τὰς αὐτὰς πράξεις ἀλλ' ἢ διὰ μιᾶς ἰδέας, εἶχεν
ἄν τις ὑπολαβεῖν, ὡς περίεργόν ἐστι τὸν αὐτὸν τρό-
πον ἐκείνοις λέγοντα πάλιν ἐνοχλεῖν τοῖς ἀκούουσιν·
8 ἐπειδὴ δ' οἱ λόγοι τοιαύτην ἔχουσι τὴν φύσιν ὥσθ'
οἷόν τ' εἶναι περὶ τῶν αὐτῶν πολλαχῶς ἐξηγήσασθαι,
καὶ τά τε μεγάλα ταπεινὰ ποιῆσαι καὶ τοῖς μικροῖς μέ-
γεθος περιθεῖναι, καὶ τά τε παλαιὰ καινῶς διελθεῖν d
καὶ περὶ τῶν νεωστὶ γεγενημένων ἀρχαίως εἰπεῖν, οὐκ-
έτι φευκτέον ταῦτ' ἐστί, περὶ ὧν ἕτεροι πρότερον εἰ-
9 ρήκασιν, ἀλλ' ἄμεινον ἐκείνων εἰπεῖν πειρατέον. αἱ
μὲν γὰρ πράξεις αἱ προγεγενημέναι κοιναὶ πᾶσιν ἡμῖν
κατελείφθησαν, τὸ δ' ἐν καιρῷ ταύταις καταχρήσα-
σθαι καὶ τὰ προσήκοντα περὶ ἑκάστης ἐνθυμηθῆναι
καὶ τοῖς ὀνόμασιν εὖ διαθέσθαι τῶν εὖ φρονούντων
10 ἴδιόν ἐστιν. ἡγοῦμαι δ' οὕτως ἂν μεγίστην ἐπίδοσιν
λαμβάνειν καὶ τὰς ἄλλας τέχνας καὶ τὴν περὶ τοὺς λό- e
γους φιλοσοφίαν, εἴ τις θαυμάζοι καὶ τιμῴη μὴ τοὺς
πρώτους τῶν ἔργων ἀρχομένους ἀλλὰ τοὺς ἄρισθ'
ἕκαστον αὐτῶν ἐξεργαζομένους, μηδὲ τοὺς περὶ τού-
των ζητοῦντας λέγειν, περὶ ὧν μηδεὶς πρότερον εἴρη- 43
κεν, ἀλλὰ τοὺς οὕτως ἐπισταμένους εἰπεῖν, ὡς οὐδεὶς
ἂν ἄλλος δύναιτο.

11 (β'.) Καίτοι τινὲς ἐπιτιμῶσι τῶν λόγων τοῖς ὑπὲρ
τοὺς ἰδιώτας ἔχουσι καὶ λίαν ἀπηκριβωμένοις, καὶ το-
σοῦτον διημαρτήκασιν, ὥστε τοὺς εἰς ὑπερβολὴν
πεποιημένους πρὸς τοὺς ἀγῶνας τοὺς περὶ τῶν ἰδίων
συμβολαίων σκοποῦσιν, ὥσπερ ὁμοίως δέον ἀμφοτέ-
ρους ἔχειν, ἀλλ' οὐ τοὺς μὲν ἀφελῶς, τοὺς δ' ἐπι-
δεικτικῶς, ἢ σφᾶς μὲν διορῶντας τὰς μετριότητας, b
τὸν δ' ἀκριβῶς ἐπιστάμενον λέγειν ἁπλῶς οὐκ ἂν δυ-
12 νάμενον εἰπεῖν. οὗτοι μὲν οὖν οὐ λελήθασιν, ὅτι τού-
τους ἐπαινοῦσιν, ὧν ἐγγὺς αὐτοὶ τυγχάνουσιν ὄντες·

ἐμοὶ δ' οὐδὲν πρὸς τοὺς τοιούτους ἀλλὰ πρὸς ἐκείνους
ἐστὶ τοὺς οὐδὲν ἀποδεξομένους τῶν εἰκῇ λεγομένων
ἀλλὰ δυσχερανοῦντας καὶ ζητήσοντας ἰδεῖν τι τοιοῦ-
τον ἐν τοῖς ἐμοῖς, οἷον παρὰ τοῖς ἄλλοις οὐχ εὑρήσου-
σιν. πρὸς οὓς ἔτι μικρὸν ὑπὲρ ἐμαυτοῦ θρασυνάμενος c
13 ἤδη περὶ τοῦ πράγματος ποιήσομαι τοὺς λόγους. τοὺς
μὲν γὰρ ἄλλους ἐν τοῖς προοιμίοις ὁρῶ καταπραΰνον-
τας τοὺς ἀκροατὰς καὶ προφασιζομένους ὑπὲρ τῶν
μελλόντων ῥηθήσεσθαι, καὶ λέγοντας τοὺς μὲν ὡς ἐξ
ὑπογυίου γέγονεν αὐτοῖς ἡ παρασκευή, τοὺς δ' ὡς χα-
λεπόν ἐστιν ἴσους τοὺς λόγους τῷ μεγέθει τῶν ἔργων
14 ἐξευρεῖν. ἐγὼ δ' ἢν μὴ καὶ τοῦ πράγματος ἀξίως εἴπω
καὶ τῆς δόξης τῆς ἐμαυτοῦ καὶ τοῦ χρόνου, μὴ μόνον d
τοῦ περὶ τὸν λόγον ἡμῖν διατριφθέντος ἀλλὰ καὶ σύμ-
παντος οὗ βεβίωκα, παρακελεύομαι μηδεμίαν συγ-
γνώμην ἔχειν, ἀλλὰ καταγελᾶν καὶ καταφρονεῖν· οὐ-
δὲν γὰρ ὅ τι τῶν τοιούτων οὐκ ἄξιός εἰμι πάσχειν,
εἴπερ μηδὲν διαφέρων οὕτω μεγάλας ποιοῦμαι τὰς
ὑποσχέσεις.

Περὶ μὲν οὖν τῶν ἰδίων ταῦτά μοι προειρήσθω.
15 περὶ δὲ τῶν κοινῶν, ὅσοι μὲν εὐθὺς ἐπελθόντες διδά- e
σκουσιν, ὡς χρὴ διαλυσαμένους τὰς πρὸς ἡμᾶς αὐτοὺς
ἔχθρας ἐπὶ τὸν βάρβαρον τραπέσθαι, καὶ διεξέρχον-
ται τάς τε συμφορὰς τὰς ἐκ τοῦ πολέμου τοῦ πρὸς
ἀλλήλους ἡμῖν γεγενημένας καὶ τὰς ὠφελείας τὰς ἐκ
τῆς στρατείας τῆς ἐπ' ἐκεῖνον ἐσομένας, ἀληθῆ μὲν
λέγουσιν, οὐ μὴν ἐντεῦθεν ποιοῦνται τὴν ἀρχήν, 44
16 ὅθεν ἂν μάλιστα συστῆσαι ταῦτα δυνηθεῖεν. τῶν γὰρ
Ἑλλήνων οἱ μὲν ὑφ' ἡμῖν, οἱ δ' ὑπὸ Λακεδαιμονίοις
εἰσίν· αἱ γὰρ πολιτεῖαι, δι' ὧν οἰκοῦσι τὰς πόλεις,
οὕτω τοὺς πλείστους αὐτῶν διειλήφασιν. ὅστις οὖν
οἴεται τοὺς ἄλλους κοινῇ τι πράξειν ἀγαθόν, πρὶν ἂν

τοὺς προεστῶτας αὐτῶν διαλλάξῃ, λίαν ἁπλῶς ἔχει
17 καὶ πόρρω τῶν πραγμάτων ἐστίν. ἀλλὰ δεῖ τὸν μὴ b
μόνον ἐπίδειξιν ποιούμενον ἀλλὰ καὶ διαπράξασθαί τι βουλόμενον ἐκείνους τοὺς λόγους ζητεῖν, οἵτινες τὼ πόλη τούτω πείσουσιν ἰσομοιρῆσαι πρὸς ἀλλήλας καὶ τάς θ' ἡγεμονία διελέσθαι, καὶ τὰς πλεονεξίας, ἃς νῦν παρὰ τῶν Ἑλλήνων ἐπιθυμοῦσιν αὐταῖς γίγνεσθαι, ταύτας παρὰ τῶν βαρβάρων ποιήσασθαι.
18 *(γ'.) Τὴν μὲν οὖν ἡμετέραν πόλιν ῥᾴδιον ἐπὶ ταῦτα*
προαγαγεῖν, Λακεδαιμόνιοι δὲ νῦν μὲν ἔτι δυσπείστως c
ἔχουσι· παρειλήφασι γὰρ ψευδῆ λόγον, ὡς ἔστιν αὐτοῖς ἡγεῖσθαι πάτριον· ἢν δ' ἐπιδείξῃ τις αὐτοῖς ταύτην τὴν τιμὴν ἡμετέραν οὖσαν μᾶλλον ἢ 'κείνων, τάχ' ἂν ἐάσαντες τὸ διακριβοῦσθαι περὶ τούτων ἐπὶ τὸ συμφέρον ἔλθοιεν.

19 *Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐντεῦθεν ἄρχεσθαι καὶ μὴ πρότερον περὶ τῶν ὁμολογουμένων συμβουλεύειν, πρὶν περὶ τῶν ἀμφισβητουμένων ἡμᾶς ἐδίδαξαν· ἐμοὶ δ' οὖν ἀμφοτέρων ἕνεκα προσήκει περὶ*
ταῦτα ποιήσασθαι τὴν πλείστην διατριβήν, μάλιστα d
μὲν ἵνα προὔργου τι γένηται καὶ παυσάμενοι τῆς πρὸς ἡμᾶς αὐτοὺς φιλονικίας κοινῇ τοῖς βαρβάροις πολε-
20 μήσωμεν, εἰ δὲ τοῦτ' ἐστὶν ἀδύνατον, ἵνα δηλώσω τοὺς ἐμποδὼν ὄντας τῇ τῶν Ἑλλήνων εὐδαιμονίᾳ, καὶ πᾶσι γένηται φανερὸν, ὅτι καὶ πρότερον ἡ πόλις ἡμῶν δικαίως τῆς θαλάττης ἦρξε καὶ νῦν οὐκ ἀδίκως ἀμφι-
21 σβητεῖ τῆς ἡγεμονίας. τοῦτο μὲν γὰρ εἰ δεῖ τούτους
ἐφ' ἑκάστῳ τιμᾶσθαι τῶν ἔργων τοὺς ἐμπειροτάτους e
ὄντας καὶ μεγίστην δύναμιν ἔχοντας, ἀναμφισβητήτως ἡμῖν προσήκει τὴν ἡγεμονίαν ἀπολαβεῖν, ἥνπερ πρότερον ἐτυγχάνομεν ἔχοντες· οὐδεὶς γὰρ ἂν ἑτέραν πόλιν ἐπιδείξειε τοσοῦτον ἐν τῷ πολέμῳ τῷ κατὰ γῆν

ὑπερέχουσαν, ὅσον τὴν ἡμετέραν ἐν τοῖς κινδύνοις 4
22 τοῖς κατὰ θάλατταν διαφέρουσαν. τοῦτο δ' εἴ τινες
ταύτην μὲν μὴ νομίζουσι δικαίαν εἶναι τὴν κρίσιν ἀλ-
λὰ πολλὰς τὰς μεταβολὰς γίγνεσθαι, τὰς γὰρ δυνα-
στείας οὐδέποτε τοῖς αὐτοῖς παραμένειν, ἀξιοῦσι δὲ
τὴν ἡγεμονίαν ἔχειν ὥσπερ ἄλλο τι γέρας ἢ τοὺς πρώ-
τους τυχόντας ταύτης τῆς τιμῆς ἢ τοὺς πλείστων ἀγα-
θῶν αἰτίους τοῖς Ἕλλησιν ὄντας, ἡγοῦμαι καὶ τούτους
23 εἶναι μεθ' ἡμῶν· ὅσῳ γὰρ ἄν τις πορρωτέρωθεν σκο- b
πῇ περὶ τούτων ἀμφοτέρων, τοσούτῳ πλέον ἀπολεί-
ψομεν τοὺς ἀμφισβητοῦντας. (δ'.) Ὁμολογεῖται μὲν
γὰρ τὴν πόλιν ἡμῶν ἀρχαιοτάτην εἶναι καὶ μεγί-
στην καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστοτάτην·
οὕτω δὲ καλῆς τῆς ὑποθέσεως οὔσης, ἐπὶ τοῖς ἐχο-
μένοις τούτων ἔτι μᾶλλον ἡμᾶς προσήκει τιμᾶσθαι.
24 ταύτην γὰρ οἰκοῦμεν οὐχ ἑτέρους ἐκβαλόντες οὐδ'
ἐρήμην καταλαβόντες οὐδ' ἐκ πολλῶν ἐθνῶν μιγάδες c
συλλεγέντες, ἀλλ' οὕτω καλῶς καὶ γνησίως γεγόνα-
μεν, ὥστ' ἐξ ἧσπερ ἔφυμεν, ταύτην ἔχοντες ἅπαντα
τὸν χρόνον διατελοῦμεν, αὐτόχθονες ὄντες καὶ τῶν
ὀνομάτων τοῖς αὐτοῖς οἷσπερ τοὺς οἰκειοτάτους τὴν
25 πόλιν ἔχοντες προσειπεῖν· μόνοις γὰρ ἡμῖν τῶν Ἑλ-
λήνων τὴν αὐτὴν τροφὸν καὶ πατρίδα καὶ μητέρα κα-
λέσαι προσήκει. καίτοι χρὴ τοὺς εὐλόγως μέγα φρο-
νοῦντας καὶ περὶ τῆς ἡγεμονίας δικαίως ἀμφισβη- d
τοῦντας καὶ τῶν πατρίων πολλάκις μεμνημένους τοι-
αύτην τὴν ἀρχὴν τοῦ γένους ἔχοντας φαίνεσθαι.
26 (ε'.) Τὰ μὲν οὖν ἐξ ἀρχῆς ὑπάρξαντα καὶ παρὰ
τῆς τύχης δωρηθέντα τηλικαῦθ' ἡμῖν τὸ μέγεθός
ἐστιν· ὅσων δὲ τοῖς ἄλλοις ἀγαθῶν αἴτιοι γεγόναμεν,
οὕτως ἂν κάλλιστ' ἐξετάσαιμεν, εἰ τόν τε χρόνον ἀπ'
ἀρχῆς καὶ τὰς πράξεις τὰς τῆς πόλεως ἐφεξῆς διέλ-

θοιμεν· εὑρήσομεν γὰρ αὐτὴν οὐ μόνον τῶν πρὸς τὸν e
πόλεμον [κινδύνων] ἀλλὰ καὶ τῆς ἄλλης κατασκευῆς,
27 ἐν ᾗ κατοικοῦμεν καὶ μεθ᾽ ἧς πολιτευόμεθα καὶ δι᾽ ἣν
ζῆν δυνάμεθα, σχεδὸν ἁπάσης αἰτίαν οὖσαν. ἀνάγκη
δὲ προαιρεῖσθαι τῶν εὐεργεσιῶν μὴ τὰς διὰ μικρό-
τητα διαλαθούσας καὶ κατασιωπηθείσας ἀλλὰ τὰς διὰ 46
τὸ μέγεθος ὑπὸ πάντων ἀνθρώπων καὶ πάλαι καὶ νῦν
πανταχοῦ καὶ λεγομένας καὶ μνημονευομένας.

28 (ϛ΄.) Πρῶτον μὲν τοίνυν, οὗ πρῶτον ἡ φύσις
ἡμῶν ἐδεήθη, διὰ τῆς πόλεως τῆς ἡμετέρας ἐπορίσθη·
καὶ γὰρ εἰ μυθώδης ὁ λόγος γέγονεν, ὅμως αὐτῷ καὶ
νῦν ῥηθῆναι προσήκει. Δήμητρος γὰρ ἀφικομένης εἰς
τὴν χώραν, ὅτ᾽ ἐπλανήθη τῆς Κόρης ἁρπασθείσης,
καὶ πρὸς τοὺς προγόνους ἡμῶν εὐμενῶς διατεθείσης b
ἐκ τῶν εὐεργεσιῶν, ἃς οὐχ οἷόν τ᾽ ἄλλοις ἢ τοῖς με-
μυημένοις ἀκούειν, καὶ δούσης δωρεὰς διττάς, αἵπερ
μέγισται τυγχάνουσιν οὖσαι, τούς τε καρποὺς, οἳ τοῦ
μὴ θηριωδῶς ζῆν ἡμᾶς αἴτιοι γεγόνασι, καὶ τὴν τελε-
τήν, ἧς οἱ μετασχόντες περί τε τῆς τοῦ βίου τελευτῆς
καὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχουσιν,
29 οὕτως ἡ πόλις ἡμῶν οὐ μόνον θεοφιλῶς ἀλλὰ καὶ
φιλανθρώπως ἔσχεν, ὥστε κυρία γενομένη τοσούτων c
ἀγαθῶν οὐκ ἐφθόνησε τοῖς ἄλλοις, ἀλλ᾽ ὧν ἔλαβεν
ἅπασι μετέδωκεν. καὶ τὰ μὲν ἔτι καὶ νῦν καθ᾽ ἕκα-
στον τὸν ἐνιαυτὸν δείκνυμεν, τῶν δὲ συλλήβδην τάς
τε χρείας καὶ τὰς ἐργασίας καὶ τὰς ὠφελείας τὰς ἀπ᾽
30 αὐτῶν γιγνομένας ἐδίδαξεν. καὶ τούτοις ἀπιστεῖν μι-
κρῶν ἔτι προστεθέντων οὐδεὶς ἂν ἀξιώσειεν. (ζ΄.) Πρῶ-
τον μὲν γὰρ ἐξ ὧν ἄν τις καταφρονήσειε τῶν λεγομέ-
νων ὡς ἀρχαίων ὄντων, ἐκ τῶν αὐτῶν τούτων εἰκότως d
ἂν καὶ τὰς πράξεις γεγενῆσθαι νομίσειεν· διὰ γὰρ τὸ
πολλοὺς εἰρηκέναι καὶ πάντας ἀκηκοέναι προσήκει μὴ

καινὰ μὲν, πιστὰ δὲ δοκεῖν εἶναι τὰ λεγόμενα περὶ αὐτῶν. ἔπειτ' οὐ μόνον ἐνταῦθα καταφυγεῖν ἔχομεν, ὅτι τὸν λόγον καὶ τὴν φήμην ἐκ πολλοῦ παρειλήφαμεν, ἀλλὰ καὶ σημείοις μείζοσιν ἢ τούτοις ἔστιν ἡμῖν
31 χρήσασθαι περὶ αὐτῶν. αἱ μὲν γὰρ πλεῖσται τῶν πόλεων ὑπόμνημα τῆς παλαιᾶς εὐεργεσίας ἀπαρχὰς τοῦ a
σίτου καθ' ἕκαστον τὸν ἐνιαυτὸν ὡς ἡμᾶς ἀποπέμπουσι, ταῖς δ' ἐκλειπούσαις πολλάκις ἡ Πυθία προσέταξεν ἀποφέρειν τὰ μέρη τῶν καρπῶν καὶ ποιεῖν πρὸς τὴν πόλιν τὴν ἡμετέραν τὰ πάτρια. καίτοι περὶ τίνων χρὴ μᾶλλον πιστεύειν ἢ περὶ ὧν ὅ τε θεὸς ἀναι- 4
ρεῖ καὶ πολλοῖς τῶν Ἑλλήνων συνδοκεῖ, καὶ τά τε πάλαι ῥηθέντα τοῖς παροῦσιν ἔργοις συμμαρτυρεῖ καὶ τὰ νῦν γιγνόμενα τοῖς ὑπ' ἐκείνων εἰρημένοις ὁμολογεῖ;
32 (η'.) Χωρὶς δὲ τούτων, ἢν ἅπαντα ταῦτ' ἐάσαντες ἀπὸ τῆς ἀρχῆς σκοπῶμεν, εὑρήσομεν, ὅτι τὸν βίον οἱ πρῶτοι φανέντες ἐπὶ γῆς οὐκ εὐθὺς οὕτως ὥσπερ νῦν ἔχοντα κατέλαβον, ἀλλὰ κατὰ μικρὸν αὐτοὶ συνεπορίσαντο. τίνας οὖν χρὴ μᾶλλον νομίζειν ἢ δωρεὰν παρὰ b
33 τῶν θεῶν λαβεῖν ἢ ζητοῦντας αὐτοὺς ἐντυχεῖν; οὐ τοὺς ὑπὸ πάντων ὁμολογουμένως καὶ πρώτους γενομένους καὶ πρός τε τὰς τέχνας εὐφυεστάτους ὄντας καὶ πρὸς τὰ τῶν θεῶν εὐσεβέστατα διακειμένους; καὶ μὴν ὅσης προσήκει τιμῆς τυγχάνειν τοὺς τηλικούτων ἀγαθῶν αἰτίους, περίεργον διδάσκειν. οὐδεὶς γὰρ ἂν δύναιτο δωρεὰν τοσαύτην τὸ μέγεθος εὑρεῖν, ἥτις ἴση τοῖς πεπραγμένοις ἐστίν.

34 (θ'.) Περὶ μὲν οὖν τοῦ μεγίστου τῶν εὐεργετη- c
μάτων καὶ πρώτου γενομένου καὶ πᾶσι κοινοτάτου ταῦτ' εἰπεῖν ἔχομεν. περὶ δὲ τοὺς αὐτοὺς χρόνους ὁρῶσα τοὺς μὲν βαρβάρους τὴν πλείστην τῆς χώρας κατέχοντας, τοὺς δ' Ἕλληνας εἰς μικρὸν τόπον κατα-

κεκλειμένους καὶ διὰ σπανιότητα τῆς γῆς ἐπιβουλεύ-
οντάς τε σφίσιν αὐτοῖς καὶ στρατείας ἐπ' ἀλλήλους
ποιουμένους, καὶ τοὺς μὲν δι' ἔνδειαν τῶν καθ' ἡμέ-
35 ραν, τοὺς δὲ διὰ τὸν πόλεμον ἀπολλυμένους, οὐδὲ d
ταῦθ' οὕτως ἔχοντα περιεῖδεν, ἀλλ' ἡγεμόνας εἰς τὰς
πόλεις ἐξέπεμψεν, οἳ παραλαβόντες τοὺς μάλιστα βίου
δεομένους, στρατηγοὶ καταστάντες αὐτῶν καὶ πολέμῳ
κρατήσαντες τοὺς βαρβάρους, πολλὰς μὲν ἐφ' ἑκατέ-
ρας τῆς ἠπείρου πόλεις ἔκτισαν, ἁπάσας δὲ τὰς νήσους
κατῴκισαν, ἀμφοτέρους δὲ καὶ τοὺς ἀκολουθήσαντας
36 καὶ τοὺς ὑπομείναντας ἔσωσαν· τοῖς μὲν γὰρ ἱκανὴν
τὴν οἴκοι χώραν κατέλιπον, τοῖς δὲ πλείω τῆς ὑπαρ- e
χούσης ἐπόρισαν· ἅπαντα γὰρ περιεβάλοντο τὸν τό-
πον, ὃν νῦν τυγχάνομεν κατέχοντες. ὥστε καὶ τοῖς
ὕστερον βουληθεῖσιν ἀποικίσαι τινὰς καὶ μιμήσασθαι
τὴν πόλιν τὴν ἡμετέραν πολλὴν ῥᾳστώνην ἐποίησαν·
οὐ γὰρ αὐτοὺς ἔδει κτωμένους χώραν διακινδυνεύειν,
ἀλλ' εἰς τὴν ὑφ' ἡμῶν ἀφορισθεῖσαν, εἰς ταύτην οἰ- 48
37 κεῖν ἰόντας. καίτοι τίς ἂν ταύτης ἡγεμονίαν ἐπιδεί-
ξειεν ἢ πατριωτέραν τῆς πρότερον γενομένης πρὶν τὰς
πλείστας οἰκισθῆναι τῶν Ἑλληνίδων πόλεων, ἢ μᾶλλον
συμφέρουσαν τῆς τοὺς μὲν βαρβάρους ἀναστάτους
ποιησάσης, τοὺς δ' Ἕλληνας εἰς τοσαύτην εὐπορίαν
προαγαγούσης;
38 (ι΄.) Οὐ τοίνυν, ἐπειδὴ τὰ μέγιστα συνδιέπραξε,
τῶν ἄλλων ὠλιγώρησεν, ἀλλ' ἀρχὴν μὲν ταύτην ἐποι- b
ήσατο τῶν εὐεργεσιῶν, τροφὴν τοῖς δεομένοις εὑρεῖν,
ἥνπερ χρὴ τοὺς μέλλοντας καὶ περὶ τῶν ἄλλων κα-
λῶς διοικήσειν, ἡγουμένη δὲ τὸν βίον τὸν ἐπὶ τού-
τοις μόνον οὔπω τοῦ ζῆν ἐπιθυμεῖν ἀξίως ἔχειν οὕ-
τως ἐπεμελήθη καὶ τῶν λοιπῶν, ὥστε τῶν παρόντων
τοῖς ἀνθρώποις ἀγαθῶν, ὅσα μὴ παρὰ θεῶν ἔχομεν,

ἀλλὰ δι' ἀλλήλους ἡμῖν γέγονε, μηδὲν μὲν ἄνευ τῆς
πόλεως τῆς ἡμετέρας εἶναι, τὰ δὲ πλεῖστα διὰ ταύτην
39 γεγενῆσθαι. παραλαβοῦσα γὰρ τοὺς Ἕλληνας ἀνόμως c
ζῶντας καὶ σποράδην οἰκοῦντας, καὶ τοὺς μὲν ὑπὸ
δυναστειῶν ὑβριζομένους, τοὺς δὲ δι' ἀναρχίαν ἀπολ-
λυμένους, καὶ τούτων τῶν κακῶν αὐτοὺς ἀπήλλαξε,
τῶν μὲν κυρία γενομένη, τοῖς δ' αὑτὴν παράδειγμα
ποιήσασα· πρώτη γὰρ καὶ νόμους ἔθετο καὶ πολιτείαν
40 κατεστήσατο. δῆλον δ' ἐκεῖθεν· οἱ γὰρ ἐν ἀρχῇ περὶ
τῶν φονικῶν ἐγκαλέσαντες καὶ βουληθέντες μετὰ λό- d
γου καὶ μὴ μετὰ βίας διαλύσασθαι τὰ πρὸς ἀλλήλους
ἐν τοῖς νόμοις τοῖς ἡμετέροις τὰς κρίσεις ἐποιήσαντο
περὶ αὐτῶν. καὶ μὲν δὴ καὶ τῶν τεχνῶν τάς τε πρὸς
τἀναγκαῖα τοῦ βίου χρησίμας καὶ τὰς πρὸς ἡδονὴν
μεμηχανημένας, τὰς μὲν εὑροῦσα, τὰς δὲ δοκιμάσασα
41 χρῆσθαι τοῖς λοιποῖς παρέδωκεν. (ια'.) Τὴν τοίνυν
ἄλλην διοίκησιν οὕτω φιλοξένως κατεσκευάσατο καὶ
πρὸς ἅπαντας οἰκείως ὥστε καὶ τοῖς χρημάτων δεομέ- e
νοις καὶ τοῖς ἀπολαῦσαι τῶν ὑπαρχόντων ἐπιθυμοῦ-
σιν ἀμφοτέροις ἁρμόττειν καὶ μήτε τοῖς εὐδαιμονοῦσι
μήτε τοῖς δυστυχοῦσιν ἐν ταῖς αὑτῶν ἀχρήστως ἔχειν
ἀλλ' ἑκατέροις αὐτῶν εἶναι παρ' ἡμῖν, τοῖς μὲν ἡδίστας
42 διατριβάς, τοῖς δ' ἀσφαλεστάτην καταφυγήν. ἔτι δὲ 49
τὴν χώραν οὐκ αὐτάρκη κεκτημένων ἑκάστων, ἀλλὰ
τὰ μὲν ἐλλείπουσαν, τὰ δὲ πλείω τῶν ἱκανῶν φέρου-
σαν, καὶ πολλῆς ἀπορίας οὔσης τὰ μὲν ὅποι χρὴ δια-
θέσθαι, τὰ δ' ὁπόθεν εἰσαγαγέσθαι, καὶ ταύταις ταῖς
συμφοραῖς ἐπήμυνεν· ἐμπόριον γὰρ ἐν μέσῳ τῆς Ἑλ-
λάδος τὸν Πειραιᾶ κατεσκευάσατο, τοσαύτην ἔχονθ'
ὑπερβολήν, ὥσθ' ἃ παρὰ τῶν ἄλλων ἓν παρ' ἑκάστων
χαλεπόν ἐστι λαβεῖν, ταῦθ' ἅπαντα παρ' αὐτῆς ῥᾴδιον b
εἶναι πορίσασθαι.

43 (ιβ'.) Τῶν τοίνυν τὰς πανηγύρεις καταστησάν-
των δικαίως ἐπαινουμένων, ὅτι τοιοῦτον ἔθος ἡμῖν
παρέδοσαν ὥστε σπεισαμένους καὶ τὰς ἔχθρας τὰς
ἐνεστηκυίας διαλυσαμένους συνελθεῖν εἰς ταὐτὸν, καὶ
μετὰ ταῦτ' εὐχὰς καὶ θυσίας κοινὰς ποιησαμένους
ἀναμνησθῆναι μὲν τῆς συγγενείας τῆς πρὸς ἀλλήλους
ὑπαρχούσης, εὐμενεστέρως δ' εἰς τὸν λοιπὸν χρόνον
διατεθῆναι πρὸς ἡμᾶς αὐτοὺς, καὶ τάς τε παλαιὰς ξε- c
44 νίας ἀνανεώσασθαι καὶ καινὰς ἑτέρας ποιήσασθαι, καὶ
μήτε τοῖς ἰδιώταις μήτε τοῖς διενεγκοῦσι τὴν φύσιν
ἀργὸν εἶναι τὴν διατριβὴν, ἀλλ' ἀθροισθέντων τῶν
Ἑλλήνων ἐγγενέσθαι τοῖς μὲν ἐπιδείξασθαι τὰς αὐτῶν
εὐτυχίας, τοῖς δὲ θεάσασθαι τούτους πρὸς ἀλλήλους
131 μὴ μετὰ τῆς αὐτῆς διανοίας λεγόμενον. ἐπεὶ καὶ τοῦτ'
ἔχομεν αὐτοῖς ἐπιτιμᾶν, ὅτι τῇ μὲν αὑτῶν πόλει τοὺς
ὁμόρους εἱλωτεύειν ἀναγκάζουσι, τῷ δὲ κοινῷ τῷ τῶν e
συμμάχων οὐδὲν τοιοῦτον κατασκευάζουσιν, ἐξὸν αὐ-
τοῖς τὰ πρὸς ἡμᾶς διαλυσαμένοις ἅπαντας τοὺς βαρ-
132 βάρους περιοίκους ὅλης τῆς Ἑλλάδος καταστῆσαι. καί-
τοι χρὴ τοὺς φύσει καὶ μὴ διὰ τύχην μέγα φρονοῦντας
τοιούτοις ἔργοις ἐπιχειρεῖν πολὺ μᾶλλον ἢ τοὺς νη- 68
σιώτας δασμολογεῖν, οὓς ἄξιόν ἐστιν ἐλεεῖν, ὁρῶντας
τούτους μὲν διὰ σπανιότητα τῆς γῆς ὄρη γεωργεῖν
ἀναγκαζομένους, τοὺς δ' ἠπειρώτας δι' ἀφθονίαν τῆς
χώρας τὴν μὲν πλείστην αὐτῆς ἀργὸν περιορῶντας,
ἐξ ἧς δὲ καρποῦνται τοσοῦτον πλοῦτον κεκτημένους.
133 (λζ'.) Ἡγοῦμαι δ' εἴ τινες ἄλλοθεν ἐπελθόντες
θεαταὶ γένοιντο τῶν παρόντων πραγμάτων, πολλὴν ἂν
αὐτοὺς καταγνῶναι μανίαν ἀμφοτέρων ἡμῶν, οἵτινες b
οὕτω περὶ μικρῶν κινδυνεύομεν, ἐξὸν ἀδεῶς πολλὰ

κεκτῆσθαι, καὶ τὴν ἡμετέραν αὐτῶν χώραν διαφθεί-
134 ρομεν, ἀμελήσαντες τὴν Ἀσίαν καρποῦσθαι. καὶ τῷ
μὲν οὐδὲν προὐργιαίτερόν ἐστιν ἢ σκοπεῖν, ἐξ ὧν μη-
δέποτε παυσόμεθα πρὸς ἀλλήλους πολεμοῦντες· ἡμεῖς
δὲ τοσούτου δέομεν συγκρούειν τι τῶν ἐκείνου πραγ-
μάτων ἢ ποιεῖν στασιάζειν, ὥστε καὶ τὰς διὰ τύχην
αὐτῷ γεγενημένας ταραχὰς συνδιαλύειν ἐπιχειροῦμεν, c
οἵτινες καὶ τοῖν στρατοπέδοιν τοῖν περὶ Κύπρον ἐῶμεν
αὐτὸν τῷ μὲν χρῆσθαι, τὸ δὲ πολιορκεῖν, ἀμφοτέροιν
135 αὐτοῖν τῆς Ἑλλάδος ὄντοιν. οἵ τε γὰρ ἀφεστῶτες πρὸς
ἡμᾶς τ' οἰκείως ἔχουσι καὶ Λακεδαιμονίοις σφᾶς αὐ-
τοὺς ἐνδιδόασιν, τῶν τε μετὰ Τειριβάζου στρατευο-
μένων καὶ τοῦ πεζοῦ τὸ χρησιμώτατον ἐκ τῶνδε τῶν
τόπων ἤθροισται, καὶ τοῦ ναυτικοῦ τὸ πλεῖστον ἀπ'
Ἰωνίας συμπέπλευκεν, οἳ πολὺ ἂν ἥδιον κοινῇ τὴν d
Ἀσίαν ἐπόρθουν ἢ πρὸς ἀλλήλους ἕνεκα μικρῶν ἐκιν-
136 δύνευον. ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα πρόνοιαν,
ἀλλὰ περὶ μὲν τῶν Κυκλάδων νήσων ἀμφισβητοῦμεν,
τοσαύτας δὲ τὸ πλῆθος πόλεις καὶ τηλικαύτας τὸ μέ-
γεθος δυνάμεις οὕτως εἰκῇ τῷ βαρβάρῳ παραδεδώ-
καμεν. τοιγαροῦν τὰ μὲν ἔχει, τὰ δὲ μέλλει, τοῖς δ'
ἐπιβουλεύει, δικαίως ἁπάντων ἡμῶν καταπεφρονη-
137 κώς. διαπέπρακται γάρ, ὃ τῶν ἐκείνου προγόνων οὐ- e
δεὶς πώποτε· τήν τε γὰρ Ἀσίαν διωμολόγηται καὶ παρ'
ἡμῶν καὶ παρὰ Λακεδαιμονίων βασιλέως εἶναι, τάς τε
πόλεις τὰς Ἑλληνίδας οὕτω κυρίως παρείληφεν ὥστε
τὰς μὲν αὐτῶν κατασκάπτειν, ἐν δὲ ταῖς ἀκροπόλεις
ἐντειχίζειν. καὶ ταῦτα πάντα γέγονε διὰ τὴν ἡμετέραν
ἄνοιαν ἀλλ' οὐ διὰ τὴν ἐκείνου δύναμιν.

138 (λη'.) Καίτοι τινὲς θαυμάζουσι τὸ μέγεθος τῶν 69
βασιλέως πραγμάτων καὶ φασὶν αὐτὸν εἶναι δυσπολέ-
μητον, διεξιόντες, ὡς πολλὰς τὰς μεταβολὰς τοῖς Ἕλ-

*ληφε πεποίηκεν. ἐγὼ δ' ἡγοῦμαι μὲν τοὺς ταῦτα λέ-
γοντας οὐκ ἀποτρέπειν ἀλλ' ἐπισπεύδειν τὴν στρα-
τείαν· εἰ γὰρ ἡμῶν ὁμονοησάντων αὐτὸς ἐν ταραχαῖς
ὢν χαλεπὸς ἔσται προσπολεμεῖν, ἦ που σφόδρα χρὴ
δεδιέναι τὸν καιρὸν ἐκεῖνον, ὅταν τὰ μὲν τῶν βαρβά-
ρων καταστῇ καὶ διὰ μιᾶς γένηται γνώμης, ἡμεῖς δὲ* b
139 *πρὸς ἀλλήλους ὥσπερ νῦν πολεμικῶς ἔχωμεν. οὐ μὴν
οὐδ' εἰ συναγορεύουσι τοῖς ὑπ' ἐμοῦ λεγομένοις, οὐδ'
ὣς ὀρθῶς περὶ τῆς ἐκείνου δυνάμεως γιγνώσκουσιν.
εἰ μὲν γὰρ ἀπέφαινον αὐτὸν ἅμα τοῖν πολέοιν ἀμφο-
τέροιν πρότερόν ποτε περιγεγενημένον, εἰκότως ἂν
ἡμᾶς καὶ νῦν ἐκφοβεῖν ἐπεχείρουν· εἰ δὲ τοῦτο μὲν μὴ
γέγονεν, ἀντιπάλων δ' ὄντων ἡμῶν καὶ Λακεδαιμονίων
προσθέμενος τοῖς ἑτέροις ἐπικυδέστερα τὰ πράγματα* c
*θάτερ' ἐποίησεν, οὐδέν ἐστι τοῦτο σημεῖον τῆς ἐκεί-
νου ῥώμης. ἐν γὰρ τοῖς τοιούτοις καιροῖς πολλάκις
μικραὶ δυνάμεις μεγάλας τὰς ῥοπὰς ἐποίησαν, ἐπεὶ καὶ
περὶ Χίων ἔχοιμ' ἂν τοῦτον τὸν λόγον εἰπεῖν, ὡς ὁπο-
τέροις ἐκεῖνοι προσθέσθαι βουληθεῖεν, οὗτοι κατὰ*
140 *θάλατταν κρείττους ἦσαν. (λθ'.) Ἀλλὰ γὰρ οὐκ ἐκ
τούτων δίκαιόν ἐστι σκοπεῖν τὴν βασιλέως δύναμιν,
ἐξ ὧν μεθ' ἑκατέρων γέγονεν, ἀλλ' ἐξ ὧν αὐτὸς ὑπὲρ* d
*αὑτοῦ πεπολέμηκεν. καὶ πρῶτον μὲν ἀποστάσης Αἰ-
γύπτου τί διαπέπρακται πρὸς τοὺς ἔχοντας αὐτήν;
οὐκ ἐκεῖνος μὲν ἐπὶ τὸν πόλεμον τοῦτον κατέπεμψε
τοὺς εὐδοκιμωτάτους Περσῶν, Ἀβροκόμαν καὶ Τι-
θραύστην καὶ Φαρνάβαζον, οὗτοι δὲ τρί' ἔτη μείναν-
τες καὶ πλείω κακὰ παθόντες ἢ ποιήσαντες, τελευτῶν-
τες οὕτως αἰσχρῶς ἀπηλλάγησαν ὥστε τοὺς ἀφεστῶτας
μηκέτι τὴν ἐλευθερίαν ἀγαπᾶν ἀλλ' ἤδη καὶ τῶν ὁμό-* e
141 *ρων ζητεῖν ἐπάρχειν; μετὰ δὲ ταῦτ' ἐπ' Εὐαγόραν
στρατεύσας, ὃς ἄρχει μὲν μιᾶς πόλεως, ἐν δὲ ταῖς*

συνθήκαις ἔκδοτός ἐστιν, οἰκῶν δὲ νῆσον κατὰ μὲν
θάλατταν προδεδυστύχηκεν, ὑπὲρ δὲ τῆς χώρας τρισ-
χιλίους ἔχει μόνον πελταστάς, ἀλλ' ὅμως οὕτω ταπει-
νῆς δυνάμεως οὐ δύναται περιγενέσθαι βασιλεὺς πο-
λεμῶν, ἀλλ' ἤδη μὲν ἓξ ἔτη διατέτριφεν, εἰ δὲ δεῖ τὰ
μέλλοντα τοῖς γεγενημένοις τεκμαίρεσθαι, πολὺ πλεί-
ων ἐλπίς ἐστιν ἕτερον ἀποστῆναι πρὶν ἐκεῖνον ἐκπο-
λιορκηθῆναι· τοιαῦται βραδυτῆτες ἐν ταῖς πράξεσι
142 ταῖς βασιλέως ἔνεισιν. ἐν δὲ τῷ πολέμῳ τῷ περὶ Ῥό-
δον ἔχων μὲν τοὺς Λακεδαιμονίων συμμάχους εὔνους
διὰ τὴν χαλεπότητα τῶν πολιτειῶν, χρώμενος δὲ ταῖς b
ὑπηρεσίαις ταῖς παρ' ἡμῶν, στρατηγοῦντος δ' αὐτῷ
Κόνωνος, ὃς ἦν ἐπιμελέστατος μὲν τῶν στρατηγῶν,
πιστότατος δὲ τοῖς Ἕλλησιν, ἐμπειρότατος δὲ τῶν πρὸς
τὸν πόλεμον [κινδύνων], τοιοῦτον λαβὼν συναγωνι-
στὴν τρία μὲν ἔτη περιεῖδε τὸ ναυτικὸν τὸ προκινδυ-
νεῦον ὑπὲρ τῆς Ἀσίας ὑπὸ τριήρων ἑκατὸν μόνων πο-
λιορκούμενον, πεντεκαίδεκα δὲ μηνῶν τοὺς στρατιώ-
τας τὸν μισθὸν ἀπεστέρησεν, ὥστε τὸ μὲν ἐπ' ἐκείνῳ
πολλάκις ἂν διελύθησαν, διὰ δὲ τὸν ἐφεστῶτα [κίνδυ- c
νον] καὶ τὴν συμμαχίαν τὴν περὶ Κόρινθον συστᾶσαν
143 μόλις ναυμαχοῦντες ἐνίκησαν. καὶ ταῦτ' ἐστὶ τὰ βασι-
λικώτατα καὶ σεμνότατα τῶν ἐκείνῳ πεπραγμένων,
καὶ περὶ ὧν οὐδέποτε παύονται λέγοντες οἱ βουλόμε-
νοι τὰ τῶν βαρβάρων μεγάλα ποιεῖν. (μ'.) Ὥστ' οὐ-
δεὶς ἂν ἔχοι τοῦτ' εἰπεῖν, ὡς οὐ δικαίως χρῶμαι τοῖς
παραδείγμασιν, οὐδ' ὡς ἐπὶ μικροῖς διατρίβω τὰς με-
144 γίστας τῶν πράξεων παραλείπων· φεύγων γὰρ ταυ- d
την τὴν αἰτίαν τὰ κάλλιστα τῶν ἔργων διῆλθον, οὐκ
ἀμνημονῶν οὐδ' ἐκείνων, ὅτι Δερκυλίδας μὲν χιλίους
ἔχων ὁπλίτας τῆς Αἰολίδος ἐπῆρχε, Δράκων δ' Ἀταρ-
νέα καταλαβὼν καὶ τρισχιλίους πελταστὰς συλλέξας τὸ

Μύσιον πεδίον ἀνάστατον ἐποίησε, Θίβρων δ' ὀλίγῳ
πλείους τούτων διαβιβάσας τὴν Λυδίαν ἅπασαν ἐπόρ-
θησεν, Ἀγησίλαος δὲ τῷ Κυρείῳ στρατεύματι χρώ-
μενος μικροῦ δεῖν τῆς ἐντὸς Ἅλυος χώρας ἐκράτησεν. e
145 καὶ μὴν οὐδὲ τὴν στρατιὰν τὴν μετὰ τοῦ βασιλέως πε-
ριπολοῦσαν, οὐδὲ τὴν Περσῶν ἀνδρίαν ἄξιον φοβη-
θῆναι· καὶ γὰρ ἐκεῖνοι φανερῶς ἐπεδείχθησαν ὑπὸ
τῶν Κύρῳ συναναβάντων οὐδὲν βελτίους ὄντες τῶν
ἐπὶ θαλάττῃ. τὰς μὲν γὰρ ἄλλας μάχας ὅσας ἡττήθη- 7
σαν ἐῶ, καὶ τίθημι στασιάζειν αὐτοὺς καὶ μὴ βού-
λεσθαι προθύμως πρὸς τὸν ἀδελφὸν τὸν βασιλέως
146 διακινδυνεύειν. ἀλλ' ἐπειδὴ Κύρου τελευτήσαντος
συνῆλθον ἅπαντες οἱ τὴν Ἀσίαν κατοικοῦντες, ἐν τού-
τοις τοῖς καιροῖς οὕτως αἰσχρῶς ἐπολέμησαν ὥστε μη-
δένα λόγον ὑπολιπεῖν τοῖς εἰθισμένοις τὴν Περσῶν
ἀνδρίαν ἐπαινεῖν. λαβόντες γὰρ ἑξακισχιλίους τῶν b
Ἑλλήνων οὐκ ἀριστίνδην ἐπειλεγμένους, ἀλλ' οἳ διὰ
φαυλότητας ἐν ταῖς αὑτῶν οὐχ οἷοί τ' ἦσαν ζῆν, ἀπεί-
ρους μὲν τῆς χώρας ὄντας, ἐρήμους δὲ συμμάχων γε-
γενημένους, προδεδομένους δ' ὑπὸ τῶν συναναβάν-
των, ἀπεστερημένους δὲ τοῦ στρατηγοῦ, μεθ' οὗ συν-
147 ηκολούθησαν, τοσοῦτον αὐτῶν ἥττους ἦσαν, ὥσθ' ὁ
βασιλεὺς ἀπορήσας τοῖς παροῦσι πράγμασι καὶ κατα-
φρονήσας τῆς περὶ αὑτὸν δυνάμεως τοὺς ἄρχοντας
τοὺς τῶν ἐπικούρων ὑποσπόνδους συλλαβεῖν ἐτόλμη- c
σεν, ὡς εἰ τοῦτο παρανομήσειε συνταράξων τὸ στρα-
τόπεδον, καὶ μᾶλλον εἵλετο περὶ τοὺς θεοὺς ἐξαμαρ-
τεῖν ἢ πρὸς ἐκείνους ἐκ τοῦ φανεροῦ διαγωνίσασθαι.
148 διαμαρτὼν δὲ τῆς ἐπιβουλῆς καὶ τῶν στρατιωτῶν συμ-
μεινάντων καὶ καλῶς ἐνεγκόντων τὴν συμφοράν,
ἀπιοῦσιν αὐτοῖς Τισσαφέρνην καὶ τοὺς ἱππέας συνέ-
πεμψεν, ὑφ' ὧν ἐκεῖνοι παρὰ πᾶσαν ἐπιβουλευόμενοι

τὴν ὁδὸν ὁμοίως διεπορεύθησαν ὡσπερανεὶ προπεμ-
πόμενοι, μάλιστα μὲν φοβούμενοι τὴν ἀοίκητον τῆς d
χώρας, μέγιστον δὲ τῶν ἀγαθῶν νομίζοντες, εἰ τῶν
149 πολεμίων ὡς πλείστοις ἐντύχοιεν. κεφάλαιον δὲ τῶν
εἰρημένων· ἐκεῖνοι γὰρ οὐκ ἐπὶ λείαν ἐλθόντες, οὐδὲ
κώμην καταλαβόντες ἀλλ' ἐπ' αὐτὸν τὸν βασιλέα στρα-
τεύσαντες, ἀσφαλέστερον κατέβησαν τῶν περὶ φιλίας
ὡς αὐτὸν πρεσβευόντων. ὥστε μοι δοκοῦσιν ἐν ἅπασι
τοῖς τόποις σαφῶς ἐπιδεδεῖχθαι τὴν αὑτῶν μαλακίαν· e
καὶ γὰρ ἐν τῇ παραλίᾳ τῆς Ἀσίας πολλὰς μάχας ἥττην-
ται, καὶ διαβάντες εἰς τὴν Εὐρώπην δίκην ἔδοσαν, οἱ
μὲν γὰρ αὐτῶν κακῶς ἀπώλονθ' οἱ δ' αἰσχρῶς ἐσώ-
θησαν, καὶ τελευτῶντες ὑπ' αὐτοῖς τοῖς βασιλείοις
καταγέλαστοι γεγόνασιν.

150 (μα'.) Καὶ τούτων οὐδὲν ἀλόγως γέγονεν, ἀλλὰ 72
πάντ' εἰκότως ἀποβέβηκεν· οὐ γὰρ οἷόν τε τοὺς οὕτω
τρεφομένους καὶ πολιτευομένους οὔτε τῆς ἄλλης ἀρε-
τῆς μετέχειν οὔτ' ἐν ταῖς μάχαις τρόπαιον ἱστάναι τῶν
πολεμίων. πῶς γὰρ ἐν τοῖς ἐκείνων ἐπιτηδεύμασιν
ἐγγενέσθαι δύναιτ' ἂν ἢ στρατηγὸς δεινὸς ἢ στρατιώ-
της ἀγαθός, ὧν τὸ μὲν πλεῖστόν ἐστιν ὄχλος ἄτακτος
καὶ κινδύνων ἄπειρος, πρὸς μὲν τὸν πόλεμον ἐκλελυ-
μένος, πρὸς δὲ τὴν δουλείαν ἄμεινον τῶν παρ' ἡμῖν b
151 οἰκετῶν πεπαιδευμένος, οἱ δ' ἐν ταῖς μεγίσταις δόξαις
ὄντες αὐτῶν ὁμαλῶς μὲν οὐδὲ κοινῶς οὐδὲ πολιτικῶς
οὐδεπώποτ' ἐβίωσαν, ἅπαντα δὲ τὸν χρόνον διάγου-
σιν εἰς μὲν τοὺς ὑβρίζοντες, τοῖς δὲ δουλεύοντες, ὡς
ἂν ἄνθρωποι μάλιστα τὰς φύσεις διαφθαρεῖεν, καὶ
τὰ μὲν σώματα διὰ τοὺς πλούτους τρυφῶντες, τὰς δὲ
ψυχὰς διὰ τὰς μοναρχίας ταπεινὰς καὶ περιδεεῖς ἔχον-
τες, ἐξεταζόμενοι πρὸς αὐτοῖς τοῖς βασιλείοις καὶ προ- c
καλινδούμενοι καὶ πάντα τρόπον μικρὸν φρονεῖν με-

λετῶντες, θνητὸν μὲν ἄνδρα προσκυνοῦντες καὶ δαί-
μονα προσαγορεύοντες, τῶν δὲ θεῶν μᾶλλον ἢ τῶν
152 ἀνθρώπων ὀλιγωροῦντες. τοιγαροῦν οἱ καταβαίνον-
τες αὐτῶν ἐπὶ θάλατταν, οὓς καλοῦσι σατράπας, οὐ
καταισχύνουσι τὴν ἐκεῖ παίδευσιν, ἀλλ' ἐν τοῖς ἤθεσι
τοῖς αὐτοῖς διαμένουσι, πρὸς μὲν τοὺς φίλους ἀπί- d
στως, πρὸς δὲ τοὺς ἐχθροὺς ἀνάνδρως ἔχοντες, καὶ
τὰ μὲν ταπεινῶς, τὰ δ' ὑπερηφάνως ζῶντες, τῶν μὲν
συμμάχων καταφρονοῦντες, τοὺς δὲ πολεμίους θερα-
153 πεύοντες. τὴν μέν γε μετ' Ἀγησιλάου στρατιὰν ὀκτὼ
μῆνας ταῖς αὑτῶν δαπάναις διέθρεψαν, τοὺς δ' ὑπὲρ
αὑτῶν κινδυνεύοντας ἑτέρου τοσούτου χρόνου τὸν
μισθὸν ἀπεστέρησαν· καὶ τοῖς μὲν Κισθήνην καταλα-
βοῦσιν ἑκατὸν τάλαντα διένειμαν, τοὺς δὲ μεθ' αὑτῶν
εἰς Κύπρον στρατευσαμένους μᾶλλον ἢ τοὺς αἰχμαλώ- e
154 τους ὕβριζον. ὡς δ' ἁπλῶς εἰπεῖν καὶ μὴ καθ' ἓν ἕκα-
στον ἀλλ' ὡς ἐπὶ τὸ πολύ, τίς ἢ τῶν πολεμησάντων
αὐτοῖς οὐκ εὐδαιμονήσας ἀπῆλθεν, ἢ τῶν ὑπ' ἐκεί-
νοις γενομένων οὐκ αἰκισθεὶς τὸν βίον ἐτελεύτησεν; 73
οὐ Κόνωνα μὲν ὃς ὑπὲρ τῆς Ἀσίας στρατηγήσας τὴν
ἀρχὴν τὴν Λακεδαιμονίων κατέλυσεν, ἐπὶ θανάτῳ συλ-
λαβεῖν ἐτόλμησαν, Θεμιστοκλέα δ' ὃς ὑπὲρ τῆς Ἑλ-
λάδος αὐτοὺς κατεναυμάχησε, τῶν μεγίστων δωρεῶν
155 ἠξίωσαν; καίτοι πῶς χρὴ τὴν τούτων φιλίαν ἀγαπᾶν,
οἳ τοὺς μὲν εὐεργέτας τιμωροῦνται, τοὺς δὲ κακῶς
ποιοῦντας οὕτως ἐπιφανῶς κολακεύουσιν; περὶ τίνας
δ' ἡμῶν οὐκ ἐξημαρτήκασιν; ποῖον δὲ χρόνον διαλε- b
λοίπασιν ἐπιβουλεύοντες τοῖς Ἕλλησιν; τί δ' οὐκ ἐχ-
θρὸν αὐτοῖς ἐστι τῶν παρ' ἡμῖν, οἳ καὶ τὰ τῶν θεῶν
ἕδη καὶ τοὺς νεὼς συλᾶν ἐν τῷ προτέρῳ πολέμῳ καὶ
156 κατακάειν ἐτόλμησαν; διὸ καὶ τοὺς Ἴωνας ἄξιον ἐπαι-
ν, ὅτι τῶν ἐμπρησθέντων ἱερῶν ἐπηράσαντ' εἴ

τινες κινήσειαν ἢ πάλιν εἰς τἀρχαῖα καταστῆσαι βου-
ληθεῖεν, οὐκ ἀποροῦντες, πόθεν ἐπισκευάσωσιν, ἀλλ'
ἵν' ὑπόμνημα τοῖς ἐπιγιγνομένοις ᾖ τῆς τῶν βαρβά- c
ρων ἀσεβείας, καὶ μηδεὶς πιστεύῃ τοῖς τοιαῦτ' εἰς τὰ
τῶν θεῶν ἐξαμαρτεῖν τολμῶσιν, ἀλλὰ καὶ φυλάτ-
τωνται καὶ δεδίωσιν, ὁρῶντες αὐτοὺς οὐ μόνον τοῖς
σώμασιν ἡμῶν ἀλλὰ καὶ τοῖς ἀναθήμασι πολεμή-
σαντας.

157 (μβ'.) Ἔχω δὲ καὶ περὶ τῶν πολιτῶν τῶν ἡμετέ-
ρων τοιαῦτα διελθεῖν. καὶ γὰρ οὗτοι πρὸς μὲν τοὺς
ἄλλους, ὅσοις πεπολεμήκασιν, ἅμα διαλλάττονται καὶ
τῆς ἔχθρας τῆς γεγενημένης ἐπιλανθάνονται, τοῖς δ' d
ἠπειρώταις οὐδ' ὅταν εὖ πάσχωσι χάριν ἴσασιν· οὕ-
τως ἀείμνηστον τὴν ὀργὴν πρὸς αὐτοὺς ἔχουσιν. καὶ
πολλῶν μὲν οἱ πατέρες ἡμῶν μηδισμοῦ θάνατον κατ-
έγνωσαν, ἐν δὲ τοῖς συλλόγοις ἔτι καὶ νῦν ἀρὰς ποι-
οῦνται, πρὶν ἄλλο τι χρηματίζειν, εἴ τις ἐπικηρυκεύε-
ται Πέρσαις τῶν πολιτῶν· Εὐμολπίδαι δὲ καὶ Κήρυ-
κες ἐν τῇ τελετῇ τῶν μυστηρίων διὰ τὸ τούτων μῖσος
καὶ τοῖς ἄλλοις βαρβάροις εἴργεσθαι τῶν ἱερῶν ὥσπερ e
158 τοῖς ἀνδροφόνοις προαγορεύουσιν. οὕτω δὲ φύσει πο-
λεμικῶς πρὸς αὐτοὺς ἔχομεν, ὥστε καὶ τῶν μύθων
ἥδιστα συνδιατρίβομεν τοῖς Τρωϊκοῖς [καὶ Περσικοῖς],
δι' ὧν ἔστι πυνθάνεσθαι τὰς ἐκείνων συμφοράς. εὕ- 74
ροι δ' ἂν τις ἐκ μὲν τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρ-
βάρους ὕμνους πεποιημένους, ἐκ δὲ τοῦ πρὸς τοὺς
Ἕλληνας θρήνους ἡμῖν γεγενημένους, καὶ τοὺς μὲν
ἐν ταῖς ἑορταῖς ᾀδομένους, τοὺς δ' ἐπὶ ταῖς συμφοραῖς
159 ἡμᾶς μεμνημένους. οἶμαι δὲ καὶ τὴν Ὁμήρου ποίησιν
μείζω λαβεῖν δόξαν, ὅτι καλῶς τοὺς πολεμήσαντας
τοῖς βαρβάροις ἐνεκωμίασε, καὶ διὰ τοῦτο βουληθῆναι
τοὺς προγόνους ἡμῶν ἔντιμον αὐτοῦ ποιῆσαι τὴν

τέχνην ἔν τε τοῖς τῆς μουσικῆς ἄθλοις καὶ τῇ παιδεύ-
σει τῶν νεωτέρων, ἵνα πολλάκις ἀκούοντες τῶν ἐπῶν
ἐκμανθάνωμεν τὴν ἔχθραν τὴν ὑπάρχουσαν πρὸς αὐ-
τοὺς καὶ ζηλοῦντες τὰς ἀρετὰς τῶν στρατευσαμένων
160 τῶν αὐτῶν ἔργων ἐκείνοις ἐπιθυμῶμεν. (μγ΄.) Ὥστε
μοι δοκεῖ πολλὰ λίαν εἶναι τὰ παρακελευόμενα πολε-
μεῖν αὐτοῖς, μάλιστα δ' ὁ παρὼν καιρὸς, οὗ σαφέστε-
ρον οὐδέν. ὃν οὐκ ἀφετέον· καὶ γὰρ αἰσχρὸν παρόντι
μὲν μὴ χρῆσθαι, παρελθόντος δ' αὐτοῦ μεμνῆσθαι.
τί γὰρ ἂν καὶ βουληθεῖμεν ἡμῖν προσγενέσθαι, μέλ-
λοντες βασιλεῖ πολεμεῖν, ἔξω τῶν νῦν ὑπαρχόντων;
161 οὐκ Αἴγυπτος μὲν αὐτοῦ καὶ Κύπρος ἀφέστηκε, Φοι-
νίκη δὲ καὶ Συρία διὰ τὸν πόλεμον ἀνάστατοι γεγό-
νασι, Τύρος δ' ἐφ' ᾗ μέγ' ἐφρόνησεν, ὑπὸ τῶν ἐχθρῶν
τῶν ἐκείνου κατείληπται; τῶν δ' ἐν Κιλικίᾳ πόλεων
τὰς μὲν πλείστας οἱ μεθ' ἡμῶν ὄντες ἔχουσι, τὰς δ' οὐ
χαλεπόν ἐστι κτήσασθαι. Λυκίας δ' οὐδ' εἷς πώποτε
162 Περσῶν ἐκράτησεν. Ἑκατόμνως δ' ὁ Καρίας ἐπίσταθ-
μος τῇ μὲν ἀληθείᾳ πολὺν ἤδη χρόνον ἀφέστηκεν,
ὁμολογήσει δ' ὅταν ἡμεῖς βουληθῶμεν. ἀπὸ δὲ Κνίδου
μέχρι Σινώπης Ἕλληνες τὴν Ἀσίαν παροικοῦσιν, οὓς
οὐ δεῖ πείθειν ἀλλὰ μὴ κωλύειν πολεμεῖν. καίτοι τοι-
ούτων ὁρμητηρίων ὑπαρξάντων καὶ τοσούτου πολέ-
μου τὴν Ἀσίαν περιστάντος τί δεῖ τὰ συμβησόμενα
λίαν ἀκριβῶς ἐξετάζειν; ὅπου γὰρ μικρῶν μερῶν ἥτ-
τους εἰσὶν, οὐκ ἄδηλον, ὡς ἂν διατεθεῖεν, εἰ πᾶσιν
163 ἡμῖν πολεμεῖν ἀναγκασθεῖεν. ἔχει δ' οὕτως. ἂν μὲν ὁ
βάρβαρος ἐρρωμενεστέρως κατάσχῃ τὰς πόλεις τὰς ἐπὶ
θαλάττῃ φρουρὰς μείζους ἐν αὐταῖς ἢ νῦν ἐγκατα-
στήσας, τάχ' ἂν καὶ τῶν νήσων αἱ περὶ τὴν ἤπειρον,
οἷον Ῥόδος καὶ Σάμος καὶ Χίος, ἐπὶ τὰς ἐκείνου τύχας
ἀποκλίνειαν· ἢν δ' ἡμεῖς αὐτὰς πρότεροι καταλάβω-

μεν, εἰκὸς τοὺς τὴν Λυδίαν καὶ Φρυγίαν καὶ τὴν ἄλ-
λην τὴν ὑπερκειμένην χώραν οἰκοῦντας ἐπὶ τοῖς ἐν-
164 τεῦθεν ὁρμωμένοις εἶναι. διὸ δεῖ σπεύδειν καὶ μηδε-
μίαν ποιεῖσθαι διατριβὴν, ἵνα μὴ πάθωμεν, ὅπερ οἱ
πατέρες ἡμῶν. ἐκεῖνοι γὰρ ὑστερίσαντες τῶν βαρβά- b
ρων καὶ προέμενοί τινας τῶν συμμάχων ἠναγκάσθη-
σαν ὀλίγοι πρὸς πολλοὺς κινδυνεύειν, ἐξὸν αὐτοῖς
προτέροις διαβᾶσιν εἰς τὴν ἤπειρον μετὰ πάσης τῆς
τῶν Ἑλλήνων δυνάμεως ἐν μέρει τῶν ἐθνῶν ἕκαστον
165 χειροῦσθαι. δέδεικται γὰρ, ὅταν τις πολεμῇ πρὸς ἀν-
θρώπους ἐκ πολλῶν τόπων συλλεγομένους, ὅτι δεῖ μὴ
περιμένειν, ἕως ἂν ἐπιστῶσιν, ἀλλ' ἔτι διεσπαρμένοις
αὐτοῖς ἐπιχειρεῖν. ἐκεῖνοι μὲν οὖν προεξαμαρτόντες c
ἅπαντα ταῦτ' ἐπηνωρθώσαντο, καταστάντες εἰς τοὺς
μεγίστους ἀγῶνας· ἡμεῖς δ' ἂν σωφρονῶμεν, ἐξ ἀρχῆς
φυλαξόμεθα καὶ πειρασόμεθα φθῆναι περὶ τὴν Λυδίαν
166 καὶ τὴν Ἰωνίαν στρατόπεδον ἐγκαταστήσαντες, εἰδότες,
ὅτι καὶ βασιλεὺς οὐχ ἑκόντων ἄρχει τῶν ἠπειρωτῶν
ἀλλὰ μείζω δύναμιν περὶ αὑτὸν ἑκάστων αὐτῶν ποιη-
σάμενος· ἧς ἡμεῖς ὅταν κρείττω διαβιβάσωμεν, ὃ βου- d
ληθέντες ῥᾳδίως ἂν ποιήσαιμεν, ἀσφαλῶς ἅπασαν τὴν
Ἀσίαν καρπωσόμεθα. πολὺ δὲ κάλλιον ἐκείνῳ περὶ
τῆς βασιλείας πολεμεῖν ἢ πρὸς ἡμᾶς αὐτοὺς περὶ τῆς
ἡγεμονίας ἀμφισβητεῖν.

167 (μδ'.) Ἄξιον δ' ἐπὶ τῆς νῦν ἡλικίας ποιήσασθαι
τὴν στρατείαν, ἵν' οἱ τῶν συμφορῶν κοινωνήσαντες,
οὗτοι καὶ τῶν ἀγαθῶν ἀπολαύσωσι καὶ μὴ πάντα τὸν
χρόνον δυστυχοῦντες διαγάγωσιν. ἱκανὸς γὰρ ὁ παρε- e
ληλυθὼς, ἐν ᾧ τί τῶν δεινῶν οὐ γέγονεν; πολλῶν γὰρ
κακῶν τῇ φύσει τῇ τῶν ἀνθρώπων ὑπαρχόντων αὐτοὶ
168 πλείω τῶν ἀναγκαίων προσεξευρήκαμεν, πολέμους
καὶ στάσεις ἡμῖν αὐτοῖς ἐμποιήσαντες, ὥστε τοὺς μὲν

ἐν ταῖς αὑτῶν ἀνόμως ἀπόλλυσθαι, τοὺς δ' ἐπὶ ξένης 76
μετὰ παίδων καὶ γυναικῶν ἀλᾶσθαι, πολλοὺς δὲ δι'
ἔνδειαν τῶν καθ' ἡμέραν ἐπικουρεῖν ἀναγκαζομένους
ὑπὲρ τῶν ἐχθρῶν τοῖς φίλοις μαχομένους ἀποθνή-
σκειν. ὑπὲρ ὧν οὐδεὶς πώποτ' ἠγανάκτησεν, ἀλλ' ἐπὶ
μὲν ταῖς συμφοραῖς ταῖς ὑπὸ τῶν ποιητῶν συγκειμέ-
ναις δακρύειν ἀξιοῦσιν, ἀληθινὰ δὲ πάθη πολλὰ καὶ
δεινὰ γιγνόμενα διὰ τὸν πόλεμον ἐφορῶντες τοσού-
του δέουσιν ἐλεεῖν, ὥστε καὶ μᾶλλον χαίρουσιν ἐπὶ b
τοῖς ἀλλήλων κακοῖς ἢ τοῖς αὑτῶν ἰδίοις ἀγαθοῖς.
169 *ἴσως δ' ἂν καὶ τῆς ἐμῆς εὐηθείας πολλοὶ καταγελά-*
σειαν, εἰ δυστυχίας ἀνδρῶν ὀδυροίμην ἐν τοῖς τοιού-
τοις καιροῖς, ἐν οἷς Ἰταλία μὲν ἀνάστατος γέγονε,
Σικελία δὲ καταδεδούλωται, τοσαῦται δὲ πόλεις τοῖς
βαρβάροις ἐκδέδονται, τὰ δὲ λοιπὰ μέρη τῶν Ἑλλήνων
ἐν τοῖς μεγίστοις κινδύνοις ἐστίν.

170 (με'.) *Θαυμάζω δὲ τῶν δυναστευόντων ἐν ταῖς*
πόλεσιν, εἰ προσήκειν αὑτοῖς ἡγοῦνται μέγα φρονεῖν, c
μηδὲν πώποθ' ὑπὲρ τηλικούτων πραγμάτων μήτ' εἰ-
πεῖν μήτ' ἐνθυμηθῆναι δυνηθέντες. ἐχρῆν γὰρ αὐ-
τούς, εἴπερ ἦσαν ἄξιοι τῆς παρούσης δόξης, ἁπάντων
ἀφεμένους τῶν ἄλλων περὶ τοῦ πολέμου τοῦ πρὸς
171 *τοὺς βαρβάρους εἰσηγεῖσθαι καὶ συμβουλεύειν. τυχὸν*
μὲν γὰρ ἄν τι συνεπέραναν· εἰ δὲ καὶ προαπεῖπον,
ἀλλ' οὖν τούς γε λόγους ὥσπερ χρησμοὺς εἰς τὸν
ἐπιόντα χρόνον ἂν κατέλιπον. νῦν δ' οἱ μὲν ἐν ταῖς d
μεγίσταις δόξαις ὄντες ἐπὶ μικροῖς σπουδάζουσιν,
ἡμῖν δὲ τοῖς τῶν πολιτικῶν ἐξεστηκόσι περὶ τηλικού-
των πραγμάτων συμβουλεύειν παραλελοίπασιν.

172 *Οὐ μὴν ἀλλ' ὅσῳ μικροψυχότεροι τυγχάνουσιν*
ὄντες οἱ προεστῶτες ἡμῶν, τοσούτῳ τοὺς ἄλλους ἐρρω-
μενεστέρως δεῖ σκοπεῖν, ὅπως ἀπαλλαγησόμεθα τῆς

παρούσης ἔχθρας. νῦν μὲν γὰρ μάτην ποιούμεθα τὰς περὶ τῆς εἰρήνης συνθήκας· οὐ γὰρ διαλυόμεθα τοὺς πολέμους ἀλλ' ἀναβαλλόμεθα καὶ περιμένομεν τοὺς e
καιρούς, ἐν οἷς ἀνήκεστόν τι κακὸν ἀλλήλους ἐργά-
173 σασθαι δυνησόμεθα. (μς'.) Δεῖ δὲ ταύτας τὰς ἐπιβουλὰς ἐκποδὼν ποιησαμένους ἐκείνοις τοῖς ἔργοις ἐπιχειρεῖν, ἐξ ὧν τάς τε πόλεις ἀσφαλέστερον οἰκήσομεν καὶ πιστότερον διακεισόμεθα πρὸς ἡμᾶς αὐτούς. ἔστι δ' ἁπλοῦς καὶ ῥᾴδιος ὁ λόγος ὁ περὶ τούτων·
οὔτε γὰρ εἰρήνην οἷόν τε βεβαίαν ἀγαγεῖν, ἢν μὴ κοινῇ 77
τοῖς βαρβάροις πολεμήσωμεν, οὔθ' ὁμονοῆσαι τοὺς Ἕλληνας, πρὶν ἂν καὶ τὰς ὠφελείας ἐκ τῶν αὐτῶν καὶ τοὺς κινδύνους πρὸς τοὺς αὐτοὺς ποιησώμεθα.
174 τούτων δὲ γενομένων καὶ τῆς ἀπορίας τῆς περὶ τὸν βίον ἡμῶν ἀφαιρεθείσης, ἣ καὶ τὰς ἑταιρίας διαλύει καὶ τὰς συγγενείας εἰς ἔχθραν προάγει καὶ πάντας ἀνθρώπους εἰς πολέμους καὶ στάσεις καθίστησιν, οὐκ ἔστιν ὅπως οὐχ ὁμονοήσομεν καὶ τὰς εὐνοίας ἀληθι-
νὰς πρὸς ἡμᾶς αὐτοὺς ἕξομεν. ὧν ἕνεκα περὶ παντὸς b
ποιητέον, ὅπως ὡς τάχιστα τὸν ἐνθένδε πόλεμον εἰς τὴν ἤπειρον διοριοῦμεν, ὡς μόνον ἂν τοῦτ' ἀγαθὸν ἀπολαύσαιμεν τῶν κινδύνων τῶν πρὸς ἡμᾶς αὐτούς, εἰ ταῖς ἐμπειρίαις ταῖς ἐκ τούτων γεγενημέναις πρὸς τὸν βάρβαρον καταχρήσασθαι δόξειεν ἡμῖν.

175 (μζ'.) Ἀλλὰ γὰρ ἴσως διὰ τὰς συνθήκας ἄξιον
ἐπισχεῖν ἀλλ' οὐκ ἐπειχθῆναι καὶ θᾶττον ποιήσασθαι c
τὴν στρατείαν; δι' ἃς αἱ μὲν ἠλευθερωμέναι τῶν πόλεων βασιλεῖ χάριν ἴσασιν, ὡς δι' ἐκεῖνον τυχοῦσαι τῆς αὐτονομίας ταύτης, αἱ δ' ἐκδεδομέναι τοῖς βαρβάροις μάλιστα μὲν Λακεδαιμονίοις ἐπικαλοῦσιν, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις τοῖς μετασχοῦσι τῆς εἰρήνης, ὡς ὑπὸ τούτων δουλεύειν ἠναγκασμέναι. καίτοι πῶς οὐ

χρὴ διαλύειν ταύτας τὰς ὁμολογίας, ἐξ ὧν τοιαύτη δόξα
γέγονεν, ὡς ὁ μὲν βάρβαρος κήδεται τῆς Ἑλλάδος καὶ d
φύλαξ τῆς εἰρήνης ἐστὶν, ἡμῶν δέ τινές εἰσιν οἱ λυ-
176 μαινόμενοι καὶ κακῶς ποιοῦντες αὐτήν; ὃ δὲ πάντων
καταγελαστότατον, ὅτι τῶν γεγραμμένων ἐν ταῖς ὁμο-
λογίαις τὰ χείριστα τυγχάνομεν διαφυλάττοντες. ἃ μὲν
γὰρ αὐτονόμους ἀφίησι τάς τε νήσους καὶ τὰς πόλεις
τὰς ἐπὶ τῆς Εὐρώπης, πάλαι λέλυται καὶ μάτην ἐν ταῖς
στήλαις ἐστίν· ἃ δ' αἰσχύνην ἡμῖν φέρει καὶ πολλοὺς
τῶν συμμάχων ἐκδέδωκε, ταῦτα δὲ κατὰ χώραν μένει e
καὶ πάντες αὐτὰ κύρια ποιοῦμεν, ἃ χρῆν ἀναιρεῖν καὶ
μηδὲ μίαν ἐᾶν ἡμέραν, νομίζοντας προστάγματα καὶ
μὴ συνθήκας εἶναι. τίς γὰρ οὐκ οἶδεν, ὅτι συνθῆκαι
μέν εἰσιν, αἵτινες ἂν ἴσως καὶ κοινῶς ἀμφοτέροις
ἔχωσι, προστάγματα δὲ τὰ τοὺς ἑτέρους ἐλαττοῦντα 78
177 παρὰ τὸ δίκαιον; διὸ καὶ τῶν πρεσβευσάντων ταύτην
τὴν εἰρήνην δικαίως ἂν κατηγοροῖμεν, ὅτι πεμφθέντες
ὑπὸ τῶν Ἑλλήνων ὑπὲρ τῶν βαρβάρων ἐποιήσαντο
τὰς συνθήκας. ἐχρῆν γὰρ αὐτοὺς, εἴτ' ἐδόκει τὴν αὑ-
τῶν ἔχειν ἑκάστους, εἴτε καὶ τῶν δοριαλώτων ἐπάρ-
χειν, εἴτε τούτων κρατεῖν ὧν ὑπὸ τὴν εἰρήνην ἐτυγ-
χάνομεν ἔχοντες, ἕν τι τούτων ὁρισαμένους καὶ κοινὸν
τὸ δίκαιον ποιησαμένους, οὕτω συγγράφεσθαι περὶ b
178 αὐτῶν. νῦν δὲ τῇ μὲν ἡμετέρᾳ πόλει καὶ τῇ Λακεδαι-
μονίων οὐδεμίαν τιμὴν ἀπένειμαν, τὸν δὲ βάρβαρον
ἁπάσης τῆς Ἀσίας δεσπότην κατέστησαν, ὥσπερ ὑπὲρ
ἐκείνου πολεμησάντων ἡμῶν, ἢ τῆς μὲν Περσῶν ἀρχῆς
πάλαι καθεστηκυίας, ἡμῶν δ' ἄρτι τὰς πόλεις κατοι-
κούντων, ἀλλ' οὐκ ἐκείνων μὲν νεωστὶ ταύτην τὴν
τιμὴν ἐχόντων, ἡμῶν δὲ τὸν ἅπαντα χρόνον ἐν τοῖς c
179 Ἕλλησι δυναστευόντων. (μη'.) Οἶμαι δ' ἐκείνως εἰπὼν
μᾶλλον δηλώσειν τήν τε περὶ ἡμᾶς ἀτιμίαν γεγενημέ-

νην καὶ τὴν τοῦ βασιλέως πλεονεξίαν. τῆς γὰρ γῆς
ἁπάσης τῆς ὑπὸ τῷ κόσμῳ κειμένης δίχα τετμημέ-
νης, καὶ τῆς μὲν Ἀσίας, τῆς δ' Εὐρώπης καλουμένης,
τὴν ἡμίσειαν ἐκ τῶν συνθηκῶν εἴληφεν, ὥσπερ πρὸς
τὸν Δία τὴν χώραν νεμόμενος ἀλλ' οὐ πρὸς ἀν-
180 θρώπους τὰς συνθήκας ποιούμενος. καὶ ταύτας ἡμᾶς d
ἠνάγκασεν ἐν στήλαις λιθίναις ἀναγράψαντας ἐν τοῖς
κοινοῖς τῶν ἱερῶν καταθεῖναι, πολὺ κάλλιον τρόπαιον
τῶν ἐν ταῖς μάχαις γιγνομένων· τὰ μὲν γὰρ ὑπὲρ
μικρῶν ἔργων καὶ μιᾶς τύχης ἐστίν, αὗται δ' ὑπὲρ
ἅπαντος τοῦ πολέμου καὶ καθ' ὅλης τῆς Ἑλλάδος ἑστή-
κασιν.

181 Ὑπὲρ ὧν ἄξιον ὀργίζεσθαι καὶ σκοπεῖν, ὅπως
τῶν τε γεγενημένων δίκην ληψόμεθα καὶ τὰ μέλλοντα
διορθωσόμεθα. καὶ γὰρ αἰσχρὸν ἰδίᾳ μὲν τοῖς βαρβά- e
ροις οἰκέταις ἀξιοῦν χρῆσθαι, δημοσίᾳ δὲ τοσούτους
τῶν συμμάχων περιορᾶν αὐτοῖς δουλεύοντας, καὶ τοὺς
μὲν περὶ τὰ Τρωϊκὰ γενομένους μιᾶς γυναικὸς ἁρπα-
σθείσης οὕτως ἅπαντας συνοργισθῆναι τοῖς ἀδικη-
θεῖσιν ὥστε μὴ πρότερον παύσασθαι πολεμοῦντας,
πρὶν τὴν πόλιν ἀνάστατον ἐποίησαν τοῦ τολμήσαντος 79
182 ἐξαμαρτεῖν, ἡμᾶς δ' ὅλης τῆς Ἑλλάδος ὑβριζομένης
μηδεμίαν ποιήσασθαι κοινὴν τιμωρίαν, ἐξὸν ἡμῖν εὐ-
χῆς ἄξια διαπράξασθαι. μόνος γὰρ οὗτος ὁ πόλεμος
εἰρήνης κρείττων ἐστί, θεωρίᾳ μὲν μᾶλλον ἢ στρατείᾳ
προσεοικώς, ἀμφοτέροις δὲ συμφέρων, καὶ τοῖς ἡσυ-
χίαν ἄγειν καὶ τοῖς πολεμεῖν ἐπιθυμοῦσιν. εἴη γὰρ b
ἂν τοῖς μὲν ἀδεῶς τὰ σφέτερ' αὐτῶν καρποῦσθαι,
τοῖς δ' ἐκ τῶν ἀλλοτρίων μεγάλους πλούτους κατα-
κτήσασθαι.

183 (μθ'.) Πολλαχῇ δ' ἄν τις λογιζόμενος εὕροι ταύ-
τας τὰς πράξεις μάλιστα λυσιτελούσας ἡμῖν. φέρε γάρ,

πρὸς τίνας χρὴ πολεμεῖν τοὺς μηδεμιᾶς πλεονεξίας
ἐπιθυμοῦντας ἀλλ' αὐτὸ τὸ δίκαιον σκοποῦντας; οὐ
πρὸς τοὺς καὶ πρότερον κακῶς τὴν Ἑλλάδα ποιήσαν-
τας καὶ νῦν ἐπιβουλεύοντας καὶ πάντα τὸν χρόνον c
184 οὕτω πρὸς ἡμᾶς διακειμένους; τίσι δὲ φθονεῖν εἰκός
ἐστι τοὺς μὴ παντάπασιν ἀνάνδρως διακειμένους ἀλλὰ
μετρίως τούτῳ τῷ πράγματι χρωμένους; οὐ τοῖς μεί-
ζους μὲν τὰς δυναστείας ἢ κατ' ἀνθρώπους περιβε-
βλημένοις, ἐλάττονος δ' ἀξίοις τῶν παρ' ἡμῖν δυσ-
τυχούντων; ἐπὶ τίνας δὲ στρατεύειν προσήκει τοὺς ἅμα
μὲν εὐσεβεῖν βουλομένους, ἅμα δὲ τοῦ συμφέροντος
ἐνθυμουμένους; οὐκ ἐπὶ τοὺς καὶ φύσει πολεμίους
καὶ πατρικοὺς ἐχθροὺς, καὶ πλεῖστα μὲν ἀγαθὰ κεκτη- d
μένους, ἥκιστα δ' ὑπὲρ αὐτῶν ἀμύνεσθαι δυναμένους;
οὐκοῦν ἐκεῖνοι πᾶσι τούτοις ἔνοχοι τυγχάνουσιν ὄντες.
185 (ν'.) Καὶ μὴν οὐδὲ τὰς πόλεις λυπήσομεν στρατιώτας
ἐξ αὐτῶν καταλέγοντες, ὃ νῦν ἐν τῷ πολέμῳ τῷ πρὸς
ἀλλήλους ὀχληρότατόν ἐστιν αὐταῖς· πολὺ γὰρ οἶμαι
σπανιωτέρους ἔσεσθαι τοὺς μένειν ἐθελήσοντας τῶν
συνακολουθεῖν ἐπιθυμησόντων. τίς γὰρ οὕτως ἢ νέος
ἢ παλαιὸς ῥᾴθυμός ἐστιν, ὅστις οὐ μετασχεῖν βουλή- e
σεται ταύτης τῆς στρατιᾶς τῆς ὑπ' Ἀθηναίων μὲν καὶ
Λακεδαιμονίων στρατηγουμένης, ὑπὲρ δὲ τῆς τῶν
συμμάχων ἐλευθερίας ἀθροιζομένης, ὑπὸ δὲ τῆς
Ἑλλάδος ἁπάσης ἐκπεμπομένης, ἐπὶ δὲ τὴν τῶν βαρ-
186 βάρων τιμωρίαν πορευομένης; φήμην δὲ καὶ μνήμην
καὶ δόξαν πόσην τινὰ χρὴ νομίζειν ἢ ζῶντας ἕξειν ἢ 8
τελευτήσαντας καταλείψειν τοὺς ἐν τοῖς τοιούτοις ἔρ-
γοις ἀριστεύσαντας; ὅπου γὰρ οἱ πρὸς Ἀλέξανδρον
πολεμήσαντες καὶ μίαν πόλιν ἑλόντες τοιούτων ἐπαί-
νων ἠξιώθησαν, ποίων τινῶν χρὴ προσδοκᾶν ἐγκω-
μίων τεύξεσθαι τοὺς ὅλης τῆς Ἀσίας κρατήσαντας;

τίς γὰρ ἢ τῶν ποιεῖν δυναμένων ἢ τῶν λέγειν ἐπι-
σταμένων οὐ πονήσει καὶ φιλοσοφήσει βουλόμενος
ἅμα τῆς θ' αὑτοῦ διανοίας καὶ τῆς ἐκείνων ἀρετῆς μνη- b
μεῖον εἰς ἅπαντα τὸν χρόνον καταλιπεῖν;
187 (να'.) Οὐ τὴν αὐτὴν δὲ τυγχάνω γνώμην ἔχων
ἔν τε τῷ παρόντι καιρῷ καὶ περὶ τὰς ἀρχὰς τοῦ λόγου.
τότε μὲν γὰρ ᾤμην ἀξίως δυνήσεσθαι τῶν πραγμάτων
εἰπεῖν· νῦν δ' οὐκ ἐφικνοῦμαι τοῦ μεγέθους αὐτῶν,
ἀλλὰ πολλά με διαπέφευγεν ὧν διενοήθην. αὐτοὺς
οὖν χρὴ συνδιορᾶν, ὅσης ἂν εὐδαιμονίας τύχοιμεν,
εἰ τὸν μὲν πόλεμον τὸν νῦν ὄντα περὶ ἡμᾶς πρὸς τοὺς c
ἠπειρώτας ποιησαίμεθα, τὴν δ' εὐδαιμονίαν τὴν ἐκ
188 τῆς Ἀσίας εἰς τὴν Εὐρώπην διακομίσαιμεν, καὶ μὴ
μόνον ἀκροατὰς γενομένους ἀπελθεῖν, ἀλλὰ τοὺς μὲν
πράττειν δυναμένους παρακαλοῦντας ἀλλήλους πει-
ρᾶσθαι διαλλάττειν τήν τε πόλιν τὴν ἡμετέραν καὶ
τὴν Λακεδαιμονίων, τοὺς δὲ τῶν λόγων ἀμφισβητοῦν-
τας πρὸς μὲν τὴν παρακαταθήκην καὶ περὶ τῶν ἄλλων d
ὧν νῦν φλυαροῦσι παύεσθαι γράφοντας, πρὸς δὲ
τοῦτον τὸν λόγον ποιεῖσθαι τὴν ἅμιλλαν καὶ σκοπεῖν,
ὅπως ἄμεινον ἐμοῦ περὶ τῶν αὐτῶν πραγμάτων ἐροῦ-
189 σιν, ἐνθυμουμένους, ὅτι τοῖς μεγάλ' ὑπισχνουμένοις
οὐ πρέπει περὶ μικρὰ διατρίβειν, οὐδὲ τοιαῦτα λέγειν,
ἐξ ὧν ὁ βίος μηδὲν ἐπιδώσει τῶν πεισθέντων, ἀλλ'
ὧν ἐπιτελεσθέντων αὐτοί τ' ἀπαλλαγήσονται τῆς e
παρούσης ἀπορίας καὶ τοῖς ἄλλοις μεγάλων ἀγαθῶν
αἴτιοι δόξουσιν εἶναι.

5.
ΦΙΛΙΠΠΟΣ.

(α΄.) Μὴ θαυμάσῃς, ὦ Φίλιππε, διότι τοῦ λόγου 82
ποιήσομαι τὴν ἀρχὴν οὐ τοῦ πρὸς σὲ ῥηθησομένου
καὶ νῦν δειχθήσεσθαι μέλλοντος ἀλλὰ τοῦ περὶ Ἀμφι-
πόλεως γραφέντος. περὶ οὗ μικρὰ βούλομαι προειπεῖν,
ἵνα δηλώσω καὶ σοὶ καὶ τοῖς ἄλλοις, ὡς οὐ δι᾽ ἄγνοιαν
οὐδὲ διαψευσθεὶς τῆς ἀρρωστίας τῆς νῦν μοι παρού-
σης ἐπεθέμην γράφειν τὸν πρὸς σὲ λόγον ἀλλ᾽ εἰκό- b
τως καὶ κατὰ μικρὸν ὑπαχθείς.
2 (β΄.) Ὁρῶν γὰρ τὸν πόλεμον τὸν ἐνστάντα σοὶ
καὶ τῇ πόλει περὶ Ἀμφιπόλεως πολλῶν κακῶν αἴτιον
γιγνόμενον ἐπεχείρησα λέγειν περί τε τῆς πόλεως ταύ-
της καὶ τῆς χώρας οὐδὲν τῶν αὐτῶν οὔτε τοῖς ὑπὸ τῶν
σῶν ἑταίρων λεγομένοις οὔτε τοῖς ὑπὸ τῶν ῥητόρων
τῶν παρ᾽ ἡμῖν ἀλλ᾽ ὡς οἷόν τε πλεῖστον ἀφεστῶτα
3 τῆς τούτων διανοίας. οὗτοι μὲν γὰρ παρώξυνον ἐπὶ
τὸν πόλεμον, συναγορεύοντες ταῖς ἐπιθυμίαις ὑμῶν· c
ἐγὼ δὲ περὶ μὲν τῶν ἀμφισβητουμένων οὐδὲν ἀπεφαι-
νόμην, ὃν δ᾽ ὑπελάμβανον τῶν λόγων εἰρηνικώτατον
εἶναι, περὶ τοῦτον διέτριβον, λέγων, ὡς ἀμφότεροι
διαμαρτάνετε τῶν πραγμάτων, καὶ σὺ μὲν πολεμεῖς 83
ὑπὲρ τῶν ἡμῖν συμφερόντων, ἡ δὲ πόλις ὑπὲρ τῆς σῆς
δυναστείας· λυσιτελεῖν γὰρ σοὶ μὲν ἡμᾶς ἔχειν τὴν
χώραν ταύτην, τῇ δὲ πόλει μηδ᾽ ἐξ ἑνὸς τρόπου λαβεῖν
4 αὐτήν. καὶ περὶ τούτων οὕτως ἐδόκουν διεξιέναι τοῖς
ἀκούουσιν ὥστε μηδένα τὸν λόγον αὐτῶν μηδὲ τὴν
λέξιν ἐπαινεῖν ὡς ἀκριβῶς καὶ καθαρῶς ἔχουσαν, ὅπερ
εἰώθασί τινες ποιεῖν, ἀλλὰ τὴν ἀλήθειαν τῶν πραγμά-
των θαυμάζειν καὶ νομίζειν οὐδαμῶς ἂν ἄλλως παύ- b

5 σασθαι τῆς φιλονικίας ὑμᾶς, πλὴν εἰ σὺ μὲν πεισθείης
πλείονος ἀξίαν ἔσεσθαί σοι τὴν τῆς πόλεως φιλίαν ἢ
τὰς προσόδους τὰς ἐξ Ἀμφιπόλεως γιγνομένας, ἡ δὲ
πόλις δυνηθείη καταμαθεῖν, ὡς χρὴ τὰς μὲν τοιαύτας
φεύγειν ἀποικίας, αἵτινες τετράκις ἢ πεντάκις ἀπο-
λωλέκασι τοὺς ἐμπολιτευθέντας, ζητεῖν δ' ἐκείνους
τοὺς τόπους τοὺς πόρρω μὲν κειμένους τῶν ἄρχειν
δυναμένων, ἐγγὺς δὲ τῶν δουλεύειν εἰθισμένων, εἰς c
6 οἷόν περ Λακεδαιμόνιοι Κυρηναίους ἀπῴκισαν· πρὸς
δὲ τούτοις, εἰ σὺ μὲν γνοίης, ὅτι λόγῳ παραδοὺς τὴν
χώραν ἡμῖν ταύτην αὐτὸς ἔργῳ κρατήσεις αὐτῆς καὶ
προσέτι τὴν εὔνοιαν τὴν ἡμετέραν κτήσει· τοσούτους
γὰρ ὁμήρους λήψει παρ' ἡμῶν τῆς φιλίας, ὅσους περ
ἂν ἐποίκους εἰς τὴν σὴν δυναστείαν ἀποστείλωμεν,
τὸ δὲ πλῆθος ἡμῶν εἴ τις διδάξειεν, ὡς ἂν λάβωμεν
Ἀμφίπολιν, ἀναγκασθησόμεθα τὴν αὐτὴν εὔνοιαν d
ἔχειν τοῖς σοῖς πράγμασι διὰ τοὺς ἐνταῦθα κατοικοῦν-
τας, οἵαν περ εἴχομεν Ἀμαδόκῳ τῷ παλαιῷ διὰ τοὺς
7 ἐν Χερρονήσῳ γεωργοῦντας. τοιούτων δὲ πολλῶν λε-
γομένων ἤλπισαν, ὅσοι περ ἤκουσαν, διαδοθέντος τοῦ
λόγου διαλύσεσθαι τὸν πόλεμον ὑμᾶς καὶ γνωσιμαχή-
σαντας βουλεύσεσθαί τι κοινὸν ἀγαθὸν περὶ ὑμῶν
αὐτῶν. εἰ μὲν οὖν ἀφρόνως ἢ καὶ νοῦν ἐχόντως ταῦτ' e
ἐδόξαζον, δικαίως ἂν ἐκεῖνοι τὴν αἰτίαν ἔχοιεν· ὄντος
δ' οὖν ἐμοῦ περὶ τὴν πραγματείαν ταύτην ἔφθητε
ποιησάμενοι τὴν εἰρήνην πρὶν ἐξεργασθῆναι τὸν λό-
γον, σωφρονοῦντες· ὅπως γὰρ οὖν πεπρᾶχθαι κρεῖτ- 84
τον ἢν αὐτὴν ἢ συνέχεσθαι τοῖς κακοῖς τοῖς διὰ τὸν
8 πόλεμον γιγνομένοις. (δ'.) Συνησθεὶς δὲ τοῖς περὶ
τῆς εἰρήνης ψηφισθεῖσι καὶ νομίσας οὐ μόνον ἡμῖν
ἀλλὰ καὶ σοὶ καὶ τοῖς ἄλλοις Ἕλλησιν ἅπασι συνοίσειν,
ἀποστῆσαι μὲν τὴν ἐμαυτοῦ διάνοιαν τῶν ἐχομένων

οὐχ οἷός τ' ἦν, ἀλλ' οὕτω διεκείμην ὥστ' εὐθὺς σκο-
πεῖσθαι, πῶς ἂν τὰ πεπραγμένα παραμείνειεν ἡμῖν
καὶ μὴ χρόνον ὀλίγον ἡ πόλις ἡμῶν διαλιποῦσα πάλιν b
9 ἑτέρων πολέμων ἐπιθυμήσειε· διεξιὼν δὲ περὶ τούτων
πρὸς ἐμαυτὸν εὕρισκον οὐδαμῶς ἂν ἄλλως αὐτὴν
ἡσυχίαν ἄγουσαν, πλὴν εἰ δόξειε ταῖς πόλεσι ταῖς με-
γίσταις διαλυσαμέναις τὰ πρὸς σφᾶς αὐτὰς εἰς τὴν
Ἀσίαν τὸν πόλεμον ἐξενεγκεῖν, καὶ τὰς πλεονεξίας,
ἃς νῦν παρὰ τῶν Ἑλλήνων ἀξιοῦσιν αὑταῖς γίγνεσθαι,
ταύτας εἰ παρὰ τῶν βαρβάρων ποιήσασθαι βουληθεῖεν·
ἅπερ ἐν τῷ πανηγυρικῷ λόγῳ τυγχάνω συμβεβου- c
λευκώς.

10 (ε'.) Ταῦτα δὲ διανοηθεὶς καὶ νομίσας οὐδέποτ'
ἂν εὑρεθῆναι καλλίω ταύτης ὑπόθεσιν οὐδὲ κοινοτέ-
ραν οὐδὲ μᾶλλον ἅπασιν ἡμῖν συμφέρουσαν, ἐπήρθην
πάλιν γράψαι περὶ αὐτῆς, οὐκ ἀγνοῶν οὐδὲν τῶν περὶ
ἐμαυτὸν, ἀλλ' εἰδὼς μὲν τὸν λόγον τοῦτον οὐ τῆς ἡλι-
κίας τῆς ἐμῆς δεόμενον ἀλλ' ἀνδρὸς ἀνθοῦσαν τὴν
ἀκμὴν ἔχοντος καὶ τὴν φύσιν πολὺ τῶν ἄλλων δια-
11 φέροντος, ὁρῶν δ' ὅτι χαλεπόν ἐστι περὶ τὴν αὐτὴν d
ὑπόθεσιν δύο λόγους ἀνεκτῶς εἰπεῖν, ἄλλως τε κἂν
ὁ πρότερον ἐκδοθεὶς οὕτως ᾖ γεγραμμένος ὥστε καὶ
τοὺς βασκαίνοντας ἡμᾶς μιμεῖσθαι καὶ θαυμάζειν
αὐτὸν μᾶλλον τῶν καθ' ὑπερβολὴν ἐπαινούντων.
12 ἀλλ' ὅμως ἐγὼ ταύτας τὰς δυσχερείας ὑπεριδὼν οὕ-
τως ἐπὶ γήρως γέγονα φιλότιμος, ὥστ' ἠβουλήθην
ἅμα τοῖς πρὸς σὲ λεγομένοις καὶ τοῖς μετ' ἐμοῦ δια- e
τρίψασιν ὑποδεῖξαι καὶ ποιῆσαι φανερὸν, ὅτι τὸ μὲν
ταῖς πανηγύρεσιν ἐνοχλεῖν καὶ πρὸς ἅπαντας λέγειν
τοὺς συντρέχοντας ἐν αὐταῖς πρὸς οὐδένα λέγειν ἐστὶν,
ἀλλ' ὁμοίως οἱ τοιοῦτοι τῶν λόγων ἄκυροι τυγχάνου-
σιν ὄντες τοῖς νόμοις καὶ ταῖς πολιτείαις ταῖς ὑπὸ τῶν

13 σοφιστῶν γεγραμμέναις, δεῖ δὲ τοὺς βουλομένους μὴ
μάτην φλυαρεῖν ἀλλὰ προὔργου τι ποιεῖν, καὶ τοὺς οἰ- 85
ομένους ἀγαθόν τι κοινὸν εὑρηκέναι τοὺς μὲν ἄλλους
ἐᾶν πανηγυρίζειν, αὐτοὺς δ' ὧν εἰσηγοῦνται ποιήσα-
σθαί τινα προστάτην τῶν καὶ λέγειν καὶ πράττειν δυνα-
μένων καὶ δόξαν μεγάλην ἐχόντων, εἴπερ μέλλουσί τι-
14 νες προσέξειν αὐτοῖς τὸν νοῦν. (ϛ'.) Ἅπερ ἐγὼ γνοὺς
διαλεχθῆναι σοὶ προειλόμην, οὐ πρὸς χάριν ἐκλεξάμε-
νος, καίτοι πρὸ πολλοῦ ποιησαίμην ἂν σοι κεχαρισμένως b
εἰπεῖν, ἀλλ' οὐκ ἐπὶ τούτῳ τὴν διάνοιαν ἔσχον. ἀλλὰ
τοὺς μὲν ἄλλους ἑώρων τοὺς ἐνδόξους τῶν ἀνδρῶν
ὑπὸ πόλεσι καὶ νόμοις οἰκοῦντας, καὶ οὐδὲν ἐξὸν αὐ-
τοῖς ἄλλο πράττειν πλὴν τὸ προσταττόμενον, ἔτι δὲ
πολὺ καταδεεστέρους ὄντας τῶν πραγμάτων τῶν ῥη-
15 θησομένων, σοὶ δὲ μόνῳ πολλὴν ἐξουσίαν ὑπὸ τῆς
τύχης δεδομένην καὶ πρέσβεις πέμπειν πρὸς οὕστινας
ἂν βουληθῇς, καὶ δέχεσθαι παρ' ὧν ἄν σοι δοκῇ, καὶ
λέγειν ὅ τι ἂν ἡγῇ συμφέρειν, πρὸς δὲ τούτοις καὶ πλοῦ- c
τον καὶ δύναμιν κεκτημένον, ὅσην οὐδεὶς τῶν Ἑλλή-
νων, ἃ μόνα τῶν ὄντων καὶ πείθειν καὶ βιάζεσθαι πέ-
φυκεν· ὧν οἶμαι καὶ τὰ ῥηθησόμενα προσδεήσεσθαι.
16 μέλλω γάρ σοι συμβουλεύειν προστῆναι τῆς τε τῶν Ἑλ-
λήνων ὁμονοίας καὶ τῆς ἐπὶ τοὺς βαρβάρους στρατείας·
ἔστι δὲ τὸ μὲν πείθειν πρὸς τοὺς Ἕλληνας συμφέρον,
τὸ δὲ βιάζεσθαι πρὸς τοὺς βαρβάρους χρήσιμον. ἡ μὲν d
οὖν περιβολὴ παντὸς τοῦ λόγου τοιαύτη τίς ἐστιν.

17 (ζ'.) Οὐκ ὀκνήσω δὲ πρὸς σὲ κατειπεῖν, ἐφ' οἷς
ἐλύπησάν τινές με τῶν πλησιασάντων· οἶμαι γὰρ
ἔσεσθαί τι προὔργου. δηλώσαντος γάρ μου πρὸς αὐ-
τούς, ὅτι μέλλω σοι λόγον πέμπειν οὐκ ἐπίδειξιν ποιη-
σόμενον οὐδ' ἐγκωμιασόμενον τοὺς πολέμους τοὺς
διὰ σοῦ γεγενημένους, ἕτεροι γὰρ τοῦτο ποιήσουσιν,

ἀλλὰ πειρασόμενόν σε προτρέπειν ἐπὶ πράξεις οἰκειο- e
τέρας καὶ καλλίους καὶ μᾶλλον συμφερούσας ὧν νῦν
18 τυγχάνεις προῃρημένος, οὕτως ἐξεπλάγησαν, μὴ διὰ
τὸ γῆρας ἐξεστηκὼς ὦ τοῦ φρονεῖν, ὥστ' ἐτόλμησαν
ἐπιπλῆξαί μοι πρότερον οὐκ εἰωθότες τοῦτο ποιεῖν,
λέγοντες, ὡς ἀτόποις καὶ λίαν ἀνοήτοις ἐπιχειρῶ 80
πράγμασιν, „ὅστις Φιλίππῳ συμβουλεύσοντα λόγον
μέλλεις πέμπειν, ὃς εἰ καὶ πρότερον ἐνόμιζεν αὑτὸν
εἶναί τινος πρὸς τὸ φρονεῖν καταδεέστερον, νῦν διὰ
τὸ μέγεθος τῶν συμβεβηκότων οὐκ ἔστιν ὅπως οὐκ
οἴεται βέλτιον δύνασθαι βουλεύεσθαι τῶν ἄλλων.
19 ἔπειτα καὶ Μακεδόνων ἔχει περὶ αὑτὸν τοὺς σπου-
δαιοτάτους, οὓς εἰκός, εἰ καὶ περὶ τῶν ἄλλων ἀπείρως
ἔχουσι, τό γε συμφέρον ἐκείνῳ μᾶλλον ἢ σὲ γιγνώ- b
σκειν. ἔτι δὲ καὶ τῶν Ἑλλήνων πολλοὺς ἂν ἴδοις ἐκεῖ
κατοικοῦντας, οὐκ ἀδόξους ἄνδρας οὐδ' ἀνοήτους,
ἀλλ' οἷς ἐκεῖνος ἀνακοινούμενος οὐκ ἐλάττω τὴν βα-
20 σιλείαν πεποίηκεν ἀλλ' εὐχῆς ἄξια διαπέπρακται. τί
γὰρ ἐλλέλοιπεν; οὐ Θετταλοὺς μὲν τοὺς πρότερον
ἐπάρχοντας Μακεδονίας οὕτως οἰκείως πρὸς αὑτὸν
διακεῖσθαι πεποίηκεν ὥσθ' ἑκάστους αὐτῶν μᾶλλον
ἐκείνῳ πιστεύειν ἢ τοῖς συμπολιτευομένοις; τῶν δὲ c
πόλεων τῶν περὶ τὸν τόπον ἐκεῖνον τὰς μὲν ταῖς εὐερ-
γεσίαις πρὸς τὴν αὑτοῦ συμμαχίαν προσῆκται, τὰς δὲ
21 σφόδρα λυπούσας αὐτὸν ἀναστάτους πεποίηκεν; Μά-
γνητας δὲ καὶ Περραιβοὺς καὶ Παίονας κατέστραπται
καὶ πάντας ὑπηκόους αὑτοὺς εἴληφεν; τοῦ δ' Ἰλλυ-
ριῶν πλήθους πλὴν τῶν παρὰ τὸν Ἀδρίαν οἰκούντων
ἐγκρατὴς καὶ κύριος γέγονεν; ἁπάσης δὲ τῆς Θρᾴκης
οὓς ἠβουλήθη δεσπότας κατέστησεν; τὸν δὴ τοσαῦτα d
καὶ τηλικαῦτα διαπεπραγμένον οὐκ οἴει πολλὴν μω-
ρίαν καταγνώσεσθαι τοῦ πέμψαντος τὸ βιβλίον καὶ

πολὺ διεψεῦσθαι νομιεῖν τῆς τε τῶν λόγων δυνάμεως
22 καὶ τῆς αὑτοῦ διανοίας;“ ταῦτ᾽ ἀκούσας ὡς μὲν τὸ πρῶτον ἐξεπλάγην, καὶ πάλιν ὡς ἀναλαβὼν ἐμαυτὸν ἀντεῖπον πρὸς ἕκαστον τῶν ῥηθέντων, παραλείψω, μὴ καὶ δόξω τισὶ λίαν ἀγαπᾶν, εἰ χαριέντως αὐτοὺς ἠμυνάμην· λυπήσας δ᾽ οὖν μετρίως, ὡς ἐμαυτὸν ἔπειθον, e
τοὺς ἐπιπλῆξαί μοι τολμήσαντας, τελευτῶν ὑπεσχόμην μόνοις αὐτοῖς τὸν λόγον τῶν ἐν τῇ πόλει δείξειν καὶ ποιήσειν οὐδὲν ἄλλο περὶ αὐτοῦ, πλὴν ὅ τι ἂν ἐκείνοις
23 δόξῃ. τούτων ἀκούσαντες ἀπῆλθον, οὐκ οἶδ᾽ ὅπως τὴν 87
διάνοιαν ἔχοντες. πλὴν οὐ πολλαῖς ἡμέραις ὕστερον ἐπιτελεσθέντος τοῦ λόγου καὶ δειχθέντος αὐτοῖς τοσοῦτον μετέπεσον, ὥστ᾽ ᾐσχύνοντο μὲν ἐφ᾽ οἷς ἐθρασύναντο, μετέμελε δ᾽ αὐτοῖς ἁπάντων τῶν εἰρημένων, ὡμολόγουν δὲ μηδενὸς πώποτε τοσοῦτον πράγματος διαμαρτεῖν, ἔσπευδον δὲ μᾶλλον ἢ ἐγὼ πεμφθῆναί σοι τὸν λόγον τοῦτον, ἔλεγον δ᾽ ὡς ἐλπίζουσιν οὐ μόνον σὲ καὶ τὴν πόλιν ἕξειν μοι χάριν ὑπὲρ τῶν εἰρημένων b
ἀλλὰ καὶ τοὺς Ἕλληνας ἅπαντας.

24 (θ′.) Τούτου δ᾽ ἕνεκά σοι ταῦτα διῆλθον, ἵν᾽ ἄν τί σοι φανῇ τῶν ἐν ἀρχῇ λεγομένων ἢ μὴ πιστὸν ἢ μὴ δυνατὸν ἢ μὴ πρέπον σοι πράττειν, μὴ δυσχεράνας ἀποστῇς τῶν λοιπῶν, μηδὲ πάθῃς ταὐτὸν τοῖς ἐπιτηδείοις τοῖς ἐμοῖς ἀλλ᾽ ἐπιμείνῃς ἡσυχάζουσαν ἔχων τὴν διάνοιαν, ἕως ἂν διὰ τέλους ἀκούσῃς ἁπάντων τῶν λεγομένων. οἶμαι γὰρ ἐρεῖν τι τῶν δεόντων καὶ τῶν
25 σοὶ συμφερόντων. (ι′.) Καίτοι μ᾽ οὐ λέληθεν, ὅσον c
διαφέρουσι τῶν λόγων εἰς τὸ πείθειν οἱ λεγόμενοι τῶν ἀναγιγνωσκομένων, οὐδ᾽ ὅτι πάντες ὑπειλήφασι τοὺς μὲν περὶ σπουδαίων πραγμάτων καὶ κατεπειγόντων ῥητορεύεσθαι, τοὺς δὲ πρὸς ἐπίδειξιν καὶ πρὸς ἐργο-
26 λαβίαν γεγράφθαι. καὶ ταῦτ᾽ οὐκ ἀλόγως ἐγνώκασιν·

*ἐπειδὰν γὰρ ὁ λόγος ἀποστερηθῇ τῆς τε δόξης τῆς τοῦ
λέγοντος καὶ τῆς φωνῆς καὶ τῶν μεταβολῶν τῶν ἐν* d
*ταῖς ῥητορείαις γιγνομένων, ἔτι δὲ τῶν καιρῶν καὶ τῆς
σπουδῆς τῆς περὶ τὴν πρᾶξιν, καὶ μηδὲν ᾖ τὸ συνα-
γωνιζόμενον καὶ συμπεῖθον, ἀλλὰ τῶν μὲν προειρη-
μένων ἁπάντων ἔρημος γένηται καὶ γυμνὸς, ἀναγι-
γνώσκῃ δέ τις αὐτὸν ἀπιθάνως καὶ μηδὲν ἦθος ἐνση-*
27 *μαινόμενος ἀλλ' ὥσπερ ἀπαριθμῶν, εἰκότως, οἶμαι,
φαῦλος εἶναι δοκεῖ τοῖς ἀκούουσιν. ἅπερ καὶ τὸν νῦν
ἐπιδεικνύμενον μάλιστ' ἂν βλάψειε καὶ φαυλότερον
φαίνεσθαι ποιήσειεν· οὐδὲ γὰρ ταῖς περὶ τὴν λέξιν* e
*εὐρυθμίαις καὶ ποικιλίαις κεκοσμήκαμεν αὐτὸν, αἷς
αὐτός τε νεώτερος ὢν ἐχρώμην καὶ τοῖς ἄλλοις ὑπέ-
δειξα, δι' ὧν τοὺς λόγους ἡδίους ἂν ἅμα καὶ πιστο-*
28 *τέρους ποιοῖεν. ὧν οὐδὲν ἔτι δύναμαι διὰ τὴν ἡλικίαν,* 8
*ἀλλ' ἀπόχρη μοι τοσοῦτον, ἢν αὐτὰς τὰς πράξεις
ἁπλῶς δυνηθῶ διελθεῖν. ἡγοῦμαι δὲ καὶ σοὶ προσήκειν
ἁπάντων τῶν ἄλλων ἀμελήσαντι ταύταις μόναις προσ-
έχειν τὸν νοῦν. οὕτω δ' ἂν ἀκριβέστατα καὶ κάλλιστα*
29 *θεωρήσειας, εἴ τι τυγχάνομεν λέγοντες, ἢν τὰς μὲν
δυσχερείας τὰς περὶ τοὺς σοφιστὰς καὶ τοὺς ἀναγιγνω-
σκομένους τῶν λόγων ἀφέλῃς, ἀναλαμβάνων δ' ἕκα-* b
*στον αὐτῶν εἰς τὴν διάνοιαν ἐξετάζῃς, μὴ πάρεργον
ποιούμενος μηδὲ μετὰ ῥᾳθυμίας ἀλλὰ μετὰ λογισμοῦ
καὶ φιλοσοφίας, ἧς καὶ σὲ μετεσχηκέναι φασίν. μετὰ
γὰρ τούτων σκοπούμενος μᾶλλον ἢ μετὰ τῆς τῶν
πολλῶν δόξης ἄμεινον ἂν βουλεύσαιο περὶ αὐτῶν.
ἃ μὲν οὖν ἠβουλόμην μοι προειρῆσθαι, ταῦτ' ἐστίν.*
30 *(ια'.) Περὶ δ' αὐτῶν τῶν πραγμάτων ἤδη ποιήσομαι
τοὺς λόγους. φημὶ γὰρ χρῆναί σε τῶν μὲν ἰδίων μη-* c
*δενὸς ἀμελῆσαι, πειραθῆναι δὲ διαλλάξαι τήν τε πόλιν
τὴν Ἀργείων καὶ τὴν Λακεδαιμονίων καὶ τὴν Θηβαίων*

καὶ τὴν ἡμετέραν. ἢν γὰρ ταύτας συστῆσαι δυνηθῇς,
31 οὐ χαλεπῶς καὶ τὰς ἄλλας ὁμονοεῖν ποιήσεις· ἅπασαι
γάρ εἰσιν ὑπὸ ταῖς εἰρημέναις καὶ καταφεύγουσιν,
ὅταν φοβηθῶσιν, ἐφ' ἣν ἂν τύχωσι τούτων, καὶ τὰς
βοηθείας ἐντεῦθεν λαμβάνουσιν. ὥστ' ἂν τέτταρας d
μόνον πόλεις εὖ φρονεῖν πείσῃς, καὶ τὰς ἄλλας πολ-
λῶν κακῶν ἀπαλλάξεις.

32 (ιβ'.) Γνοίης δ' ἂν ὡς οὐδεμιᾶς σοι προσήκει τού-
των ὀλιγωρεῖν, ἢν ἀνενέγκῃς αὐτῶν τὰς πράξεις ἐπὶ
τοὺς σοὺς προγόνους· εὑρήσεις γὰρ ἑκάστῃ πολλὴν
φιλίαν πρὸς ὑμᾶς καὶ μεγάλας εὐεργεσίας ὑπαρχούσας.
Ἄργος μὲν γάρ ἐστί σοι πατρὶς, ἧς δίκαιον τοσαύτην
σε ποιεῖσθαι πρόνοιαν, ὅσην·περ τῶν γονέων τῶν
σαυτοῦ· Θηβαῖοι δὲ τὸν ἀρχηγὸν τοῦ γένους ὑμῶν e
τιμῶσι καὶ ταῖς προσόδοις καὶ ταῖς θυσίαις μᾶλλον ἢ
33 τοὺς θεοὺς τοὺς ἄλλους· Λακεδαιμόνιοι δὲ τοῖς ἀπ'
ἐκείνου γεγονόσι καὶ τὴν βασιλείαν καὶ τὴν ἡγεμονίαν
εἰς ἅπαντα τὸν χρόνον δεδώκασι· τὴν δὲ πόλιν τὴν 89
ἡμετέραν φασὶν, οἷσπερ περὶ τῶν παλαιῶν πιστεύομεν,
Ἡρακλεῖ μὲν συναιτίαν γενέσθαι τῆς ἀθανασίας, ὃν
δὲ τρόπον, σοὶ μὲν αὖθις πυθέσθαι ῥᾴδιον, ἐμοὶ δὲ
νῦν εἰπεῖν οὐ καιρὸς, τοῖς δὲ παισὶ τοῖς ἐκείνου τῆς
34 σωτηρίας. μόνη γὰρ ὑποστᾶσα τοὺς μεγίστους κινδύ-
νους πρὸς τὴν Εὐρυσθέως δύναμιν ἐκεῖνόν τε τῆς
ὕβρεως ἔπαυσε καὶ τοὺς παῖδας τῶν φόβων τῶν ἀεὶ
παραγιγνομένων αὐτοῖς ἀπήλλαξεν. ὑπὲρ ὧν οὐ μό- b
νον τοὺς τότε σωθέντας δίκαιον ἦν ἡμῖν χάριν ἔχειν
ἀλλὰ καὶ τοὺς νῦν ὄντας· διὰ γὰρ ἡμᾶς καὶ ζῶσι καὶ
τῶν ὑπαρχόντων ἀγαθῶν ἀπολαύουσι· μὴ γὰρ σω-
θέντων ἐκείνων οὐδὲ γενέσθαι τὸ παράπαν ὑπῆρχεν
αὐτοῖς.

35 (ιγ'.) Τοιούτων οὖν ἁπασῶν τῶν πόλεων γεγε-

νημένων ἔδει μὲν μηδέποτέ σοι μηδὲ πρὸς μίαν αὐτῶν
γενέσθαι διαφοράν. ἀλλὰ γὰρ ἅπαντες πλείω πεφύ-
καμεν ἐξαμαρτάνειν ἢ κατορθοῦν. ὥστε τὰ μὲν πρό-
τερον γεγενημένα κοινὰ θεῖναι δίκαιόν ἐστιν, εἰς δὲ
τὸν ἐπίλοιπον χρόνον φυλακτέον, ὅπως μηδὲν συμ-
βήσεταί σοι τοιοῦτον, καὶ σκεπτέον, τί ἂν ἀγαθὸν αὐ-
τὰς ἐργασάμενος φανείης ἄξια καὶ σαυτοῦ καὶ τῶν
36 ἐκείναις πεπραγμένων πεποιηκώς. ἔχεις δὲ καιρόν·
ἀποδιδόντα γάρ σε χάριν ὧν ὤφειλες, ὑπολήψονται
διὰ τὸ πλῆθος τοῦ χρόνου τοῦ μεταξὺ προϋπάρχειν
τῶν εὐεργεσιῶν. καλὸν δ' ἐστὶ δοκεῖν μὲν τὰς μεγί-
στας τῶν πόλεων εὖ ποιεῖν, μηδὲν δ' ἧττον αὐτὸν ἢ
37 'κείνας ὠφελεῖν. χωρὶς δὲ τούτων εἰ πρός τινας αὐτῶν
ἀηδές τί σοι συμβέβηκεν, ἅπαντα ταῦτα διαλύσεις·
αἱ γὰρ ἐν τοῖς παροῦσι καιροῖς εὐεργεσίαι λήθην ἐμ-
ποιοῦσι τῶν πρότερον [ὑμῖν] εἰς ἀλλήλους πεπλημμε-
λημένων. ἀλλὰ μὴν κἀκεῖνο φανερὸν, ὅτι πάντες ἄν-
θρωποι τούτων πλείστην μνείαν ἔχουσιν, ὧν ἂν ἐν
38 ταῖς συμφοραῖς εὖ πάθωσιν. ὁρᾷς δ' ὡς τεταλαιπώ-
ρηνται διὰ τὸν πόλεμον καὶ ὡς παραπλησίως ἔχουσι
τοῖς ἰδίᾳ μαχομένοις. καὶ γὰρ ἐκείνους αὐξομένης μὲν
τῆς ὀργῆς οὐδεὶς ἂν διαλλάξειεν· ἐπὴν δὲ κακῶς ἀλ-
λήλους διαθῶσιν, οὐδενὸς διαλύοντος αὐτοὶ διέστη-
σαν. ὅπερ οἶμαι καὶ ταύτας ποιήσειν, ἢν μὴ σὺ πρό-
τερον αὐτῶν ἐπιμεληθῇς.

39 (ιδ'.) Τάχ' οὖν ἄν τις ἐνστῆναι τοῖς εἰρημένοις
τολμήσειε, λέγων, ὡς ἐπιχειρῶ σε πείθειν ἀδυνάτοις
ἐπιτίθεσθαι πράγμασιν· οὔτε γὰρ Ἀργείους φίλους
ἄν ποτε γενέσθαι Λακεδαιμονίοις οὔτε Λακεδαιμο-
νίους Θηβαίοις οὔθ' ὅλως τοὺς εἰθισμένους ἅπαντα
τὸν χρόνον πλεονεκτεῖν οὐδέποτ' ἂν ἰσομοιρῆσαι πρὸς
40 ἀλλήλους. (ιε'.) Ἐγὼ δ' ὅτε μὲν ἡ πόλις ἡμῶν ἐν τοῖς

Ἕλλησιν ἐδυνάστευε καὶ πάλιν ἡ Λακεδαιμονίων, οὐ- b
δὲν ἂν ἡγοῦμαι περανθῆναι τούτων· ῥᾳδίως γὰρ ἂν
ἑκατέραν ἐμποδὼν γενέσθαι τοῖς πραττομένοις· νῦν
δ' οὐχ ὁμοίως ἔγνωκα περὶ αὐτῶν. οἶδα γὰρ ἁπάσας
ὡμαλισμένας ὑπὸ τῶν συμφορῶν, ὥσθ' ἡγοῦμαι πολὺ
μᾶλλον αὐτὰς αἱρήσεσθαι τὰς ἐκ τῆς ὁμονοίας ὠφε-
λείας ἢ τὰς ἐκ τῶν τότε πραττομένων πλεονεξίας.
41 (ις'.) Ἔπειτα τῶν μὲν ἄλλων ὁμολογῶ μηδέν' ἂν δυ-
νηθῆναι διαλλάξαι τὰς πόλεις ταύτας, σοὶ δ' οὐδὲν c
τῶν τοιούτων ἐστὶ χαλεπόν. ὁρῶ γάρ σε τῶν τοῖς ἄλ-
λοις ἀνελπίστων δοκούντων εἶναι καὶ παραδόξων πολ-
λὰ διαπεπραγμένον, ὥστ' οὐδὲν ἄτοπον, εἰ καὶ ταῦτα
μόνος συστῆσαι δυνηθείης. χρὴ δὲ τοὺς μέγα φρο-
νοῦντας καὶ τοὺς διαφέροντας μὴ τοῖς τοιούτοις ἐπι-
χειρεῖν, ἃ καὶ τῶν τυχόντων ἄν τις καταπράξειεν, ἀλλ'
ἐκείνοις οἷς μηδεὶς ἂν ἄλλος ἐπιχειρήσειε πλὴν τῶν
ὁμοίαν σοὶ καὶ τὴν φύσιν καὶ τὴν δύναμιν ἐχόντων. d
42 (ιζ'.) Θαυμάζω δὲ τῶν ἡγουμένων ἀδύνατον εἶ-
ναι πραχθῆναί τι τούτων, εἰ μήτ' αὐτοὶ τυγχάνουσιν
εἰδότες μήθ' ἑτέρων ἀκηκόασιν, ὅτι πολλοὶ δὴ πόλε-
μοι καὶ δεινοὶ γεγόνασιν, οὓς οἱ διαλυσάμενοι μεγά-
λων ἀγαθῶν ἀλλήλοις αἴτιοι κατέστησαν. τίς γὰρ ἂν
ὑπερβολὴ γένοιτο τῆς ἔχθρας τῆς πρὸς Ξέρξην τοῖς
Ἕλλησι γενομένης; οὗ τὴν φιλίαν ἅπαντες ἴσασιν
ἡμᾶς τε καὶ Λακεδαιμονίους μᾶλλον ἀγαπήσαντας ἢ e
τῶν συγκατασκευασάντων ἑκατέροις ἡμῶν τὴν ἀρχήν.
43 καὶ τί δεῖ λέγειν τὰ παλαιὰ καὶ τὰ πρὸς τοὺς βαρβά-
ρους; ἀλλ' εἴ τις ἀθρήσειε καὶ σκέψαιτο τὰς τῶν Ἑλ-
λήνων συμφοράς, οὐδὲν ἂν μέρος οὖσαι φανεῖεν τῶν
διὰ Θηβαίους καὶ Λακεδαιμονίους ἡμῖν γεγενημένων. 91
ἀλλ' οὐδὲν ἧττον Λακεδαιμονίων τε στρατευσάντων
ἐπὶ Θηβαίους καὶ βουλομένων λυμήνασθαι τὴν Βοιω-

νημένων ἔδει μὲν μηδέποτέ σοι μηδὲ πρὸς μίαν αὐτῶν
γενέσθαι διαφοράν. ἀλλὰ γὰρ ἅπαντες πλείω πεφύ-
καμεν ἐξαμαρτάνειν ἢ κατορθοῦν. ὥστε τὰ μὲν πρό-
τερον γεγενημένα κοινὰ θεῖναι δίκαιόν ἐστιν, εἰς δὲ c
τὸν ἐπίλοιπον χρόνον φυλακτέον, ὅπως μηδὲν συμ-
βήσεταί σοι τοιοῦτον, καὶ σκεπτέον, τί ἂν ἀγαθὸν αὐ-
τὰς ἐργασάμενος φανείης ἄξια καὶ σαυτοῦ καὶ τῶν
36 ἐκείναις πεπραγμένων πεποιηκώς. ἔχεις δὲ καιρόν·
ἀποδιδόντα γάρ σε χάριν ὧν ὤφειλες, ὑπολήψονται
διὰ τὸ πλῆθος τοῦ χρόνου τοῦ μεταξὺ προϋπάρχειν
τῶν εὐεργεσιῶν. καλὸν δ' ἐστὶ δοκεῖν μὲν τὰς μεγί-
στας τῶν πόλεων εὖ ποιεῖν, μηδὲν δ' ἧττον αὐτὸν ἢ d
37 'κείνας ὠφελεῖν. χωρὶς δὲ τούτων εἰ πρός τινας αὐτῶν
ἀηδές τί σοι συμβέβηκεν, ἅπαντα ταῦτα διαλύσεις·
αἱ γὰρ ἐν τοῖς παροῦσι καιροῖς εὐεργεσίαι λήθην ἐμ-
ποιοῦσι τῶν πρότερον [ὑμῖν] εἰς ἀλλήλους πεπλημμε-
λημένων. ἀλλὰ μὴν κἀκεῖνο φανερὸν, ὅτι πάντες ἄν-
θρωποι τούτων πλείστην μνείαν ἔχουσιν, ὧν ἂν ἐν
38 ταῖς συμφοραῖς εὖ πάθωσιν. ὁρᾷς δ' ὡς τεταλαιπώ-
ρηνται διὰ τὸν πόλεμον καὶ ὡς παραπλησίως ἔχουσι e
τοῖς ἰδίᾳ μαχομένοις. καὶ γὰρ ἐκείνους αὐξομένης μὲν
τῆς ὀργῆς οὐδεὶς ἂν διαλλάξειεν· ἐπὴν δὲ κακῶς ἀλ-
λήλους διαθῶσιν, οὐδενὸς διαλύοντος αὐτοὶ διέστη-
σαν. ὅπερ οἶμαι καὶ ταύτας ποιήσειν, ἢν μὴ σὺ πρό- 9
τερον αὐτῶν ἐπιμεληθῇς.

39 (ιδ'.) Τάχ' οὖν ἄν τις ἐνστῆναι τοῖς εἰρημένοις
τολμήσειε, λέγων, ὡς ἐπιχειρῶ σε πείθειν ἀδυνάτοις
ἐπιτίθεσθαι πράγμασιν· οὔτε γὰρ Ἀργείους φίλους
ἄν ποτε γενέσθαι Λακεδαιμονίοις οὔτε Λακεδαιμο-
νίους Θηβαίοις οὔθ' ὅλως τοὺς εἰθισμένους ἅπαντα
τὸν χρόνον πλεονεκτεῖν οὐδέποτ' ἂν ἰσομοιρῆσαι πρὸς
40 ἀλλήλους. (ιε'.) Ἐγὼ δ' ὅτε μὲν ἡ πόλις ἡμῶν ἐν τοῖς

Ἕλλησιν ἐδυνάστευε καὶ πάλιν ἡ Λακεδαιμονίων, οὐ- b
δὲν ἂν ἡγοῦμαι περανθῆναι τούτων· ῥᾳδίως γὰρ ἂν
ἑκατέραν ἐμποδὼν γενέσθαι τοῖς πραττομένοις· νῦν
δ' οὐχ ὁμοίως ἔγνωκα περὶ αὐτῶν. οἶδα γὰρ ἁπάσας
ὡμαλισμένας ὑπὸ τῶν συμφορῶν, ὥσθ' ἡγοῦμαι πολὺ
μᾶλλον αὐτὰς αἱρήσεσθαι τὰς ἐκ τῆς ὁμονοίας ὠφε-
λείας ἢ τὰς ἐκ τῶν τότε πραττομένων πλεονεξίας.
41 (ιϛ'.) Ἔπειτα τῶν μὲν ἄλλων ὁμολογῶ μηδέν' ἂν δυ-
νηθῆναι διαλλάξαι τὰς πόλεις ταύτας, σοὶ δ' οὐδὲν c
τῶν τοιούτων ἐστὶ χαλεπόν. ὁρῶ γάρ σε τῶν τοῖς ἄλ-
λοις ἀνελπίστων δοκούντων εἶναι καὶ παραδόξων πολ-
λὰ διαπεπραγμένον, ὥστ' οὐδὲν ἄτοπον, εἰ καὶ ταῦτα
μόνος συστῆσαι δυνηθείης. χρὴ δὲ τοὺς μέγα φρο-
νοῦντας καὶ τοὺς διαφέροντας μὴ τοῖς τοιούτοις ἐπι-
χειρεῖν, ἃ καὶ τῶν τυχόντων ἄν τις καταπράξειεν, ἀλλ'
ἐκείνοις οἷς μηδεὶς ἂν ἄλλος ἐπιχειρήσειε πλὴν τῶν
ὁμοίαν σοὶ καὶ τὴν φύσιν καὶ τὴν δύναμιν ἐχόντων. d
42 (ιζ'.) Θαυμάζω δὲ τῶν ἡγουμένων ἀδύνατον εἶ-
ναι πραχθῆναί τι τούτων, εἰ μήτ' αὐτοὶ τυγχάνουσιν
εἰδότες μήθ' ἑτέρων ἀκηκόασιν, ὅτι πολλοὶ δὴ πόλε-
μοι καὶ δεινοὶ γεγόνασιν, οὓς οἱ διαλυσάμενοι μεγά-
λων ἀγαθῶν ἀλλήλοις αἴτιοι κατέστησαν. τίς γὰρ ἂν
ὑπερβολὴ γένοιτο τῆς ἔχθρας τῆς πρὸς Ξέρξην τοῖς
Ἕλλησι γενομένης; οὗ τὴν φιλίαν ἅπαντες ἴσασιν
ἡμᾶς τε καὶ Λακεδαιμονίους μᾶλλον ἀγαπήσαντας ἢ e
τῶν συγκατασκευασάντων ἑκατέροις ἡμῶν τὴν ἀρχήν.
43 καὶ τί δεῖ λέγειν τὰ παλαιὰ καὶ τὰ πρὸς τοὺς βαρβά-
ρους; ἀλλ' εἴ τις ἀθρήσειε καὶ σκέψαιτο τὰς τῶν Ἑλ-
λήνων συμφοράς, οὐδὲν ἂν μέρος οὖσαι φανεῖεν τῶν
διὰ Θηβαίους καὶ Λακεδαιμονίους ἡμῖν γεγενημένων. 91
ἀλλ' οὐδὲν ἧττον Λακεδαιμονίων τε στρατευσάντων
ἐπὶ Θηβαίους καὶ βουλομένων λυμήνασθαι τὴν Βοιω-

τίαν καὶ διοικίσαι τὰς πόλεις, βοηθήσαντες ἡμεῖς ἐμ-
44 ποδὼν ἐγενόμεθα ταῖς ἐκείνων ἐπιθυμίαις· καὶ πάλιν
μεταπεσούσης τῆς τύχης καὶ Θηβαίων καὶ Πελοποννη-
σίων ἁπάντων ἐπιχειρησάντων ἀνάστατον ποιῆσαι
τὴν Σπάρτην, ἡμεῖς καὶ πρὸς ἐκείνους μόνοι τῶν Ἑλ-
λήνων ποιησάμενοι συμμαχίαν συναίτιοι τῆς σωτη- b
45 ρίας αὐτοῖς κατέστημεν. πολλῆς οὖν ἀνοίας ἂν εἴη
μεστὸς, εἴ τις ὁρῶν τηλικαύτας μεταβολὰς γιγνομένας
καὶ τὰς πόλεις μήτ' ἔχθρας μήθ' ὅρκων μήτ' ἄλλου
μηδενὸς φροντιζούσας, πλὴν ὅ τι ἂν ὑπολάβωσιν ὠφέ-
λιμον αὐταῖς εἶναι, τοῦτο δὲ στεργούσας μόνον καὶ
πᾶσαν τὴν σπουδὴν περὶ τούτου ποιουμένας, μὴ καὶ
νῦν νομίζοι τὴν αὐτὴν γνώμην ἕξειν αὐτὰς, ἄλλως τε
καὶ σοῦ μὲν ἐπιστατοῦντος ταῖς διαλλαγαῖς, τοῦ δὲ c
συμφέροντος πείθοντος, τῶν δὲ παρόντων κακῶν
ἀναγκαζόντων. ἐγὼ μὲν γὰρ οἶμαι τούτων σοι συνα-
γωνιζομένων ἅπαντα γενήσεσθαι κατὰ τρόπον.

46 (ιη'.) Ἡγοῦμαι δ' οὕτως ἂν σε μάλιστα καταμα-
θεῖν, εἴτ' εἰρηνικῶς εἴτε πολεμικῶς αἱ πόλεις αὗται
πρὸς ἀλλήλας ἔχουσιν, εἰ διεξέλθοιμεν μήτε παντά-
πασιν ἁπλῶς μήτε λίαν ἀκριβῶς τὰ μέγιστα τῶν παρ-
όντων αὐταῖς, καὶ πρῶτον μὲν σκεψαίμεθα τὰ Λακε- d
δαιμονίων.

47 (ιθ'.) Οὗτοι γὰρ ἄρχοντες τῶν Ἑλλήνων, οὐ πολὺς
χρόνος ἐξ οὗ, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, εἰς το-
σαύτην μεταβολὴν ἦλθον, ἐπειδὴ τὴν μάχην ἡττήθη-
σαν τὴν ἐν Λεύκτροις, ὥστ' ἀπεστερήθησαν μὲν τῆς
ἐν τοῖς Ἕλλησι δυναστείας, τοιούτους δ' ἄνδρας ἀπώ-
λεσαν σφῶν αὐτῶν, οἳ προῄρουντο τεθνάναι μᾶλλον
48 ἢ ζῆν ἡττηθέντες ὧν πρότερον ἐδέσποζον. πρὸς δὲ
τούτοις ἐπεῖδον Πελοποννησίους ἅπαντας τοὺς πρότε-
ρον μεθ' αὐτῶν ἐπὶ τοὺς ἄλλους ἀκολουθοῦντας, τού- e

τους μετὰ Θηβαίων εἰς τὴν αὑτῶν εἰσβαλόντας, πρὸς
οὓς ἠναγκάσθησαν διακινδυνεύειν οὐκ ἐν τῇ χώρᾳ
περὶ τῶν καρπῶν ἀλλ' ἐν μέσῃ τῇ πόλει πρὸς αὐτοῖς
τοῖς ἀρχείοις περὶ παίδων καὶ γυναικῶν τοιοῦτον κίν-
δυνον, ὃν μὴ κατορθώσαντες μὲν εὐθὺς ἀπώλλυντο, 92
49 νικήσαντες δ' οὐδὲν μᾶλλον ἀπηλλαγμένοι τῶν κακῶν
εἰσιν, ἀλλὰ πολεμοῦνται μὲν ὑπὸ τῶν τὴν χώραν αὐ-
τῶν περιοικούντων, ἀπιστοῦνται δ' ὑφ' ἁπάντων Πε-
λοποννησίων, μισοῦνται δ' ὑπὸ τοῦ πλήθους τῶν
Ἑλλήνων, ἄγονται δὲ καὶ φέρονται καὶ τῆς νυκτὸς καὶ
τῆς ἡμέρας ὑπὸ τῶν οἰκετῶν τῶν σφετέρων αὐτῶν,
οὐδένα δὲ χρόνον διαλείπουσιν ἢ στρατεύοντες ἐπί
τινας ἢ μαχόμενοι πρός τινας ἢ βοηθοῦντες τοῖς ἀπολ- b
50 λυμένοις αὐτῶν. τὸ δὲ μέγιστον τῶν κακῶν· δεδιότες
γὰρ διατελοῦσι, μὴ Θηβαῖοι διαλυσάμενοι τὰ πρὸς
Φωκέας πάλιν ἐπανελθόντες μείζοσιν αὐτοὺς συμ-
φοραῖς περιβάλωσι τῶν πρότερον γεγενημένων. καί-
τοι πῶς οὐ χρὴ νομίζειν τοὺς οὕτω διακειμένους ἀσμέ-
νους ἂν ἰδεῖν ἐπιστατοῦντα τῆς εἰρήνης ἀξιόχρεων
ἄνδρα καὶ δυνάμενον διαλῦσαι τοὺς ἐνεστῶτας πολέ-
μους αὐτοῖς; c

51 (κ'.) Ἀργείους τοίνυν ἴδοις ἂν τὰ μὲν παραπλη-
σίως τοῖς εἰρημένοις πράττοντας, τὰ δὲ χεῖρον τούτων
ἔχοντας· πολεμοῦσι μὲν γάρ, ἐξ οὗπερ τὴν πόλιν οἰ-
κοῦσι, πρὸς τοὺς ὁμόρους, ὥσπερ Λακεδαιμόνιοι, το-
σοῦτον δὲ διαφέρουσιν, ὅσον ἐκεῖνοι μὲν πρὸς ἥττους
αὑτῶν, οὗτοι δὲ πρὸς κρείττους· ὃ πάντες ἂν ὁμολο-
γήσειαν μέγιστον εἶναι τῶν κακῶν. οὕτω δὲ τὰ περὶ
τὸν πόλεμον ἀτυχοῦσιν, ὥστ' ὀλίγου δεῖν καθ' ἕκα-
στον τὸν ἐνιαυτὸν τεμνομένην καὶ πορθουμένην τὴν d
52 αὑτῶν χώραν περιορῶσιν. ὃ δὲ πάντων δεινότατον·
ὅταν γὰρ οἱ πολέμιοι διαλίπωσι κακῶς αὐτοὺς ποιοῦν-

τες, αὐτοὶ τοὺς ἐνδοξοτάτους καὶ πλουσιωτάτους τῶν
πολιτῶν ἀπολλύουσι, καὶ ταῦτα δρῶντες οὕτω χαίρου-
σιν, ὡς οὐδένες ἄλλοι τοὺς πολεμίους ἀποκτείνοντες.
αἴτιον δ' ἐστὶ τοῦ ταραχωδῶς αὐτοὺς ζῆν οὕτως οὐδὲν
ἄλλο πλὴν ὁ πόλεμος· ὃν ἢν διαλύσῃς, οὐ μόνον αὐ-
τοὺς τούτων ἀπαλλάξεις ἀλλὰ καὶ περὶ τῶν ἄλλων e
ἄμεινον βουλεύεσθαι ποιήσεις.
53 (κα΄.) Ἀλλὰ μὴν τὰ περὶ Θηβαίους οὐδὲ σὲ λέλη-
θεν. καλλίστην γὰρ μάχην νικήσαντες καὶ μεγίστην
ἐξ αὐτῆς δόξαν λαβόντες διὰ τὸ μὴ καλῶς χρῆσθαι
ταῖς εὐτυχίαις οὐδὲν βέλτιον πράττουσι τῶν ἡττηθέν-
των καὶ δυστυχησάντων. οὐ γὰρ ἔφθασαν τῶν ἐχθρῶν
κρατήσαντες, καὶ πάντων ἀμελήσαντες ἠνώχλουν μὲν 93
ταῖς πόλεσι ταῖς ἐν Πελοποννήσῳ, Θετταλίαν δ' ἐτόλ-
μων καταδουλοῦσθαι, Μεγαρεῦσι δ' ὁμόροις οὖσιν
ἠπείλουν, τὴν δ' ἡμετέραν πόλιν μέρος τι τῆς χώρας
ἀπεστέρουν, Εὔβοιαν δ' ἐπόρθουν, εἰς Βυζάντιον δὲ
τριήρεις ἐξέπεμπον, ὡς καὶ γῆς καὶ θαλάττης ἄρξοντες.
54 τελευτῶντες δὲ πρὸς Φωκέας πόλεμον ἐξήνεγκαν ὡς
τῶν τε πόλεων ἐν ὀλίγῳ χρόνῳ κρατήσοντες, τόν τε
τόπον ἅπαντα τὸν περιέχοντα κατασχήσοντες, τῶν τε
χρημάτων τῶν ἐν Δελφοῖς περιγενησόμενοι ταῖς ἐκ b
τῶν ἰδίων δαπάναις. ὧν οὐδὲν αὐτοῖς ἀποβέβηκεν,
ἀλλ' ἀντὶ μὲν τοῦ λαβεῖν τὰς Φωκέων πόλεις τὰς αὐ-
τῶν ἀπολωλέκασιν, εἰσβάλλοντες δ' εἰς τὴν τῶν πο-
λεμίων ἐλάττω κακὰ ποιοῦσιν ἐκείνους ἢ πάσχουσιν
55 ἀπιόντες εἰς τὴν αὑτῶν· ἐν μὲν γὰρ τῇ Φωκίδι τῶν
μισθοφόρων τινὰς ἀποκτείνουσιν, οἷς λυσιτελεῖ τε-
θνάναι μᾶλλον ἢ ζῆν, ἀναχωροῦντες δὲ τοὺς ἐνδοξο-
τάτους αὑτῶν καὶ μάλιστα τολμῶντας ὑπὲρ τῆς πα- c
τρίδος ἀποθνήσκειν ἀπολλύουσιν. εἰς τοῦτο δ' αὐτῶν
τὰ πράγματα περιέστηκεν, ὥστ' ἐλπίσαντες ἅπαν-

τας τοὺς Ἕλληνας ὑφ' αὑτοῖς ἔσεσθαι νῦν ἐν σοὶ τὰς
ἐλπίδας ἔχουσι τῆς αὑτῶν σωτηρίας. ὥστ' οἶμαι καὶ
τούτους ταχέως ποιήσειν, ὅ τι ἂν σὺ κελεύῃς καὶ συμ-
βουλεύῃς.

56 (κβ'.) Λοιπὸν δ' ἂν ἦν ἡμῖν ἔτι περὶ τῆς πόλεως
διαλεχθῆναι τῆς ἡμετέρας, εἰ μὴ προτέρα τῶν ἄλλων
εὖ φρονήσασα τὴν εἰρήνην ἐπεποίητο. νῦν δ' αὐτὴν d
οἶμαι καὶ συναγωνιεῖσθαι τοῖς ὑπὸ σοῦ πραττομένοις,
ἄλλως τε κἂν δυνηθῇ συνιδεῖν, ὅτι ταῦτα διοικεῖς πρὸ
τῆς ἐπὶ τὸν βάρβαρον στρατείας.

57 (κγ'.) Ὡς μὲν οὖν οὐκ ἀδύνατόν ἐστί σοι συστῆ-
σαι τὰς πόλεις ταύτας, ἐκ τῶν εἰρημένων ἡγοῦμαί σοι
γεγενῆσθαι φανερόν· ἔτι τοίνυν ὡς καὶ ῥᾳδίως ταῦτα
πράξεις, ἐκ πολλῶν παραδειγμάτων οἶμαί σε γνῶναι
ποιήσειν. ἢν γὰρ φανῶσιν ἕτεροί τινες τῶν προγεγε- e
νημένων μὴ καλλίοσι μὲν μηδ' ὁσιωτέροις ὧν ἡμεῖς
συμβεβουλεύκαμεν ἐπιχειρήσαντες, μείζω δὲ καὶ δυσ-
κολώτερα τούτων ἐπιτελέσαντες, τί λοιπὸν ἔσται τοῖς
ἀντιλέγουσιν, ὡς οὐ θᾶττον σὺ τὰ ῥᾴω πράξεις ἢ
'κεῖνοι τὰ χαλεπώτερα;

58 (κδ'.) Σκέψαι δὲ πρῶτον μὲν τὰ περὶ Ἀλκιβιά- 94
δην. ἐκεῖνος γὰρ φυγὼν παρ' ἡμῶν καὶ τοὺς ἄλλους
ὁρῶν τοὺς πρὸ αὑτοῦ ταύτῃ τῇ συμφορᾷ κεχρημένους
ἐπτηχότας διὰ τὸ μέγεθος τὸ τῆς πόλεως, οὐ τὴν αὐ-
τὴν γνώμην ἔσχεν ἐκείνοις ἀλλ' οἰηθεὶς πειρατέον εἶ-
ναι βίᾳ κατελθεῖν προείλετο πολεμεῖν πρὸς αὐτήν.
59 καθ' ἕκαστον μὲν οὖν τῶν τότε γενομένων εἴ τις λέ-
γειν ἐπιχειρήσειεν, οὔτ' ἂν διελθεῖν ἀκριβῶς δύναι-
το, πρός τε τὸ παρὸν ἴσως ἂν ἐνοχλήσειεν· εἰς τοσαύ- b
την δὲ ταραχὴν κατέστησεν οὐ μόνον τὴν πόλιν ἀλλὰ
καὶ Λακεδαιμονίους καὶ τοὺς ἄλλους Ἕλληνας, ὥσθ'
ἡμᾶς μὲν παθεῖν, ἃ πάντες ἴσασι, τοὺς δ' ἄλλους τη-

60 λικούτοις κακοῖς περιπεσεῖν ὥστε μηδέπω νῦν ἐξιτή-
λους εἶναι τὰς συμφορὰς τὰς δι' ἐκεῖνον τὸν πόλεμον
ἐν ταῖς πόλεσιν ἐγγεγενημένας, Λακεδαιμονίους δὲ
τοὺς τότε δόξαντας εὐτυχεῖν εἰς τὰς νῦν ἀτυχίας δι'
Ἀλκιβιάδην καθεστάναι· πεισθέντες γὰρ ὑπ' αὐτοῦ c
τῆς κατὰ θάλατταν δυνάμεως ἐπιθυμῆσαι καὶ τὴν κατὰ
61 γῆν ἡγεμονίαν ἀπώλεσαν, ὥστ' εἴ τις φαίη τότε τὴν
ἀρχὴν αὐτοῖς γίγνεσθαι τῶν παρόντων κακῶν, ὅτε
τὴν ἀρχὴν τῆς θαλάττης ἐλάμβανον, οὐκ ἂν ἐξελεγ-
χθείη ψευδόμενος. ἐκεῖνος μὲν οὖν τηλικούτων αἴ-
τιος γενόμενος κατῆλθεν εἰς τὴν πόλιν, μεγάλης μὲν
δόξης τυχών, οὐ μὴν ἐπαινούμενος ὑφ' ἁπάντων.
(κε'.) Κόνων δ' οὐ πολλοῖς ἔτεσιν ὕστερον ἀντίστρο-
62 φα τούτων ἔπραξεν. ἀτυχήσας γὰρ ἐν τῇ ναυμαχίᾳ τῇ d
περὶ Ἑλλήσποντον οὐ δι' αὑτὸν ἀλλὰ διὰ τοὺς συνάρ-
χοντας οἴκαδε μὲν ἀφικέσθαι κατῃσχύνθη, πλεύσας δ'
εἰς Κύπρον χρόνον μέν τινα περὶ τὴν τῶν ἰδίων ἐπι-
μέλειαν διέτριβεν, αἰσθόμενος δ' Ἀγησίλαον μετὰ
πολλῆς δυνάμεως εἰς τὴν Ἀσίαν διαβεβηκότα καὶ
63 πορθοῦντα τὴν χώραν οὕτω μέγ' ἐφρόνησεν, ὥστ'
ἀφορμὴν οὐδεμίαν ἄλλην ἔχων πλὴν τὸ σῶμα καὶ τὴν e
διάνοιαν ἤλπισε Λακεδαιμονίους καταπολεμήσειν ἄρ-
χοντας τῶν Ἑλλήνων καὶ κατὰ γῆν καὶ κατὰ θάλατ-
ταν, καὶ ταῦτα πέμπων ὡς τοὺς βασιλέως στρατηγοὺς
ὑπισχνεῖτο ποιήσειν. καὶ τί δεῖ τὰ πλείω λέγειν; συ-
στάντος γὰρ αὐτῷ ναυτικοῦ περὶ Ῥόδον, νικήσας τῇ
ναυμαχίᾳ Λακεδαιμονίους μὲν ἐξέβαλεν ἐκ τῆς ἀρ- 9
64 χῆς, τοὺς δ' Ἕλληνας ἠλευθέρωσεν, οὐ μόνον δὲ τὰ
τείχη τὰ τῆς πατρίδος ἀνώρθωσεν ἀλλὰ καὶ τὴν πόλιν
εἰς τὴν αὐτὴν δόξαν προήγαγεν, ἐξ ἧσπερ ἐξέπεσεν.
καίτοι τίς ἂν προσεδόκησεν ὑπ' ἀνδρὸς οὕτω ταπεινῶς
πράξαντος ἀναστραφήσεσθαι τὰ τῆς Ἑλλάδος πράγμα-

τα, καὶ τὰς μὲν ἀτιμωθήσεσθαι, τὰς δ' ἐπιπολάσειν
τῶν Ἑλληνίδων πόλεων;

65 (κϛ'.) Διονύσιος τοίνυν, βούλομαι γὰρ ἐκ πολ-
λῶν σε πεισθῆναι ῥᾳδίαν εἶναι τὴν πρᾶξιν, ἐφ' ἣν σε b
τυγχάνω παρακαλῶν, πολλοστὸς ὢν Συρακοσίων καὶ
τῷ γένει καὶ τῇ δόξῃ καὶ τοῖς ἄλλοις ἅπασιν, ἐπιθυ-
μήσας μοναρχίας ἀλόγως καὶ μανικῶς καὶ τολμήσας
ἅπαντα πράττειν τὰ φέροντα πρὸς τὴν δύναμιν ταύ-
την, κατέσχε μὲν Συρακούσας, ἁπάσας δὲ τὰς ἐν Σι-
κελίᾳ πόλεις, ὅσαι περ ἦσαν Ἑλληνίδες, κατεστρέψατο,
τηλικαύτην δὲ δύναμιν περιεβάλετο καὶ πεζὴν καὶ ναυ-
τικὴν, ὅσην οὐδεὶς ἀνὴρ τῶν πρὸ ἐκείνου γενομένων. c

66 (κζ'.) Ἔτι τοίνυν Κῦρος, ἵνα μνησθῶμεν καὶ περὶ τῶν
βαρβάρων, ἐκτεθεὶς μὲν ὑπὸ τῆς μητρὸς εἰς τὴν ὁδὸν,
ἀναιρεθεὶς δ' ὑπὸ Περσίδος γυναικὸς, εἰς τοσαύτην
ἦλθε μεταβολὴν ὥσθ' ἁπάσης τῆς Ἀσίας γενέσθαι δε-
σπότης.

67 (κη'.) Ὅπου δ' Ἀλκιβιάδης μὲν φυγὰς ὢν, Κό-
νων δὲ δεδυστυχηκὼς, Διονύσιος δ' οὐκ ἔνδοξος ὢν,
Κῦρος δ' οὕτως οἰκτρᾶς αὐτῷ τῆς ἐξ ἀρχῆς γενέσεως
ὑπαρξάσης, εἰς τοσοῦτον προῆλθον καὶ τηλικαῦτα διε- d
πράξαντο, πῶς οὐ σέ γε χρὴ προσδοκᾶν, τὸν ἐκ τοιού-
των μὲν γεγονότα, Μακεδονίας δὲ βασιλεύοντα, το-
σούτων δὲ κύριον ὄντα, ῥᾳδίως τὰ προειρημένα συ-
στήσειν;

68 (κθ'.) Σκέψαι δ' ὡς ἄξιόν ἐστι τοῖς τοιούτοις τῶν
ἔργων μάλιστ' ἐπιχειρεῖν, ἐν οἷς κατορθώσας μὲν ἐνά-
μιλλον τὴν σαυτοῦ δόξαν καταστήσεις τοῖς πρωτεύ-
σασι, διαμαρτὼν δὲ τῆς προσδοκίας ἀλλ' οὖν τήν γ'
εὔνοιαν κτήσει τὴν παρὰ τῶν Ἑλλήνων, ἣν πολὺ κάλ- e
λιόν ἐστι λαβεῖν ἢ πολλὰς πόλεις τῶν Ἑλληνίδων κατὰ
κράτος ἑλεῖν· τὰ μὲν γὰρ τοιαῦτα τῶν ἔργων φθόνον

ἔχει καὶ δυσμένειαν καὶ πολλὰς βλασφημίας, οἷς δ'
ἡμεῖς συμβεβουλεύκαμεν οὐδὲν πρόσεστι τούτων. ἀλλ'
εἴ τις θεῶν αἵρεσίν σοι δοίη, μετὰ ποίας ἂν ἐπιμελείας 96
καὶ διατριβῆς εὔξαιο τὸν βίον διαγαγεῖν, οὐδεμίαν
ἕλοι' ἄν, εἴπερ ἐμοὶ συμβούλῳ χρῷο, μᾶλλον ἢ ταύ-
69 την. οὐ γὰρ μόνον ὑπὸ τῶν ἄλλων ἔσει ζηλωτὸς ἀλλὰ
καὶ σαυτὸν μακαριεῖς. τίς γὰρ ἂν ὑπερβολὴ γέ-
νοιτο τῆς τοιαύτης εὐδαιμονίας, ὅταν πρέσβεις μὲν
ἥκωσιν ἐκ τῶν μεγίστων πόλεων οἱ μάλιστ' εὐδοκι-
μοῦντες εἰς τὴν σὴν δυναστείαν, μετὰ δὲ τούτων βου-
λεύῃ περὶ τῆς κοινῆς σωτηρίας, περὶ ἧς οὐδεὶς ἄλλος
70 φανήσεται τοιαύτην πρόνοιαν πεποιημένος, αἰσθάνῃ b
δὲ τὴν Ἑλλάδα πᾶσαν ὀρθὴν οὖσαν ἐφ' οἷς σὺ τυγχά-
νεις εἰσηγούμενος, μηδεὶς δ' ὀλιγώρως ἔχῃ τῶν παρὰ
σοὶ βραβευομένων, ἀλλ' οἱ μὲν πυνθάνωνται περὶ αὐ-
τῶν, ἐν οἷς ἐστὶν, οἱ δ' εὔχωνταί σε μὴ διαμαρτεῖν,
ὧν ἐπεθύμησας, οἱ δὲ δεδίωσι, μὴ πρότερόν τι πάθῃς
71 πρὶν τέλος ἐπιθεῖναι τοῖς πραττομένοις; ὧν γιγνομέ-
νων πῶς οὐκ ἂν εἰκότως μέγα φρονοίης; πῶς δ' οὐκ
ἂν περιχαρὴς ὢν τὸν βίον διατελοίης, τηλικούτων εἰ- c
δὼς σαυτὸν πραγμάτων ἐπιστάτην γεγενημένον; τίς
δ' οὐκ ἂν τῶν καὶ μετρίως λογιζομένων ταύτας ἄν σοι
παραινέσειε μάλιστα προαιρεῖσθαι τῶν πράξεων τὰς
ἀμφότερα φέρειν ἅμα δυναμένας ὥσπερ καρποὺς,
ἡδονάς θ' ὑπερβαλλούσας καὶ τιμὰς ἀνεξαλείπτους;
72 (λ'.) Ἀπέχρη δ' ἄν μοι τὰ προειρημένα περὶ
τούτων, εἰ μὴ παραλελοιπὼς ἦν τινα λόγον, οὐκ ἀμνη- d
μονήσας ἀλλ' ὀκνήσας εἰπεῖν, ὃν ἤδη μοι δοκῶ δηλώ-
σειν· οἶμαι γὰρ σοί τε συμφέρειν ἀκοῦσαι περὶ αὐτῶν
ἐμοί τε προσήκειν μετὰ παρρησίας, ὥσπερ εἴθισμαι,
ποιεῖσθαι τοὺς λόγους.
73 (λα'.) Αἰσθάνομαι γάρ σε διαβαλλόμενον ὑπὸ τῶν

σοὶ μὲν φθονούντων, τὰς δὲ πόλεις τὰς αὑτῶν εἰθι-
σμένων εἰς ταραχὰς καθιστάναι, καὶ τὴν εἰρήνην τὴν
τοῖς ἄλλοις κοινὴν πόλεμον τοῖς αὑτῶν ἰδίοις εἶναι νο-
μιζόντων, οἳ πάντων τῶν ἄλλων ἀμελήσαντες περὶ e
τῆς σῆς δυνάμεως λέγουσιν, ὡς οὐχ ὑπὲρ τῆς Ἑλλά-
δος ἀλλ' ἐπὶ ταύτην αὐξάνεται, καὶ σὺ πολὺν χρόνον
74 ἤδη πᾶσιν ἡμῖν ἐπιβουλεύεις, καὶ λόγῳ μὲν μέλλεις
Μεσσηνίοις βοηθεῖν, ἂν τὰ περὶ Φωκέας διοικήσῃς,
ἔργῳ δ' ὑπὸ σαυτῷ ποιεῖσθαι Πελοπόννησον· ὑπάρ- 97
χουσι δέ σοι Θετταλοὶ μὲν καὶ Θηβαῖοι καὶ πάντες οἱ
τῆς Ἀμφικτυονίας μετέχοντες ἕτοιμοι συνακολουθεῖν,
Ἀργεῖοι δὲ καὶ Μεσσήνιοι καὶ Μεγαλοπολῖται καὶ τῶν
ἄλλων πολλοὶ συμπολεμεῖν καὶ ποιεῖν ἀναστάτους Λα-
κεδαιμονίους· ἢν δὲ ταῦτα πράξῃς, ὡς καὶ τῶν ἄλλων
75 Ἑλλήνων ῥᾳδίως κρατήσεις. ταῦτα φλυαροῦντες καὶ
φάσκοντες ἀκριβῶς εἰδέναι καὶ ταχέως ἅπαντα τῷ λό- b
γῳ καταστρεφόμενοι πολλοὺς πείθουσι, καὶ μάλιστα
μὲν τοὺς τῶν αὐτῶν κακῶν ἐπιθυμοῦντας ὧνπερ οἱ
λογοποιοῦντες, ἔπειτα καὶ τοὺς οὐδενὶ λογισμῷ χρω-
μένους ὑπὲρ τῶν κοινῶν ἀλλὰ παντάπασιν ἀναισθή-
τως διακειμένους καὶ πολλὴν χάριν ἔχοντας τοῖς ὑπὲρ
αὐτῶν φοβεῖσθαι καὶ δεδιέναι προσποιουμένοις, ἔτι
δὲ τοὺς οὐκ ἀποδοκιμάζοντας τὸ δοκεῖν ἐπιβουλεύειν
σε τοῖς Ἕλλησιν ἀλλὰ τὴν αἰτίαν ταύτην ἀξίαν ἐπι- c
76 θυμίας εἶναι νομίζοντας· οἳ τοσοῦτον ἀφεστᾶσι τοῦ
νοῦν ἔχειν, ὥστ' οὐκ ἴσασιν, ὅτι τοῖς αὐτοῖς ἄν τις
λόγοις χρώμενος τοὺς μὲν βλάψειε, τοὺς δ' ὠφελή-
σειεν. οἷον καὶ νῦν, εἰ μέν τις φαίη τὸν τῆς Ἀσίας
βασιλέα τοῖς Ἕλλησιν ἐπιβουλεύειν καὶ παρεσκευά-
σθαι στρατεύειν ἐφ' ἡμᾶς, οὐδὲν ἂν λέγοι περὶ αὐτοῦ
φλαῦρον ἀλλ' ἀνδρωδέστερον αὐτὸν καὶ πλείονος
ἄξιον δοκεῖν εἶναι ποιήσειεν· εἰ δὲ τῶν ἀφ' Ἡρα-

κλέους τινὶ πεφυκότων, ὃς ἁπάσης κατέστη τῆς Ἑλ- d
λάδος εὐεργέτης, ἐπιφέροι τὴν αἰτίαν ταύτην, εἰς τὴν
77 μεγίστην αἰσχύνην ἂν αὐτὸν καταστήσειεν. τίς γὰρ
οὐκ ἂν ἀγανακτήσειε καὶ μισήσειεν, εἰ φαίνοιτο τού-
τοις ἐπιβουλεύων, ὑπὲρ ὧν ὁ πρόγονος αὐτοῦ προεί-
λετο κινδυνεύειν, καὶ τὴν μὲν εὔνοιαν, ἣν ἐκεῖνος
κατέλιπε τοῖς ἐξ αὐτοῦ γεγενημένοις, μὴ πειρῷτο δια-
φυλάττειν, ἀμελήσας δὲ τούτων ἐπονειδίστων ἐπιθυ-
μοίη καὶ πονηρῶν πραγμάτων;

78 (λβ΄.) Ὧν ἐνθυμούμενον χρὴ μὴ περιορᾶν τοιαύ- e
την φήμην σαυτῷ περιφυομένην, ἣν οἱ μὲν ἐχθροὶ
περιθεῖναί σοι ζητοῦσι, τῶν δὲ φίλων οὐδεὶς ὅστις οὐκ
ἂν ἀντειπεῖν ὑπὲρ σοῦ τολμήσειεν. καίτοι περὶ τῶν
σοὶ συμφερόντων ἐν ταῖς τούτων ἀμφοτέρων γνώμαις
μάλιστ᾽ ἂν κατίδοις τὴν ἀλήθειαν.

79 (λγ΄.) Ἴσως οὖν ὑπολαμβάνεις μικροψυχίαν εἶναι
τὸ τῶν βλασφημούντων καὶ φλυαρούντων καὶ τῶν 96
πειθομένων τούτοις φροντίζειν, ἄλλως θ᾽ ὅταν καὶ
μηδὲν σαυτῷ συνειδῇς ἐξαμαρτάνων. χρὴ δὲ μὴ κατα-
φρονεῖν τοῦ πλήθους, μηδὲ παρὰ μικρὸν ἡγεῖσθαι
τὸ παρὰ πᾶσιν εὐδοκιμεῖν, ἀλλὰ τότε νομίζειν κα-
λὴν ἔχειν καὶ μεγάλην τὴν δόξαν καὶ πρέπουσαν καὶ σοὶ
καὶ τοῖς προγόνοις καὶ τοῖς ὑφ᾽ ὑμῶν πεπραγμένοις,
80 ὅταν οὕτω διαθῇς τοὺς Ἕλληνας, ὥσπερ ὁρᾷς Λακε- b
δαιμονίους τε πρὸς τοὺς αὑτῶν βασιλέας ἔχοντας τούς
θ᾽ ἑταίρους τοὺς σοὺς πρὸς σὲ διακειμένους. ἔστι δ᾽
οὐ χαλεπὸν τυχεῖν τούτων, ἢν ἐθελήσῃς κοινὸς ἅπασι
γενέσθαι, καὶ παύσῃ ταῖς μὲν τῶν πόλεων οἰκείως
ἔχων, πρὸς δὲ τὰς ἀλλοτρίως διακείμενος, ἔτι δ᾽ ἢν
τὰ τοιαῦτα προαιρῇ πράττειν, ἐξ ὧν τοῖς μὲν Ἕλλη-
σιν ἔσει πιστὸς, τοῖς δὲ βαρβάροις φοβερός.

81 (λδ΄.) Καὶ μὴ θαυμάσῃς, ἅπερ ἐπέστειλα καὶ πρὸς c

Διονύσιον τὸν τὴν τυραννίδα κτησάμενον, εἰ μήτε
στρατηγὸς ὢν μήτε ῥήτωρ μήτ' ἄλλως δυνάστης θρα-
σύτερόν σοι διείλεγμαι τῶν ἄλλων. ἐγὼ γὰρ πρὸς μὲν
τὸ πολιτεύεσθαι πάντων ἀφυέστατος ἐγενόμην τῶν
πολιτῶν, οὔτε γὰρ φωνὴν ἔσχον ἱκανὴν οὔτε τόλμαν
δυναμένην ὄχλῳ χρῆσθαι καὶ μολύνεσθαι καὶ λοιδο-
82 ρεῖσθαι τοῖς ἐπὶ τοῦ βήματος καλινδουμένοις, τοῦ δὲ
φρονεῖν εὖ καὶ πεπαιδεῦσθαι καλῶς, εἰ καί τις ἀγροι- d
κότερον εἶναι φήσει τὸ ῥηθὲν, ἀμφισβητῶ, καὶ θείην
ἂν ἐμαυτὸν οὐκ ἐν τοῖς ἀπολελειμμένοις ἀλλ' ἐν τοῖς
προέχουσι τῶν ἄλλων. διόπερ ἐπιχειρῶ συμβουλεύειν
τὸν τρόπον τοῦτον, ὃν ἐγὼ πέφυκα καὶ δύναμαι, καὶ
τῇ πόλει καὶ τοῖς Ἕλλησι καὶ τῶν ἀνδρῶν τοῖς ἐν-
δοξοτάτοις.

83 (λε'.) Περὶ μὲν οὖν τῶν ἐμῶν καὶ περὶ ὧν σοὶ
πρακτέον ἐστὶ πρὸς τοὺς Ἕλληνας σχεδὸν ἀκήκοας,
περὶ δὲ τῆς στρατείας τῆς εἰς τὴν Ἀσίαν ταῖς μὲν πό- e
λεσιν, ἃς ἔφην χρῆναί σε διαλλάττειν, τότε συμβου-
λεύσομεν, ὡς χρὴ πολεμεῖν πρὸς τοὺς βαρβάρους,
ὅταν ἴδωμεν αὐτὰς ὁμονοούσας, πρὸς σὲ δὲ νῦν ποι-
ήσομαι τοὺς λόγους, οὐ τὴν αὐτὴν ἔχων διάνοιαν καὶ
κατ' ἐκείνην τὴν ἡλικίαν, ὅτ' ἔγραφον περὶ τὴν αὐτὴν 99
84 ὑπόθεσιν ταύτην. τότε μὲν γὰρ παρεκελευόμην τοῖς
ἀκουσομένοις καταγελᾶν μου καὶ καταφρονεῖν, ἢν μὴ
καὶ τῶν πραγμάτων καὶ τῆς δόξης τῆς ἐμαυτοῦ καὶ
τοῦ χρόνου τοῦ περὶ τὸν λόγον διατριφθέντος ἀξίως
φαίνωμαι διεξιών, νῦν δὲ φοβοῦμαι, μὴ πάντων τῶν
προειρημένων πολὺ καταδεέστερον τύχω διαλεχθείς.
καὶ γὰρ πρὸς τοῖς ἄλλοις ὁ λόγος ὁ πανηγυρικὸς, ὁ
τοὺς ἄλλους τοὺς περὶ τὴν φιλοσοφίαν διατρίβοντας b
εὐπορωτέρους ποιήσας, ἐμοὶ πολλὴν ἀπορίαν παρέ-
σχηκεν· οὔτε γὰρ ταὐτὰ βούλομαι λέγειν τοῖς ἐν

ἐκείνῳ γεγραμμένοις οὔτ' ἔτι καινὰ δύναμαι ζητεῖν.
85 οὐ μὴν ἀποστατέον ἐστὶν ἀλλὰ λεκτέον, περὶ ὧν ὑπε-
θέμην, ὅ τι ἂν ὑποπέσῃ καὶ συμφέρῃ πρὸς τὸ πεῖσαί
σε ταῦτα πράττειν. καὶ γὰρ ἢν ἐλλίπω τι καὶ μὴ δυ-
νηθῶ τὸν αὐτὸν τρόπον γράψαι τοῖς πρότερον ἐκδε-
δομένοις, ἀλλ' οὖν ὑπογράψειν γ' οἶμαι χαριέντως c
τοῖς ἐξεργάζεσθαι καὶ διαπονεῖν δυναμένοις.

86 (λϛ'.) Τὴν μὲν οὖν ἀρχὴν τοῦ λόγου τοῦ σύμ-
παντος οἶμαι πεποιῆσθαι ταύτην, ἥνπερ προσήκει
τοὺς ἐπὶ τὴν Ἀσίαν πείθοντας στρατεύειν. δεῖ γὰρ μη-
δὲν πρότερον πράττειν, πρὶν ἂν λάβῃ τις τοὺς Ἕλλη-
νας δυοῖν θάτερον, ἢ συναγωνιζομένους ἢ πολλὴν εὔ-
νοιαν ἔχοντας τοῖς πραττομένοις. ὧν Ἀγησίλαος ὁ
δόξας εἶναι Λακεδαιμονίων φρονιμώτατος ὠλιγώρη- d
87 σεν οὐ διὰ κακίαν ἀλλὰ διὰ φιλοτιμίαν. ἔσχε γὰρ διτ-
τὰς ἐπιθυμίας, καλὰς μὲν ἀμφοτέρας, οὐ συμφωνού-
σας δ' ἀλλήλαις οὐδ' ἅμα πράττεσθαι δυναμένας.
προῃρεῖτο γὰρ βασιλεῖ τε πολεμεῖν καὶ τοὺς ἑταίρους
εἰς τὰς πόλεις τὰς αὐτῶν καταγαγεῖν καὶ κυρίους ποι-
ῆσαι τῶν πραγμάτων. συνέβαινεν οὖν ἐκ μὲν τῆς
πραγματείας τῆς ὑπὲρ τῶν ἑταίρων ἐν κακοῖς καὶ κιν-
δύνοις εἶναι τοὺς Ἕλληνας, διὰ δὲ τὴν ταραχὴν τὴν e
ἐνθάδε γιγνομένην μὴ σχολὴν ἄγειν μηδὲ δύνασθαι
88 πολεμεῖν τοῖς βαρβάροις. ὥστ' ἐκ τῶν ἀγνοηθέντων
κατ' ἐκεῖνον τὸν χρόνον ῥᾴδιον καταμαθεῖν, ὅτι δεῖ
τοὺς ὀρθῶς βουλευομένους μὴ πρότερον ἐκφέρειν
πρὸς τὸν βασιλέα πόλεμον, πρὶν ἂν διαλλάξῃ τις τοὺς 1
Ἕλληνας καὶ παύσῃ τῆς μανίας τῆς νῦν αὐτοῖς ἐνε-
στώσης· ἅπερ καὶ σοὶ συμβεβουλευκότες τυγχάνομεν.

89 (λζ'.) Περὶ μὲν οὖν τούτων οὐδεὶς ἂν ἀντειπεῖν
τῶν εὖ φρονούντων τολμήσειεν, οἶμαι δὲ τῶν μὲν ἄλ-

λων εἴ τισι δόξειε περὶ τῆς στρατείας τῆς εἰς τὴν Ἀσίαν
συμβουλεύειν, ἐπὶ ταύτην ἂν ἐπιπεσεῖν τὴν παράκλη-
σιν, λέγοντας, ὡς ὅσοι περ ἐπεχείρησαν πρὸς τὸν βα- b
σιλέα πολεμεῖν, ἅπασι συνέπεσεν ἐξ ἀδόξων μὲν γενέ-
σθαι λαμπροῖς, ἐκ πενήτων δὲ πλουσίοις, ἐκ ταπει-
90 νῶν δὲ πολλῆς χώρας καὶ πόλεων δεσπόταις. ἐγὼ δ'
οὐκ ἐκ τῶν τοιούτων μέλλω σε παρακαλεῖν ἀλλ' ἐκ
τῶν ἠτυχηκέναι δοξάντων, λέγω δ' ἐκ τῶν μετὰ Κύ-
ρου καὶ Κλεάρχου συστρατευσαμένων. ἐκείνους γὰρ
ὁμολογεῖται νικῆσαι μὲν μαχομένους ἅπασαν τὴν βα-
σιλέως δύναμιν τοσοῦτον, ὅσον περ ἂν εἰ ταῖς γυναι- c
ξὶν αὐτῶν συνέβαλον, ἤδη δ' ἐγκρατεῖς δοκοῦντας εἶ-
ναι τῶν πραγμάτων διὰ τὴν Κύρου προπέτειαν ἀτυ-
χῆσαι· περιχαρῆ γὰρ αὐτὸν ὄντα καὶ διώκοντα πολὺ
πρὸ τῶν ἄλλων, ἐν μέσοις γενόμενον τοῖς πολεμίοις
91 ἀποθανεῖν. ἀλλ' ὅμως τηλικαύτης συμφορᾶς συμπε-
σούσης οὕτω σφόδρα κατεφρόνησεν ὁ βασιλεὺς τῆς
περὶ αὑτὸν δυνάμεως, ὥστε προκαλεσάμενος Κλέαρχον
καὶ τοὺς ἄλλους ἡγεμόνας εἰς λόγον ἐλθεῖν, καὶ τού-
τοις μὲν ὑπισχνούμενος μεγάλας δωρεὰς δώσειν, τοῖς δ' d
ἄλλοις στρατιώταις ἐντελῆ τὸν μισθὸν ἀποδοὺς ἀπο-
πέμψειν, τοιαύταις ἐλπίσιν ὑπαγαγόμενος, καὶ πίστεις
δοὺς τῶν ἐκεῖ νομιζομένων τὰς μεγίστας, συλλαβὼν
αὐτοὺς ἀπέκτεινε, καὶ μᾶλλον εἵλετο περὶ τοὺς θεοὺς
ἐξαμαρτεῖν ἢ τοῖς στρατιώταις οὕτως ἐρήμοις οὖσι
92 συμβαλεῖν. (λη'.) Ὥστε τίς ἂν γένοιτο παράκλησις
ταύτης καλλίων καὶ πιστοτέρα; φαίνονται γὰρ κἀκεῖ-
νοι κρατήσαντες ἂν τῶν βασιλέως πραγμάτων, εἰ μὴ e
διὰ Κῦρον. σοὶ δὲ τήν τ' ἀτυχίαν τὴν τότε γεγενημένην
οὐ χαλεπὸν φυλάξασθαι, τοῦ τε στρατοπέδου τοῦ κρα-
τήσαντος τὴν ἐκείνου δύναμιν ῥᾴδιον πολὺ κρεῖττον
παρασκευάσασθαι. καίτοι τούτων ἀμφοτέρων ὑπαρ-

ξάντων πῶς οὐ χρὴ θαρρεῖν ποιούμενον τὴν στρα-
τείαν ταύτην;
93 (λθ΄.) Καὶ μηδεὶς ὑπολάβῃ με βούλεσθαι λαθεῖν, 10
ὅτι τούτων ἔνια πέφρακα τὸν αὐτὸν τρόπον ὅνπερ
πρότερον. ἐπιστὰς γὰρ ἐπὶ τὰς αὐτὰς διανοίας εἰλό-
μην μὴ πονεῖν γλιχόμενος τὰ δεδηλωμένα καλῶς ἑτέ-
ρως εἰπεῖν· καὶ γὰρ εἰ μὲν ἐπίδειξιν ἐποιούμην, ἐπει-
94 ρώμην ἂν ἅπαντα τὰ τοιαῦτα διαφεύγειν, σοὶ δὲ συμ-
βουλεύων μωρὸς ἂν ἦν, εἰ περὶ τὴν λέξιν πλείω χρό-
νον διέτριβον ἢ περὶ τὰς πράξεις, ἔτι δ' εἰ τοὺς ἄλλους
ὁρῶν τοῖς ἐμοῖς χρωμένους αὐτὸς μόνος ἀπειχόμην b
τῶν ὑπ' ἐμοῦ πρότερον εἰρημένων. τοῖς μὲν οὖν οἰ-
κείοις τυχὸν ἂν χρησαίμην, ἢν σφόδρα κατεπείγῃ καὶ
πρέπῃ, τῶν δ' ἀλλοτρίων οὐδὲν ἂν προσδεξαίμην, ὥσ-
περ οὐδ' ἐν τῷ παρελθόντι χρόνῳ.
95 (μ΄.) Ταῦτα μὲν οὖν οὕτως· δοκεῖ δέ μοι μετὰ
ταῦτα περὶ τῆς παρασκευῆς διαλεκτέον εἶναι τῆς τε σοὶ
γενησομένης καὶ τῆς ἐκείνοις ὑπαρξάσης. τὸ μὲν τοί-
νυν μέγιστον, σὺ μὲν τοὺς Ἕλληνας εὔνους ἕξεις, ἤν c
περ ἐθελήσῃς ἐμμεῖναι τοῖς περὶ τούτων εἰρημένοις,
ἐκεῖνοι δὲ διὰ τὰς δεκαρχίας τὰς ἐπὶ Λακεδαιμονίων
ὡς οἷόν τε δυσμενεστάτους. ἡγοῦντο γὰρ Κύρου
μὲν καὶ Κλεάρχου κατορθωσάντων μᾶλλον ἔτι δου-
λεύσειν, βασιλέως δὲ κρατήσαντος ἀπαλλαγήσεσθαι
τῶν κακῶν τῶν παρόντων· ὅπερ καὶ συνέπεσεν αὐ-
96 τοῖς. καὶ μὴν καὶ στρατιώτας σὺ μὲν ἐξ ἑτοίμου λήψει
τοσούτους, ὅσους ἂν βουληθῇς· οὕτω γὰρ ἔχει τὰ
τῆς Ἑλλάδος ὥστε ῥᾷον εἶναι συστῆσαι στρατόπεδον
μεῖζον καὶ κρεῖττον ἐκ τῶν πλανωμένων ἢ τῶν πολι-
τευομένων· ἐν ἐκείνοις δὲ τοῖς χρόνοις οὐκ ἦν ξενι-
κὸν οὐδέν, ὥστ' ἀναγκαζόμενοι ξενολογεῖν ἐκ τῶν
πόλεων πλέον ἀνήλισκον εἰς τὰς διδομένας τοῖς συλ-

λέγουσι δωρεὰς ἢ τὴν εἰς τοὺς στρατιώτας μισθοφο-
97 ράν. καὶ μὴν εἰ βουληθεῖμεν ἐξετάσαι καὶ παραβαλεῖν
σέ τε τὸν νῦν ἡγησόμενον τῆς στρατείας καὶ βουλευ- e
σόμενον περὶ ἁπάντων καὶ Κλέαρχον τὸν ἐπιστατή-
σαντα τῶν τότε πραγμάτων, εὑρήσομεν ἐκεῖνον μὲν
οὐδεμιᾶς πώποτε δυνάμεως πρότερον οὔτε ναυτικῆς
οὔτε πεζῆς καταστάντα κύριον ἀλλ' ἐκ τῆς ἀτυχίας τῆς
συμβάσης αὐτῷ περὶ τὴν ἤπειρον ὀνομαστὸν γενόμε-
98 νον, σὲ δὲ τοσαῦτα καὶ τηλικαῦτα τὸ μέγεθος διαπε- 102
πραγμένον, περὶ ὧν εἰ μὲν πρὸς ἑτέρους τοὺς λόγους
ἐποιούμην, καλῶς ἂν εἶχε διελθεῖν, πρὸς σὲ δὲ διαλε-
γόμενος, εἰ τὰς σὰς πράξεις σοι διεξιοίην, δικαίως ἂν
ἀνόητος ἅμα καὶ περίεργος εἶναι δοκοίην.

99 (μα΄.) Ἄξιον δὲ μνησθῆναι καὶ τῶν βασιλέων ἀμ-
φοτέρων, ἐφ' ὃν σοί τε συμβουλεύω στρατεύειν καὶ
πρὸς ὃν Κλέαρχος ἐπολέμησεν, ἵν' ἑκατέρου καὶ τὴν
γνώμην καὶ τὴν δύναμιν εἰδῇς. ὁ μὲν τοίνυν τούτου b
πατὴρ τήν τε πόλιν τὴν ἡμετέραν καὶ πάλιν τὴν Λακε-
δαιμονίων κατεπολέμησεν, οὗτος δ' οὐδενὸς πώποτε
τῶν στρατευμάτων τῶν τὴν χώραν αὐτοῦ λυμαινομέ-
100 νων ἐπεκράτησεν. ἔπειθ' ὁ μὲν τὴν Ἀσίαν ἅπασαν
παρὰ τῶν Ἑλλήνων ἐν ταῖς συνθήκαις ἐξέλαβεν, οὗ-
τος δὲ τοσούτου δεῖ τῶν ἄλλων ἄρχειν, ὥστ' οὐδὲ
τῶν ἐκδοθεισῶν [αὐτῷ] πόλεων ἐγκρατής ἐστιν. ὥστ'
οὐδεὶς ὅστις οὐκ ἂν ἀπορήσειε, πότερα χρὴ νομίζειν c
τοῦτον αὐτῶν ἀφεστάναι δι' ἀνανδρίαν ἢ 'κείνας
ὑπερεωρακέναι καὶ καταπεφρονηκέναι τῆς βαρβαρικῆς
δυναστείας.

101 (μβ΄.) Τὰ τοίνυν περὶ τὴν χώραν ὡς διάκειται,
τίς οὐκ ἂν ἀκούσας παροξυνθείη πολεμεῖν πρὸς αὐ-
τόν; Αἴγυπτος μὲν γὰρ ἀφειστήκει μὲν καὶ κατ' ἐκεῖ-
νον τὸν χρόνον, οὐ μὴν ἀλλ' ἐφοβοῦντο, μή ποτε βασι-

λεὺς αὐτὸς ποιησάμενος στρατείαν κρατήσειε καὶ τῆς διὰ τὸν ποταμὸν δυσχωρίας καὶ τῆς ἄλλης παρα- d
σκευῆς ἁπάσης· νῦν δ' οὗτος ἀπήλλαξεν αὐτοὺς τοῦ δέους τούτου. συναγαγὼν γὰρ δύναμιν, ὅσην οἷός τ' ἦν πλείστην, καὶ στρατεύσας ἐπ' αὐτοὺς, ἀπῆλθεν ἐκεῖθεν οὐ μόνον ἡττηθεὶς ἀλλὰ καὶ καταγελασθεὶς καὶ δόξας οὔτε βασιλεύειν οὔτε στρατηγεῖν ἄξιος
102 *εἶναι. τὰ τοίνυν περὶ Κύπρον καὶ Φοινίκην καὶ Κιλικίαν καὶ τὸν τόπον ἐκεῖνον, ὅθεν ἐχρῶντο ναυτικῷ, τότε μὲν ἦν βασιλέως, νῦν δὲ τὰ μὲν ἀφέστηκε, τὰ* e
δ' ἐν πολέμῳ καὶ κακοῖς τοσούτοις ἐστὶν ὥστ' ἐκείνῳ μὲν μηδὲν εἶναι τούτων τῶν ἐθνῶν χρήσιμον, σοὶ δ' ἢν πολεμεῖν πρὸς αὐτὸν βουληθῇς συμφόρως ἕξειν.
103 *(μγ'.) Καὶ μὴν Ἰδριέα γε τὸν εὐπορώτατον τῶν νῦν περὶ τὴν ἤπειρον προσήκει δυσμενέστερον εἶναι τοῖς βασιλέως πράγμασι τῶν πολεμούντων· ἢ πάντων γ' ἂν εἴη σχετλιώτατος, εἰ μὴ βούλοιτο καταλελύσθαι* 1
ταύτην τὴν ἀρχὴν, τὴν αἰκισαμένην μὲν τὸν ἀδελφὸν, πολεμήσασαν δὲ πρὸς αὐτὸν, ἅπαντα δὲ τὸν χρόνον ἐπιβουλεύουσαν καὶ βουλομένην τοῦ τε σώματος αὐτοῦ καὶ τῶν χρημάτων ἁπάντων γενέσθαι κυρίαν.
104 *ὑπὲρ ὧν δεδιὼς νῦν μὲν ἀναγκάζεται θεραπεύειν αὐτὸν καὶ χρήματα πολλὰ καθ' ἕκαστον τὸν ἐνιαυτὸν ἀναπέμπειν· εἰ δὲ σὺ διαβαίης εἰς τὴν ἤπειρον, ἐκεῖ-* b
νός τ' ἂν ἄσμενος ἴδοι βοηθὸν ἥκειν αὐτῷ σε νομίζων, τῶν τ' ἄλλων σατραπῶν πολλοὺς ἀποστήσεις, ἢν ὑπόσχῃ τὴν ἐλευθερίαν αὐτοῖς καὶ τοὔνομα τοῦτο διασπείρῃς εἰς τὴν Ἀσίαν, ὅπερ εἰς τοὺς Ἕλληνας εἰσπεσὸν καὶ τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων ἀρχὴν κατέλυσεν.

105 *(μδ'.) Ἔτι δ' ἂν πλείω λέγειν ἐπεχείρουν, ὃν τρόπον πολεμῶν τάχιστ' ἂν περιγένοιο τῆς τοῦ βασιλέως*

δυνάμεως· νῦν δὲ φοβοῦμαι μή τινες ἐπιτιμήσωσιν e
ἡμῖν, εἰ μηδὲν πώποτε μεταχειρισάμενος τῶν στρατιω-
τικῶν νῦν τολμῴην σοὶ παραινεῖν τῷ πλεῖστα καὶ μέ-
γιστα διαπεπραγμένῳ κατὰ πόλεμον. ὥστε περὶ μὲν
τούτων οὐδὲν οἶμαι δεῖν πλείω λέγειν. (με΄.) Περὶ δὲ
τῶν ἄλλων, ἡγοῦμαι τόν τε πατέρα σου καὶ τὸν κτη-
σάμενον τὴν βασιλείαν καὶ τὸν τοῦ γένους ἀρχηγὸν,
εἰ τῷ μὲν εἴη θέμις, οἱ δὲ δύναμιν λάβοιεν, τῶν αὐ-
τῶν ἂν τούτων γενέσθαι συμβούλους, ὧνπερ ἐγώ. d
106 χρῶμαι δὲ τεκμηρίοις ἐξ ὧν διαπεπραγμένοι τυγχά-
νουσιν. ὅ τε γὰρ πατήρ σου πρὸς τὰς πόλεις ταύτας,
αἷς σοὶ παραινῶ προσέχειν τὸν νοῦν, πρὸς ἁπάσας οἰ-
κείως εἶχεν· ὅ τε κτησάμενος τὴν ἀρχὴν, μεῖζον φρο-
νήσας τῶν αὑτοῦ πολιτῶν καὶ μοναρχίας ἐπιθυμήσας,
οὐχ ὁμοίως ἐβουλεύσατο τοῖς πρὸς τὰς τοιαύτας φιλο-
107 τιμίας ὁρμωμένοις. οἱ μὲν γὰρ ἐν ταῖς αὑτῶν πόλεσι
στάσεις καὶ ταραχὰς καὶ σφαγὰς ἐμποιοῦντες ἐκτῶντο e
τὴν τιμὴν ταύτην, ὁ δὲ τὸν μὲν τόπον τὸν Ἑλληνικὸν
ὅλως εἴασε, τὴν δ' ἐν Μακεδονίᾳ βασιλείαν κατασχεῖν
ἐπεθύμησεν· ἠπίστατο γὰρ τοὺς μὲν Ἕλληνας οὐκ εἰ-
θισμένους ὑπομένειν τὰς μοναρχίας, τοὺς δ' ἄλλους
οὐ δυναμένους ἄνευ τῆς τοιαύτης δυναστείας διοικεῖν 104
108 τὸν βίον τὸν σφέτερον αὐτῶν. καὶ γάρ τοι συνέβη διὰ
τὸ γνῶναι περὶ τούτων αὐτὸν ἰδίως καὶ τὴν βασιλείαν
γεγενῆσθαι πολὺ τῶν ἄλλων ἐξηλλαγμένην· μόνος
γὰρ τῶν Ἑλλήνων οὐχ ὁμοφύλου γένους ἄρχειν ἀξιώ-
σας μόνος καὶ διαφυγεῖν ἠδυνήθη τοὺς κινδύνους τοὺς
περὶ τὰς μοναρχίας γιγνομένους. τοὺς μὲν γὰρ ἐν τοῖς
Ἕλλησι τοιοῦτόν τι διαπεπραγμένους εὕροιμεν ἂν οὐ
μόνον αὐτοὺς διεφθαρμένους ἀλλὰ καὶ τὸ γένος αὐ- b
τῶν ἐξ ἀνθρώπων ἠφανισμένον, ἐκεῖνον δ' αὐτόν τ' ἐν

εὐδαιμονίᾳ τὸν βίον διαγαγόντα τῷ τε γένει κατα-
λιπόντα τὰς αὐτὰς τιμάς, ὥσπερ αὐτὸς εἶχεν.

109 (μϛ΄.) *Περὶ τοίνυν Ἡρακλέους, οἱ μὲν ἄλλοι τὴν*
ἀνδρίαν ὑμνοῦντες αὐτοῦ καὶ τοὺς ἄθλους ἀπαριθ-
μοῦντες διατελοῦσι, περὶ δὲ τῶν ἄλλων τῶν τῇ ψυχῇ
προσόντων ἀγαθῶν οὐδεὶς οὔτε τῶν ποιητῶν οὔτε τῶν
λογοποιῶν οὐδεμίαν φανήσεται μνείαν πεποιημένος.
ἐγὼ δ' ὁρῶ μὲν τόπον ἴδιον καὶ παντάπασιν ἀδιεξέρ- c
γαστον, οὐ μικρὸν οὐδὲ κενόν, ἀλλὰ πολλῶν μὲν ἐπαί-
νων καὶ καλῶν πράξεων γέμοντα, ποθοῦντα δὲ τὸν
110 *ἀξίως ἂν δυνηθέντα διαλεχθῆναι περὶ αὐτῶν· ἐφ' ὃν*
εἰ μὲν νεώτερος ὢν ἐπέστην, ῥᾳδίως ἂν ἐπέδειξα τὸν
πρόγονον ὑμῶν καὶ τῇ φρονήσει καὶ τῇ φιλοτιμίᾳ καὶ
τῇ δικαιοσύνῃ πλέον διενεγκόντα πάντων τῶν προ-
γεγενημένων ἢ τῇ ῥώμῃ τῇ τοῦ σώματος· νῦν δ' ἐπελ-
θὼν ἐπ' αὐτὸν καὶ κατιδὼν τὸ πλῆθος τῶν ἐνόντων d
εἰπεῖν, τήν τε δύναμιν τὴν παροῦσάν μοι κατεμεμφά-
μην καὶ τὸν λόγον ᾐσθόμην διπλάσιον ἂν γενόμενον
τοῦ νῦν ἀναγιγνωσκομένου. τῶν μὲν οὖν ἄλλων ἀπέ-
στην διὰ τὰς αἰτίας ταύτας, μίαν δὲ πρᾶξιν ἐξ αὐτῶν
ἔλαβον, ἥπερ ἦν προσήκουσα μὲν καὶ πρέπουσα τοῖς
προειρημένοις, τὸν δὲ καιρὸν ἔχουσα μάλιστα σύμμε-
τρον τοῖς νῦν λεγομένοις.

111 (μζ΄.) *Ἐκεῖνος γὰρ ὁρῶν τὴν Ἑλλάδα πολέμων καὶ* e
στάσεων καὶ πολλῶν ἄλλων κακῶν μεστὴν οὖσαν,
παύσας ταῦτα καὶ διαλλάξας τὰς πόλεις πρὸς ἀλλήλας
ὑπέδειξε τοῖς ἐπιγιγνομένοις, μεθ' ὧν χρὴ καὶ πρὸς
οὓς δεῖ τοὺς πολέμους ἐκφέρειν. ποιησάμενος γὰρ
στρατείαν ἐπὶ Τροίαν, ἥπερ εἶχε τότε μεγίστην δύνα- 1
μιν τῶν περὶ τὴν Ἀσίαν, τοσοῦτον διήνεγκε τῇ στρα-
τηγίᾳ τῶν πρὸς τὴν αὐτὴν ταύτην ὕστερον πολεμη-
112 *σάντων, ὅσον οἱ μὲν μετὰ τῆς τῶν Ἑλλήνων δυνάμεως*

ἐν ἔτεσι δέκα μόλις αὐτὴν ἐξεπολιόρκησαν, ὁ δ' ἐν
ἡμέραις ἐλάττοσιν ἢ τοσαύταις καὶ μετ' ὀλίγων στρα-
τεύσας ῥᾳδίως αὐτὴν κατὰ κράτος εἷλεν. καὶ μετὰ
ταῦτα τοὺς βασιλέας τῶν ἐθνῶν τῶν ἐφ' ἑκατέρας τῆς
ἠπείρου τὴν παραλίαν κατοικούντων ἅπαντας ἀπέ- b
κτεινεν· οὓς οὐδέποτ' ἂν διέφθειρεν, εἰ μὴ καὶ τῆς
δυνάμεως αὐτῶν ἐκράτησεν. ταῦτα δὲ πράξας τὰς
στήλας τὰς Ἡρακλέους καλουμένας ἐποιήσατο, τρό-
παιον μὲν τῶν βαρβάρων, μνημεῖον δὲ τῆς ἀρετῆς
τῆς αὐτοῦ καὶ τῶν κινδύνων, ὅρους δὲ τῆς τῶν Ἑλ-
λήνων χώρας.

113 Τούτου δ' ἕνεκά σοι περὶ τούτων διῆλθον, ἵνα
γνῷς, ὅτι σε τυγχάνω τῷ λόγῳ παρακαλῶν ἐπὶ τοιαύ-
τας πράξεις, ἃς ἐπὶ τῶν ἔργων οἱ πρόγονοί σου φαί- c
νονται καλλίστας προκρίναντες. (μη'.) Ἅπαντας μὲν
οὖν χρὴ τοὺς νοῦν ἔχοντας τὸν κράτιστον ὑποστησα-
μένους πειρᾶσθαι γίγνεσθαι τοιούτους, μάλιστα δὲ
σοὶ προσήκει. τὸ γὰρ μὴ δεῖν ἀλλοτρίοις χρῆσθαι πα-
ραδείγμασιν ἀλλ' οἰκεῖον ὑπάρχειν, πῶς οὐκ εἰκὸς ὑπ'
αὐτοῦ σε παροξύνεσθαι καὶ φιλονικεῖν, ὅπως τῷ προ-
114 γόνῳ σαυτὸν ὅμοιον παρασκευάσεις; λέγω δ' οὐχ ὡς
δυνησόμενον ἁπάσας σε μιμήσασθαι τὰς Ἡρακλέους d
πράξεις, οὐδὲ γὰρ ἂν τῶν θεῶν ἔνιοι δυνηθεῖεν· ἀλλὰ
κατά γε τὸ τῆς ψυχῆς ἦθος καὶ τὴν φιλανθρωπίαν καὶ
τὴν εὔνοιαν, ἣν εἶχεν εἰς τοὺς Ἕλληνας, δύναι' ἂν
ὁμοιωθῆναι τοῖς ἐκείνου βουλήμασιν. ἔστι δέ σοι πει-
σθέντι τοῖς ὑπ' ἐμοῦ λεγομένοις τυχεῖν δόξης οἵας ἂν
115 αὐτὸς βουληθῇς· ῥᾷον γάρ ἐστιν ἐκ τῶν παρόντων
κτήσασθαι τὴν καλλίστην ἤπερ ἐξ ὧν παρέλαβες ἐπὶ
τὴν νῦν ὑπάρχουσαν προελθεῖν. σκέψαι δ' ὅτι σε
τυγχάνω παρακαλῶν, ἐξ ὧν ποιήσει τὰς στρατείας οὐ e
μετὰ τῶν βαρβάρων ἐφ' οὓς οὐ δίκαιόν ἐστιν, ἀλλὰ

μετὰ τῶν Ἑλλήνων ἐπὶ τούτους, πρὸς οὓς προσήκει
τοὺς ἀφ' Ἡρακλέους γεγονότας πολεμεῖν.
116 (μθ'.) Καὶ μὴ θαυμάσῃς, εἰ διὰ παντός σε τοῦ
λόγου πειρῶμαι προτρέπειν ἐπί τε τὰς εὐεργεσίας τὰς
τῶν Ἑλλήνων καὶ πραότητα καὶ φιλανθρωπίαν· ὁρῶ
γὰρ τὰς μὲν χαλεπότητας λυπηρὰς οὔσας καὶ τοῖς ἔχουσι
καὶ τοῖς ἐντυγχάνουσι, τὰς δὲ πραότητας οὐ μόνον ἐπὶ
τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζώων ἁπάντων εὐδο-
117 κιμούσας, ἀλλὰ καὶ τῶν θεῶν τοὺς μὲν τῶν ἀγαθῶν
αἰτίους ἡμῖν ὄντας Ὀλυμπίους προσαγορευομένους,
τοὺς δ' ἐπὶ ταῖς συμφοραῖς καὶ ταῖς τιμωρίαις τεταγ-
μένους δυσχερεστέρας τὰς ἐπωνυμίας ἔχοντας, καὶ
τῶν μὲν καὶ τοὺς ἰδιώτας καὶ τὰς πόλεις καὶ νεὼς καὶ
βωμοὺς ἱδρυμένους, τοὺς δ' οὔτ' ἐν ταῖς εὐχαῖς οὔτ'
ἐν ταῖς θυσίαις τιμωμένους, ἀλλ' ἀποπομπὰς αὐτῶν
118 ἡμᾶς ποιουμένους. ὧν ἐνθυμούμενον ἐθίζειν σαυτὸν
χρὴ καὶ μελετᾶν, ὅπως ἔτι μᾶλλον ἢ νῦν τοιαύτην
ἅπαντες περὶ σοῦ τὴν γνώμην ἕξουσιν. χρὴ δὲ τοὺς
μείζονος δόξης τῶν ἄλλων ἐπιθυμοῦντας περιβάλλε-
σθαι μὲν τῇ διανοίᾳ τὰς πράξεις, δυνατὰς μέν, εὐχῇ
δ' ὁμοίας, ἐξεργάζεσθαι δὲ ζητεῖν αὐτάς, ὅπως ἂν οἱ
καιροὶ παραδιδῶσιν.
119 (ν'.) Ἐκ πολλῶν δ' ἂν κατανοήσειας, ὅτι δεῖ τοῦ-
τον τὸν τρόπον πράττειν, μάλιστα δ' ἐκ τῶν Ἰάσονι
συμβάντων. ἐκεῖνος γὰρ οὐδὲν τοιοῦτον οἷον σὺ κατ-
εργασάμενος μεγίστης δόξης ἔτυχεν, οὐκ ἐξ ὧν ἔπρα-
ξεν ἀλλ' ἐξ ὧν ἔφησεν· ἐποιεῖτο γὰρ τοὺς λόγους ὡς
εἰς τὴν ἤπειρον διαβησόμενος καὶ βασιλεῖ πολεμήσων.
120 ὅπου δ' Ἰάσων λόγῳ μόνον χρησάμενος οὕτως αὑτὸν
ηὔξησεν, ποίαν τινὰ χρὴ προσδοκᾶν περὶ σοῦ γνώμην
ἅπαντας ἕξειν, ἢν ἔργῳ ταῦτα πράξῃς, καὶ μάλιστα μὲν
πειραθῇς ὅλην τὴν βασιλείαν ἀνελεῖν, εἰ δὲ μή, χώραν

ὅτι πλείστην ἀφορίσασθαι καὶ διαλαβεῖν τὴν Ἀσίαν,
ὡς λέγουσί τινες, ἀπὸ Κιλικίας μέχρι Σινώπης, πρὸς
δὲ τούτοις κτίσαι πόλεις ἐπὶ τούτῳ τῷ τόπῳ καὶ κατ-
οικίσαι τοὺς νῦν πλανωμένους δι' ἔνδειαν τῶν καθ' e
121 ἡμέραν καὶ λυμαινομένους οἷς ἂν ἐντύχωσιν. οὓς εἰ
μὴ παύσομεν ἀθροιζομένους βίον αὐτοῖς ἱκανὸν πο-
ρίσαντες, λήσουσιν ἡμᾶς τοσοῦτοι γενόμενοι τὸ πλῆ-
θος ὥστε μηδὲν ἧττον αὐτοὺς εἶναι φοβεροὺς τοῖς
Ἕλλησιν ἢ τοῖς βαρβάροις· ὧν οὐδεμίαν ποιούμεθα 101
πρόνοιαν, ἀλλ' ἀγνοοῦμεν κοινὸν φόβον καὶ κίνδυνον
122 ἅπασιν ἡμῖν αὐξανόμενον. ἔστιν οὖν ἀνδρὸς μέγα
φρονοῦντος καὶ φιλέλληνος καὶ πορρωτέρω τῶν ἄλλων
τῇ διανοίᾳ καθορῶντος, ἀποχρησάμενον τοῖς τοιούτοις
πρὸς τοὺς βαρβάρους καὶ χώραν ἀποτεμόμενον το-
σαύτην, ὅσην ὀλίγῳ πρότερον εἰρήκαμεν, ἀπαλλάξαι
τε τοὺς ξενιτευομένους τῶν κακῶν ὧν αὐτοί τ' ἔχουσι
καὶ τοῖς ἄλλοις παρέχουσι, καὶ πόλεις ἐξ αὐτῶν συστῆ- b
σαι καὶ ταύταις ὁρίσαι τὴν Ἑλλάδα καὶ προβαλέσθαι
123 πρὸ ἁπάντων ἡμῶν. ταῦτα γὰρ πράξας οὐ μόνον ἐκεί-
νους εὐδαίμονας ποιήσεις ἀλλὰ καὶ πάντας ἡμᾶς εἰς
ἀσφάλειαν καταστήσεις. ἢν δ' οὖν τούτων διαμάρτῃς,
ἀλλ' ἐκεῖνό γε ῥᾳδίως ποιήσεις, τὰς πόλεις τὰς τὴν
Ἀσίαν κατοικούσας ἐλευθερώσεις. ὅ τι δ' ἂν τούτων
πρᾶξαι δυνηθῇς ἢ καὶ μόνον ἐπιχειρήσῃς, οὐκ ἔσθ'
ὅπως οὐ μᾶλλον τῶν ἄλλων εὐδοκιμήσεις, καὶ δικαίως, c
ἤν περ αὐτός τ' ἐπὶ ταῦθ' ὁρμήσῃς καὶ τοὺς Ἕλληνας
124 προτρέψῃς. (να'.) Ἐπεὶ νῦν γε τίς οὐκ ἂν εἰκότως τὰ
συμβεβηκότα θαυμάσειε καὶ καταφρονήσειεν ἡμῶν,
ὅπου παρὰ μὲν τοῖς βαρβάροις, οὓς ὑπειλήφαμεν μα-
λακοὺς εἶναι καὶ πολέμων ἀπείρους καὶ διεφθαρμένους
ὑπὸ τῆς τρυφῆς, ἄνδρες ἐγγεγόνασιν, οἳ τῆς Ἑλλάδος
ἄρχειν ἠξίωσαν, τῶν δ' Ἑλλήνων οὐδεὶς τοσοῦτον πε- d

125 φρόνηκεν ὥστ' ἐπιχειρῆσαι τῆς Ἀσίας ἡμᾶς ποιῆσαι
κυρίους, ἀλλὰ τοσοῦτον αὐτῶν ἀπολελειμμένοι τυγχά-
νομεν, ὥστ' ἐκεῖνοι μὲν οὐκ ὤκνησαν οὐδὲ προϋπάρ-
ξαι τῆς ἔχθρας τῆς πρὸς τοὺς Ἕλληνας, ἡμεῖς δ' οὐδ'
ὑπὲρ ὧν κακῶς ἐπάθομεν ἀμύνεσθαι τολμῶμεν αὐ-
τούς, ἀλλ' ὁμολογούντων ἐκείνων ἐν ἅπασι τοῖς πο-
λέμοις μήτε στρατιώτας ἔχειν μήτε στρατηγοὺς μήτ'
126 ἄλλο μηδὲν τῶν εἰς τοὺς κινδύνους χρησίμων ἀλλὰ
ταῦτα πάντα παρ' ἡμῶν μεταπεμπομένων, εἰς τοῦθ' e
ἥκομεν ἐπιθυμίας τοῦ κακῶς ἡμᾶς αὐτοὺς ποιεῖν, ὥστ'
ἐξὸν ἡμῖν τἀκείνων ἀδεῶς ἔχειν, πρὸς ἡμᾶς τ' αὐτοὺς
περὶ μικρῶν πολεμοῦμεν καὶ τοὺς ἀφισταμένους τῆς
ἀρχῆς τῆς βασιλέως συγκαταστρεφόμεθα καὶ λελήθα-
μεν ἡμᾶς αὐτοὺς ἐνίοτε μετὰ τῶν πατρικῶν ἐχθρῶν 1
τοὺς τῆς αὐτῆς συγγενείας μετέχοντας ἀπολλύναι ζη-
τοῦντες.

127 (νβ'.) Διὸ καὶ σοὶ νομίζω συμφέρειν οὕτως ἀνάν-
δρως διακειμένων τῶν ἄλλων προστῆναι τοῦ πολέμου
τοῦ πρὸς ἐκεῖνον. προσήκει δὲ τοῖς μὲν ἄλλοις τοῖς
ἀφ' Ἡρακλέους πεφυκόσι καὶ τοῖς ἐν πολιτείᾳ καὶ νόμοις
ἐνδεδεμένοις ἐκείνην τὴν πόλιν στέργειν, ἐν ᾗ τυγχά-
νουσι κατοικοῦντες, σὲ δ' ὥσπερ ἄφετον γεγενημένον
ἅπασαν τὴν Ἑλλάδα πατρίδα νομίζειν, ὥσπερ ὁ γεννή- 1
σας ὑμᾶς, καὶ κινδυνεύειν ὑπὲρ αὐτῆς ὁμοίως, ὥσπερ
ὑπὲρ ὧν μάλιστα σπουδάζεις.

128 (νγ'.) Ἴσως δ' ἂν τινες ἐπιτιμῆσαί μοι τολμήσειαν
τῶν οὐδὲν ἄλλο δυναμένων ἢ τοῦτο ποιεῖν, ὅτι σὲ
προειλόμην παρακαλεῖν ἐπί τε τὴν στρατείαν τὴν ἐπὶ
τοὺς βαρβάρους καὶ τὴν ἐπιμέλειαν τὴν τῶν Ἑλλήνων,
129 παραλιπὼν τὴν ἐμαυτοῦ πόλιν. (νδ'.) Ἐγὼ δ' εἰ μὲν
πρὸς ἄλλους τινὰς πρότερον ἐπεχείρουν διαλέγεσθαι
περὶ [illegible] πρὸς τὴν πατρίδα τὴν αὐτοῦ τὴν τοῖς

τοὺς Ἕλληνας ἐλευθερώσασαν, δὶς μὲν ἀπὸ τῶν βαρ-
βάρων, ἅπαξ δ' ἀπὸ τῆς Λακεδαιμονίων ἀρχῆς, ὡμο-
λόγουν ἂν πλημμελεῖν· νῦν δ' ἐκείνην μὲν φανήσομαι
πρώτην ἐπὶ ταῦτα προτρέπων ὡς ἠδυνάμην μετὰ
πλείστης σπουδῆς, αἰσθανόμενος δ' ἔλαττον αὐτὴν
φροντίζουσαν τῶν ὑπ' ἐμοῦ λεγομένων ἢ τῶν ἐπὶ τοῦ
βήματος μαινομένων ἐκείνην μὲν εἴασα, τῆς δὲ πραγ- d
130 ματείας οὐκ ἀπέστην. διὸ δικαίως ἄν με πάντες ἐπαι-
νοῖεν, ὅτι τῇ δυνάμει ταύτῃ χρώμενος, ἣν ἔχων τυγ-
χάνω, διατετέλεκα πάντα τὸν χρόνον πολεμῶν μὲν
τοῖς βαρβάροις, κατηγορῶν δὲ τῶν μὴ τὴν αὐτὴν ἐμοὶ
γνώμην ἐχόντων, προτρέπειν δ' ἐπιχειρῶν, οὓς ἂν
ἐλπίσω μάλιστα δυνήσεσθαι, τοὺς μὲν Ἕλληνας ἀγα-
θόν τι ποιῆσαι, τοὺς δὲ βαρβάρους ἀφελέσθαι τὴν
131 ὑπάρχουσαν εὐδαιμονίαν. διόπερ καὶ νῦν πρὸς σὲ e
ποιοῦμαι τοὺς λόγους, οὐκ ἀγνοῶν, ὅτι τούτοις ὑπ'
ἐμοῦ μὲν λεγομένοις πολλοὶ φθονήσουσι, τοῖς δ' αὐ-
τοῖς τούτοις ὑπὸ σοῦ πραττομένοις ἅπαντες συνησθή-
σονται. τῶν μὲν γὰρ εἰρημένων οὐδεὶς κεκοινώνηκε,
τῶν δ' ὠφελειῶν τῶν κατεργασθησομένων οὐκ ἔστιν
ὅστις οὐκ οἰήσεται μεθέξειν.

132 (νε'.) Σκέψαι δ' ὡς αἰσχρὸν περιορᾶν τὴν Ἀσίαν 109
ἄμεινον πράττουσαν τῆς Εὐρώπης καὶ τοὺς βαρβάρους
εὐπορωτέρους ὄντας τῶν Ἑλλήνων, ἔτι δὲ τοὺς μὲν
ἀπὸ Κύρου τὴν ἀρχὴν ἔχοντας, ὃν ἡ μήτηρ εἰς τὴν
ὁδὸν ἐξέβαλε, βασιλέας μεγάλους προσαγορευομέ-
νους, τοὺς δ' ἀφ' Ἡρακλέους πεφυκότας, ὃν ὁ γεν-
νήσας διὰ τὴν ἀρετὴν εἰς θεοὺς ἀνήγαγε, ταπεινοτέ-
ροις ὀνόμασιν ἢ 'κείνους προσαγορευομένους. ὧν
οὐδὲν ἐατέον οὕτως ἔχειν, ἀλλ' ἀναστρεπτέον καὶ b
μεταστατέον ἅπαντα ταῦτ' ἐστίν.

133 (νϛ'.) Εὖ δ' ἴσθι μηδὲν ἄν με τούτων ἐπιχειρή-

σαντα σε πείθειν, εἰ δυναστείαν μόνον καὶ πλοῦτον
ἑώρων ἐξ αὐτῶν γενησόμενον· ἡγοῦμαι γὰρ τά γε
τοιαῦτα καὶ νῦν σοι πλείω τῶν ἱκανῶν ὑπάρχειν, καὶ
πολλὴν ἀπληστίαν ἔχειν, ὅστις προαιρεῖται κινδυνεύ-
ειν ὥστ' ἢ ταῦτα λαβεῖν ἢ στερηθῆναι τῆς ψυχῆς.
134 ἀλλὰ γὰρ οὐ πρὸς τὰς τούτων κτήσεις ἀποβλέψας
ποιοῦμαι τοὺς λόγους ἀλλ' οἰόμενος ἐκ τούτων μεγί- e
στην σοι καὶ καλλίστην γενήσεσθαι δόξαν. ἐνθυμοῦ
δ' ὅτι τὸ μὲν σῶμα θνητὸν ἅπαντες ἔχομεν, κατὰ δὲ
τὴν εὐλογίαν καὶ τοὺς ἐπαίνους καὶ τὴν φήμην καὶ
τὴν μνήμην τὴν τῷ χρόνῳ συμπαρακολουθοῦσαν ἀθα-
νασίας μεταλαμβάνομεν, ἧς ἄξιον ὀρεγομένους καθ'
135 ὅσον οἷοί τ' ἐσμὲν ὁτιοῦν πάσχειν. ἴδοις δ' ἂν καὶ τῶν
ἰδιωτῶν τοὺς ἐπιεικεστάτους ὑπὲρ ἄλλου μὲν οὐδενὸς
ἂν τὸ ζῆν ἀντικαταλλαξαμένους, ὑπὲρ δὲ τοῦ τυχεῖν d
καλῆς δόξης ἀποθνήσκειν ἐν τοῖς πολέμοις ἐθέλοντας,
ὅλως δὲ τοὺς μὲν τιμῆς ἐπιθυμοῦντας ἀεὶ μείζονος ἧς
ἔχουσιν ὑπὸ πάντων ἐπαινουμένους, τοὺς δὲ πρὸς
ἄλλο τι τῶν ὄντων ἀπλήστως διακειμένους ἀκρατεστέ-
136 ρους καὶ φαυλοτέρους εἶναι δοκοῦντας. τὸ δὲ μέγιστον
τῶν εἰρημένων, ὅτι συμβαίνει τοῦ μὲν πλούτου καὶ
τῶν δυναστειῶν πολλάκις τοὺς ἐχθροὺς κυρίους γί- e
γνεσθαι, τῆς δ' εὐνοίας τῆς παρὰ τῶν πολλῶν καὶ τῶν
ἄλλων τῶν προειρημένων μηδένας ἄλλους καταλείπε-
σθαι κληρονόμους πλὴν τοὺς ἐξ ἡμῶν γεγονότας.
ὥστ' ᾐσχυνόμην ἄν, εἰ μὴ τούτων ἕνεκα συνεβούλευον
καὶ τὴν στρατείαν ποιεῖσθαι ταύτην καὶ πολεμεῖν καὶ 1.
κινδυνεύειν.

137 (νζ.) Οὕτω δ' ἄριστα βουλεύσει περὶ τούτων, ἢν
ὑπολάβῃς μὴ μόνον τὸν λόγον τοῦτόν σε παρακαλεῖν
ἀλλὰ καὶ τοὺς προγόνους καὶ τὴν τῶν βαρβάρων ἀναν-
δρίαν καὶ τοὺς ὀνομαστοτάτους γενομένους καὶ δόξαν-

*τας ἡμιθέους εἶναι διὰ τὴν στρατείαν τὴν ἐπ' ἐκείνους,
μάλιστα δὲ πάντων τὸν καιρὸν, ἐν ᾧ σὺ μὲν τυγχά-
νεις τοσαύτην δύναμιν κεκτημένος, ὅσην οὐδεὶς τῶν
τὴν Εὐρώπην κατοικησάντων, πρὸς ὃν δὲ πολεμήσεις,* b
*οὕτω σφόδρα μεμισημένος καὶ καταπεφρονημένος ὑφ'
ἁπάντων, ὡς οὐδεὶς πώποτε τῶν βασιλευσάντων.*

138 *(νη'.) Πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην οἷόν τ' εἶναι
συγκεράσαι τοὺς λόγους ἅπαντας τοὺς ὑπ' ἐμοῦ περὶ
τούτων εἰρημένους· μᾶλλον γὰρ ἂν ἀξιόχρεως οὗτος
ἔδοξεν εἶναι τῆς ὑποθέσεως. οὐ μὴν ἀλλὰ σέ γε χρὴ
σκοπεῖν ἐξ ἁπάντων τὰ συντείνοντα καὶ προτρέποντα* c
*πρὸς τὸν πόλεμον τοῦτον· οὕτω γαρ ἂν ἄριστα βου-
λεύσαιο περὶ αὐτῶν.*

139 *(νθ'.) Οὐκ ἀγνοῶ δ' ὅτι πολλοὶ τῶν Ἑλλήνων
τὴν βασιλέως δύναμιν ἄμαχον εἶναι νομίζουσιν· ὧν
ἄξιον θαυμάζειν, εἰ τὴν ὑπ' ἀνθρώπου βαρβάρου καὶ
κακῶς τεθραμμένου καταστραφεῖσαν καὶ συναχθεῖσαν
ἐπὶ δουλείᾳ, ταύτην ὑπ' ἀνδρὸς Ἕλληνος καὶ περὶ τοὺς
πολέμους πολλὴν ἐμπειρίαν ἔχοντος μὴ νομίζουσιν ἂν
ἐπ' ἐλευθερίᾳ διαλυθῆναι, καὶ ταῦτ' εἰδότες, ὅτι* d
*συστῆσαι μέν ἐστιν ἅπαντα χαλεπὸν, διαστῆσαι δὲ
ῥᾴδιον.*

140 *(ξ'.) Ἐνθυμοῦ δ' ὅτι μάλιστα τούτους τιμῶσιν
ἅπαντες καὶ θαυμάζουσιν, οἵτινες ἀμφότερα δύναν-
ται, καὶ πολιτεύεσθαι καὶ στρατηγεῖν. ὅταν οὖν ὁρᾷς
τοὺς ἐν μιᾷ πόλει ταύτην ἔχοντας τὴν φύσιν εὐδοκι-
μοῦντας, ποίους τινὰς χρὴ προσδοκᾶν τοὺς ἐπαίνους
ἔσεσθαι τοὺς περὶ σοῦ ῥηθησομένους, ὅταν φαίνῃ ταῖς
μὲν εὐεργεσίαις ἐν ἅπασι τοῖς Ἕλλησι πεπολιτευμένος,* e
ταῖς δὲ στρατηγίαις τοὺς βαρβάρους κατεστραμμένος;
141 *ἐγὼ μὲν γὰρ ἡγοῦμαι ταῦτα πέρας ἕξειν· οὐδένα γὰρ
ἄλλον ποτὲ δυνήσεσθαι μείζω πρᾶξαι τούτων· οὔτε*

γὰρ ἐν τοῖς Ἕλλησι γενήσεσθαι τηλικοῦτον ἔργον, 111
ὅσον ἐστὶ τὸ πάντας ἡμᾶς ἐκ τοσούτων πολέμων ἐπὶ
τὴν ὁμόνοιαν προαγαγεῖν, οὔτε τοῖς βαρβάροις εἰκός
ἐστι συστῆναι τηλικαύτην δύναμιν, ἣν τὴν νῦν ὑπάρ-
142 χουσαν καταλύσῃς. ὥστε τῶν μὲν ἐπιγιγνομένων οὐδ'
ἤν τις τῶν ἄλλων διενέγκῃ τὴν φύσιν, οὐδὲν ἕξει ποι-
ῆσαι τοιοῦτον. ἀλλὰ μὴν τῶν γε προγεγενημένων ἔχω
μὲν ὑπερβαλεῖν τὰς πράξεις τοῖς ἤδη διὰ σοῦ κατειρ- b
γασμένοις, οὐ γλίσχρως ἀλλ' ἀληθινῶς· ὅστις γὰρ
ἔθνη τοσαῦτα τυγχάνεις κατεστραμμένος, ὅσας οὐδεὶς
πώποτε τῶν ἄλλων πόλεις εἷλε, πῶς οὐκ ἂν πρὸς
ἕκαστον αὐτῶν ἀντιπαραβάλλων ῥᾳδίως ἂν ἐπέδειξα
143 μείζω σε κἀκείνων διαπεπραγμένον; ἀλλὰ γὰρ εἱλό-
μην ἀποσχέσθαι τῆς τοιαύτης ἰδέας δι' ἀμφότερα, διά
τε τοὺς οὐκ εὐκαίρως αὐτῇ χρωμένους καὶ διὰ τὸ μὴ
βούλεσθαι ταπεινοτέρους ποιεῖν τῶν νῦν ὄντων τοὺς c
ἡμιθέους εἶναι νομιζομένους.

144 (ξα'.) Ἐνθυμοῦ δ' ἵνα τι καὶ τῶν ἀρχαίων εἴπω-
μεν, ὅτι τὸν Ταντάλου πλοῦτον καὶ τὴν Πέλοπος ἀρ-
χὴν καὶ τὴν Εὐρυσθέως δύναμιν οὐδεὶς ἂν οὔτε λό-
γων εὑρετὴς οὔτε ποιητὴς ἐπαινέσειεν, ἀλλὰ μετά γε
τὴν Ἡρακλέους ὑπερβολὴν καὶ τὴν Θησέως ἀρετὴν
τοὺς ἐπὶ Τροίαν στρατευσαμένους καὶ τοὺς ἐκείνοις
145 ὁμοίους γενομένους ἅπαντες ἂν εὐλογήσειαν. καίτοι
τοὺς ὀνομαστοτάτους καὶ τοὺς ἀρίστους αὐτῶν ἴσμεν d
ἐν μικροῖς πολιχνίοις καὶ νησυδρίοις τὰς ἀρχὰς κατα-
σχόντας. ἀλλ' ὅμως ἰσόθεον καὶ παρὰ πᾶσιν ὀνομα-
στὴν τὴν αὑτῶν δόξαν κατέλιπον· ἅπαντες γὰρ φι-
λοῦσιν οὐ τοὺς σφίσιν αὐτοῖς μεγίστην δυναστείαν
κτησαμένους ἀλλὰ τοὺς τοῖς Ἕλλησι πλείστων ἀγαθῶν
αἰτίους γεγενημένους.

146 (ξβ'.) Οὐ μόνον δ' ἐπὶ τούτων αὐτοὺς ὄψει τὴν

γνώμην ταύτην ἔχοντας ἀλλ' ἐπὶ πάντων ὁμοίως, ἐπεὶ
καὶ τὴν πόλιν ἡμῶν οὐδεὶς ἂν ἐπαινέσειεν, οὔθ' ὅτι
τῆς θαλάττης ἦρξεν, οὔθ' ὅτι τοσοῦτον πλῆθος χρη- e
μάτων εἰσπράξασα τοὺς συμμάχους εἰς τὴν ἀκρόπολιν
ἀνήνεγκεν, ἀλλὰ μὴν οὐδ' ὅτι πολλῶν πόλεων ἐξου-
σίαν ἔλαβε τὰς μὲν ἀναστάτους ποιῆσαι, τὰς δ' αὐξῆ-
147 σαι, τὰς δ' ὅπως ἠβουλήθη διοικῆσαι· πάντα γὰρ
ταῦτα παρῆν αὐτῇ πράττειν· ἀλλ' ἐκ τούτων μὲν πολ- 112
λαὶ κατηγορίαι κατ' αὐτῆς γεγόνασιν, ἐκ δὲ τῆς Μα-
ραθῶνι μάχης καὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας, καὶ
μάλισθ' ὅτι τὴν αὑτῶν ἐξέλιπον ὑπὲρ τῆς τῶν Ἑλλή-
νων σωτηρίας, ἅπαντες ἐγκωμιάζουσιν. τὴν αὐτὴν δὲ
148 γνώμην καὶ περὶ Λακεδαιμονίων ἔχουσιν· καὶ γὰρ
ἐκείνων μᾶλλον ἄγανται τὴν ἧτταν τὴν ἐν Θερμοπύ-
λαις ἢ τὰς ἄλλας νίκας, καὶ τὸ τρόπαιον τὸ μὲν κατ'
ἐκείνων ὑπὸ τῶν βαρβάρων σταθὲν ἀγαπῶσι καὶ θεω- b
ροῦσι, τὰ δ' ὑπὸ Λακεδαιμονίων κατὰ τῶν ἄλλων οὐκ
ἐπαινοῦσιν ἀλλ' ἀηδῶς ὁρῶσιν· ἡγοῦνται γὰρ τὸ μὲν
ἀρετῆς εἶναι σημεῖον, τὰ δὲ πλεονεξίας.
149 (ξγ'.) Ταῦτ' οὖν ἐξετάσας ἅπαντα καὶ διελθὼν
πρὸς αὑτὸν, ἤν μέν τι τῶν εἰρημένων ᾖ μαλακώτερον
ἢ καταδεέστερον, αἰτιῶ τὴν ἡλικίαν τὴν ἐμὴν, ᾗ δι- c
καίως ἂν ἅπαντες συγγνώμην ἔχοιεν· ἢν δ' ὅμοια τοῖς
πρότερον διαδεδομένοις, νομίζειν αὐτὰ χρὴ μὴ τὸ γῆ-
ρας τοὐμὸν εὑρεῖν ἀλλὰ τὸ δαιμόνιον ὑποβαλεῖν, οὐκ
ἐμοῦ φροντίζον ἀλλὰ τῆς Ἑλλάδος κηδόμενον, καὶ βου-
λόμενον ταύτην τε τῶν κακῶν ἀπαλλάξαι τῶν παρόν-
των καὶ σοὶ πολὺ μείζω περιθεῖναι δόξαν τῆς νῦν
150 ὑπαρχούσης. οἶμαι δέ σ' οὐκ ἀγνοεῖν, ὃν τρόπον οἱ
θεοὶ τὰ τῶν ἀνθρώπων διοικοῦσιν. οὐ γὰρ αὐτόχει- d
ρες οὔτε τῶν ἀγαθῶν οὔτε τῶν κακῶν γίγνονται τῶν
συμβαινόντων αὐτοῖς ἀλλ' ἑκάστοις τοιαύτην ἔννοιαν

ἐμποιοῦσιν, ὥστε δι' ἀλλήλων ἡμῖν ἑκάτερα παραγί-
151 *γνεσθαι τούτων. οἷον ἴσως καὶ νῦν τοὺς μὲν λόγους*
ἡμῖν ἀπένειμαν, ἐπὶ δὲ τὰς πράξεις σὲ τάττουσι, νο-
μίζοντες τούτων μὲν σὲ κάλλιστ' ἂν ἐπιστατῆσαι, τὸν
δὲ λόγον τὸν ἐμὸν ἥκιστ' ἂν ὀχληρὸν γενέσθαι τοῖς
ἀκούουσιν. ἡγοῦμαι δὲ καὶ τὰ πεπραγμένα πρότερον e
οὐκ ἄν ποτέ σοι γενέσθαι τηλικαῦτα τὸ μέγεθος, εἰ
152 *μή τις θεῶν αὐτὰ συγκατώρθωσεν, οὐχ ἵνα τοῖς βαρ-*
βάροις μόνον τοῖς ἐπὶ τῆς Εὐρώπης κατοικοῦσι πολε-
μῶν διατελῇς, ἀλλ' ὅπως ἂν ἐν τούτοις γυμνασθεὶς 113
καὶ λαβὼν ἐμπειρίαν καὶ γνωσθεὶς οἷος εἶ, τούτων ἐπι-
θυμήσῃς ὧν ἐγὼ τυγχάνω συμβεβουλευκώς. αἰσχρὸν
οὖν ἐστι καλῶς τῆς τύχης ἡγουμένης ἀπολειφθῆναι
καὶ μὴ παρασχεῖν σαυτὸν, εἰς ὃ βούλεταί σε προα-
γαγεῖν.

153 (ξδ'.) *Νομίζω δὲ χρῆναί σε πάντας μὲν τιμᾶν τοὺς*
περὶ τῶν σοι πεπραγμένων ἀγαθόν τι λέγοντας, κάλ-
λιστα μέντοι νομίζειν ἐκείνους ἐγκωμιάζειν τοὺς μει-
ζόνων ἔργων ἢ τηλικούτων τὴν σὴν φύσιν ἀξιοῦντας, b
καὶ τοὺς μὴ μόνον ἐν τῷ παρόντι κεχαρισμένως διει-
λεγμένους, ἀλλ' οἵτινες ἂν τοὺς ἐπιγιγνομένους οὕτω
ποιήσωσι τὰς σὰς πράξεις θαυμάζειν ὡς οὐδενὸς ἄλ-
λου τῶν προγεγενημένων. πολλὰ δὲ βουλόμενος τοι-
αῦτα λέγειν οὐ δύναμαι· τὴν δ' αἰτίαν δι' ἣν, πλεο-
νάκις τοῦ δέοντος εἴρηκα.

154 (ξε'.) *Λοιπὸν οὖν ἐστι τὰ προειρημένα συναγα-*
γεῖν, ἵν' ὡς ἐν ἐλαχίστοις κατίδῃς τὸ κεφάλαιον τῶν c
συμβεβουλευμένων. φημὶ γὰρ χρῆναί σε τοὺς μὲν Ἕλ-
ληνας εὐεργετεῖν, Μακεδόνων δὲ βασιλεύειν, τῶν δὲ
βαρβάρων ὡς πλείστων ἄρχειν. ἢν γὰρ ταῦτα πράττῃς,
ἅπαντές σοι χάριν ἕξουσιν, οἱ μὲν Ἕλληνες ὑπὲρ ὧν
ἂν εὖ πάσχωσι, Μακεδόνες δ' ἢν βασιλικῶς ἀλλὰ μὴ

τυραννικῶς αὐτῶν ἐπιστατῇς, τὸ δὲ τῶν ἄλλων γένος,
ἢν διὰ σὲ βαρβαρικῆς δεσποτείας ἀπαλλαγέντες Ἑλ- d
155 ληνικῆς ἐπιμελείας τύχωσιν. ταῦθ' ὅπως μὲν γέγρα-
πται τοῖς καιροῖς καὶ ταῖς ἀκριβείαις, παρ' ὑμῶν τῶν
ἀκουόντων πυνθάνεσθαι δίκαιόν ἐστιν· ὅτι μέντοι
βελτίω τούτων καὶ μᾶλλον ἁρμόττοντα τοῖς ὑπάρ-
χουσιν οὐδεὶς ἂν σοι συμβουλεύσειε, σαφῶς εἰδέναι
νομίζω.

6.
ΑΡΧΙΔΑΜΟΣ

(α΄.) Ἴσως τινὲς ὑμῶν θαυμάζουσιν, ὅτι τὸν ἄλ- 116
λον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς πόλεως νομίμοις, ὡς
οὐκ οἶδ' εἴ τις ἄλλος τῶν ἡλικιωτῶν, τοσαύτην πε-
ποίημαι τὴν μεταβολήν, ὥστε περὶ ὧν ὀκνοῦσιν οἱ
πρεσβύτεροι λέγειν, περὶ τούτων νεώτερος ὢν παρε-
2 λήλυθα συμβουλεύσων. ἐγὼ δ' εἰ μέν τις τῶν εἰθι-
σμένων ἐν ὑμῖν ἀγορεύειν ἀξίως ἦν τῆς πόλεως εἰρη-
κώς, πολλὴν ἂν ἡσυχίαν ἦγον· νῦν δ' ὁρῶν τοὺς μὲν
συναγορεύοντας οἷς οἱ πολέμιοι προστάττουσι, τοὺς b
δ' οὐκ ἐρρωμένως ἐναντιουμένους, τοὺς δὲ παντάπα-
σιν ἀποσεσιωπηκότας, ἀνέστην ἀποφανούμενος, ἃ
γιγνώσκω περὶ τούτων, αἰσχρὸν νομίσας, εἰ τὴν ἰδίαν
τοῦ βίου τάξιν διαφυλάττων περιόψομαι τὴν πόλιν
3 ἀνάξια ψηφισαμένην αὑτῆς. (β΄.) Ἡγοῦμαι δ' εἰ καὶ
περὶ τῶν ἄλλων πρέπει τοὺς τηλικούτους σιωπᾶν, περί
γε τοῦ πολεμεῖν ἢ μὴ προσήκειν τούτους μάλιστα συμ-
βουλεύειν, οἵπερ καὶ τῶν κινδύνων πλεῖστον μέρος
μεθέξουσιν, ἄλλως τε δὴ καὶ τοῦ γνῶναί τι τῶν δεόν- c

μετὰ τῶν Ἑλλήνων ἐπὶ τούτους, πρὸς οὓς προσήκει τοὺς ἀφ' Ἡρακλέους γεγονότας πολεμεῖν.

116 (μθ'.) Καὶ μὴ θαυμάσῃς, εἰ διὰ παντός σε τοῦ 10
λόγου πειρῶμαι προτρέπειν ἐπί τε τὰς εὐεργεσίας τὰς τῶν Ἑλλήνων καὶ πραότητα καὶ φιλανθρωπίαν· ὁρῶ γὰρ τὰς μὲν χαλεπότητας λυπηρὰς οὔσας καὶ τοῖς ἔχουσι καὶ τοῖς ἐντυγχάνουσι, τὰς δὲ πραότητας οὐ μόνον ἐπὶ τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζώων ἁπάντων εὐδο-
117 κιμούσας, ἀλλὰ καὶ τῶν θεῶν τοὺς μὲν τῶν ἀγαθῶν αἰτίους ἡμῖν ὄντας Ὀλυμπίους προσαγορευομένους, τοὺς δ' ἐπὶ ταῖς συμφοραῖς καὶ ταῖς τιμωρίαις τεταγμένους δυσχερεστέρας τὰς ἐπωνυμίας ἔχοντας, καὶ b
τῶν μὲν καὶ τοὺς ἰδιώτας καὶ τὰς πόλεις καὶ νεὼς καὶ βωμοὺς ἱδρυμένους, τοὺς δ' οὔτ' ἐν ταῖς εὐχαῖς οὔτ' ἐν ταῖς θυσίαις τιμωμένους, ἀλλ' ἀποπομπὰς αὐτῶν
118 ἡμᾶς ποιουμένους. ὧν ἐνθυμούμενον ἐθίζειν σαυτὸν χρὴ καὶ μελετᾶν, ὅπως ἔτι μᾶλλον ἢ νῦν τοιαύτην ἅπαντες περὶ σοῦ τὴν γνώμην ἕξουσιν. χρὴ δὲ τοὺς μείζονος δόξης τῶν ἄλλων ἐπιθυμοῦντας περιβάλλε- c
σθαι μὲν τῇ διανοίᾳ τὰς πράξεις, δυνατὰς μὲν, εὐχῇ δ' ὁμοίας, ἐξεργάζεσθαι δὲ ζητεῖν αὐτὰς, ὅπως ἂν οἱ καιροὶ παραδιδῶσιν.

119 (ν'.) Ἐκ πολλῶν δ' ἂν κατανοήσειας, ὅτι δεῖ τοῦτον τὸν τρόπον πράττειν, μάλιστα δ' ἐκ τῶν Ἰάσονι συμβάντων. ἐκεῖνος γὰρ οὐδὲν τοιοῦτον οἷον σὺ κατεργασάμενος μεγίστης δόξης ἔτυχεν, οὐκ ἐξ ὧν ἔπραξεν ἀλλ' ἐξ ὧν ἔφησεν· ἐποιεῖτο γὰρ τοὺς λόγους ὡς εἰς τὴν ἤπειρον διαβησόμενος καὶ βασιλεῖ πολεμήσων. d
120 ὅπου δ' Ἰάσων λόγῳ μόνον χρησάμενος οὕτως αὑτὸν ηὔξησεν, ποίαν τινὰ χρὴ προσδοκᾶν περὶ σοῦ γνώμην ἅπαντας ἕξειν, ἢν ἔργῳ ταῦτα πράξῃς, καὶ μάλιστα μὲν πειραθῇς ὅλην τὴν βασιλείαν ἀνελεῖν, εἰ δὲ μὴ, χώραν

ὅτι πλείστην ἀφορίσασθαι καὶ διαλαβεῖν τὴν Ἀσίαν, ὥς λέγουσί τινες, ἀπὸ Κιλικίας μέχρι Σινώπης, πρὸς δὲ τούτοις κτίσαι πόλεις ἐπὶ τούτῳ τῷ τόπῳ καὶ κατ-
οικίσαι τοὺς νῦν πλανωμένους δι' ἔνδειαν τῶν καθ' e
121 ἡμέραν καὶ λυμαινομένους οἷς ἂν ἐντύχωσιν. οὓς εἰ μὴ παύσομεν ἀθροιζομένους βίον αὐτοῖς ἱκανὸν πορίσαντες, λήσουσιν ἡμᾶς τοσοῦτοι γενόμενοι τὸ πλῆθος ὥστε μηδὲν ἧττον αὐτοὺς εἶναι φοβεροὺς τοῖς
Ἕλλησιν ἢ τοῖς βαρβάροις· ὧν οὐδεμίαν ποιούμεθα 101
πρόνοιαν, ἀλλ' ἀγνοοῦμεν κοινὸν φόβον καὶ κίνδυνον
122 ἅπασιν ἡμῖν αὐξανόμενον. ἔστιν οὖν ἀνδρὸς μέγα φρονοῦντος καὶ φιλέλληνος καὶ πορρωτέρω τῶν ἄλλων τῇ διανοίᾳ καθορῶντος, ἀποχρησάμενον τοῖς τοιούτοις πρὸς τοὺς βαρβάρους καὶ χώραν ἀποτεμόμενον τοσαύτην, ὅσην ὀλίγῳ πρότερον εἰρήκαμεν, ἀπαλλάξαι τε τοὺς ξενιτευομένους τῶν κακῶν ὧν αὐτοί τ' ἔχουσι
καὶ τοῖς ἄλλοις παρέχουσι, καὶ πόλεις ἐξ αὐτῶν συστῆ- b
σαι καὶ ταύταις ὁρίσαι τὴν Ἑλλάδα καὶ προβαλέσθαι
123 πρὸ ἁπάντων ἡμῶν. ταῦτα γὰρ πράξας οὐ μόνον ἐκείνους εὐδαίμονας ποιήσεις ἀλλὰ καὶ πάντας ἡμᾶς εἰς ἀσφάλειαν καταστήσεις. ἢν δ' οὖν τούτων διαμάρτῃς, ἀλλ' ἐκεῖνό γε ῥᾳδίως ποιήσεις, τὰς πόλεις τὰς τὴν Ἀσίαν κατοικούσας ἐλευθερώσεις. ὅ τι δ' ἂν τούτων πρᾶξαι δυνηθῇς ἢ καὶ μόνον ἐπιχειρήσῃς, οὐκ ἔσθ'
ὅπως οὐ μᾶλλον τῶν ἄλλων εὐδοκιμήσεις, καὶ δικαίως, c
ἤν περ αὐτός τ' ἐπὶ ταῦθ' ὁρμήσῃς καὶ τοὺς Ἕλληνας
124 προτρέψῃς. (να'.) Ἐπεὶ νῦν γε τίς οὐκ ἂν εἰκότως τὰ συμβεβηκότα θαυμάσειε καὶ καταφρονήσειεν ἡμῶν, ὅπου παρὰ μὲν τοῖς βαρβάροις, οὓς ὑπειλήφαμεν μαλακοὺς εἶναι καὶ πολέμων ἀπείρους καὶ διεφθαρμένους ὑπὸ τῆς τρυφῆς, ἄνδρες ἐγγεγόνασιν, οἳ τῆς Ἑλλάδος
ἄρχειν ἠξίωσαν, τῶν δ' Ἑλλήνων οὐδεὶς τοσοῦτον πε- d

125 φρόνηκεν ὥστ' ἐπιχειρῆσαι τῆς Ἀσίας ἡμᾶς ποιῆσαι
κυρίους, ἀλλὰ τοσοῦτον αὐτῶν ἀπολελειμμένοι τυγχά-
νομεν, ὥστ' ἐκεῖνοι μὲν οὐκ ὤκνησαν οὐδὲ προϋπάρ-
ξαι τῆς ἔχθρας τῆς πρὸς τοὺς Ἕλληνας, ἡμεῖς δ' οὐδ'
ὑπὲρ ὧν κακῶς ἐπάθομεν ἀμύνεσθαι τολμῶμεν αὐ-
τούς, ἀλλ' ὁμολογούντων ἐκείνων ἐν ἅπασι τοῖς πο-
λέμοις μήτε στρατιώτας ἔχειν μήτε στρατηγοὺς μήτ'
126 ἄλλο μηδὲν τῶν εἰς τοὺς κινδύνους χρησίμων ἀλλὰ
ταῦτα πάντα παρ' ἡμῶν μεταπεμπομένων, εἰς τοῦθ' e
ἥκομεν ἐπιθυμίας τοῦ κακῶς ἡμᾶς αὐτοὺς ποιεῖν, ὥστ'
ἐξὸν ἡμῖν τἀκείνων ἀδεῶς ἔχειν, πρὸς ἡμᾶς τ' αὐτοὺς
περὶ μικρῶν πολεμοῦμεν καὶ τοὺς ἀφισταμένους τῆς
ἀρχῆς τῆς βασιλέως συγκαταστρεφόμεθα καὶ λελήθα-
μεν ἡμᾶς αὐτοὺς ἐνίοτε μετὰ τῶν πατρικῶν ἐχθρῶν
τοὺς τῆς αὐτῆς συγγενείας μετέχοντας ἀπολλύναι ζη-
τοῦντες.
127 (νβ'.) Διὸ καὶ σοὶ νομίζω συμφέρειν οὕτως ἀνάν-
δρως διακειμένων τῶν ἄλλων προστῆναι τοῦ πολέμου
τοῦ πρὸς ἐκεῖνον. προσήκει δὲ τοῖς μὲν ἄλλοις τοῖς
ἀφ' Ἡρακλέους πεφυκόσι καὶ τοῖς ἐν πολιτείᾳ καὶ νόμοις
ἐνδεδεμένοις ἐκείνην τὴν πόλιν στέργειν, ἐν ᾗ τυγχά-
νουσι κατοικοῦντες, σὲ δ' ὥσπερ ἄφετον γεγενημένον
ἅπασαν τὴν Ἑλλάδα πατρίδα νομίζειν, ὥσπερ ὁ γεννή- b
σας ὑμᾶς, καὶ κινδυνεύειν ὑπὲρ αὐτῆς ὁμοίως, ὥσπερ
ὑπὲρ ὧν μάλιστα σπουδάζεις.
128 (νγ'.) Ἴσως δ' ἂν τινες ἐπιτιμῆσαί μοι τολμήσειαν
τῶν οὐδὲν ἄλλο δυναμένων ἢ τοῦτο ποιεῖν, ὅτι σὲ
προειλόμην παρακαλεῖν ἐπί τε τὴν στρατείαν τὴν ἐπὶ
τοὺς βαρβάρους καὶ τὴν ἐπιμέλειαν τὴν τῶν Ἑλλήνων,
129 παραλιπὼν τὴν ἐμαυτοῦ πόλιν. (νδ'.) Ἐγὼ δ' εἰ μὲν
πρὸς ἄλλους τινὰς πρότερον ἐπεχείρουν διαλέγεσθαι c
περὶ τούτων ἢ πρὸς τὴν πατρίδα τὴν αὑτοῦ τὴν τρὶς

τοὺς Ἕλληνας ἐλευθερώσασαν, δὶς μὲν ἀπὸ τῶν βαρ-
βάρων, ἅπαξ δ' ἀπὸ τῆς Λακεδαιμονίων ἀρχῆς, ὡμο-
λόγουν ἂν πλημμελεῖν· νῦν δ' ἐκείνην μὲν φανήσομαι
πρώτην ἐπὶ ταῦτα προτρέπων ὡς ἠδυνάμην μετὰ
πλείστης σπουδῆς, αἰσθανόμενος δ' ἔλαττον αὐτὴν
φροντίζουσαν τῶν ὑπ' ἐμοῦ λεγομένων ἢ τῶν ἐπὶ τοῦ
βήματος μαινομένων ἐκείνην μὲν εἴασα, τῆς δὲ πραγ- d
130 ματείας οὐκ ἀπέστην. διὸ δικαίως ἄν με πάντες ἐπαι-
νοῖεν, ὅτι τῇ δυνάμει ταύτῃ χρώμενος, ἣν ἔχων τυγ-
χάνω, διατετέλεκα πάντα τὸν χρόνον πολεμῶν μὲν
τοῖς βαρβάροις, κατηγορῶν δὲ τῶν μὴ τὴν αὐτὴν ἐμοὶ
γνώμην ἐχόντων, προτρέπειν δ' ἐπιχειρῶν, οὓς ἂν
ἐλπίσω μάλιστα δυνήσεσθαι, τοὺς μὲν Ἕλληνας ἀγα-
θόν τι ποιῆσαι, τοὺς δὲ βαρβάρους ἀφελέσθαι τὴν
131 ὑπάρχουσαν εὐδαιμονίαν. διόπερ καὶ νῦν πρὸς σὲ e
ποιοῦμαι τοὺς λόγους, οὐκ ἀγνοῶν, ὅτι τούτοις ὑπ'
ἐμοῦ μὲν λεγομένοις πολλοὶ φθονήσουσι, τοῖς δ' αὐ-
τοῖς τούτοις ὑπὸ σοῦ πραττομένοις ἅπαντες συνησθή-
σονται. τῶν μὲν γὰρ εἰρημένων οὐδεὶς κεκοινώνηκε,
τῶν δ' ὠφελειῶν τῶν κατεργασθησομένων οὐκ ἔστιν
ὅστις οὐκ οἰήσεται μεθέξειν.
132 (νε'.) Σκέψαι δ' ὡς αἰσχρὸν περιορᾶν τὴν Ἀσίαν 109
ἄμεινον πράττουσαν τῆς Εὐρώπης καὶ τοὺς βαρβάρους
εὐπορωτέρους ὄντας τῶν Ἑλλήνων, ἔτι δὲ τοὺς μὲν
ἀπὸ Κύρου τὴν ἀρχὴν ἔχοντας, ὃν ἡ μήτηρ εἰς τὴν
ὁδὸν ἐξέβαλε, βασιλέας μεγάλους προσαγορευομέ-
νους, τοὺς δ' ἀφ' Ἡρακλέους πεφυκότας, ὃν ὁ γεν-
νήσας διὰ τὴν ἀρετὴν εἰς θεοὺς ἀνήγαγε, ταπεινοτέ-
ροις ὀνόμασιν ἢ 'κείνους προσαγορευομένους. ὧν
οὐδὲν ἐατέον οὕτως ἔχειν, ἀλλ' ἀναστρεπτέον καὶ b
μεταστατέον ἅπαντα ταῦτ' ἐστίν.
133 (νς'.) Εὖ δ' ἴσθι μηδὲν ἄν με τούτων ἐπιχειρή-

σαντα σε πείθειν, εἰ δυναστείαν μόνον καὶ πλοῦτον
ἑώρων ἐξ αὐτῶν γενησόμενον· ἡγοῦμαι γάρ τά γε
τοιαῦτα καὶ νῦν σοι πλείω τῶν ἱκανῶν ὑπάρχειν, καὶ
πολλὴν ἀπληστίαν ἔχειν, ὅστις προαιρεῖται κινδυνεύ-
ειν ὥστ' ἢ ταῦτα λαβεῖν ἢ στερηθῆναι τῆς ψυχῆς.
134 ἀλλὰ γὰρ οὐ πρὸς τὰς τούτων κτήσεις ἀποβλέψας
ποιοῦμαι τοὺς λόγους ἀλλ' οἰόμενος ἐκ τούτων μεγί- c
στην σοι καὶ καλλίστην γενήσεσθαι δόξαν. ἐνθυμοῦ
δ' ὅτι τὸ μὲν σῶμα θνητὸν ἅπαντες ἔχομεν, κατὰ δὲ
τὴν εὐλογίαν καὶ τοὺς ἐπαίνους καὶ τὴν φήμην καὶ
τὴν μνήμην τὴν τῷ χρόνῳ συμπαρακολουθοῦσαν ἀθα-
νασίας μεταλαμβάνομεν, ἧς ἄξιον ὀρεγομένους καθ'
135 ὅσον οἷοί τ' ἐσμὲν ὁτιοῦν πάσχειν. ἴδοις δ' ἂν καὶ τῶν
ἰδιωτῶν τοὺς ἐπιεικεστάτους ὑπὲρ ἄλλου μὲν οὐδενὸς
ἂν τὸ ζῆν ἀντικαταλλαξαμένους, ὑπὲρ δὲ τοῦ τυχεῖν d
καλῆς δόξης ἀποθνήσκειν ἐν τοῖς πολέμοις ἐθέλοντας,
ὅλως δὲ τοὺς μὲν τιμῆς ἐπιθυμοῦντας ἀεὶ μείζονος ἧς
ἔχουσιν ὑπὸ πάντων ἐπαινουμένους, τοὺς δὲ πρὸς
ἄλλο τι τῶν ὄντων ἀπλήστως διακειμένους ἀκρατεστέ-
136 ρους καὶ φαυλοτέρους εἶναι δοκοῦντας. τὸ δὲ μέγιστον
τῶν εἰρημένων, ὅτι συμβαίνει τοῦ μὲν πλούτου καὶ
τῶν δυναστειῶν πολλάκις τοὺς ἐχθροὺς κυρίους γί- e
γνεσθαι, τῆς δ' εὐνοίας τῆς παρὰ τῶν πολλῶν καὶ τῶν
ἄλλων τῶν προειρημένων μηδένας ἄλλους καταλείπε-
σθαι κληρονόμους πλὴν τοὺς ἐξ ἡμῶν γεγονότας.
ὥστ' ᾐσχυνόμην ἄν, εἰ μὴ τούτων ἕνεκα συνεβούλευον
καὶ τὴν στρατείαν ποιεῖσθαι ταύτην καὶ πολεμεῖν καὶ 1
κινδυνεύειν.
137 (νζ.) Οὕτω δ' ἄριστα βουλεύσει περὶ τούτων, ἢν
ὑπολάβῃς μὴ μόνον τὸν λόγον τοῦτόν σε παρακαλεῖν
ἀλλὰ καὶ τοὺς προγόνους καὶ τὴν τῶν βαρβάρων ἀναν-
δρίαν καὶ τοὺς ὀνομαστοτάτους γενομένους καὶ δόξαν-

τας ἡμιθέους εἶναι διὰ τὴν στρατείαν τὴν ἐπ' ἐκείνους,
μάλιστα δὲ πάντων τὸν καιρὸν, ἐν ᾧ σὺ μὲν τυγχά-
νεις τοσαύτην δύναμιν κεκτημένος, ὅσην οὐδεὶς τῶν
τὴν Εὐρώπην κατοικησάντων, πρὸς ὃν δὲ πολεμήσεις, b
οὕτω σφόδρα μεμισημένος καὶ καταπεφρονημένος ὑφ'
ἁπάντων, ὡς οὐδεὶς πώποτε τῶν βασιλευσάντων.

138 (νη'.) Πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην οἷόν τ' εἶναι
συγκεράσαι τοὺς λόγους ἅπαντας τοὺς ὑπ' ἐμοῦ περὶ
τούτων εἰρημένους· μᾶλλον γὰρ ἂν ἀξιόχρεως οὗτος
ἔδοξεν εἶναι τῆς ὑποθέσεως. οὐ μὴν ἀλλὰ σέ γε χρὴ
σκοπεῖν ἐξ ἁπάντων τὰ συντείνοντα καὶ προτρέποντα c
πρὸς τὸν πόλεμον τοῦτον· οὕτω γαρ ἂν ἄριστα βου-
λεύσαιο περὶ αὐτῶν.

139 (νθ'.) Οὐκ ἀγνοῶ δ' ὅτι πολλοὶ τῶν Ἑλλήνων
τὴν βασιλέως δύναμιν ἄμαχον εἶναι νομίζουσιν· ὧν
ἄξιον θαυμάζειν, εἰ τὴν ὑπ' ἀνθρώπου βαρβάρου καὶ
κακῶς τεθραμμένου καταστραφεῖσαν καὶ συναχθεῖσαν
ἐπὶ δουλείᾳ, ταύτην ὑπ' ἀνδρὸς Ἕλληνος καὶ περὶ τοὺς
πολέμους πολλὴν ἐμπειρίαν ἔχοντος μὴ νομίζουσιν ἂν
ἐπ' ἐλευθερίᾳ διαλυθῆναι, καὶ ταῦτ' εἰδότες, ὅτι d
συστῆσαι μέν ἐστιν ἅπαντα χαλεπὸν, διαστῆσαι δὲ
ῥᾴδιον.

140 (ξ'.) Ἐνθυμοῦ δ' ὅτι μάλιστα τούτους τιμῶσιν
ἅπαντες καὶ θαυμάζουσιν, οἵτινες ἀμφότερα δύναν-
ται, καὶ πολιτεύεσθαι καὶ στρατηγεῖν. ὅταν οὖν ὁρᾷς
τοὺς ἐν μιᾷ πόλει ταύτην ἔχοντας τὴν φύσιν εὐδοκι-
μοῦντας, ποίους τινὰς χρὴ προσδοκᾶν τοὺς ἐπαίνους
ἔσεσθαι τοὺς περὶ σοῦ ῥηθησομένους, ὅταν φαίνῃ ταῖς
μὲν εὐεργεσίαις ἐν ἅπασι τοῖς Ἕλλησι πεπολιτευμένος, e
ταῖς δὲ στρατηγίαις τοὺς βαρβάρους κατεστραμμένος;
141 ἐγὼ μὲν γὰρ ἡγοῦμαι ταῦτα πέρας ἕξειν· οὐδένα γὰρ
ἄλλον ποτὲ δυνήσεσθαι μείζω πρᾶξαι τούτων· οὔτε

γὰρ ἐν τοῖς Ἕλλησι γενήσεσθαι τηλικοῦτον ἔργον, 111
ὅσον ἐστὶ τὸ πάντας ἡμᾶς ἐκ τοσούτων πολέμων ἐπὶ
τὴν ὁμόνοιαν προαγαγεῖν, οὔτε τοῖς βαρβάροις εἰκός
ἐστι συστῆναι τηλικαύτην δύναμιν, ἣν τὴν νῦν ὑπάρ-
142 χουσαν καταλύσῃς. ὥστε τῶν μὲν ἐπιγιγνομένων οὐδ'
ἥν τις τῶν ἄλλων διενέγκῃ τὴν φύσιν, οὐδὲν ἕξει ποι-
ῆσαι τοιοῦτον. ἀλλὰ μὴν τῶν γε προγεγενημένων ἔχω
μὲν ὑπερβαλεῖν τὰς πράξεις τοῖς ἤδη διὰ σοῦ κατειρ- b
γασμένοις, οὐ γλίσχρως ἀλλ' ἀληθινῶς· ὅστις γὰρ
ἔθνη τοσαῦτα τυγχάνεις κατεστραμμένος, ὅσας οὐδεὶς
πώποτε τῶν ἄλλων πόλεις εἷλε, πῶς οὐκ ἂν πρὸς
ἕκαστον αὐτῶν ἀντιπαραβάλλων ῥᾳδίως ἂν ἐπέδειξα
143 μείζω σε κἀκείνων διαπεπραγμένον; ἀλλὰ γὰρ εἱλό-
μην ἀποσχέσθαι τῆς τοιαύτης ἰδέας δι' ἀμφότερα, διά
τε τοὺς οὐκ εὐκαίρως αὐτῇ χρωμένους καὶ διὰ τὸ μὴ
βούλεσθαι ταπεινοτέρους ποιεῖν τῶν νῦν ὄντων τοὺς c
ἡμιθέους εἶναι νομιζομένους.

144 (ξα'.) Ἐνθυμοῦ δ' ἵνα τι καὶ τῶν ἀρχαίων εἴπω-
μεν, ὅτι τὸν Ταντάλου πλοῦτον καὶ τὴν Πέλοπος ἀρ-
χὴν καὶ τὴν Εὐρυσθέως δύναμιν οὐδεὶς ἂν οὔτε λό-
γων εὑρετὴς οὔτε ποιητὴς ἐπαινέσειεν, ἀλλὰ μετά γε
τὴν Ἡρακλέους ὑπερβολὴν καὶ τὴν Θησέως ἀρετὴν
τοὺς ἐπὶ Τροίαν στρατευσαμένους καὶ τοὺς ἐκείνοις
145 ὁμοίους γενομένους ἅπαντες ἂν εὐλογήσειαν. καίτοι
τοὺς ὀνομαστοτάτους καὶ τοὺς ἀρίστους αὐτῶν ἴσμεν d
ἐν μικροῖς πολιχνίοις καὶ νησυδρίοις τὰς ἀρχὰς κατα-
σχόντας. ἀλλ' ὅμως ἰσόθεον καὶ παρὰ πᾶσιν ὀνομα-
στὴν τὴν αὑτῶν δόξαν κατέλιπον· ἅπαντες γὰρ φι-
λοῦσιν οὐ τοὺς σφίσιν αὐτοῖς μεγίστην δυναστείαν
κτησαμένους ἀλλὰ τοὺς τοῖς Ἕλλησι πλείστων ἀγαθῶν
αἰτίους γεγενημένους.

146 (ξβ'.) Οὐ μόνον δ' ἐπὶ τούτων αὐτοὺς ὄψει τὴν

γνώμην ταύτην ἔχοντας ἀλλ' ἐπὶ πάντων ὁμοίως, ἐπεὶ
καὶ τὴν πόλιν ἡμῶν οὐδεὶς ἂν ἐπαινέσειεν, οὔθ' ὅτι
τῆς θαλάττης ἦρξεν, οὔθ' ὅτι τοσοῦτον πλῆθος χρη- e
μάτων εἰσπράξασα τοὺς συμμάχους εἰς τὴν ἀκρόπολιν
ἀνήνεγκεν, ἀλλὰ μὴν οὐδ' ὅτι πολλῶν πόλεων ἐξου-
σίαν ἔλαβε τὰς μὲν ἀναστάτους ποιῆσαι, τὰς δ' αὐξῆ-
147 σαι, τὰς δ' ὅπως ἠβουλήθη διοικῆσαι· πάντα γὰρ
ταῦτα παρῆν αὐτῇ πράττειν· ἀλλ' ἐκ τούτων μὲν πολ- 112
λαὶ κατηγορίαι κατ' αὐτῆς γεγόνασιν, ἐκ δὲ τῆς Μα-
ραθῶνι μάχης καὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας, καὶ
μάλισθ' ὅτι τὴν αὑτῶν ἐξέλιπον ὑπὲρ τῆς τῶν Ἑλλή-
νων σωτηρίας, ἅπαντες ἐγκωμιάζουσιν. τὴν αὐτὴν δὲ
148 γνώμην καὶ περὶ Λακεδαιμονίων ἔχουσιν· καὶ γὰρ
ἐκείνων μᾶλλον ἄγανται τὴν ἧτταν τὴν ἐν Θερμοπύ-
λαις ἢ τὰς ἄλλας νίκας, καὶ τὸ τρόπαιον τὸ μὲν κατ'
ἐκείνων ὑπὸ τῶν βαρβάρων σταθὲν ἀγαπῶσι καὶ θεω- b
ροῦσι, τὰ δ' ὑπὸ Λακεδαιμονίων κατὰ τῶν ἄλλων οὐκ
ἐπαινοῦσιν ἀλλ' ἀηδῶς ὁρῶσιν· ἡγοῦνται γὰρ τὸ μὲν
ἀρετῆς εἶναι σημεῖον, τὰ δὲ πλεονεξίας.

149 (ξγ'.) Ταῦτ' οὖν ἐξετάσας ἅπαντα καὶ διελθὼν
πρὸς αὑτὸν, ἤν μέν τι τῶν εἰρημένων ᾖ μαλακώτερον
ἢ καταδεέστερον, αἰτιῶ τὴν ἡλικίαν τὴν ἐμὴν, ᾗ δι- c
καίως ἂν ἅπαντες συγγνώμην ἔχοιεν· ἢν δ' ὅμοια τοῖς
πρότερον διαδεδομένοις, νομίζειν αὐτὰ χρὴ μὴ τὸ γῆ-
ρας τοὐμὸν εὑρεῖν ἀλλὰ τὸ δαιμόνιον ὑποβαλεῖν, οὐκ
ἐμοῦ φροντίζον ἀλλὰ τῆς Ἑλλάδος κηδόμενον, καὶ βου-
λόμενον ταύτην τε τῶν κακῶν ἀπαλλάξαι τῶν παρόν-
των καὶ σοὶ πολὺ μείζω περιθεῖναι δόξαν τῆς νῦν
150 ὑπαρχούσης. οἶμαι δὲ σ' οὐκ ἀγνοεῖν, ὃν τρόπον οἱ
θεοὶ τὰ τῶν ἀνθρώπων διοικοῦσιν. οὐ γὰρ αὐτόχει- d
ρες οὔτε τῶν ἀγαθῶν οὔτε τῶν κακῶν γίγνονται τῶν
συμβαινόντων αὐτοῖς ἀλλ' ἑκάστοις τοιαύτην ἔννοιαν

ἐμποιοῦσιν, ὥστε δι' ἀλλήλων ἡμῖν ἑκάτερα παραγί-
151 γνεσθαι τούτων. οἷον ἴσως καὶ νῦν τοὺς μὲν λόγους
ἡμῖν ἀπένειμαν, ἐπὶ δὲ τὰς πράξεις σὲ τάττουσι, νο-
μίζοντες τούτων μὲν σὲ κάλλιστ' ἂν ἐπιστατῆσαι, τὸν
δὲ λόγον τὸν ἐμὸν ἥκιστ' ἂν ὀχληρὸν γενέσθαι τοῖς
ἀκούουσιν. ἡγοῦμαι δὲ καὶ τὰ πεπραγμένα πρότερον e
οὐκ ἄν ποτέ σοι γενέσθαι τηλικαῦτα τὸ μέγεθος, εἰ
152 μή τις θεῶν αὐτὰ συγκατώρθωσεν, οὐχ ἵνα τοῖς βαρ-
βάροις μόνον τοῖς ἐπὶ τῆς Εὐρώπης κατοικοῦσι πολε-
μῶν διατελῇς, ἀλλ' ὅπως ἂν ἐν τούτοις γυμνασθεὶς 113
καὶ λαβὼν ἐμπειρίαν καὶ γνωσθεὶς οἷος εἶ, τούτων ἐπι-
θυμήσῃς ὧν ἐγὼ τυγχάνω συμβεβουλευκώς. αἰσχρὸν
οὖν ἐστὶ καλῶς τῆς τύχης ἡγουμένης ἀπολειφθῆναι
καὶ μὴ παρασχεῖν σαυτὸν, εἰς ὃ βούλεταί σε προα-
γαγεῖν.
153 (ξδ'.) Νομίζω δὲ χρῆναί σε πάντας μὲν τιμᾶν τοὺς
περὶ τῶν σοι πεπραγμένων ἀγαθόν τι λέγοντας, κάλ-
λιστα μέντοι νομίζειν ἐκείνους ἐγκωμιάζειν τοὺς μει-
ζόνων ἔργων ἢ τηλικούτων τὴν σὴν φύσιν ἀξιοῦντας, b
καὶ τοὺς μὴ μόνον ἐν τῷ παρόντι κεχαρισμένως διει-
λεγμένους, ἀλλ' οἵτινες ἂν τοὺς ἐπιγιγνομένους οὕτω
ποιήσωσι τὰς σὰς πράξεις θαυμάζειν ὡς οὐδενὸς ἄλ-
λου τῶν προγεγενημένων. πολλὰ δὲ βουλόμενος τοι-
αῦτα λέγειν οὐ δύναμαι· τὴν δ' αἰτίαν δι' ἣν, πλεο-
νάκις τοῦ δέοντος εἴρηκα.
154 (ξε'.) Λοιπὸν οὖν ἐστὶ τὰ προειρημένα συναγα-
γεῖν, ἵν' ὡς ἐν ἐλαχίστοις κατίδῃς τὸ κεφάλαιον τῶν c
συμβεβουλευμένων. φημὶ γὰρ χρῆναί σε τοὺς μὲν Ἕλ-
ληνας εὐεργετεῖν, Μακεδόνων δὲ βασιλεύειν, τῶν δὲ
βαρβάρων ὡς πλείστων ἄρχειν. ἢν γὰρ ταῦτα πράττῃς,
ἅπαντές σοι χάριν ἕξουσιν, οἱ μὲν Ἕλληνες ὑπὲρ ὧν
ἂν εὖ πάσχωσι, Μακεδόνες δ' ἢν βασιλικῶς ἀλλὰ μὴ

τυραννικῶς αὐτῶν ἐπιστατῆς, τὸ δὲ τῶν ἄλλων γένος, ἣν διὰ σὲ βαρβαρικῆς δεσποτείας ἀπαλλαγέντες Ἑλ- d
ληνικῆς ἐπιμελείας τύχωσιν. ταῦθ' ὅπως μὲν γέγραπται τοῖς καιροῖς καὶ ταῖς ἀκριβείαις, παρ' ὑμῶν τῶν ἀκουόντων πυνθάνεσθαι δίκαιόν ἐστιν· ὅτι μέντοι βελτίω τούτων καὶ μᾶλλον ἁρμόττοντα τοῖς ὑπάρχουσιν οὐδεὶς ἂν σοι συμβουλεύσειε, σαφῶς εἰδέναι νομίζω.

6.

ΑΡΧΙΔΑΜΟΣ

(α'.) Ἴσως τινὲς ὑμῶν θαυμάζουσιν, ὅτι τὸν ἄλ- 116
λον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς πόλεως νομίμοις, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν ἡλικιωτῶν, τοσαύτην πεποίημαι τὴν μεταβολήν, ὥστε περὶ ὧν ὀκνοῦσιν οἱ πρεσβύτεροι λέγειν, περὶ τούτων νεώτερος ὢν παρε-
2 λήλυθα συμβουλεύσων. ἐγὼ δ' εἰ μέν τις τῶν εἰθισμένων ἐν ὑμῖν ἀγορεύειν ἀξίως ἦν τῆς πόλεως εἰρηκώς, πολλὴν ἂν ἡσυχίαν ἦγον· νῦν δ' ὁρῶν τοὺς μὲν συναγορεύοντας οἷς οἱ πολέμιοι προστάττουσι, τοὺς b
δ' οὐκ ἐρρωμένως ἐναντιουμένους, τοὺς δὲ παντάπασιν ἀποσεσιωπηκότας, ἀνέστην ἀποφανούμενος, ἃ γιγνώσκω περὶ τούτων, αἰσχρὸν νομίσας, εἰ τὴν ἰδίαν τοῦ βίου τάξιν διαφυλάττων περιόψομαι τὴν πόλιν
3 ἀνάξια ψηφισαμένην αὐτῆς. (β'.) Ἡγοῦμαι δ' εἰ καὶ περὶ τῶν ἄλλων πρέπει τοὺς τηλικούτους σιωπᾶν, περί γε τοῦ πολεμεῖν ἢ μὴ προσήκειν τούτους μάλιστα συμβουλεύειν, οἵπερ καὶ τῶν κινδύνων πλεῖστον μέρος μεθέξουσιν, ἄλλως τε δὴ καὶ τοῦ γνῶναί τι τῶν δεόν- c

4 των ἐν κοινῷ καθεστῶτος ἡμῖν. εἰ μὲν γὰρ ἦν δε-
δειγμένον ὥστε τοὺς μὲν πρεσβυτέρους περὶ ἁπάντων
εἰδέναι τὸ βέλτιστον, τοὺς δὲ νεωτέρους μηδὲ περὶ
ἑνὸς ὀρθῶς γιγνώσκειν, καλῶς ἂν εἶχεν ἀπείργειν
ἡμᾶς τοῦ συμβουλεύειν· ἐπειδὴ δ' οὐ τῷ πλήθει τῶν
ἐτῶν πρὸς τὸ φρονεῖν εὖ διαφέρομεν ἀλλήλων ἀλλὰ
τῇ φύσει καὶ ταῖς ἐπιμελείαις, πῶς οὐκ ἀμφοτέρων 11'
χρὴ τῶν ἡλικιῶν πεῖραν λαμβάνειν, ἵν' ἐξ ἁπάντων
ὑμῖν ἐξῇ τῶν ῥηθέντων ἑλέσθαι τὰ συμφορώτατα;
5 θαυμάζω δ' ὅσοι τριήρων μὲν ἡγεῖσθαι καὶ στρατο-
πέδων ἄρχειν ἀξιοῦσιν ἡμᾶς, ὑπὲρ ὧν μὴ καλῶς βου-
λευσάμενοι πολλαῖς ἂν συμφοραῖς καὶ μεγάλαις τὴν
πόλιν περιβάλλοιμεν, εἰπεῖν δ' ἃ γιγνώσκομεν περὶ
ὧν ὑμεῖς μέλλετε κρίνειν οὐκ οἴονται δεῖν ἡμᾶς, ἐν
οἷς κατορθώσαντες μὲν ἅπαντας ὑμᾶς ὠφελήσομεν, b
διαμαρτόντες δὲ τῆς ὑμετέρας γνώμης αὐτοὶ μὲν ἴσως
φαυλότεροι δόξομεν εἶναι, τὸ δὲ κοινὸν οὐδὲν ἂν ζη-
μιώσαιμεν.

6 Οὐ μὴν ὡς ἐπιθυμῶν τοῦ λέγειν, οὐδ' ὡς ἄλλως
πως παρεσκευασμένος ζῆν ἢ τὸν παρελθόντα χρόνον,
οὕτως εἴρηκα περὶ τούτων, ἀλλὰ βουλόμενος ὑμᾶς
προτρέψαι μηδεμίαν ἀποδοκιμάζειν τῶν ἡλικιῶν ἀλλ'
ἐν ἁπάσαις ζητεῖν, εἴ τίς τι δύναται περὶ τῶν παρόν- c
7 των πραγμάτων εἰπεῖν ἀγαθόν. (γ'.) Ὡς ἐξ οὗ τὴν
πόλιν οἰκοῦμεν, οὐδεὶς οὔτε κίνδυνος οὔτε πόλεμος
περὶ τοσούτων τὸ μέγεθος ἡμῖν γέγονε, περὶ ὅσων
νυνὶ βουλευσόμενοι συνεληλύθαμεν. πρότερον μὲν
γὰρ ὑπὲρ τοῦ τῶν ἄλλων ἄρχειν ἠγωνιζόμεθα, νῦν δ'
ὑπὲρ τοῦ μὴ ποιεῖν αὐτοὶ τὸ προσταττόμενον· ὃ ση-
μεῖον ἐλευθερίας ἐστίν, ὑπὲρ ἧς οὐδὲν ὅ τι τῶν δει-
νῶν οὐχ ὑπομενετέον, οὐ μόνον ἡμῖν ἀλλὰ καὶ τοῖς d
ἄλλοις τοῖς μὴ λίαν ἀνάνδρως διακειμένοις ἀλλὰ καὶ

8 κατὰ μικρὸν ἀρετῆς ἀντιποιουμένοις. ἐγὼ μὲν οὖν, εἰ
δεῖ τοὐμὸν ἴδιον εἰπεῖν, ἑλοίμην ἂν ἀποθανεῖν ἤδη
μὴ ποιήσας τὸ προσταττόμενον μᾶλλον ἢ πολλαπλά-
σιον χρόνον ζῆν τοῦ τεταγμένου ψηφισάμενος, ἃ Θη-
βαῖοι κελεύουσιν· αἰσχυνοίμην γὰρ ἄν, εἰ γεγονὼς
μὲν ἀφ' Ἡρακλέους, τοῦ δὲ πατρὸς βασιλεύοντος, αὐ-
τὸς δ' ἐπίδοξος ὢν τυχεῖν τῆς τιμῆς ταύτης, περι- e
ίδοιμι, καθ' ὅσον ἐστὶν ἐπ' ἐμοί, τὴν χώραν, ἣν ἡμῖν οἱ
πατέρες κατέλιπον, ταύτην τοὺς οἰκέτας τοὺς ἡμετέ-
9 ρους ἔχοντας. ἀξιῶ δὲ καὶ ὑμᾶς τὴν αὐτὴν ἐμοὶ γνώμην
ἔχειν, ενθυμηθέντας, ὅτι μέχρι μὲν ταυτησὶ τῆς ἡμέ-
ρας δεδυστυχηκέναι δοκοῦμεν ἐν τῇ μάχῃ τῇ πρὸς Θη-
βαίους, καὶ τοῖς μὲν σώμασι κρατηθῆναι διὰ τὸν οὐκ 118
ὀρθῶς ἡγησάμενον, τὰς δὲ ψυχὰς ἔτι καὶ νῦν ἀηττή-
10 τους ἔχειν, εἰ δὲ φοβηθέντες τοὺς ἐπιόντας κινδύνους
προησόμεθά τι τῶν ἡμετέρων αὐτῶν, βεβαιώσομεν
τὰς Θηβαίων ἀλαζονείας καὶ πολὺ σεμνότερον τρό-
παιον τοῦ περὶ Λεῦκτρα καὶ φανερώτερον στήσομεν
καθ' ἡμῶν αὐτῶν· τὸ μὲν γὰρ ἀτυχίας, τὸ δὲ τῆς ἡμε-
τέρας διανοίας ἔσται γεγενημένον. μηδεὶς οὖν ὑμᾶς
πείσῃ τοιαύταις αἰσχύναις τὴν πόλιν περιβαλεῖν. b
11 (δ'.) Καίτοι λίαν προθύμως οἱ σύμμαχοι συμβε-
βουλεύκασιν ὑμῖν, ὡς χρὴ Μεσσήνην ἀφέντας ποιή-
σασθαι τὴν εἰρήνην. οἷς ὑμεῖς δικαίως ἂν ὀργίζοισθε
πολὺ μᾶλλον ἢ τοῖς ἐξ ἀρχῆς ἀποστᾶσιν ἡμῶν. ἐκεῖνοι
μὲν γὰρ ἀφέμενοι τῆς ἡμετέρας φιλίας τὰς αὑτῶν πό-
λεις ἀπώλεσαν, εἰς στάσεις καὶ σφαγὰς καὶ πολιτείας
πονηρὰς ἐμβαλόντες, οὗτοι δ' ἡμᾶς ἥκουσι κακῶς
12 ποιήσοντες· τὴν γὰρ δόξαν, ἣν ἡμῖν οἱ πρόγονοι μετὰ c
πολλῶν κινδύνων ἐν ἑπτακοσίοις ἔτεσι κτησάμενοι
κατέλιπον, ταύτην ἐν ὀλίγῳ χρόνῳ πείθουσιν ὑμᾶς
ἀποβαλεῖν, ἧς οὔτ' ἀπρεπεστέραν τῇ Λακεδαίμονι συμ-

φορὰν οὔτε δεινοτέραν οὐδέποτ' ἂν εὑρεῖν ἠδυνήθη-
13 σαν. εἰς τοῦτο δ' ἥκουσι πλεονεξίας καὶ τοσαύτην
ἡμῶν κατεγνώκασιν ἀνανδρίαν, ὥστε πολλάκις ἡμᾶς
ἀξιώσαντες ὑπὲρ τῆς αὑτῶν πολεμεῖν, ὑπὲρ Μεσσή-
νης οὐκ οἴονται δεῖν κινδυνεύειν, ἀλλ' ἵν' αὐτοὶ τὴν
σφετέραν αὐτῶν ἀσφαλῶς καρπῶνται, πειρῶνται δι- d
δάσκειν ὑμᾶς, ὡς χρὴ τοῖς ἐχθροῖς τῆς ἡμετέρας πα-
ραχωρῆσαι, καὶ πρὸς τοῖς ἄλλοις ἐπαπειλοῦσιν, ὡς
εἰ μὴ ταῦτα συγχωρήσομεν ποιησόμενοι τὴν εἰρήνην
14 κατὰ σφᾶς αὐτούς. ἐγὼ δ' οὐ τοσούτῳ χαλεπώτερον
ἡγοῦμαι τὸν κίνδυνον ἡμῖν ἔσεσθαι τὸν ἄνευ τούτων,
ὅσῳ καλλίω καὶ λαμπρότερον καὶ παρὰ πᾶσιν ἀνθρώ-
ποις ὀνομαστότερον· τὸ γὰρ μὴ δι' ἑτέρων ἀλλὰ δι'
ἡμῶν αὐτῶν πειρᾶσθαι σώζεσθαι καὶ περιγενέσθαι e
τῶν ἐχθρῶν ὁμολογούμενον τοῖς ἄλλοις τοῖς τῆς πό-
λεως ἔργοις ἐστίν.

15 Οὐδὲ πώποτε δὲ λόγους ἀγαπήσας, ἀλλ' ἀεὶ νο-
μίζων τοὺς περὶ τοῦτο διατρίβοντας ἀργοτέρους εἶναι 1
πρὸς τὰς πράξεις, νῦν οὐδὲν ἂν περὶ πλείονος ποιη-
σαίμην ἢ δυνηθῆναι περὶ τῶν προκειμένων ὡς βού-
λομαι διελθεῖν· ἐν γὰρ τῷ παρόντι διὰ τούτων ἐλπί-
ζω μεγίστων ἀγαθῶν αἴτιος ἂν γενέσθαι τῇ πόλει.
16 (ε'.) Πρῶτον μὲν οὖν οἶμαι δεῖν διαλεχθῆναι πρὸς
ὑμᾶς, ὃν τρόπον ἐκτησάμεθα Μεσσήνην, καὶ δι' ἃς
αἰτίας ἐν Πελοποννήσῳ κατῳκήσατε, Δωριεῖς τὸ πα-
λαιὸν ὄντες. διὰ τοῦτο δὲ προλήψομαι πορρωτέρωθεν,
ἵν' ἐπίστησθε, διότι ταύτην ὑμᾶς τὴν χώραν ἐπιχει- b
ροῦσιν ἀποστερεῖν, ἣν ὑμεῖς οὐδὲν ἧττον ἢ τὴν ἄλλην
Λακεδαίμονα κέκτησθε δικαίως.

17 (ς'.) Ἐπειδὴ γὰρ Ἡρακλῆς μετήλλαξε τὸν βίον,
θεὸς ἐκ θνητοῦ γενόμενος, κατὰ μὲν ἀρχὰς οἱ παῖδες
αὐτοῦ διὰ τὴν τῶν ἐχθρῶν δύναμιν ἐν πολλοῖς πλά-

νοις καὶ κινδύνοις ἦσαν, τελευτήσαντος δ' Εὐρυσθέως
κατῴκησαν ἐν Δωριεῦσιν. ἐπὶ δὲ τρίτης γενεᾶς εἰς
Δελφοὺς ἀφίκοντο, χρήσασθαι τῷ μαντείῳ περί τινων
βουληθέντες. ὁ δὲ θεὸς περὶ μὲν ὧν ἐπηρώτησαν οὐκ c
ἀνεῖλεν, ἐκέλευσε δ' αὐτοὺς ἐπὶ τὴν πατρῴαν ἰέναι
18 χώραν. σκοπούμενοι δὲ τὴν μαντείαν εὕρισκον Ἄργος
μὲν κατ' ἀγχιστείαν αὐτῶν γιγνόμενον, Εὐρυσθέως
γὰρ ἀποθανόντος μόνοι Περσειδῶν ἦσαν καταλελειμ-
μένοι, Λακεδαίμονα δὲ κατὰ δόσιν, ἐκβληθεὶς γὰρ
Τυνδάρεως ἐκ τῆς ἀρχῆς, ἐπειδὴ Κάστωρ καὶ Πολυ-
δεύκης ἐξ ἀνθρώπων ἠφανίσθησαν, καταγαγόντος αὐ- d
τὸν Ἡρακλέους δίδωσιν αὐτῷ τὴν χώραν διά τε τὴν
εὐεργεσίαν ταύτην καὶ διὰ τὴν συγγένειαν τὴν πρὸς
19 τοὺς παῖδας, Μεσσήνην δὲ δοριάλωτον ληφθεῖσαν,
συληθεὶς γὰρ Ἡρακλῆς τὰς βοῦς τὰς ἐκ τῆς Ἐρυθείας
ὑπὸ Νηλέως καὶ τῶν παίδων πλὴν ὑπὸ Νέστορος, λα-
βὼν αὐτὴν αἰχμάλωτον τοὺς μὲν ἀδικήσαντας ἀπέ-
κτεινεν, Νέστορι δὲ παρακατατίθεται τὴν πόλιν, νο-
μίσας αὐτὸν εὖ φρονεῖν, ὅτι νεώτατος ὢν οὐ συνεξή- e
20 μαρτε τοῖς ἀδελφοῖς. (ζ'.) Ὑπολαβόντες δ' οὕτως ἔχειν
τὴν μαντείαν καὶ τοὺς προγόνους τοὺς ὑμετέρους πα-
ραλαβόντες καὶ στρατόπεδον συστησάμενοι τὴν μὲν
ἰδίαν χώραν εἰς τὸ κοινὸν τοῖς συνακολουθοῦσιν ἔδο-
σαν, τὴν δὲ βασιλείαν ἐξαίρετον αὐτοῖς παρ' ἐκείνων 120
ἔλαβον· ἐπὶ δὲ τούτοις πίστεις ἀλλήλοις δόντες ἐποι-
21 οῦντο τὴν στρατείαν. τοὺς μὲν οὖν κινδύνους τοὺς ἐν
τῇ πορείᾳ γενομένους καὶ τὰς ἄλλας πράξεις τὰς οὐ-
δὲν πρὸς τὸ παρὸν φερούσας τί δεῖ λέγοντα διατρί-
βειν; πολέμῳ δὲ κρατήσαντες τοὺς ἐν τοῖς τόποις τοῖς
εἰρημένοις κατοικοῦντας τριχῇ διείλοντο τὰς βασι-
λείας. ὑμεῖς μὲν οὖν μέχρι ταυτησὶ τῆς ἡμέρας ἐμμέ-
νετε ταῖς συνθήκαις καὶ τοῖς ὅρκοις, οὓς ἐποιήσασθε b

22 πρὸς τοὺς προγόνους τοὺς ἡμετέρους· διὸ καὶ τὸν παρελθόντα χρόνον ἄμεινον τῶν ἄλλων ἐφέρεσθε, καὶ τὸν ἐπιόντα προσδοκᾶν χρὴ τοιούτους ὄντας βέλτιον ἢ νῦν πράξειν. Μεσσήνιοι δ' εἰς τοῦτ' ἀσεβείας ἦλθον, ὥστ' ἐπιβουλεύσαντες ἀπέκτειναν Κρεσφόντην τὸν οἰκιστὴν μὲν τῆς πόλεως, κύριον δὲ τῆς χώρας, ἔκγονον δ' Ἡρακλέους, αὐτῶν δ' ἡγεμόνα γεγενημέ-
23 νον. διαφυγόντες δ' οἱ παῖδες αὐτοῦ τοὺς κινδύνους c
ἱκέται κατέστησαν ταυτησὶ τῆς πόλεως, ἀξιοῦντες βοηθεῖν τῷ τεθνεῶτι καὶ τὴν χώραν διδόντες ἡμῖν. ἐπερόμενοι δὲ τὸν θεὸν κἀκείνου προστάξαντος δέχεσθαι ταῦτα καὶ τιμωρεῖν τοῖς ἠδικημένοις ἐκπολιορκήσαντες Μεσσηνίους οὕτως ἐκτήσασθε τὴν χώραν.

24 (η'.) Περὶ μὲν οὖν τῶν ἐξ ἀρχῆς ὑπαρξάντων ἡμῖν ἀκριβῶς μὲν οὐ διῆλθον, ὁ γὰρ παρὼν καιρὸς οὐκ ἐᾷ μυθολογεῖν, ἀλλ' ἀναγκαῖον ἦν συντομώτερον ἢ σα- d
φέστερον διαλεχθῆναι περὶ αὐτῶν, οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων οἶμαι πᾶσι φανερὸν εἶναι, διότι τὴν ὁμολογουμένην ἡμετέραν εἶναι χώραν οὐδὲν διαφερόντως κεκτημένοι τυγχάνομεν ἢ τὴν ἀμφισβητουμένην. ταύτην τε γὰρ οἰκοῦμεν δόντων μὲν Ἡρακλειδῶν, ἀνελόντος δὲ τοῦ θεοῦ, πολέμῳ δὲ κρατήσαντες τοὺς ἔχοντας· ἐκείνην τ' ἐλάβομεν παρὰ τῶν αὐτῶν καὶ τὸν αὐτὸν τρόπον καὶ ταῖς μαντείαις χρησάμενοι ταῖς αὐ- e
25 ταῖς. εἰ μὲν οὖν οὕτως ἔχομεν ὥστε μηδὲ περὶ ἑνὸς ἀντιλέγειν, μηδ' ἂν αὐτὴν τὴν Σπάρτην ἐκλιπεῖν προστάττωσιν ἡμῖν, περίεργόν ἐστιν ὑπὲρ Μεσσήνης σπουδάζειν· εἰ δὲ μηδεὶς ἂν ὑμῶν ἀξιώσειε ζῆν ἀποστερούμενος τῆς πατρίδος, προσήκει καὶ περὶ ἐκείνης τὴν αὐτὴν ὑμᾶς γνώμην ἔχειν. τὰ γὰρ αὐτὰ δικαιώ- 12
ματα καὶ τοὺς αὐτοὺς λόγους περὶ ἀμφοτέρων αὐτῶν ἔχομεν εἰπεῖν.

26 (θ'.) Ἀλλὰ μὴν οὐδ' ἐκεῖν' ὑμᾶς λέληθεν, ὅτι τὰς
κτήσεις καὶ τὰς ἰδίας καὶ τὰς κοινάς, ἂν ἐπιγένηται
πολὺς χρόνος, κυρίας καὶ πατρῴας ἅπαντες εἶναι νο-
μίζουσιν. ἡμεῖς τοίνυν Μεσσήνην εἵλομεν πρὶν Πέρ-
σας λαβεῖν τὴν βασιλείαν καὶ κρατῆσαι τῆς ἠπείρου καὶ
πρὶν οἰκισθῆναι τὰς πλείστας τῶν πόλεων τῶν Ἑλλη- b
27 νίδων. καὶ τούτων ἡμῖν ὑπαρχόντων τῷ μὲν βαρβάρῳ
τὴν Ἀσίαν ὡς πατρῴαν οὖσαν ἀποδιδόασιν, ὃς οὔπω
διακόσι' ἔτη κατέσχηκε τὴν ἀρχήν, ἡμᾶς δὲ Μεσσήνην
ἀποστεροῦσιν, οἳ πλέον διπλάσιον χρόνον ἢ τοσοῦ-
τον τυγχάνομεν ἔχοντες αὐτήν· καὶ Θεσπιὰς μὲν καὶ
Πλαταιὰς ἐχθὲς καὶ πρώην ἀναστάτους πεποιήκασι,
ταύτην δὲ διὰ τετρακοσίων ἐτῶν μέλλουσι κατοικίζειν,
ἀμφότερα παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας πράτ- c
28 τοντες. καὶ εἰ μὲν τοὺς ὡς ἀληθῶς Μεσσηνίους κατῆ-
γον, ἠδίκουν μὲν ἄν, ὅμως δ' εὐλογωτέρως ἂν εἰς
ἡμᾶς ἐξημάρτανον· νῦν δὲ τοὺς Εἵλωτας ὁμόρους ἡμῖν
παρακατοικίζουσιν, ὥστε μὴ τοῦτ' εἶναι χαλεπώτατον,
εἰ τῆς χώρας στερησόμεθα παρὰ τὸ δίκαιον, ἀλλ' εἰ
τοὺς δούλους τοὺς ἡμετέρους ἐποψόμεθα κυρίους
αὐτῆς ὄντας.
29 (ι'.) Ἔτι τοίνυν ἐκ τῶν ἐχομένων γνώσεσθε σα- d
φέστερον, ὅτι καὶ νῦν δεινὰ πάσχομεν καὶ τότε Μεσ-
σήνην εἴχομεν δικαίως. πολλῶν γὰρ κινδύνων ἡμῖν
γεγενημένων ἤδη ποτὲ ποιήσασθαι τὴν εἰρήνην ἠναγ-
κάσθημεν πολὺ χεῖρον πράττοντες τῶν πολεμίων·
ἀλλ' ὅμως ἐν τοιούτοις καιροῖς γιγνομένων τῶν συν-
30 θηκῶν, ἐν οἷς οὐχ οἷόν τ' ἦν πλεονεκτεῖν, περὶ μὲν
ἄλλων τινῶν ἀμφισβητήσεις ἐγίγνοντο, περὶ δὲ Μεσ-
σήνης οὔτε βασιλεὺς οὔθ' ἡ τῶν Ἀθηναίων πόλις e
οὐδὲ πώποθ' ἡμῖν ἐνεκάλεσεν ὡς ἀδίκως κεκτημένοις
αὐτήν. καίτοι πῶς ἂν περὶ τοῦ δικαίου κρίσιν ἀκρι-

βεστέραν ταύτης εὕροιμεν τῆς ὑπὸ μὲν τῶν ἐχθρῶν
ἐγνωσμένης, ἐν δὲ ταῖς ἡμετέραις δυσπραξίαις γεγε-
νημένης;

31 (ια΄.) Τὸ τοίνυν μαντεῖον, ὃ πάντες ἂν ὁμολο-
γήσειαν ἀρχαιότατον εἶναι καὶ κοινότατον καὶ πιστό-
τατον, οὐ μόνον ἔγνω τόθ' ἡμετέραν εἶναι Μεσσήνην,
ὅτε διδόντων ἡμῖν αὐτὴν τῶν Κρεσφόντου παίδων
προσέταξε δέχεσθαι τὴν δωρεὰν καὶ βοηθεῖν τοῖς ἀδι-
κουμένοις, ἀλλὰ καὶ τοῦ πολέμου μακροῦ γιγνομένου
πεμψάντων ἀμφοτέρων εἰς Δελφούς, κἀκείνων μὲν
σωτηρίαν αἰτούντων, ἡμῶν δ' ἐπερωτώντων, ὅτῳ
τρόπῳ τάχιστ' ἂν κρατήσαιμεν τῆς πόλεως, τοῖς μὲν
οὐδὲν ἀνεῖλεν ὡς οὐ δικαίαν ποιουμένοις τὴν αἴτησιν, b
ἡμῖν δ' ἐδήλωσε καὶ τὰς θυσίας ἃς ἔδει ποιήσασθαι καὶ
32 βοήθειαν παρ' ὧν μεταπέμψασθαι. (ιβ΄.) Καίτοι πῶς
ἄν τις μαρτύρια μείζω καὶ σαφέστερα τούτων παρά-
σχοιτο; φαινόμεθα γὰρ πρῶτον μὲν παρὰ τῶν κυρίων
τὴν χώραν λαβόντες, οὐδὲν γὰρ κωλύει πάλιν διὰ βρα-
χέων περὶ αὐτῶν διελθεῖν, ἔπειτα κατὰ πόλεμον αὐ-
τὴν ἑλόντες, ὅνπερ τρόπον αἱ πλεῖσται τῶν πόλεων c
περὶ ἐκείνους τοὺς χρόνους ᾠκίσθησαν· ἔτι δὲ τοὺς
ἠσεβηκότας εἰς τοὺς παῖδας τοὺς Ἡρακλέους ἐκβεβλη-
κότες, οἳ δικαίως ἂν ἐξ ἁπάσης τῆς οἰκουμένης ὑπερ-
ωρίσθησαν, πρὸς δὲ τούτοις καὶ τῷ πλήθει τοῦ χρό-
νου καὶ τῇ τῶν ἐχθρῶν κρίσει καὶ ταῖς τοῦ θεοῦ μαν-
33 τείαις προσηκόντως ἔχοντες αὐτήν. ὧν ἓν ἕκαστον
ἱκανόν ἐστι διαλῦσαι τοὺς λόγους τῶν τολμώντων κα-
τηγορεῖν, ὡς ἢ νῦν διὰ πλεονεξίαν οὐ ποιούμεθα τὴν d
εἰρήνην, ἢ τότε τῶν ἀλλοτρίων ἐπιθυμοῦντες ἐπολε-
μήσαμεν πρὸς Μεσσηνίους. περὶ μὲν οὖν τῆς κτήσεως
ἔνεστι μὲν ἴσως πλείω τούτων εἰπεῖν, οὐ μὴν ἀλλὰ
καὶ ταῦθ' ἱκανῶς εἰρῆσθαι νομίζω.

34 (ιγ'.) *Λέγουσι δ' οἱ συμβουλεύοντες ὑμῖν ποιεῖ-*
σθαι τὴν εἰρήνην, ὡς χρὴ τοὺς εὖ φρονοῦντας μὴ τὴν
αὐτὴν γνώμην ἔχειν περὶ τῶν πραγμάτων εὐτυχοῦντάς e
τε καὶ δυστυχοῦντας, ἀλλὰ πρὸς τὸ παρὸν ἀεὶ βου-
λεύεσθαι καὶ ταῖς τύχαις ἐπακολουθεῖν καὶ μὴ μεῖζον
φρονεῖν τῆς δυνάμεως, μηδὲ τὸ δίκαιον ἐν τοῖς τοιού-
35 *τοις καιροῖς ἀλλὰ τὸ συμφέρον ζητεῖν.* (ιδ'.) *Ἐγὼ δὲ*
περὶ μὲν τῶν ἄλλων ὁμολογῶ τούτοις, ὅπως δὲ χρὴ τοῦ
δικαίου ποιεῖσθαί τι προὐργιαίτερον, οὐδεὶς ἄν με λέ-
γων πείσειεν. ὁρῶ γὰρ καὶ τοὺς νόμους ἕνεκα τούτου 123
κειμένους καὶ τοὺς ἄνδρας τοὺς καλούς τε κἀγαθοὺς
ἐπὶ τούτῳ φιλοτιμουμένους καὶ τὰς εὖ πολιτευομένας
36 *πόλεις περὶ τούτου μάλιστα σπουδαζούσας, ἔτι δὲ τοὺς*
πολέμους τοὺς προγεγενημένους οὐ κατὰ τὰς δυνά-
μεις ἀλλὰ κατὰ τὸ δίκαιον τὸ τέλος ἅπαντας εἰληφό-
τας, ὅλως δὲ τὸν βίον τὸν τῶν ἀνθρώπων διὰ μὲν κα-
κίαν ἀπολλύμενον, δι' ἀρετὴν δὲ σωζόμενον, ὥστ'
οὐκ ἀθυμεῖν δεῖ τοὺς ὑπὲρ τῶν δικαίων κινδυνεύειν b
μέλλοντας ἀλλὰ πολὺ μᾶλλον τοὺς ὑβρίζοντας καὶ τοὺς
37 *τὰς εὐτυχίας μὴ μετρίως φέρειν ἐπισταμένους. ἔπειτα*
κἀκεῖνο χρὴ σκοπεῖν· νυνὶ γὰρ περὶ μὲν τοῦ δικαίου
πάντες τὴν αὐτὴν γνώμην ἔχομεν, περὶ δὲ τοῦ συμ-
φέροντος ἀντιλέγομεν, δυοῖν δὲ προτεινομένοιν ἀγα-
θοῖν, καὶ τοῦ μὲν ὄντος προδήλου, τοῦ δ' ἀγνοουμέ-
νου, πῶς οὐκ ἂν ποιήσαιτε καταγέλαστον, εἰ τὸ μὲν
ὁμολογούμενον ἀποδοκιμάσαιτε, τὸ δ' ἀμφισβητού- c
μενον ἑλέσθαι δόξειεν ὑμῖν, ἄλλως τε καὶ τῆς αἱρέ-
38 *σεως τοσοῦτον διαφερούσης; ἐν μὲν γὰρ τοῖς ἐμοῖς*
λόγοις ἔνεστι μηδὲν μὲν προέσθαι τῶν ὑμετέρων αὐ-
τῶν μηδ' αἰσχύνῃ μηδεμιᾷ τὴν πόλιν περιβαλεῖν, ὑπὲρ
δὲ τῶν δικαίων κινδυνεύοντας ἐλπίζειν ἄμεινον ἀγω-
νιεῖσθαι τῶν ἐχθρῶν, ἐν δὲ τοῖς τούτων ἀφεστάναι

*μὲν ἤδη Μεσσήνης, προεξαμαρτόντας δὲ τοῦτ' εἰς
ὑμᾶς αὐτοὺς σχεδὸν καὶ τοῦ συμφέροντος καὶ τοῦ δι- d
καίου καὶ τῶν ἄλλων ἁπάντων ὧν προσδοκᾶτε δια-
39 μαρτεῖν. καὶ γὰρ οὐδὲ τοῦτό πω φανερόν ἐστιν, ὡς
ἂν ποιήσωμεν τὰ κελευόμενα, βεβαίως ἤδη τὴν εἰρή-
νην ἄξομεν. οἶμαι γὰρ ὑμᾶς οὐκ ἀγνοεῖν, ὅτι πάντες
εἰώθασι πρὸς μὲν τοὺς ἀμυνομένους περὶ τῶν δικαίων
διαλέγεσθαι, τοῖς δὲ λίαν ἑτοίμως ποιοῦσι τὸ προσ-
ταττόμενον ἀεὶ πλείω προσεπιβάλλειν οἷς ἂν ἐξ ἀρ-
χῆς διανοηθῶσιν, ὥστε συμβαίνειν βελτίονος εἰρήνης e
τυγχάνειν τοὺς πολεμικῶς διακειμένους τῶν ῥᾳδίως
τὰς ὁμολογίας ποιουμένων.*

40 (*ιε'*.) *Ἵνα δὲ μὴ δοκῶ περὶ ταῦτα πολὺν χρόνον
διατρίβειν, ἁπάντων τῶν τοιούτων ἀφέμενος ἐπὶ τὸν
ἁπλούστατον ἤδη τρέψομαι τῶν λόγων. εἰ μὲν γὰρ* a
*μηδένες πώποτε τῶν δυστυχησάντων ἀνέλαβον αὑτοὺς
μηδ' ἐπεκράτησαν τῶν ἐχθρῶν, οὐδ' ἡμᾶς εἰκὸς ἐλπί-
ζειν περιγενήσεσθαι πολεμοῦντας. εἰ δὲ πολλάκις γέ-
γονεν ὥστε καὶ τοὺς μείζω δύναμιν ἔχοντας ὑπὸ τῶν
ἀσθενεστέρων κρατηθῆναι καὶ τοὺς πολιορκοῦντας
ὑπὸ τῶν κατακεκλειμένων διαφθαρῆναι, τί θαυμα-
στὸν, εἰ καὶ τὰ νῦν καθεστῶτα λήψεταί τινα μετά-
στασιν;*

41 (*ιϛ'*.) *Ἐπὶ μὲν οὖν τῆς ἡμετέρας πόλεως οὐδὲν ἔχω* b
*τοιοῦτον εἰπεῖν· ἐν γὰρ τοῖς ἐπέκεινα χρόνοις οὐδένες
πώποτε κρείττους ἡμῶν εἰς ταύτην τὴν χώραν εἰσ-
έβαλον· ἐπὶ δὲ τῶν ἄλλων πολλοῖς ἂν τις παραδείγ-
μασι χρήσαιτο, καὶ μάλιστ' ἐπὶ τῆς πόλεως τῆς Ἀθη-
42 ναίων. τούτους γὰρ εὑρήσομεν ἐξ ὧν μὲν τοῖς ἄλλοις
προσέταττον, πρὸς τοὺς Ἕλληνας διαβληθέντας, ἐξ
ὧν δὲ τοὺς ὑβρίζοντας ἠμύναντο, παρὰ πᾶσιν ἀνθρώ-
ποις εὐδοκιμήσαντας. τοὺς μὲν οὖν παλαιοὺς κινδύ-* c

*νους εἰ διεξιοίην, οὓς ἐποιήσαντο πρὸς Ἀμαζόνας ἢ
Θρᾷκας ἢ Πελοποννησίους τοὺς μετ' Εὐρυσθέως εἰς
τὴν χώραν αὐτῶν εἰσβαλόντας, ἴσως ἀρχαῖα καὶ πόρρω
τῶν νῦν παρόντων λέγειν ἂν δοκοίην· ἐν δὲ τῷ Περ-
σικῷ πολέμῳ τίς οὐκ οἶδεν, ἐξ οἵων συμφορῶν εἰς*
43 *ὅσην εὐδαιμονίαν κατέστησαν; μόνοι γὰρ τῶν ἔξω Πε-
λοποννήσου κατοικούντων ὁρῶντες τὴν τῶν βαρβά-
ρων δύναμιν ἀνυπόστατον οὖσαν οὐκ ἠξίωσαν βου-* d
*λεύσασθαι περὶ τῶν προσταττομένων αὐτοῖς ἀλλ'
εὐθὺς εἵλοντο περιιδεῖν ἀνάστατον τὴν πόλιν γεγενη-
μένην μᾶλλον ἢ δουλεύουσαν. ἐκλιπόντες δὲ τὴν χώ-
ραν, καὶ πατρίδα μὲν τὴν ἐλευθερίαν νομίσαντες, κοι-
νωνήσαντες δὲ τῶν κινδύνων ἡμῖν, τοσαύτης μετα-
βολῆς ἔτυχον, ὥστ' ὀλίγας ἡμέρας στερηθέντες τῶν
αὐτῶν πολὺν χρόνον τῶν ἄλλων δεσπόται κατέστησαν.* e

44 *(ιζ'.) Οὐ μόνον δ' ἐπὶ ταύτης ἄν τις τῆς πόλεως
ἐπιδείξειε τὸ τολμᾶν ἀμύνεσθαι τοὺς ἐχθροὺς ὡς πολ-
λῶν ἀγαθῶν αἴτιόν ἐστιν, ἀλλὰ καὶ Διονύσιος ὁ τύ-
ραννος καταστὰς εἰς πολιορκίαν ὑπὸ Καρχηδονίων,
οὐδεμιᾶς αὐτῷ σωτηρίας ὑποφαινομένης, ἀλλὰ καὶ τῷ
πολέμῳ κατεχόμενος καὶ τῶν πολιτῶν δυσκόλως πρὸς* 125
αὐτὸν διακειμένων, αὐτὸς μὲν ἐμέλλησεν ἐκπλεῖν, τῶν
45 *δὲ χρωμένων τινὸς τολμήσαντος εἰπεῖν, ὡς καλόν
ἐστιν ἐντάφιον ἡ τυραννίς, αἰσχυνθεὶς ἐφ' οἷς διε-
νοήθη καὶ πάλιν ἐπιχειρήσας πολεμεῖν πολλὰς μὲν μυ-
ριάδας Καρχηδονίων διέφθειρεν, ἐγκρατεστέραν δὲ
τὴν ἀρχὴν τὴν τῶν πολιτῶν κατεστήσατο, πολὺ δὲ
μείζω τὴν δύναμιν τὴν αὐτοῦ τῆς πρότερον ὑπαρχού-
σης ἐκτήσατο, τυραννῶν δὲ τὸν βίον διετέλεσε, καὶ* b
*τὸν υἱὸν ἐν ταῖς αὐταῖς τιμαῖς καὶ δυναστείαις, ἐν
αἷσπερ αὐτὸς ἦν, κατέλιπεν.*

46 *(ιη'.) Παραπλήσια δὲ τούτοις Ἀμύντας ὁ Μακε-*

δόνων βασιλεὺς ἔπραξεν. ἡττηθεὶς γὰρ ὑπὸ τῶν βαρ-
βάρων τῶν προσοικούντων μάχῃ καὶ πάσης Μακεδο-
νίας ἀποστερηθεὶς τὸ μὲν πρῶτον ἐκλιπεῖν τὴν χώραν
διενοήθη καὶ τὸ σῶμα διασώζειν, ἀκούσας δέ τινος
ἐπαινοῦντος τὸ πρὸς Διονύσιον ῥηθὲν καὶ μεταγνοὺς
ὥσπερ ἐκεῖνος χωρίον μικρὸν καταλαβὼν καὶ βοήθειαν c
ἐνθένδε μεταπεμψάμενος ἐντὸς μὲν τριῶν μηνῶν κατ-
έσχεν ἅπασαν Μακεδονίαν, τὸν δ' ἐπίλοιπον χρόνον
βασιλεύων γήρᾳ τὸν βίον ἐτελεύτησεν.

47 (ιθ'.) Ἀπείποιμεν δ' ἂν ἀκούοντές τε καὶ λέγον-
τες, εἰ πάσας τὰς τοιαύτας πράξεις ἐξετάζοιμεν, ἐπεὶ
καὶ τῶν περὶ Θήβας πραχθέντων εἰ μνησθεῖμεν, ἐπὶ
μὲν τοῖς γεγενημένοις ἂν λυπηθεῖμεν, περὶ δὲ τῶν
μελλόντων βελτίους ἐλπίδας ἂν λάβοιμεν. τολμησάν- d
των γὰρ αὐτῶν ὑπομεῖναι τὰς εἰσβολὰς καὶ τὰς ἀπει-
λὰς τὰς ἡμετέρας εἰς τοῦθ' ἡ τύχη τὰ πράγματ' αὐ-
τῶν περιέστησεν, ὥστε τὸν ἄλλον χρόνον ὑφ' ἡμῖν
ὄντες νῦν ἡμῖν προστάττειν ἀξιοῦσιν.

48 (κ'.) Ὅστις οὖν ὁρῶν τοσαύτας μεταβολὰς γεγε-
νημένας ἐφ' ἡμῶν οἴεται παύσεσθαι, λίαν ἀνόητός
ἐστιν· ἀλλὰ δεῖ καρτερεῖν ἐπὶ τοῖς παροῦσι καὶ θαρ-
ρεῖν περὶ τῶν μελλόντων, ἐπισταμένους, ὅτι τὰς τοι- e
αύτας συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται πολιτείᾳ
χρηστῇ καὶ ταῖς περὶ τὸν πόλεμον ἐμπειρίαις. περὶ ὧν
οὐδεὶς ἂν τολμήσειεν ἀντειπεῖν, ὡς οὐ τὴν μὲν ἐμπει-
ρίαν μᾶλλον τῶν ἄλλων ἔχομεν, πολιτείαν δ' οἵαν εἶ-
ναι χρὴ παρὰ μόνοις ἡμῖν ἐστίν. ὧν ὑπαρχόντων οὐκ 126
ἔστιν ὅπως οὐκ ἄμεινον πράξομεν τῶν μηδετέρου τού-
των πολλὴν ἐπιμέλειαν πεποιημένων.

49 (κα'.) Κατηγοροῦσι δέ τινες τοῦ πολέμου καὶ δι-
εξέρχονται τὴν ἀπιστίαν αὐτοῦ, τεκμηρίοις ἄλλοις τε
πολλοῖς χρώμενοι καὶ μάλιστα τοῖς περὶ ἡμᾶς γεγενη-

μένοις, καὶ θαυμάζουσιν, εἴ τινες οὕτω χαλεπῷ καὶ
παραβόλῳ πράγματι πιστεύειν ἀξιοῦσιν. (κβʹ.) Ἐγὼ
δὲ πολλοὺς μὲν οἶδα διὰ τὸν πόλεμον μεγάλην εὐδαι- b
μονίαν κτησαμένους, πολλοὺς δὲ τῆς ὑπαρχούσης ἀπο-
50 στερηθέντας [διὰ τὴν εἰρήνην]· οὐδὲν γὰρ τῶν τοιού-
των ἐστὶν ἀποτόμως οὔτε κακὸν οὔτ' ἀγαθὸν, ἀλλ' ὡς
ἂν χρήσηταί τις καὶ τοῖς πράγμασι καὶ τοῖς καιροῖς,
οὕτως ἀνάγκη καὶ τὸ τέλος ἐκβαίνειν ἐξ αὐτῶν. χρὴ δὲ
τοὺς μὲν εὖ πράττοντας τῆς εἰρήνης ἐπιθυμεῖν· ἐν
ταύτῃ γὰρ τῇ καταστάσει πλεῖστον ἄν τις χρόνον τὰ
παρόντα διαφυλάξειεν· τοὺς δὲ δυστυχοῦντας τῷ πο-
λέμῳ προσέχειν τὸν νοῦν· ἐκ γὰρ τῆς ταραχῆς καὶ τῆς c
51 καινουργίας θᾶττον ἂν μεταβολῆς τύχοιεν. ὧν ἡμεῖς
δέδοικα μὴ τἀναντία πράττοντες φανῶμεν· ὅτε μὲν
γὰρ ἐξῆν ἡμῖν τρυφᾶν, πλείους τοὺς πολέμους ἐποι-
ούμεθα τοῦ δέοντος, ἐπειδὴ δ' εἰς ἀνάγκην καθέστα-
μεν ὥστε κινδυνεύειν, ἡσυχίας ἐπιθυμοῦμεν καὶ περὶ
ἀσφαλείας βουλευόμεθα. καίτοι χρὴ τοὺς βουλομένους
ἐλευθέρους εἶναι τὰς μὲν ἐκ τῶν ἐπιταγμάτων συν- d
θήκας φεύγειν ὡς ἐγγὺς δουλείας οὔσας, ποιεῖσθαι δὲ
τὰς διαλλαγὰς, ὅταν ἢ περιγένωνται τῶν ἐχθρῶν ἢ
τὴν δύναμιν τὴν αὑτῶν ἐξισώσωσιν τῇ τῶν πολεμίων·
ὡς τοιαύτην ἕκαστοι τὴν εἰρήνην ἕξουσιν, οἵαν περ
ἂν τοῦ πολέμου ποιήσωνται τὴν κατάλυσιν.

52 (κγʹ.) Ὧν ἐνθυμουμένους χρὴ μὴ προπετῶς ὑμᾶς
αὐτοὺς ἐμβαλεῖν εἰς αἰσχρὰς ὁμολογίας, μηδὲ ῥαθυ-
μότερον ὑπὲρ τῆς πατρίδος ἢ τῶν ἄλλων φανῆναι βου-
λευομένους. ἀναμνήσθητε δὲ πρὸς ὑμᾶς αὐτοὺς, ὅτι e
τὸν παρελθόντα χρόνον, εἰ πολιορκουμένῃ τινὶ τῶν
πόλεων τῶν συμμαχίδων εἷς μόνος Λακεδαιμονίων
βοηθήσειεν, ὑπὸ πάντων ἂν ὡμολογεῖτο παρὰ τοῦτον
γενέσθαι τὴν σωτηρίαν αὐτοῖς. καὶ τοὺς μὲν πλείστους

τῶν τοιούτων ἀνδρῶν παρὰ τῶν πρεσβυτέρων ἄν τις 1
ἀκούσειεν, τοὺς δ' ὀνομαστοτάτους ἔχω κἀγὼ διελθεῖν.
53 *Πεδάριτος μὲν γὰρ εἰς Χίον εἰσπλεύσας τὴν πόλιν αὐ-*
τῶν διέσωσε· Βρασίδας δ' εἰς Ἀμφίπολιν εἰσελθών,
ὀλίγους τοὺς περὶ αὐτὸν τῶν πολιορκουμένων συν-
ταξάμενος, πολλοὺς ὄντας τοὺς πολιορκοῦντας ἐνί-
κησε μαχόμενος· Γύλιππος δὲ Συρακοσίοις βοηθήσας
οὐ μόνον ἐκείνους διέσωσεν ἀλλὰ καὶ τὴν δύναμιν
τὴν κρατοῦσαν αὐτῶν καὶ κατὰ γῆν καὶ κατὰ θάλατ-
54 *ταν ἅπασαν αἰχμάλωτον ἔλαβεν. καίτοι πῶς οὐκ αἰ-* b
σχρὸν τότε μὲν ἕκαστον ἡμῶν ἱκανὸν εἶναι τὰς ἀλλο-
τρίας πόλεις διαφυλάττειν, νυνὶ δὲ πάντας μήτε δύ-
νασθαι μήτε πειρᾶσθαι τὴν ἡμετέραν αὐτῶν διασώ-
ζειν; καὶ τὴν μὲν Εὐρώπην καὶ τὴν Ἀσίαν μεστὴν πε-
ποιηκέναι τροπαίων ὑπὲρ τῶν ἄλλων πολεμοῦντας,
ὑπὲρ δὲ τῆς πατρίδος οὕτω φανερῶς ὑβριζομένης μηδὲ
μίαν μάχην ἀξίαν λόγου φαίνεσθαι μεμαχημένους;
55 *ἀλλ' ἑτέρας μὲν πόλεις ὑπὲρ τῆς ἡμετέρας ἀρχῆς τὰς* c
ἐσχάτας ὑπομεῖναι πολιορκίας, αὐτοὺς δ' ἡμᾶς ὑπὲρ
τοῦ μηδὲν ἀναγκασθῆναι παρὰ τὸ δίκαιον ποιεῖν μηδὲ
μικρὰν οἴεσθαι δεῖν ὑπενεγκεῖν κακοπάθειαν, ἀλλὰ
ζεύγη μὲν ἵππων ἀδηφαγούντων ἔτι καὶ νῦν ὁρᾶσθαι
τρέφοντας, ὥσπερ δὲ τοὺς εἰς τὰς δεινοτάτας ἀνάγκας
ἀφιγμένους καὶ τῶν καθ' ἡμέραν ἐνδεεῖς ὄντας οὕτω
56 *ποιεῖσθαι τὴν εἰρήνην; (κδ'.) Ὃ δὲ πάντων σχετλιώ-* d
τατον, εἰ φιλοπονώτατοι δοκοῦντες εἶναι τῶν Ἑλλήνων
ῥαθυμότερον τῶν ἄλλων βουλευσόμεθα περὶ τούτων.
τίνας γὰρ ἴσμεν, ὧν καὶ ποιήσασθαι μνείαν ἄξιόν ἐστιν,
οἵτινες ἅπαξ ἡττηθέντες καὶ μιᾶς εἰσβολῆς γενομένης
οὕτως ἀνάνδρως ὡμολόγησαν πάντα τὰ προσταττό-
μενα ποιήσειν; πῶς δ' ἂν οἱ τοιοῦτοι πολὺν χρόνον
57 *δυστυχοῦντες ἀνταρκέσειαν; τίς δ' οὐκ ἂν ἐπιτιμή-* e

σειεν ἡμῖν, εἰ Μεσσηνίων ὑπὲρ ταύτης τῆς χώρας εἴ-
κοσιν ἔτη πολιορκηθέντων ἡμεῖς οὕτω ταχέως κατὰ
συνθήκας αὐτῆς ἀποσταίημεν, καὶ μηδὲ τῶν προγό-
νων μνησθεῖμεν, ἀλλ' ἣν ἐκεῖνοι μετὰ πολλῶν πόνων
καὶ κινδύνων ἐκτήσαντο, ταύτην ἡμεῖς ὑπὸ λόγων 128
πεισθέντες ἀποβάλοιμεν;

58 (κε΄.) Ὧν οὐδὲν ἔνιοι φροντίσαντες ἀλλὰ πάσας
τὰς αἰσχύνας ὑπεριδόντες τοιαῦτα συμβουλεύουσιν
ὑμῖν, ἐξ ὧν εἰς ὀνείδη τὴν πόλιν καταστήσουσιν. οὕτω
δὲ προθύμως ἐπάγουσιν ὑμᾶς πρὸς τὸ παραδοῦναι
Μεσσήνην, ὥστε καὶ διεξελθεῖν ἐτόλμησαν τήν τε τῆς
πόλεως ἀσθένειαν καὶ τὴν τῶν πολεμίων δύναμιν, καὶ
κελεύουσιν ἀποκρίνασθαι τοὺς ἐναντιουμένους αὐ- b
τοῖς, πόθεν βοήθειαν προσδοκῶντες ἥξειν διακελευό-
59 μεθα πολεμεῖν. (κϛ΄.) Ἐγὼ δὲ μεγίστην μὲν ἡγοῦ-
μαι συμμαχίαν εἶναι καὶ βεβαιοτάτην τὸ τὰ δίκαια
πράττειν, εἰκὸς γὰρ καὶ τὴν τῶν θεῶν εὔνοιαν γενέ-
σθαι μετὰ τούτων, εἴπερ χρὴ περὶ τῶν μελλόντων
τεκμαίρεσθαι τοῖς ἤδη γεγενημένοις, πρὸς δὲ ταύτῃ
τὸ καλῶς πολιτεύεσθαι καὶ σωφρόνως ζῆν καὶ μέχρι
θανάτου μάχεσθαι τοῖς πολεμίοις ἐθέλειν καὶ μηδὲν c
οὕτω δεινὸν νομίζειν ὡς τὸ κακῶς ἀκούειν ὑπὸ τῶν
πολιτῶν· ἃ μᾶλλον ἡμῖν ἢ τοῖς ἄλλοις ἀνθρώποις
60 ὑπάρχει. μεθ' ὧν ἐγὼ πολὺ ἂν ἥδιον πολεμοίην ἢ μετὰ
πολλῶν μυριάδων· οἶδα γὰρ καὶ τοὺς πρώτους ἡμῶν
εἰς ταύτην τὴν χώραν ἀφικομένους οὐ τῷ πλήθει τῶν
ἄλλων περιγενομένους ἀλλὰ ταῖς ἀρεταῖς ταῖς ὑπ' ἐμοῦ
προειρημέναις. ὥστ' οὐκ ἄξιον διὰ τοῦτο φοβεῖσθαι
τοὺς πολεμίους, ὅτι πολλοὶ τυγχάνουσιν ὄντες, ἀλλὰ
πολὺ μᾶλλον ἐπ' ἐκείνοις θαρρεῖν, ὅταν ὁρῶμεν ἡμᾶς d
μὲν αὐτοὺς οὕτως ἐνηνοχότας τὰς συμφοράς, ὡς οὐδέ-
61 νες ἄλλοι πώποτε, καὶ τοῖς τε νόμοις καὶ τοῖς ἐπιτη-

δεύμασιν ἐμμένοντας οἷς ἐξ ἀρχῆς κατεστησάμεθα, τοὺς δὲ μηδὲ τὰς εὐτυχίας φέρειν δυναμένους ἀλλὰ διατεταραγμένους, καὶ τοὺς μὲν τὰς συμμαχίδας πόλεις καταλαμβάνοντας, τοὺς δὲ τἀναντία τούτοις πράττοντας, ἄλλους δὲ περὶ χώρας τοῖς ὁμόροις ἀμφισβητοῦντας, τοὺς δὲ μᾶλλον ἀλλήλοις φθονοῦντας ἢ πρὸς ἡμᾶς πολεμοῦντας. ὥστε θαυμάζω τῶν μείζω συμμαχίαν e
ζητούντων ὧν οἱ πολέμιοι τυγχάνουσιν ἐξαμαρτάνοντες.

62 (κζ΄.) Εἰ δὲ δεῖ καὶ περὶ τῶν ἔξωθεν βοηθειῶν εἰπεῖν, ἡγοῦμαι πολλοὺς ἔσεσθαι τοὺς βουλομένους 12
ἐπαμύνειν ἡμῖν. ἐπίσταμαι γὰρ πρῶτον μὲν Ἀθηναίους, εἰ καὶ μὴ πάντα μεθ᾽ ἡμῶν εἰσιν, ἀλλ᾽ ὑπέρ γε τῆς σωτηρίας τῆς ἡμετέρας ὁτιοῦν ἂν ποιήσοντας· ἔπειτα τῶν ἄλλων πόλεων ἔστιν ἃς ὁμοίως ἂν ὑπὲρ τῶν ἡμῖν συμφερόντων ὥσπερ περὶ τῶν αὑταῖς βου-
63 λευσομένας· ἔτι δὲ Διονύσιον τὸν τύραννον καὶ τὸν Αἰγυπτίων βασιλέα καὶ τοὺς ἄλλους τοὺς κατὰ τὴν Ἀσίαν δυνάστας, καθ᾽ ὅσον ἕκαστοι δύνανται, προθύμως ἂν ἡμῖν ἐπικουρήσοντας· πρὸς δὲ τούτοις καὶ b
τῶν Ἑλλήνων τοὺς ταῖς οὐσίαις προέχοντας καὶ ταῖς δόξαις πρωτεύοντας καὶ τῶν βελτίστων πραγμάτων ἐπιθυμοῦντας, εἰ καὶ μήπω συνεστήκασιν, ἀλλὰ ταῖς γ᾽ εὐνοίαις μεθ᾽ ἡμῶν ὄντας, ἐν οἷς περὶ τῶν μελλόντων εἰκότως ἂν μεγάλας ἐλπίδας ἔχοιμεν.

64 (κη΄.) Οἶμαι δὲ καὶ τὸν ἄλλον ὄχλον τὸν ἐν Πελοποννήσῳ καὶ τὸν δῆμον, ὃν οἰόμεθα μάλιστα πολεμεῖν ἡμῖν, ποθεῖν ἤδη τὴν ἡμετέραν ἐπιμέλειαν. οὐδὲν γὰρ αὐτοῖς ἀποστᾶσι γέγονεν ὧν προσεδόκησαν, ἀλλ᾽ c
ἀντὶ μὲν τῆς ἐλευθερίας τοὐναντίον ἀποβέβηκεν· ἀπολέσαντες γὰρ αὑτῶν τοὺς βελτίστους ἐπὶ τοῖς χειρίστοις τῶν πολιτῶν γεγόνασιν, ἀντὶ δὲ τῆς αὐτονομίας εἰς

65 πολλὰς καὶ δεινὰς ἀνομίας ἐμπεπτώκασιν, εἰθισμένοι
δὲ τὸν ἄλλον χρόνον μεθ' ἡμῶν ἐφ' ἑτέρους ἰέναι, νῦν
τοὺς ἄλλους ὁρῶσιν ἐφ' αὐτοὺς στρατευομένους, καὶ
τὰς στάσεις, ἃς ἐπυνθάνοντο πρότερον παρ' ἑτέροις d
οὔσας, νῦν παρ' αὐτοῖς ὀλίγου δεῖν καθ' ἑκάστην τὴν
ἡμέραν γιγνομένας. οὕτω δ' ὡμαλισμένοι ταῖς συμ-
φοραῖς εἰσὶν ὥστε μηδένα διαγνῶναι δύνασθαι τοὺς
66 κάκιστα πράττοντας αὐτῶν· οὐδεμία γάρ ἐστι τῶν
πόλεων ἀκέραιος, οὐδ' ἥτις οὐχ ὁμόρους ἔχει τοὺς
κακῶς ποιήσοντας, ὥστε τετμῆσθαι μὲν τὰς χώρας,
πεπορθῆσθαι δὲ τὰς πόλεις, ἀναστάτους δὲ γεγενῆ-
σθαι τοὺς οἴκους τοὺς ἰδίους, ἀνατετράφθαι δὲ τὰς e
πολιτείας καὶ καταλελύσθαι τοὺς νόμους, μεθ' ὧν
67 οἰκοῦντες εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν. οὕτω
δ' ἀπίστως τὰ πρὸς σφᾶς αὐτοὺς καὶ δυσμενῶς ἔχου-
σιν, ὥστε μᾶλλον τοὺς πολίτας ἢ τοὺς πολεμίους δε-
δίασιν· ἀντὶ δὲ τῆς ἐφ' ἡμῶν ὁμονοίας καὶ τῆς παρ'
ἀλλήλων εὐπορίας εἰς τοσαύτην ἀμιξίαν ἐληλύθασιν, 130
ὥσθ' οἱ μὲν κεκτημένοι τὰς οὐσίας ἥδιον ἂν εἰς τὴν
θάλατταν τὰ σφέτερ' αὐτῶν ἐκβάλοιεν ἢ τοῖς δεομέ-
νοις ἐπαρκέσειαν, οἱ δὲ καταδεέστερον πράττοντες οὐδ'
ἂν εὑρεῖν δέξαιντο μᾶλλον ἢ τὰ τῶν ἐχόντων ἀφελέ-
68 σθαι· καταλύσαντες δὲ τὰς θυσίας ἐπὶ τῶν βωμῶν
σφάττουσιν ἀλλήλους· πλείους δὲ φεύγουσι νῦν ἐκ
μιᾶς πόλεως ἢ πρότερον ἐξ ἁπάσης τῆς Πελοποννή-
σου. καὶ τοσούτων ἀπηριθμημένων κακῶν πολὺ πλείω b
τὰ παραλελειμμένα τῶν εἰρημένων ἐστίν· οὐδὲν γὰρ
ὅ τι τῶν δεινῶν ἢ χαλεπῶν οὐκ ἐνταῦθα συνδεδρά-
69 μηκεν. ὧν οἱ μὲν ἤδη μεστοὶ τυγχάνουσιν ὄντες, οἱ δὲ
διὰ ταχέων ἐμπλησθήσονται, καὶ ζητήσουσί τινα τῶν
παρόντων πραγμάτων εὑρεῖν ἀπαλλαγήν. μὴ γὰρ
οἴεσθ' αὐτοὺς μενεῖν ἐπὶ τούτοις· οἵτινες γὰρ εὖ

πράττοντες ἀπεῖπον, πῶς ἂν οὗτοι κακοπαθοῦντες
πολὺν χρόνον καρτερήσειαν; ὥστ' οὐ μόνον ἢν μαχό- c
μενοι νικήσωμεν, ἀλλὰ κἂν ἡσυχίαν ἔχοντες περιμεί-
νωμεν, ὄψεσθ' αὐτοὺς μεταβαλλομένους καὶ τὴν ἡμε-
τέραν συμμαχίαν σωτηρίαν αὐτῶν εἶναι νομίζοντας.
τὰς μὲν οὖν ἐλπίδας ἔχω τοιαύτας.
70 (κθ'.) Τοσοῦτον δ' ἀπέχω τοῦ ποιῆσαί τι τῶν
προσταττομένων, ὥστ' εἰ μηδὲν γίγνοιτο τούτων μηδὲ
βοηθείας μηδαμόθεν τυγχάνοιμεν, ἀλλὰ τῶν Ἑλλή-
νων οἱ μὲν ἀδικοῖεν ἡμᾶς, οἱ δὲ περιορῷεν, οὐδ' ἂν
οὕτω μεταγνοίην, ἀλλὰ πάντας ἂν τοὺς ἐκ τοῦ πολέ- d
μου κινδύνους ὑπομείναιμι πρὶν ποιήσασθαι τὰς ὁμο-
λογίας ταύτας. αἰσχυνθείην γὰρ ἂν ὑπὲρ ἀμφοτέρων,
εἴτε καταγνοίημεν τῶν προγόνων, ὡς ἀδίκως Μεσση-
νίους ἀφείλοντο τὴν χώραν, εἴτ' ἐκείνων ὀρθῶς κτη-
σαμένων καὶ προσηκόντως ἡμεῖς παρὰ τὸ δίκαιον συγ-
71 χωρήσαιμέν τι περὶ αὐτῆς. τούτων μὲν οὖν οὐδέτερον
ποιητέον, σκεπτέον δ' ὅπως ἀξίως ἡμῶν αὐτῶν πολε-
μήσομεν καὶ μὴ τοὺς εἰθισμένους ἐγκωμιάζειν τὴν πό- e
λιν ἐλέγξομεν ψευδεῖς ὄντας, ἀλλὰ τοιούτους ἡμᾶς
αὐτοὺς παρασχήσομεν ὥστε δοκεῖν ἐκείνους ἐλάττω
72 τῶν ὑπαρχόντων εἰρηκέναι περὶ ἡμῶν. (λ'.) Οἶμαι μὲν
οὖν οὐδὲν συμβήσεσθαι δεινότερον τῶν νῦν παρόν-
των, ἀλλὰ τοὺς ἐχθροὺς τοιαῦτα βουλεύσεσθαι καὶ 13
πράξειν, ἐξ ὧν ἐπανορθώσουσιν ἡμᾶς· ἂν δ' ἄρα ψευ-
σθῶμεν τῶν ἐλπίδων καὶ πανταχόθεν ἐξειργώμεθα καὶ
μηδὲ τὴν πόλιν ἔτι δυνώμεθα διαφυλάττειν, χαλεπὰ
μέν ἐστιν, ἃ μέλλω λέγειν, ὅμως δ' οὐκ ὀκνήσω παρ-
ρησιάσασθαι περὶ αὐτῶν. καὶ γὰρ ἐξαγγελθῆναι τοῖς
Ἕλλησι καλλίω ταῦτ' ἐστὶ καὶ μᾶλλον ἁρμόττοντα τοῖς
ἡμετέροις φρονήμασιν ὧν ἔνιοί τινες ὑμῖν συμβου-
λεύουσιν. b

73 (λα΄.) Φημὶ γὰρ χρῆναι τοὺς μὲν γονέας τοὺς ἡμε-
τέρους αὐτῶν καὶ τοὺς παῖδας καὶ τὰς γυναῖκας καὶ
τὸν ὄχλον τὸν ἄλλον ἐκ τῆς πόλεως ἐκπέμψαι, τοὺς
μὲν εἰς Σικελίαν, τοὺς δ' εἰς Κυρήνην, τοὺς δ' εἰς
τὴν ἤπειρον, ἄσμενοι δ' αὐτοὺς ἅπαντες οὗτοι δέξον-
ται καὶ χώρᾳ πολλῇ καὶ ταῖς ἄλλαις ταῖς περὶ τὸν βίον
εὐπορίαις, οἱ μὲν χάριν ἀποδιδόντες ὧν εὖ πεπόνθα-
σιν, οἱ δὲ κομιεῖσθαι προσδοκῶντες ὧν ἂν προϋπάρ-
74 ξωσιν, ὑπολειφθέντας δὲ τοὺς βουλομένους καὶ δυ- c
ναμένους κινδυνεύειν τῆς μὲν πόλεως ἀφέσθαι καὶ
τῶν ἄλλων κτημάτων, πλὴν ὅσ' ἂν οἷοί τ' ὦμεν ἀπε-
νέγκασθαι μεθ' ἡμῶν αὐτῶν, καταλαβόντας δὲ χω-
ρίον, ὅ τι ἂν ἐχυρώτατον ᾖ καὶ πρὸς τὸν πόλεμον συμ-
φορώτατον, ἄγειν καὶ φέρειν τοὺς πολεμίους καὶ κατὰ
γῆν καὶ κατὰ θάλατταν, ἕως ἂν παύσωνται τῶν ἡμε-
75 τέρων ἀμφισβητοῦντες. καὶ ταῦτ' ἂν τολμήσωμεν καὶ
μὴ κατοκνήσωμεν, ὄψεσθε τοὺς νῦν ἐπιτάττοντας ἱκε- d
τεύοντας καὶ δεομένους ἡμῶν Μεσσήνην ἀπολαβεῖν
καὶ ποιήσασθαι τὴν εἰρήνην.

(λβ΄.) Ποία γὰρ ἂν τῶν πόλεων τῶν ἐν Πελοπον-
νήσῳ τοιοῦτον πόλεμον ὑπομείνειεν, οἷον εἰκὸς γενέ-
σθαι βουληθέντων ἡμῶν; τίνες δ' οὐκ ἂν ἐκπλαγεῖεν
καὶ δείσειαν στρατόπεδον συνιστάμενον τοιαῦτα μὲν
διαπεπραγμένον, δικαίως δὲ τοῖς αἰτίοις τούτων ὠρ-
γισμένον, ἀπονενοημένως δὲ πρὸς τὸ ζῆν διακείμενον,
76 καὶ τῷ μὲν σχολὴν ἄγειν καὶ μηδὲ περὶ ἓν ἄλλο δια- e
τρίβειν ἢ περὶ τὸν πόλεμον τοῖς ξενικοῖς στρατεύμα-
σιν ὡμοιωμένον, ταῖς δ' ἀρεταῖς καὶ τοῖς ἐπιτηδεύ-
μασι τοιοῦτον, οἷον ἐξ ἁπάντων ἀνθρώπων οὐδεὶς ἂν
συντάξειεν, ἔτι δὲ μηδεμιᾷ πολιτείᾳ τεταγμένῃ χρώ-
μενον ἀλλὰ θυραυλεῖν καὶ πλανᾶσθαι κατὰ τὴν χώ- 132
ραν δυνάμενον καὶ ῥᾳδίως μὲν ὅμορον οἷς ἂν βούλη-

ται γιγνόμενον, τοὺς δὲ τόπους ἅπαντας τοὺς πρὸς
τὸν πόλεμον συμφέροντας πατρίδας εἶναι νομίζον;
77 ἐγὼ μὲν γὰρ οἶμαι τῶν λόγων μόνον ῥηθέντων τού-
των καὶ διασπαρέντων εἰς τοὺς Ἕλληνας εἰς πολλὴν
ταραχὴν καταστήσεσθαι τοὺς ἐχθροὺς ἡμῶν, ἔτι δὲ
μᾶλλον, ἢν καὶ τέλος ἐπιθεῖναι τούτοις ἀναγκασθῶ-
μεν. τίνα γὰρ οἰηθῶμεν αὐτοὺς γνώμην ἕξειν, ὅταν
αὐτοὶ μὲν κακῶς πάσχωσιν, ἡμᾶς δὲ μηδὲν δύνωνται b
78 ποιεῖν; καὶ τὰς μὲν αὑτῶν πόλεις ἴδωσιν εἰς πολιορ-
κίαν καθεστηκυίας, τὴν δ' ἡμετέραν οὕτω διεσκευα-
σμένην ὥστε μηκέτι τῇ συμφορᾷ ταύτῃ περιπεσεῖν;
ἔτι δὲ τὴν τῶν σωμάτων τροφὴν ἡμῖν μὲν ῥᾳδίαν οὖ-
σαν ἔκ τε τῶν ὑπαρχόντων καὶ τῶν ἐκ τοῦ πολέμου
γιγνομένων, αὑτοῖς δὲ χαλεπὴν διὰ τὸ μὴ ταὐτὸν εἶ-
ναι στρατόπεδόν τε τοιοῦτον διοικεῖν καὶ τοὺς ὄχλους
79 τοὺς ἐν ταῖς πόλεσι διατρέφειν; ὃ δὲ πάντων ἄλγιστον c
ἐκείνοις, ὅταν τοὺς μὲν ἡμετέρους οἰκείους ἐν πολλαῖς
εὐπορίαις πυνθάνωνται γεγενημένους, τοὺς δ' αὑτῶν
ὁρῶσι καθ' ἑκάστην τὴν ἡμέραν τῶν ἀναγκαίων ἐν-
δεεῖς ὄντας, καὶ μηδ' ἐπικουρῆσαι δύνωνται τοῖς κα-
κοῖς τούτοις, ἀλλ' ἐργαζόμενοι μὲν τὴν χώραν τὰ σπέρ-
ματα προσαπολλύωσιν, ἀργὸν δὲ περιορῶντες μηδένα
80 χρόνον ἀνταρκεῖν οἷοί τ' ὦσιν. (λγ'.) Ἀλλὰ γὰρ ἴσως
ἀθροισθέντες καὶ κοινὸν ποιησάμενοι στρατόπεδον d
παρακολουθήσουσι καὶ κωλύσουσιν ἡμᾶς κακῶς ποι-
εῖν αὐτούς. καὶ τί ἂν εὐξαίμεθα μᾶλλον ἢ λαβεῖν πλη-
σιάζοντας καὶ παρατεταγμένους καὶ περὶ τὰς αὐτὰς
δυσχωρίας ἡμῖν ἀντιστρατοπεδεύοντας ἀνθρώπους
ἀτάκτους καὶ μιγάδας καὶ πολλοῖς ἄρχουσι χρωμένους;
οὐδὲν γὰρ ἂν πολλῆς πραγματείας δεήσειεν, ἀλλὰ τα-
χέως ἂν αὐτοὺς ἐξαναγκάσαιμεν ἐν τοῖς ἡμετέροις και-
ροῖς ἀλλὰ μὴ τοῖς αὑτῶν ποιήσασθαι τοὺς κινδύνους.

81 (λδ'.) Ἐπιλίποι δ' ἂν τὸ λοιπὸν μέρος τῆς ἡμέ-
ρας, εἰ τὰς πλεονεξίας τὰς ἐσομένας λέγειν ἐπιχειρή-
σαιμεν. ἐκεῖνο δ' οὖν πᾶσι φανερὸν, ὅτι τῶν Ἑλλή-
νων διενηνόχαμεν οὐ τῷ μεγέθει τῆς πόλεως οὐδὲ τῷ
πλήθει τῶν ἀνθρώπων, ἀλλ' ὅτι τὴν πολιτείαν ὁμοίαν 133
κατεστησάμεθα στρατοπέδῳ καλῶς διοικουμένῳ καὶ
πειθαρχεῖν ἐθέλοντι τοῖς ἄρχουσιν. ἢν οὖν εἰλικρινὲς
τοῦτο ποιήσωμεν, ὃ μιμησαμένοις ἡμῖν συνήνεγκεν,
οὐκ ἄδηλον, ὅτι ῥᾳδίως τῶν πολεμίων ἐπικρατήσομεν.
82 (λε'.) Ἴσμεν δὲ καὶ τοὺς οἰκιστὰς ταυτησὶ τῆς πόλεως
γενομένους, ὅτι μικρὸν μὲν στρατόπεδον εἰς τὴν Πε-
λοπόννησον εἰσῆλθον ἔχοντες, πολλῶν δὲ καὶ μεγά- b
λων πόλεων ἐκράτησαν. καλὸν οὖν μιμήσασθαι τοὺς
προγόνους, καὶ πάλιν ἐπὶ τὴν ἀρχὴν ἐπανελθόντας,
ἐπειδὴ προσεπταίκαμεν, πειραθῆναι τὰς τιμὰς καὶ
τὰς δυναστείας ἀναλαβεῖν, ἃς πρότερον ἐτυγχάνομεν
83 ἔχοντες. πάντων δ' ἂν δεινότατον ποιήσαιμεν, εἰ συν-
ειδότες Ἀθηναίοις ἐκλιποῦσι τὴν αὑτῶν χώραν ὑπὲρ
τῆς τῶν ἄλλων ἐλευθερίας, ἡμεῖς μηδ' ὑπὲρ τῆς
ἡμετέρας αὐτῶν σωτηρίας ἀφέσθαι τῆς πόλεως τολ- c
μήσαιμεν, ἀλλὰ δέον ἡμᾶς παράδειγμα τῶν τοιούτων
ἔργων τοῖς ἄλλοις παρέχειν, μηδὲ μιμήσασθαι τὰς
84 ἐκείνων πράξεις ἐθελήσαιμεν. ἔτι δὲ τούτου καταγε-
λαστότερον, εἰ Φωκαεῖς μὲν, φεύγοντες τὴν βασιλέως
τοῦ μεγάλου δεσποτείαν, ἐκλιπόντες τὴν Ἀσίαν εἰς
Μασσαλίαν ἀπῴκησαν, ἡμεῖς δ' εἰς τοσοῦτον μικρο-
ψυχίας ἔλθοιμεν, ὥστε τὰ προστάγματα τούτων ὑπο-
μείναιμεν, ὧν ἄρχοντες ἅπαντα τὸν χρόνον διετελέ-
85 σαμεν. (λς'.) Χρὴ δὲ μὴ περὶ τὴν ἡμέραν ταύτην ταῖς d
ψυχαῖς διατρίβειν, ἐν ᾗ δεήσει χωρίζειν τοὺς οἰκειο-
τάτους ἀφ' ἡμῶν αὐτῶν, ἀλλ' ἐπ' ἐκείνους τοὺς χρό-
νους εὐθὺς ἀφορᾶν, ἐν οἷς περιγενόμενοι τῶν ἐχθρῶν

ἀνορθώσομεν μὲν τὴν πόλιν, κομιούμεθα δὲ τοὺς ἡμετέρους αὐτῶν, ἐπιδειξόμεθα δὲ πᾶσιν, ὅτι νῦν μὲν ἀδίκως δεδυστυχήκαμεν, τὸν δὲ παρελθόντα χρόνον
86 δικαίως τῶν ἄλλων πλέον ἔχειν ἠξιοῦμεν. ἔχει δ' οὕτως. ἐγὼ τούτους εἴρηκα τοὺς λόγους, οὐχ ὡς δέον e
ἡμᾶς ἤδη ταῦτα πράττειν, οὐδ' ὡς οὐδεμιᾶς ἄλλης ἐνούσης ἐν τοῖς πράγμασι σωτηρίας, ἀλλὰ βουλόμενος ὑμῶν προτρέψασθαι τὰς γνώμας, ὡς καὶ ταύτας τὰς συμφορὰς καὶ πολὺ δεινοτέρας τούτων ὑπομενετέον ἡμῖν πρὶν ὑπὲρ Μεσσήνης ποιήσασθαι συνθήκας, οἵας 134
κελεύουσιν ἡμᾶς.

87 (λζ.) Οὐχ οὕτω δ' ἂν προθύμως ἐπὶ τὸν πόλεμον ὑμᾶς παρεκάλουν, εἰ μὴ τὴν εἰρήνην ἑώρων ἐξ ὧν μὲν ἐγὼ λέγω καλὴν καὶ βεβαίαν γενησομένην, ἐξ ὧν δ' ἔνιοί τινες συμβουλεύουσιν οὐ μόνον αἰσχρὰν ἐσομένην ἀλλ' οὐδὲ χρόνον οὐδένα παραμενοῦσαν. ἢν γὰρ παρακατοικισώμεθα τοὺς Εἵλωτας καὶ τὴν πόλιν ταύτην περιίδωμεν αὐξηθεῖσαν, τίς οὐκ οἶδεν, ὅτι πάντα τὸν βίον ἐν ταραχαῖς καὶ κινδύνοις διατελοῦμεν ὄντες; ὥσθ' οἱ περὶ ἀσφαλείας διαλεγόμενοι λελήθασιν b
αὐτοὺς τὴν μὲν εἰρήνην ὀλίγας ἡμέρας ἡμῖν ποιοῦντες, τὸν δὲ πόλεμον εἰς ἅπαντα τὸν χρόνον κατα-
88 σκευάζοντες. (λη'.) Ἡδέως δ' ἂν αὐτῶν πυθοίμην, ὑπὲρ τίνων οἴονται χρῆναι μαχομένους ἡμᾶς ἀποθνήσκειν· οὐχ ὅταν οἱ πολέμιοι προστάττωσί τι παρὰ τὸ δίκαιον καὶ τῆς χώρας ἀποτέμνωνται καὶ τοὺς οἰκέτας ἐλευθερῶσι, καὶ τούτους μὲν κατοικίζωσιν εἰς ταύτην, ἣν ἡμῖν οἱ πατέρες κατέλιπον, ἡμᾶς δὲ μὴ μόνον c
τῶν ὄντων ἀποστερῶσιν, ἀλλὰ καὶ πρὸς τοῖς ἄλλοις κα-
89 κοῖς εἰς ὀνείδη καθιστῶσιν; ἐγὼ μὲν γὰρ ὑπὲρ τούτων οὐ μόνον πόλεμον ἀλλὰ καὶ φυγὰς καὶ θανάτους οἶμαι προσήκειν ἡμῖν ὑπομένειν· πολὺ γὰρ κρεῖττον ἐν ταῖς

δόξαις αἷς ἔχομεν τελευτῆσαι τὸν βίον μᾶλλον ἢ ζῆν ἐν ταῖς ἀτιμίαις, ἃς ληψόμεθα ποιήσαντες, ἃ προστάττουσιν ἡμῖν. ὅλως δ' εἰ δεῖ μηδὲν ὑποστειλάμενον εἰπεῖν, αἱρετώτερον ἡμῖν ἐστιν ἀναστάτοις γενέ- d
σθαι μᾶλλον ἢ καταγελάστοις ὑπὸ τῶν ἐχθρῶν. τοὺς γὰρ ἐν ἀξιώμασι καὶ φρονήμασι τηλικούτοις βεβιωκότας δυοῖν δεῖ θάτερον, ἢ πρωτεύειν ἐν τοῖς Ἕλλησιν, ἢ παντάπασιν ἀνῃρῆσθαι μηδὲν ταπεινὸν διαπραξαμένους ἀλλὰ καλὴν τὴν τελευτὴν τοῦ βίου ποιησαμένους.

90 (λθ'.) Ἃ χρὴ διαλογισαμένους μὴ φιλοψυχεῖν, μηδ' ἐπακολουθεῖν ταῖς τῶν συμμάχων γνώμαις, ὧν e
ἡγεῖσθαι πρότερον ἠξιοῦμεν, ἀλλ' αὐτοὺς σκεψαμένους ἑλέσθαι μὴ τὸ τούτοις ῥᾷστον, ἀλλ' ὃ πρέπον ἔσται τῇ Λακεδαίμονι καὶ τοῖς πεπραγμένοις ἡμῖν. περὶ γὰρ τῶν αὐτῶν οὐχ ὁμοίως ἅπασι βουλευτέον, ἀλλ' ὡς ἂν ἐξ ἀρχῆς ἕκαστοι τοῦ βίου ποιήσωνται τὴν ὑπό-
91 θεσιν. Ἐπιδαυρίοις μὲν οὖν καὶ Κορινθίοις καὶ Φλεια- 135
σίοις οὐδεὶς ἂν ἐπιπλήξειεν, εἰ μηδενὸς ἄλλου φροντίζοιεν ἢ τοῦ διαγενέσθαι καὶ περιποιῆσαι σφᾶς αὐτούς· Λακεδαιμονίους δ' οὐχ οἷόν τ' ἐστὶν ἐκ παντὸς τρόπου ζητεῖν τὴν σωτηρίαν, ἀλλ' ἂν μὴ προσῇ τὸ καλῶς τῷ σώζεσθαι, τὸν θάνατον ἡμῖν μετ' εὐδοξίας αἱρετέον ἐστίν. τοῖς γὰρ ἀρετῆς ἀμφισβητοῦσιν ὑπὲρ οὐδενὸς οὕτω σπουδαστέον, ὡς ὑπὲρ τοῦ μηδὲν αἰ-
92 σχρὸν φανῆναι πράττοντας. εἰσὶ δ' αἱ τῶν πόλεων κακίαι καταφανεῖς οὐχ ἧττον ἐν τοῖς τοιούτοις βουλεύ- b
μασιν ἢ τοῖς ἐν τῷ πολέμῳ κινδύνοις. τῶν μὲν γὰρ ἐκεῖ γιγνομένων τὸ πλεῖστον μέρος τῇ τύχῃ μέτεστι, τὸ δ' ἐνθάδε γνωσθὲν αὐτῆς τῆς διανοίας σημεῖόν ἐστιν. ὥσθ' ὁμοίως ἡμῖν φιλονικητέον ἐστὶν ὑπὲρ τῶν ἐνθάδε ψηφισθησομένων ὥσπερ ὑπὲρ τῶν ἐν τοῖς ὅπλοις ἀγώνων.

93 (μ.) *Θαυμάζω δὲ τῶν ὑπὲρ μὲν τῆς ἰδίας δόξης ἀποθνήσκειν ἐθελόντων, ὑπὲρ δὲ τῆς κοινῆς μὴ τὴν αὐτὴν γνώμην ἐχόντων· ὑπὲρ ἧς ὁτιοῦν πάσχειν ἄξιον* c
ὥστε μὴ καταισχῦναι τὴν πόλιν, μηδὲ περιιδεῖν τὴν τάξιν λιποῦσαν, εἰς ἣν οἱ πατέρες κατέστησαν αὐτήν. πολλῶν δὲ πραγμάτων ἡμῖν καὶ δεινῶν ἐφεστώτων,
94 *ἃ δεῖ διαφυγεῖν, ἐκεῖνο μάλιστα φυλακτέον, ὅπως μηδὲν ἀνάνδρως φανησόμεθα διαπραττόμενοι μηδὲ συγχωροῦντες τοῖς πολεμίοις παρὰ τὸ δίκαιον. αἰσχρὸν γὰρ τοὺς ἄρξαι τῶν Ἑλλήνων ἀξιωθέντας ὀφθῆναι τὸ προστασσόμενον ποιοῦντας, καὶ τοσοῦτον ἀπολει-* d
φθῆναι τῶν προγόνων, ὥστε τοὺς μὲν ὑπὲρ τοῦ τοῖς ἄλλοις ἐπιτάττειν ἐθέλειν ἀποθνήσκειν, ἡμᾶς δ' ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ κελευόμενον μὴ τολμᾶν διακινδυνεύειν.

95 (μα'.) *Ἄξιον δὲ καὶ τὴν Ὀλυμπιάδα καὶ τὰς ἄλλας αἰσχυνθῆναι πανηγύρεις, ἐν αἷς ἕκαστος ἡμῶν ζηλωτότερος ἦν καὶ θαυμαστότερος τῶν ἀθλητῶν τῶν ἐν τοῖς ἀγῶσι τὰς νίκας ἀναιρουμένων. εἰς ἃς τίς ἂν ἐλ-* e
θεῖν τολμήσειεν, ἀντὶ μὲν τοῦ τιμᾶσθαι καταφρονηθησόμενος, ἀντὶ δὲ τοῦ περίσσατος ὑπὸ πάντων δι' ἀρετὴν εἶναι περίβλεπτος ὑπὸ τῶν αὐτῶν ἐπὶ κακίᾳ
96 *γενησόμενος, ἔτι δὲ πρὸς τούτοις ὀψόμενος μὲν τοὺς* 13
οἰκέτας ἀπὸ τῆς χώρας ἧς οἱ πατέρες ἡμῖν κατέλιπον ἀπαρχὰς καὶ θυσίας μείζους ἡμῶν ποιουμένους, ἀκουσόμενος δ' αὐτῶν τοιαύταις βλασφημίαις χρωμένων οἵαις περ εἰκὸς τοὺς χαλεπώτερον μὲν τῶν ἄλλων δεδουλευκότας, ἐξ ἴσου δὲ νῦν τὰς συνθήκας τοῖς δεσπόταις πεποιημένους· ἐφ' αἷς ἕκαστος ἡμῶν οὕτως ἂν ἀλγήσειεν, ὡς οὐδεὶς ἂν τῶν ζώντων διὰ λόγου
97 *δηλώσειεν. ὑπὲρ ὧν χρὴ βουλεύεσθαι καὶ μὴ τότ'* b
ἀγανακτεῖν, ὅτ' οὐδὲν ἡμῖν ἔσται πλέον, ἀλλὰ νῦν

σκοπεῖν, ὅπως μηδὲν συμβήσεται τοιοῦτον. ὡς ἔστιν
ἓν τῶν αἰσχρῶν πρότερον μὲν μηδὲ τὰς τῶν ἐλευθέ-
ρων ἰσηγορίας ἀνέχεσθαι, νῦν δὲ καὶ τὴν τῶν δούλων
98 παρρησίαν ὑπομένοντας φαίνεσθαι. δόξομεν γὰρ τὸν
παρελθόντα χρόνον ἀλαζονεύεσθαι, καὶ τὴν μὲν φύ-
σιν ὅμοιοι τοῖς ἄλλοις εἶναι, ταῖς δ' αὐθαδείαις καὶ
ταῖς σεμνότησιν οὐκ ἀληθιναῖς ἀλλὰ καταπεπλασμέ- c
ναις χρῆσθαι. μηδὲν οὖν ἐνδῶμεν τοιοῦτον τοῖς εἰθι-
σμένοις ἡμᾶς κακολογεῖν, ἀλλὰ τοὺς λόγους αὐτῶν
ἐξελέγξαι πειραθῶμεν, ὅμοιοι γενόμενοι τοῖς τῶν προ-
γόνων ἔργοις.
99 (μβ΄.) Ἀναμνήσθητε δὲ τῶν ἐν Διπαιᾷ πρὸς Ἀρ-
κάδας ἀγωνισαμένων, οὕς φασιν ἐπὶ μιᾶς ἀσπίδος πα-
ραταξαμένους τρόπαιον στῆσαι πολλῶν μυριάδων, καὶ
τῶν τριακοσίων τῶν ἐν Θυρέαις ἅπαντας Ἀργείους d
μάχῃ νικησάντων, καὶ τῶν χιλίων τῶν εἰς Θερμοπύ-
100 λας ἀπαντησάντων, οἳ πρὸς ἑβδομήκοντα μυριάδας
τῶν βαρβάρων συμβαλόντες οὐκ ἔφυγον οὐδ' ἡττή-
θησαν, ἀλλ' ἐνταῦθα τὸν βίον ἐτελεύτησαν, οὗπερ
ἐτάχθησαν, τοιούτους αὑτοὺς παρασχόντες ὥστε τοὺς
μετὰ τέχνης ἐγκωμιάζοντας μὴ δύνασθαι τοὺς ἐπαί-
101 νους ἐξισῶσαι ταῖς ἐκείνων ἀρεταῖς. ἁπάντων οὖν τού-
των ἀναμνησθέντες ἐρρωμενέστερον ἀντιλαβώμεθα e
τοῦ πολέμου καὶ μὴ περιμένωμεν ὡς ἄλλων τινῶν τὰς
παρούσας ἀτυχίας ἰασομένων, ἀλλ' ἐπειδή περ ἐφ'
ἡμῶν γεγόνασιν, ἡμεῖς αὐτὰς καὶ διαλῦσαι πειραθῶ-
μεν. χρὴ δὲ τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐν τοῖς τοιού- 137
102 τοις καιροῖς φαίνεσθαι διαφέροντας· αἱ μὲν γὰρ εὐ-
τυχίαι καὶ τοῖς φαύλοις τῶν ἀνθρώπων τὰς κακίας
συγκρύπτουσιν, αἱ δὲ δυσπραξίαι ταχέως καταφα-
νεῖς ποιοῦσιν, ὁποῖοί τινες ἕκαστοι τυγχάνουσιν
ὄντες· ἐν αἷς ἡμῖν ἐπιδεικτέον ἐστὶν, εἴ τι τῶν ἄλ-

λων ἄμεινον τεθράμμεθα καὶ πεπαιδεύμεθα πρὸς
ἀρετήν.
103 (μγ΄.) Ἔστι δ' οὐδὲν ἀνέλπιστον ἐκ τῶν νῦν παρ-
όντων συμβῆναί τι τῶν δεόντων ἡμῖν. οἶμαι γὰρ ὑμᾶς b
οὐκ ἀγνοεῖν, ὅτι πολλαὶ πράξεις ἤδη τοιαῦται γεγό-
νασιν, ἃς ἐν ἀρχῇ μὲν ἅπαντες ὑπέλαβον εἶναι συμ-
φορὰς, καὶ τοῖς παθοῦσι συνηχθέσθησαν, ὕστερον δὲ
τὰς αὐτὰς ταύτας ἔγνωσαν μεγίστων ἀγαθῶν αἰτίας
104 γεγενημένας. καὶ τί δεῖ τὰ πόρρω λέγειν; ἀλλὰ καὶ
νῦν τὰς πόλεις τάς γε πρωτευούσας, λέγω δὲ τὴν Ἀθη-
ναίων καὶ Θηβαίων, εὕροιμεν ἂν οὐκ ἐκ τῆς εἰρήνης c
μεγάλην ἐπίδοσιν λαβούσας, ἀλλ' ἐξ ὧν ἐν τῷ πολέμῳ
προδυστυχήσασαι πάλιν αὐτὰς ἀνέλαβον, ἐκ δὲ τού-
των τὴν μὲν ἡγεμόνα τῶν Ἑλλήνων καταστᾶσαν, τὴν
δ' ἐν τῷ παρόντι τηλικαύτην γεγενημένην, ὅσην οὐ-
δεὶς πώποτ' ἔσεσθαι προσεδόκησεν· αἱ γὰρ ἐπιφάνειαι
καὶ λαμπρότητες οὐκ ἐκ τῆς ἡσυχίας ἀλλ' ἐκ τῶν ἀγώ-
105 νων γίγνεσθαι φιλοῦσιν. ὧν ἡμᾶς ὀρέγεσθαι προσή-
κει, μήτε τῶν σωμάτων μήτε τῆς ψυχῆς μήτε τῶν ἄλ- d
λων ὧν ἔχομεν μηδενὸς φειδομένους. ἢν γὰρ κατορ-
θώσωμεν καὶ τὴν πόλιν εἰς ταὐτὰ καταστῆσαι δυνη-
θῶμεν, ἐξ ὧνπερ ἐκπέπτωκε, καὶ τῶν προγεγενημένων
μᾶλλον θαυμασθησόμεθα, καὶ τοῖς ἐπιγιγνομένοις
οὐδεμίαν ὑπερβολὴν ἀνδραγαθίας καταλείψομεν, ἀλλὰ
καὶ τοὺς βουλομένους εὐλογεῖν ἡμᾶς ἀπορεῖν ποιήσο-
106 μεν, ὅ τι τῶν πεπραγμένων ἡμῖν ἄξιον ἐροῦσιν. δεῖ e
δὲ μηδὲ τοῦτο λανθάνειν ὑμᾶς, ὅτι πάντες τῷ συλ-
λόγῳ τούτῳ καὶ τοῖς γνωσθησομένοις ὑφ' ὑμῶν προσ-
έχουσι τὸν νοῦν. ὥσπερ οὖν ἐν κοινῷ θεάτρῳ τῶν
Ἑλλήνων διδοὺς ἔλεγχον ἕκαστος ὑμῶν τῆς αὑτοῦ φύ-
σεως, οὕτω διακείσθω τὴν γνώμην.
107 (μδ΄.) Ἔστι δ' ἁπλοῦν τὸ καλῶς βουλεύσασθαι 138

περὶ τούτων. ἢν μὲν γὰρ ἐθέλωμεν ἀποθνήσκειν ὑπὲρ
τῶν δικαίων, οὐ μόνον εὐδοκιμήσομεν, ἀλλὰ καὶ τὸν
ἐπίλοιπον χρόνον ἀσφαλῶς ἡμῖν ἐξέσται ζῆν· εἰ δὲ φο-
βησόμεθα τοὺς κινδύνους, εἰς πολλὰς ταραχὰς κατα-
108 στήσομεν ἡμᾶς αὐτούς. παρακαλέσαντες οὖν ἀλλή-
λους ἀποδῶμεν τὰ τροφεῖα τῇ πατρίδι, καὶ μὴ περιί-
δωμεν ὑβρισθεῖσαν τὴν Λακεδαίμονα καὶ καταφρο-
νηθεῖσαν, μηδὲ ψευσθῆναι ποιήσωμεν τῶν ἐλπίδων b
τοὺς εὔνους ἡμῖν ὄντας, μηδὲ περὶ πλείονος φανῶμεν
ποιούμενοι τὸ ζῆν τοῦ παρὰ πᾶσιν ἀνθρώποις εὐδο-
109 κιμεῖν, ἐνθυμηθέντες, ὅτι κάλλιόν ἐστιν ἀντὶ θνητοῦ
σώματος ἀθάνατον δόξαν ἀντικαταλλάξασθαι, καὶ ψυ-
χῆς, ἣν οὐχ ἕξομεν ὀλίγων ἐτῶν, πρίασθαι τοιαύτην
εὔκλειαν, ἣ πάντα τὸν αἰῶνα τοῖς ἐξ ἡμῶν γενομένοις
παραμενεῖ, πολὺ μᾶλλον ἢ μικροῦ χρόνου γλιχομέ- c
νους μεγάλαις αἰσχύναις ἡμᾶς αὐτοὺς περιβαλεῖν.
110 ἡγοῦμαι δ' οὕτως ἂν ὑμᾶς μάλιστα παροξυνθῆναι
πρὸς τὸν πόλεμον, εἰ ταῖς διανοίαις ὥσπερ παρεστῶ-
τας ἴδοιτε τοὺς γονέας καὶ τοὺς παῖδας τοὺς ὑμετέ-
ρους αὐτῶν, τοὺς μὲν παρακελευομένους μὴ καται-
σχῦναι τὸ τῆς Σπάρτης ὄνομα, μηδὲ τοὺς νόμους, ἐν
οἷς ἐπαιδεύθημεν, μηδὲ τὰς μάχας τὰς ἐφ' αὑτῶν γε-
νομένας, τοὺς δ' ἀπαιτοῦντας τὴν χώραν, ἣν οἱ πρό- d
γονοι κατέλιπον, καὶ τὴν δυναστείαν τὴν ἐν τοῖς Ἕλ-
λησι καὶ τὴν ἡγεμονίαν, ἥνπερ αὐτοὶ παρὰ τῶν πατέ-
ρων παρελάβομεν· πρὸς οὓς οὐδὲν ἂν ἔχοιμεν εἰπεῖν,
ὡς οὐκ ἀμφότεροι δίκαια τυγχάνουσι λέγοντες.
111 (με'.) Οὐκ οἶδ' ὅ τι δεῖ μακρολογεῖν πλὴν τοσοῦ-
τον, ὡς πλείστων τῇ πόλει ταύτῃ πολέμων καὶ κινδύ-
νων γεγενημένων οὐδεπώποθ' οἱ πολέμιοι τρόπαιον
ἡμῶν ἔστησαν ἡγουμένου βασιλέως ἐκ τῆς οἰκίας τῆς e
ἡμετέρας. ἔστι δὲ νοῦν ἐχόντων ἀνδρῶν, οἷσπερ ἂν ἐν

ταῖς μάχαις ἡγεμόσι χρώμενοι κατορθῶσι, τούτοις καὶ περὶ τῶν μελλόντων κινδύνων συμβουλεύουσι μᾶλλον ἢ τοῖς ἄλλοις πείθεσθαι.

7.
ΑΡΕΟΠΑΓΙΤΙΚΟΣ.

(α΄.) Πολλοὺς ὑμῶν οἶμαι θαυμάζειν, ἥντινά 140
ποτε γνώμην ἔχων περὶ σωτηρίας τὴν πρόσοδον ἐποιησάμην, ὥσπερ τῆς πόλεως ἐν κινδύνοις οὔσης, ἢ σφαλερῶς αὐτῇ τῶν πραγμάτων καθεστηκότων, ἀλλ' οὐ πλείους μὲν τριήρεις ἢ διακοσίας κεκτημένης, εἰρήνην δὲ καὶ τὰ περὶ τὴν χώραν ἀγούσης, καὶ τῶν κατὰ
2 θάλατταν ἀρχούσης, ἔτι δὲ συμμάχους ἐχούσης πολ- b
λοὺς μὲν τοὺς ἑτοίμως ἡμῖν, ἤν τι δέῃ, βοηθήσοντας, πολὺ δὲ πλείους τοὺς τὰς συντάξεις ὑποτελοῦντας καὶ τὸ προσταττόμενον ποιοῦντας· ὧν ὑπαρχόντων ἡμᾶς μὲν ἄν τις φήσειεν εἰκὸς εἶναι θαρρεῖν ὡς πόρρω τῶν κινδύνων ὄντας, τοῖς δ' ἐχθροῖς τοῖς ἡμετέροις προσήκειν δεδιέναι καὶ βουλεύεσθαι περὶ τῆς αὐτῶν σωτηρίας.

3 (β΄.) Ὑμεῖς μὲν οὖν οἶδ' ὅτι τούτῳ χρώμενοι τῷ
λογισμῷ καὶ τῆς ἐμῆς προσόδου καταφρονεῖτε καὶ πᾶ- c
σαν ἐλπίζετε τὴν Ἑλλάδα ταύτῃ τῇ δυνάμει κατασχήσειν· ἐγὼ δὲ δι' αὐτὰ ταῦτα τυγχάνω δεδιώς. ὁρῶ γὰρ τῶν πόλεων τὰς ἄριστα πράττειν οἰομένας κάκιστα βουλευομένας καὶ τὰς μάλιστα θαρρούσας εἰς πλεί-
4 στους κινδύνους καθισταμένας. αἴτιον δὲ τούτων ἐστίν,
ὅτι τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ' αὑτὸ d

παραγίγνεται τοῖς ἀνθρώποις, ἀλλὰ συντέτακται καὶ
συνακολουθεῖ τοῖς μὲν πλούτοις καὶ ταῖς δυναστείαις
ἄνοια καὶ μετὰ ταύτης ἀκολασία, ταῖς δ' ἐνδείαις καὶ
ταῖς ταπεινότησι σωφροσύνη καὶ πολλὴ μετριότης, 141
5 ὥστε χαλεπὸν εἶναι διαγνῶναι, ποτέραν ἄν τις δέξαι-
το τῶν μερίδων τούτων τοῖς παισὶ τοῖς αὑτοῦ καταλι-
πεῖν. ἴδοιμεν γὰρ ἂν ἐκ μὲν τῆς φαυλοτέρας εἶναι δο-
κούσης ἐπὶ τὸ βέλτιον ὡς ἐπὶ τὸ πολὺ τὰς πράξεις ἐπι-
διδούσας, ἐκ δὲ τῆς κρείττονος φαινομένης ἐπὶ τὸ χεῖ-
6 ρον εἰθισμένας μεταπίπτειν. καὶ τούτων ἐνεγκεῖν ἔχω
παραδείγματα πλεῖστα μὲν ἐκ τῶν ἰδίων πραγμάτων,
πυκνοτάτας γὰρ ταῦτα λαμβάνει τὰς μεταβολάς, οὐ b
μὴν ἀλλὰ μείζω γε καὶ φανερώτερα τοῖς ἀκούουσιν ἐκ
τῶν ἡμῖν καὶ Λακεδαιμονίοις συμβάντων. (γ'.) Ἡμεῖς
τε γὰρ ἀναστάτου μὲν τῆς πόλεως ὑπὸ τῶν βαρβάρων
γεγενημένης διὰ τὸ δεδιέναι καὶ προσέχειν τὸν νοῦν
τοῖς πράγμασιν ἐπρωτεύσαμεν τῶν Ἑλλήνων, ἐπειδὴ
δ' ἀνυπέρβλητον ᾠήθημεν τὴν δύναμιν ἔχειν, παρὰ
7 μικρὸν ἤλθομεν ἐξανδραποδισθῆναι· Λακεδαιμόνιοί
τε τὸ μὲν παλαιὸν ἐκ φαύλων καὶ ταπεινῶν πόλεων c
ὁρμηθέντες διὰ τὸ σωφρόνως ζῆν καὶ στρατιωτικῶς
κατέσχον Πελοπόννησον, μετὰ δὲ ταῦτα μεῖζον φρο-
νήσαντες τοῦ δέοντος καὶ λαβόντες καὶ τὴν κατὰ γῆν
καὶ τὴν κατὰ θάλατταν ἀρχήν, εἰς τοὺς αὐτοὺς κιν-
δύνους κατέστησαν ἡμῖν.

8 Ὅστις οὖν εἰδὼς τοσαύτας μεταβολὰς γεγενημέ-
νας καὶ τηλικαύτας δυνάμεις οὕτω ταχέως ἀναιρεθεί-
σας πιστεύει τοῖς παροῦσι, λίαν ἀνόητός ἐστιν, ἄλλως
τε καὶ τῆς μὲν πόλεως ἡμῶν πολὺ καταδεέστερον νῦν d
πραττούσης ἢ κατ' ἐκεῖνον τὸν χρόνον, τοῦ δὲ μίσους
τοῦ τῶν Ἑλλήνων καὶ τῆς ἔχθρας τῆς πρὸς βασιλέα
πάλιν ἀνακεκαινισμένης, ἃ τότε κατεπολέμησεν ἡμᾶς.

9 (δʹ.) Ἀπορῶ δέ, πότερον ὑπολάβω μηδὲν μέλειν ὑμῖν
τῶν κοινῶν πραγμάτων, ἢ φροντίζειν μὲν αὐτῶν, εἰς
τοῦτο δ' ἀναισθησίας ἥκειν ὥστε λανθάνειν ὑμᾶς, εἰς
ὅσην ταραχὴν ἡ πόλις καθέστηκεν. ἐοίκατε γὰρ οὕτω e
διακειμένοις ἀνθρώποις, οἵτινες ἁπάσας μὲν τὰς πό-
λεις τὰς ἐπὶ Θρᾴκης ἀπολωλεκότες, πλείω δ' ἢ χίλια
10 τάλαντα μάτην εἰς τοὺς ξένους ἀνηλωκότες, πρὸς δὲ
τοὺς Ἕλληνας διαβεβλημένοι καὶ τῷ βαρβάρῳ πολέ-
μιοι γεγονότες, ἔτι δὲ τοὺς μὲν Θηβαίων φίλους σώζειν
ἠναγκασμένοι, τοὺς δ' ἡμετέρους αὐτῶν συμμάχους 142
ἀπολωλεκότες, ἐπὶ τοιαύταις πράξεσιν εὐαγγέλια μὲν
δὶς ἤδη τεθύκαμεν, ῥᾳθυμότερον δὲ περὶ αὐτῶν ἐκ-
κλησιάζομεν τῶν πάντα τὰ δέοντα πραττόντων.

11 Καὶ ταῦτ' εἰκότως καὶ ποιοῦμεν καὶ πάσχομεν·
οὐδὲν γὰρ οἷόν τε γίγνεσθαι κατὰ τρόπον τοῖς μὴ κα-
λῶς περὶ ὅλης τῆς διοικήσεως βεβουλευμένοις, ἀλλ'
ἂν καὶ κατορθώσωσι περί τινας τῶν πράξεων ἢ διὰ
τύχην ἢ δι' ἀνδρὸς ἀρετήν, μικρὸν διαλιπόντες πά- b
λιν εἰς τὰς αὐτὰς ἀπορίας κατέστησαν. καὶ ταῦτα γνοίη
12 τις ἂν ἐκ τῶν περὶ ἡμᾶς γεγενημένων. (εʹ.) Ἁπάσης
γὰρ τῆς Ἑλλάδος ὑπὸ τὴν πόλιν ἡμῶν ὑποπεσούσης
καὶ μετὰ τὴν Κόνωνος ναυμαχίαν καὶ μετὰ τὴν Τιμο-
θέου στρατηγίαν, οὐδένα χρόνον τὰς εὐτυχίας κατα-
σχεῖν ἠδυνήθημεν, ἀλλὰ ταχέως διεσκαριφησάμεθα
καὶ διελύσαμεν αὐτάς. πολιτείαν γὰρ τὴν ὀρθῶς ἂν
τοῖς πράγμασι χρησαμένην οὔτ' ἔχομεν οὔτε καλῶς c
13 ζητοῦμεν. καίτοι τὰς εὐπραγίας ἅπαντες ἴσμεν καὶ
παραγιγνομένας καὶ παραμενούσας οὐ τοῖς τὰ τείχη
κάλλιστα καὶ μέγιστα περιβεβλημένοις, οὐδὲ τοῖς μετὰ
πλείστων ἀνθρώπων εἰς τὸν αὐτὸν τόπον συνηθροι-
σμένοις, ἀλλὰ τοῖς ἄριστα καὶ σωφρονέστατα τὴν αὐ-
14 τῶν πόλιν διοικοῦσιν. ἔστι γὰρ ψυχὴ πόλεως οὐδὲν

ἕτερον ἢ πολιτεία, τοσαύτην ἔχουσα δύναμιν, ὅσην
περ ἐν σώματι φρόνησις. αὕτη γάρ ἐστιν ἡ βουλευο-
μένη περὶ ἁπάντων, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττουσα, d
τὰς δὲ συμφορὰς διαφεύγουσα. ταύτῃ καὶ τοὺς νόμους
καὶ τοὺς ῥήτορας καὶ τοὺς ἰδιώτας ἀναγκαῖόν ἐστιν
ὁμοιοῦσθαι καὶ πράττειν οὕτως ἑκάστους, οἵαν περ ἂν
15 ταύτην ἔχωσιν. ἧς ἡμεῖς διεφθαρμένης οὐδὲν φρον-
τίζομεν, οὐδὲ σκοποῦμεν, ὅπως ἐπανορθώσομεν αὐ-
τήν· ἀλλ' ἐπὶ μὲν τῶν ἐργαστηρίων καθίζοντες κατη-
γοροῦμεν τῶν καθεστώτων καὶ λέγομεν, ὡς οὐδέποτ'
ἐν δημοκρατίᾳ κάκιον ἐπολιτεύθημεν, ἐν δὲ τοῖς πράγ- e
μασι καὶ ταῖς διανοίαις αἷς ἔχομεν μᾶλλον αὐτὴν ἀγα-
πῶμεν τῆς ὑπὸ τῶν προγόνων καταλειφθείσης. ὑπὲρ
ἧς ἐγὼ καὶ τοὺς λόγους μέλλω ποιεῖσθαι καὶ τὴν πρόσ-
16 οδον ἀπεγραψάμην. (ς'.) Εὑρίσκω γὰρ ταύτην μόνην 143
ἂν γενομένην καὶ τῶν μελλόντων κινδύνων ἀποτροπὴν
καὶ τῶν παρόντων κακῶν ἀπαλλαγήν, ἣν ἐθελήσωμεν
ἐκείνην τὴν δημοκρατίαν ἀναλαβεῖν, ἣν Σόλων μὲν ὁ
δημοτικώτατος γενόμενος ἐνομοθέτησε, Κλεισθένης
δ' ὁ τοὺς τυράννους ἐκβαλὼν καὶ τὸν δῆμον καταγα-
17 γὼν πάλιν ἐξ ἀρχῆς κατέστησεν. ἧς οὐκ ἂν εὕροιμεν
οὔτε δημοτικωτέραν οὔτε τῇ πόλει μᾶλλον συμφέρου-
σαν. τεκμήριον δὲ μέγιστον· οἱ μὲν γὰρ ἐκείνῃ χρώ- b
μενοι, πολλὰ καὶ καλὰ διαπραξάμενοι καὶ παρὰ πᾶσιν
ἀνθρώποις εὐδοκιμήσαντες, παρ' ἑκόντων τῶν Ἑλλή-
νων τὴν ἡγεμονίαν ἔλαβον, οἱ δὲ τῆς νῦν παρούσης
ἐπιθυμήσαντες, ὑπὸ πάντων μισηθέντες καὶ πολλὰ
καὶ δεινὰ παθόντες, μικρὸν ἀπέλιπον τοῦ μὴ ταῖς
18 ἐσχάταις συμφοραῖς περιπεσεῖν. καίτοι πῶς χρὴ ταύ-
την τὴν πολιτείαν ἐπαινεῖν ἢ στέργειν τὴν τοσού-
των μὲν κακῶν αἰτίαν πρότερον γενομένην, νῦν δὲ c
καθ' ἕκαστον τὸν ἐνιαυτὸν ἐπὶ τὸ χεῖρον φερομένην;

πῶς δ' οὐ χρὴ δεδιέναι μὴ τοιαύτης ἐπιδόσεως γιγνο-
μένης τελευτῶντες εἰς τραχύτερα πράγματα τῶν τότε
γενομένων ἐξοκείλωμεν;

19 (ζ'.) Ἵνα δὲ μὴ συλλήβδην μόνον ἀκηκοότες ἀλλ'
ἀκριβῶς εἰδότες ποιῆσθε καὶ τὴν αἵρεσιν καὶ τὴν κρί-
σιν αὐτῶν, ὑμέτερον μὲν ἔργον ἐστὶ παρασχεῖν ὑμᾶς
αὐτοὺς προσέχοντας τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ λεγομέ- d
νοις, ἐγὼ δ' ὡς ἂν δύνωμαι συντομώτατα περὶ ἀμφο-
τέρων τούτων πειράσομαι διελθεῖν πρὸς ὑμᾶς.

20 (η'.) Οἱ γὰρ κατ' ἐκεῖνον τὸν χρόνον τὴν πόλιν
διοικοῦντες κατεστήσαντο πολιτείαν οὐκ ὀνόματι μὲν
τῷ κοινοτάτῳ καὶ πρᾳοτάτῳ προσαγορευομένην, ἐπὶ
δὲ τῶν πράξεων οὐ τοιαύτην τοῖς ἐντυγχάνουσι φαι-
νομένην, οὐδ' ἣ τοῦτον τὸν τρόπον ἐπαίδευε τοὺς πο-
λίτας ὥσθ' ἡγεῖσθαι τὴν μὲν ἀκολασίαν δημοκρατίαν, e
τὴν δὲ παρανομίαν ἐλευθερίαν, τὴν δὲ παρρησίαν ἰσο-
νομίαν, τὴν δ' ἐξουσίαν τοῦ ταῦτα ποιεῖν εὐδαιμο-
νίαν, ἀλλὰ καὶ μισοῦσα καὶ κολάζουσα τοὺς τοιούτους
βελτίους καὶ σωφρονεστέρους ἅπαντας τοὺς πολίτας
21 ἐποίησεν. μέγιστον δ' αὐτοῖς συνεβάλετο πρὸς τὸ κα-
λῶς οἰκεῖν τὴν πόλιν, ὅτι δυοῖν ἰσοτήτοιν νομιζομέ-
ναιν εἶναι, καὶ τῆς μὲν ταὐτὸν ἅπασιν ἀπονεμούσης,
τῆς δὲ τὸ προσῆκον ἑκάστοις, οὐκ ἠγνόουν τὴν χρη-
σιμωτέραν, ἀλλὰ τὴν μὲν τῶν αὐτῶν ἀξιοῦσαν τοὺς
χρηστοὺς καὶ τοὺς πονηροὺς ἀπεδοκίμαζον ὡς οὐ δι-
22 καίαν οὖσαν, τὴν δὲ κατὰ τὴν ἀξίαν ἕκαστον τιμῶσαν
[καὶ κολάζουσαν] προῃροῦντο καὶ διὰ ταύτης ᾤκουν
τὴν πόλιν, οὐκ ἐξ ἁπάντων τὰς ἀρχὰς κληροῦντες ἀλλὰ
τοὺς βελτίστους καὶ τοὺς ἱκανωτάτους ἐφ' ἕκαστον
τῶν ἔργων προκρίνοντες. τοιούτους γὰρ ἤλπιζον ἔσε-
σθαι καὶ τοὺς ἄλλους, οἷοί περ ἂν ὦσιν οἱ τῶν πραγ-
23 μάτων ἐπιστατοῦντες. ἔπειτα καὶ δημοτικωτέραν ἐνό-

μιζον εἶναι ταύτην τὴν κατάστασιν ἢ τὴν διὰ τοῦ λαγ-
χάνειν γιγνομένην· ἐν μὲν γὰρ τῇ κληρώσει τὴν τύχην
βραβεύσειν καὶ πολλάκις λήψεσθαι τὰς ἀρχὰς τοὺς
ὀλιγαρχίας ἐπιθυμοῦντας, ἐν δὲ τῷ προκρίνειν τοὺς
ἐπιεικεστάτους τὸν δῆμον ἔσεσθαι κύριον ἑλέσθαι c
τοὺς ἀγαπῶντας μάλιστα τὴν καθεστῶσαν πολιτείαν.
24 (θ'.) Αἴτιον δ' ἦν τοῦ ταῦτα τοῖς πολλοῖς ἀρέσκειν
καὶ μὴ περιμαχήτους εἶναι τὰς ἀρχάς, ὅτι μεμαθηκό-
τες ἦσαν ἐργάζεσθαι καὶ φείδεσθαι, καὶ μὴ τῶν μὲν
οἰκείων ἀμελεῖν, τοῖς δ' ἀλλοτρίοις ἐπιβουλεύειν, μηδ'
ἐκ τῶν δημοσίων τὰ σφέτερ' αὐτῶν διοικεῖν, ἀλλ' ἐκ
τῶν ἑκάστοις ὑπαρχόντων, εἴ ποτε δεήσειε, τοῖς κοινοῖς
ἐπαρκεῖν, μηδ' ἀκριβέστερον εἰδέναι τὰς ἐκ τῶν ἀρ-
χείων προσόδους ἢ τὰς ἐκ τῶν ἰδίων γιγνομένας αὐ- d
25 τοῖς. οὕτω δ' ἀπείχοντο σφόδρα τῶν τῆς πόλεως, ὥστε
χαλεπώτερον ἦν ἐν ἐκείνοις τοῖς χρόνοις εὑρεῖν τοὺς
βουλομένους ἄρχειν ἢ νῦν τοὺς μηδὲν δεομένους· οὐ
γὰρ ἐμπορίαν ἀλλὰ λειτουργίαν ἐνόμιζον εἶναι τὴν τῶν
κοινῶν ἐπιμέλειαν, οὐδ' ἀπὸ τῆς πρώτης ἡμέρας ἐσκό-
πουν ἐλθόντες, εἴ τι λῆμμα παραλελοίπασιν οἱ πρότε-
ρον ἄρχοντες, ἀλλὰ πολὺ μᾶλλον εἴ τινος πράγματος
26 κατημελήκασι τῶν τέλος ἔχειν κατεπειγόντων. ὡς δὲ e
συντόμως εἰπεῖν, ἐκεῖνοι διεγνωκότες ἦσαν, ὅτι δεῖ
τὸν μὲν δῆμον ὥσπερ τύραννον καθιστάναι τὰς ἀρ-
χὰς καὶ κολάζειν τοὺς ἐξαμαρτάνοντας καὶ κρίνειν περὶ
τῶν ἀμφισβητουμένων, τοὺς δὲ σχολὴν ἄγειν δυνα- 145
μένους καὶ βίον ἱκανὸν κεκτημένους ἐπιμελεῖσθαι τῶν
κοινῶν ὥσπερ οἰκέτας, καὶ δικαίους μὲν γενομένους
27 ἐπαινεῖσθαι καὶ στέργειν ταύτῃ τῇ τιμῇ, κακῶς δὲ δι-
οικήσαντας μηδεμιᾶς συγγνώμης τυγχάνειν ἀλλὰ ταῖς
μεγίσταις ζημίαις περιπίπτειν. καίτοι πῶς ἂν τις εὕροι
ταύτης βεβαιοτέραν ἢ δικαιοτέραν δημοκρατίαν, τῆς

τοὺς μὲν δυνατωτάτους ἐπὶ τὰς πράξεις καθιστάσης, b
αὐτῶν δὲ τούτων τὸν δῆμον κύριον ποιούσης;
28 (ι΄). Τὸ μὲν οὖν σύνταγμα τῆς πολιτείας τοιοῦ-
τον ἦν αὐτοῖς· ῥᾴδιον δ' ἐκ τούτων καταμαθεῖν ὡς
καὶ τὰ κατὰ τὴν ἡμέραν ἑκάστην ὀρθῶς καὶ νομί-
μως πράττοντες διετέλεσαν. ἀνάγκη γὰρ τοὺς περὶ
ὅλων τῶν πραγμάτων καλὰς τὰς ὑποθέσεις πεποιημέ-
νοις καὶ τὰ μέρη τὸν αὐτὸν τρόπον ἔχειν ἐκείνοις.
29 (ια΄.) Καὶ πρῶτον μὲν τὰ περὶ τοὺς θεούς, ἐντεῦ- c
θεν γὰρ ἄρχεσθαι δίκαιον, οὐκ ἀνωμάλως οὐδ' ἀτά-
κτως οὔτ' ἐθεράπευον οὔτ' ὠργίαζον· οὐδ' ὁπότε μὲν
δόξειεν αὐτοῖς, τριακοσίους βοῦς ἔπεμπον, ὁπότε δὲ
τύχοιεν, τὰς πατρίους θυσίας ἐξέλειπον· οὐδὲ τὰς μὲν
ἐπιθέτους ἑορτάς, αἷς ἑστίασίς τις προσείη, μεγαλο-
πρεπῶς ἦγον, ἐν δὲ τοῖς ἁγιωτάτοις τῶν ἱερῶν ἀπὸ
30 μισθωμάτων ἔθυον· ἀλλ' ἐκεῖνο μόνον ἐτήρουν, ὅπως
μηδὲν μήτε τῶν πατρίων καταλύσουσι μήτ' ἔξω τῶν d
νομιζομένων προσθήσουσιν. οὐ γὰρ ἐν ταῖς πολυτε-
λείαις ἐνόμιζον εἶναι τὴν εὐσέβειαν, ἀλλ' ἐν τῷ μηδὲν
κινεῖν ὧν αὐτοῖς οἱ πρόγονοι παρέδοσαν. καὶ γάρ τοι
καὶ τὰ παρὰ τῶν θεῶν οὐκ ἐμπλήκτως οὐδὲ ταραχω-
δῶς αὐτοῖς συνέβαινεν ἀλλ' εὐκαίρως καὶ πρὸς τὴν
ἐργασίαν τῆς χώρας καὶ πρὸς τὴν συγκομιδὴν τῶν
καρπῶν.
31 (ιβ΄.) Παραπλησίως δὲ τοῖς εἰρημένοις καὶ τὰ πρὸς
σφᾶς αὐτοὺς διῴκουν. οὐ γὰρ μόνον περὶ τῶν κοινῶν e
ὡμονόουν ἀλλὰ καὶ περὶ τὸν ἴδιον βίον τοσαύτην ἐποι-
οῦντο πρόνοιαν ἀλλήλων, ὅσην περ χρὴ τοὺς εὖ φρο-
νοῦντας καὶ πατρίδος κοινωνοῦντας. οἵ τε γὰρ πενέ- 14
στεροι τῶν πολιτῶν τοσοῦτον ἀπεῖχον τοῦ φθονεῖν
32 τοῖς πλείω κεκτημένοις, ὥσθ' ὁμοίως ἐκήδοντο τῶν
οἴκων τῶν μεγάλων ὥσπερ τῶν σφετέρων αὐτῶν,

ἡγούμενοι τὴν ἐκείνων εὐδαιμονίαν αὑτοῖς εὐπορίαν
ὑπάρχειν· οἵ τε τὰς οὐσίας ἔχοντες οὐχ ὅπως ὑπερεώ-
ρων τοὺς καταδεέστερον πράττοντας, ἀλλ' ὑπολαμβά-
νοντες αἰσχύνην αὑτοῖς εἶναι τὴν τῶν πολιτῶν ἀπορίαν
ἐπήμυνον ταῖς ἐνδείαις, τοῖς μὲν γεωργίας ἐπὶ μετρίαις b
μισθώσεσι παραδιδόντες, τοὺς δὲ κατ' ἐμπορίαν ἐκ-
πέμποντες, τοῖς δ' εἰς τὰς ἄλλας ἐργασίας ἀφορμὴν
33 παρέχοντες. οὐ γὰρ ἐδέδισαν μὴ δυοῖν θάτερον [πά-
θοιεν], ἢ πάντων στερηθεῖεν, ἢ πολλὰ πράγματα σχόν-
τες μέρος τι κομίσαιντο τῶν προεθέντων· ἀλλ' ὁμοίως
ἐθάρρουν περὶ τῶν ἔξω δεδομένων ὥσπερ περὶ τῶν
ἔνδον ἀποκειμένων. ἑώρων γὰρ τοὺς περὶ τῶν συμβο-
λαίων κρίνοντας οὐ ταῖς ἐπιεικείαις χρωμένους ἀλλὰ c
34 τοῖς νόμοις πειθομένους, οὐδ' ἐν τοῖς τῶν ἄλλων ἀγῶ-
σιν αὑτοῖς ἀδικεῖν ἐξουσίαν παρασκευάζοντας, ἀλλὰ
μᾶλλον ὀργιζομένους τοῖς ἀποστεροῦσιν αὐτῶν τῶν
ἀδικουμένων καὶ νομίζοντας διὰ τοὺς ἄπιστα τὰ συμ-
βόλαια ποιοῦντας μείζω βλάπτεσθαι τοὺς πένητας τῶν
πολλὰ κεκτημένων· τοὺς μὲν γάρ, ἢν παύσωνται προϊ-
έμενοι, μικρῶν προσόδων ἀποστερήσεσθαι, τοὺς δ' ἢν
ἀπορήσωσι τῶν ἐπαρκούντων, εἰς τὴν ἐσχάτην ἔνδειαν d
35 καταστήσεσθαι. καὶ γάρ τοι διὰ τὴν γνώμην ταύτην
οὐδεὶς οὔτ' ἀπεκρύπτετο τὴν οὐσίαν οὔτ' ὤκνει συμ-
βάλλειν, ἀλλ' ἥδιον ἑώρων τοὺς δανειζομένους ἢ τοὺς
ἀποδιδόντας. ἀμφότερα γὰρ αὐτοῖς συνέβαινεν, ἅπερ
ἂν βουληθεῖεν ἄνθρωποι νοῦν ἔχοντες· ἅμα γὰρ τούς
τε πολίτας ὠφέλουν καὶ τὰ σφέτερ' αὐτῶν ἐνεργὰ καθ-
ίστασαν. κεφάλαιον δὲ τοῦ καλῶς ἀλλήλοις ὁμιλεῖν·
αἱ μὲν γὰρ κτήσεις ἀσφαλεῖς ἦσαν, οἷσπερ κατὰ τὸ e
δίκαιον ὑπῆρχον, αἱ δὲ χρήσεις κοιναὶ πᾶσι τοῖς δεο-
μένοις τῶν πολιτῶν.
36 (ιγ'.) Ἴσως ἂν οὖν τις ἐπιτιμήσειε τοῖς εἰρημένοις,

ὅτι τὰς μὲν πράξεις ἐπαινῶ τὰς ἐν ἐκείνοις τοῖς χρόνοις
γιγνομένας, τὰς δ' αἰτίας οὐ φράζω, δι' ἃς οὕτω κα- 14
λῶς καὶ τὰ πρὸς σφᾶς αὐτοὺς εἶχον καὶ τὴν πόλιν διῴ-
κουν. ἐγὼ δ' οἶμαι μὲν εἰρηκέναι τι καὶ τοιοῦτον, οὐ
μὴν ἀλλ' ἔτι πλείω καὶ σαφέστερον πειράσομαι δια-
37 λεχθῆναι περὶ αὐτῶν. (ιδʹ.) Ἐκεῖνοι γὰρ οὐκ ἐν μὲν
ταῖς παιδείαις πολλοὺς τοὺς ἐπιστατοῦντας εἶχον,
ἐπειδὴ δ' εἰς ἄνδρας δοκιμασθεῖεν, ἐξῆν αὐτοῖς ποιεῖν
ὅ τι βουληθεῖεν, ἀλλ' ἐν ταύταις ταῖς ἀκμαῖς πλείονος b
ἐπιμελείας ἐτύγχανον ἢ παῖδες ὄντες. οὕτω γὰρ ἡμῶν
οἱ πρόγονοι σφόδρα περὶ τὴν σωφροσύνην ἐσπούδα-
ζον, ὥστε τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐπέστησαν ἐπι-
μελεῖσθαι τῆς εὐκοσμίας, ἧς οὐχ οἷόν τ' ἦν μετασχεῖν
πλὴν τοῖς καλῶς γεγονόσι καὶ πολλὴν ἀρετὴν ἐν τῷ
βίῳ καὶ σωφροσύνην ἐνδεδειγμένοις, ὥστ' εἰκότως
αὐτὴν διενεγκεῖν τῶν ἐν τοῖς Ἕλλησι συνεδρίων.
38 (ιεʹ.) Σημείοις δ' ἄν τις χρήσαιτο περὶ τῶν τότε c
καθεστώτων καὶ τοῖς ἐν τῷ παρόντι γιγνομένοις· ἔτι
γὰρ καὶ νῦν ἁπάντων τῶν περὶ τὴν αἵρεσιν καὶ τὴν
δοκιμασίαν κατημελημένων ἴδοιμεν ἂν τοὺς ἐν τοῖς
ἄλλοις πράγμασιν οὐκ ἀνεκτοὺς ὄντας, ἐπειδὰν εἰς
Ἄρειον πάγον ἀναβῶσιν, ὀκνοῦντας τῇ φύσει χρῆσθαι
καὶ μᾶλλον τοῖς ἐκεῖ νομίμοις ἢ ταῖς αὑτῶν κακίαις
ἐμμένοντας. τοσοῦτον φόβον ἐκεῖνοι τοῖς πονηροῖς
ἐνειργάσαντο καὶ τοιοῦτον μνημεῖον ἐν τῷ τόπῳ τῆς d
αὑτῶν ἀρετῆς καὶ σωφροσύνης ἐγκατέλιπον.
39 (ιϛʹ.) Τὴν δὴ τοιαύτην, ὥσπερ εἶπον, κυρίαν ἐποί-
ησαν ἐπιμελεῖσθαι τῆς εὐταξίας, ἣ τοὺς μὲν οἰομένους
ἐνταῦθα βελτίστους ἄνδρας γίγνεσθαι, παρ' οἷς οἱ
νόμοι μετὰ πλείστης ἀκριβείας κείμενοι τυγχάνουσιν,
ἀγνοεῖν ἐνόμιζεν· οὐδὲν γὰρ ἂν κωλύειν ὁμοίους
ἅπαντας εἶναι τοὺς Ἕλληνας ἕνεκά γε τοῦ ῥᾴδιον εἶναι

40 τὰ γράμματα λαβεῖν παρ' ἀλλήλων. ἀλλὰ γὰρ οὐκ ἐκ
τούτων τὴν ἐπίδοσιν εἶναι τῆς ἀρετῆς ἀλλ' ἐκ τῶν καθ' e
ἑκάστην τὴν ἡμέραν ἐπιτηδευμάτων· τοὺς γὰρ πολ-
λοὺς ὁμοίους τοῖς ἤθεσιν ἀποβαίνειν, ἐν οἷς ἂν ἕκα-
στοι παιδευθῶσιν. ἐπεὶ τά γε πλήθη καὶ τὰς ἀκριβείας
τῶν νόμων σημεῖον εἶναι τοῦ κακῶς οἰκεῖσθαι τὴν πό-
λιν ταύτην· ἐμφράγματα γὰρ αὐτοὺς ποιουμένους τῶν 148
ἁμαρτημάτων πολλοὺς τίθεσθαι τοὺς νόμους ἀναγκά-
41 ζεσθαι. δεῖν δὲ τοὺς ὀρθῶς πολιτευομένους οὐ τὰς
στοὰς ἐμπιπλάναι γραμμάτων ἀλλ' ἐν ταῖς ψυχαῖς
ἔχειν τὸ δίκαιον· οὐ γὰρ τοῖς ψηφίσμασιν ἀλλὰ τοῖς
ἤθεσι καλῶς οἰκεῖσθαι τὰς πόλεις, καὶ τοὺς μὲν
κακῶς τεθραμμένους καὶ τοὺς ἀκριβῶς τῶν νόμων
ἀναγεγραμμένους τολμήσειν παραβαίνειν, τοὺς δὲ
καλῶς πεπαιδευμένους καὶ τοῖς ἁπλῶς κειμένοις b
42 ἐθελήσειν ἐμμένειν. ταῦτα διανοηθέντες οὐ τοῦτο
πρῶτον ἐσκόπουν, δι' ὧν κολάσουσι τοὺς ἀκοσμοῦν-
τας, ἀλλ' ἐξ ὧν παρασκευάσουσι μηδὲν αὐτοὺς ἄξιον
ζημίας ἐξαμαρτάνειν· ἡγοῦντο γὰρ τοῦτο μὲν αὐτῶν
ἔργον εἶναι, τὸ δὲ περὶ τὰς τιμωρίας σπουδάζειν τοῖς
ἐχθροῖς προσήκειν.

43 (ιζ΄.) Ἁπάντων μὲν οὖν ἐφρόντιζον τῶν πολιτῶν,
μάλιστα δὲ τῶν νεωτέρων. ἑώρων γὰρ τοὺς τηλικού- c
τους ταραχωδέστατα διακειμένους καὶ πλείστων γέ-
μοντας ἐπιθυμιῶν, καὶ τὰς ψυχὰς αὐτῶν μάλιστα παι-
δευθῆναι δεομένας γυμνασίαις καλῶν ἐπιτηδευμάτων
καὶ πόνοις ἡδονὰς ἔχουσιν· ἐν μόνοις γὰρ ἂν τούτοις
ἐμμεῖναι τοὺς ἐλευθερίως τεθραμμένους καὶ μέγα
44 φρονεῖν εἰθισμένους. ἅπαντας μὲν οὖν ἐπὶ τὰς αὐτὰς
ἄγειν διατριβὰς οὐχ οἷόν τ' ἦν, ἀνωμάλως τὰ περὶ τὸν
βίον ἔχοντας· ὡς δὲ πρὸς τὴν οὐσίαν ἥρμοττεν, οὕτως d
ἑκάστοις προσέταττον. τοὺς μὲν γὰρ ὑποδεέστερον

πράττοντας ἐπὶ τὰς γεωργίας καὶ τὰς ἐμπορίας ἔτρε-
πον, εἰδότες τὰς ἀπορίας μὲν διὰ τὰς ἀργίας γιγνο-
45 μένας, τὰς δὲ κακουργίας διὰ τὰς ἀπορίας· ἀναιροῦν-
τες οὖν τὴν ἀρχὴν τῶν κακῶν ἀπαλλάξειν ᾤοντο καὶ
τῶν ἄλλων ἁμαρτημάτων τῶν μετ' ἐκείνην γιγνομένων.
τοὺς δὲ βίον ἱκανὸν κεκτημένους περί τε τὴν ἱππικὴν
καὶ τὰ γυμνάσια καὶ τὰ κυνηγέσια καὶ τὴν φιλοσοφίαν e
ἠνάγκασαν διατρίβειν, ὁρῶντες ἐκ τούτων τοὺς μὲν
διαφέροντας γιγνομένους, τοὺς δὲ τῶν πλείστων κα-
46 κῶν ἀπεχομένους. (ιη'.) Καὶ ταῦτα νομοθετήσαντες
οὐδὲ τὸν λοιπὸν χρόνον ὠλιγώρουν, ἀλλὰ διελόμενοι 149
τὴν μὲν πόλιν κατὰ κώμας, τὴν δὲ χώραν κατὰ δήμους,
ἐθεώρουν τὸν βίον τὸν ἑκάστου, καὶ τοὺς ἀκοσμοῦν-
τας ἀνῆγον εἰς τὴν βουλήν. ἡ δὲ τοὺς μὲν ἐνουθέτει,
τοῖς δ' ἠπείλει, τοὺς δ' ὡς προσῆκεν ἐκόλαζεν. ἠπί-
σταντο γάρ, ὅτι δύο τρόποι τυγχάνουσιν ὄντες οἱ καὶ
προτρέποντες ἐπὶ τὰς ἀδικίας καὶ παύοντες τῶν πονη-
47 ριῶν· παρ' οἷς μὲν γὰρ μήτε φυλακὴ μηδεμία τῶν
τοιούτων καθέστηκε μήθ' αἱ κρίσεις ἀκριβεῖς εἰσι, b
παρὰ τούτοις μὲν διαφθείρεσθαι καὶ τὰς ἐπιεικεῖς τῶν
φύσεων, ὅπου δὲ μήτε λαθεῖν τοῖς ἀδικοῦσι ῥᾴδιόν
ἐστι μήτε φανεροῖς γενομένοις συγγνώμης τυχεῖν, ἐν-
ταῦθα δ' ἐξιτήλους γίγνεσθαι τὰς κακοηθείας. ἅπερ
ἐκεῖνοι γιγνώσκοντες ἀμφοτέροις κατεῖχον τοὺς πολί-
48 τας, καὶ ταῖς τιμωρίαις καὶ ταῖς ἐπιμελείαις· τοσούτου
γὰρ ἔδεον αὐτοὺς λανθάνειν οἱ κακόν τι δεδρακότες,
ὥστε καὶ τοὺς ἐπιδόξους ἁμαρτήσεσθαί τι προῃσθά- c
νοντο. τοιγαροῦν οὐκ ἐν τοῖς σκιραφείοις οἱ νεώτεροι
διέτριβον, οὐδ' ἐν ταῖς αὐλητρίσιν, οὐδ' ἐν τοῖς τοι-
ούτοις συλλόγοις, ἐν οἷς νῦν διημερεύουσιν, ἀλλ' ἐν
τοῖς ἐπιτηδεύμασιν ἔμενον, ἐν οἷς ἐτάχθησαν, θαυμά-
ζοντες καὶ ζηλοῦντες τοὺς ἐν τούτοις πρωτεύοντας.

οὕτω δ' ἔφευγον τὴν ἀγορὰν, ὥστ' εἰ καί ποτε διελ-
θεῖν ἀναγκασθεῖεν, μετὰ πολλῆς αἰδοῦς καὶ σωφρο-
49 σύνης ἐφαίνοντο τοῦτο ποιοῦντες. ἀντειπεῖν δὲ τοῖς
πρεσβυτέροις ἢ λοιδορήσασθαι δεινότερον ἐνόμιζον ἢ d
νῦν περὶ τοὺς γονέας ἐξαμαρτεῖν. ἐν καπηλείῳ δὲ φα-
γεῖν ἢ πιεῖν οὐδεὶς οὐδ' ἂν οἰκέτης ἐπιεικὴς ἐτόλμη-
σεν. σεμνύνεσθαι γὰρ ἐμελέτων ἀλλ' οὐ βωμολοχεύε-
σθαι· καὶ τοὺς εὐτραπέλους δὲ καὶ τοὺς σκώπτειν δυ-
ναμένους, οὓς νῦν εὐφυεῖς προσαγορεύουσιν, ἐκεῖνοι
δυστυχεῖς ἐνόμιζον.

50 (ιθ'.) Καὶ μηδεὶς οἰέσθω με δυσκόλως διακεῖσθαι e
πρὸς τοὺς ταύτην ἔχοντας τὴν ἡλικίαν. οὔτε γὰρ ἡγοῦ-
μαι τούτους αἰτίους εἶναι τῶν γιγνομένων, σύνοιδά
τε τοῖς πλείστοις αὐτῶν ἥκιστα χαίρουσι ταύτῃ τῇ
καταστάσει, δι' ἣν ἔξεστιν αὐτοῖς ἐν ταῖς ἀκολασίαις
ταύταις διατρίβειν· ὥστ' οὐκ ἂν εἰκότως τούτοις ἐπι-
τιμῴην ἀλλὰ πολὺ δικαιότερον τοῖς ὀλίγῳ πρὸ ἡμῶν 150
51 τὴν πόλιν διοικήσασιν· ἐκεῖνοι γὰρ ἦσαν οἱ προτρέ-
ψαντες ἐπὶ ταύτας τὰς ὀλιγωρίας καὶ καταλύσαντες
τὴν τῆς βουλῆς δύναμιν. (κ'.) Ἧς ἐπιστατούσης οὐ δι-
κῶν οὐδ' ἐγκλημάτων οὐδ' εἰσφορῶν οὐδὲ πενίας οὐδὲ
πολέμων ἡ πόλις ἔγεμεν, ἀλλὰ καὶ πρὸς ἀλλήλους ἡσυ-
χίαν εἶχον καὶ πρὸς τοὺς ἄλλους ἅπαντας εἰρήνην ἦγον.
παρεῖχον γὰρ σφᾶς αὐτοὺς τοῖς μὲν Ἕλλησι πιστοὺς, b
52 τοῖς δὲ βαρβάροις φοβερούς· τοὺς μὲν γὰρ σεσωκότες
ἦσαν, παρὰ δὲ τῶν δίκην τηλικαύτην εἰληφότες ὥστ'
ἀγαπᾶν ἐκείνους, εἰ μηδὲν ἔτι κακὸν πάσχοιεν. τοι-
γάρτοι διὰ ταῦτα μετὰ τοσαύτης ἀσφαλείας διῆγον
ὥστε καλλίους εἶναι καὶ πολυτελεστέρας τὰς οἰκήσεις
καὶ τὰς κατασκευὰς τὰς ἐπὶ τῶν ἀγρῶν ἢ τὰς ἐντὸς
τείχους, καὶ πολλοὺς τῶν πολιτῶν μηδ' εἰς τὰς ἑορτὰς
εἰς ἄστυ καταβαίνειν ἀλλ' αἱρεῖσθαι μένειν ἐπὶ τοῖς c

53 ἰδίοις ἀγαθοῖς μᾶλλον ἢ τῶν κοινῶν ἀπολαύειν. οὐδὲ
γὰρ τὰ περὶ τὰς θεωρίας, ὧν ἕνεκ' ἄν τις ἦλθεν, ἀσελ-
γῶς οὐδ' ὑπερηφάνως ἀλλὰ νοῦν ἐχόντως ἐποίουν.
οὐ γὰρ ἐκ τῶν πομπῶν οὐδ' ἐκ τῶν περὶ τὰς χορηγίας
φιλονικιῶν οὐδ' ἐκ τῶν τοιούτων ἀλαζονειῶν τὴν εὐ-
δαιμονίαν ἐδοκίμαζον, ἀλλ' ἐκ τοῦ σωφρόνως οἰκεῖν καὶ
τοῦ βίου τοῦ καθ' ἡμέραν καὶ τοῦ μηδένα τῶν πολι-
τῶν ἀπορεῖν τῶν ἐπιτηδείων. ἐξ ὧνπερ χρὴ κρίνειν d
τοὺς ὡς ἀληθῶς εὖ πράττοντας καὶ μὴ φορτικῶς πο-
54 λιτευομένους· ἐπεὶ νῦν γε τίς οὐκ ἂν ἐπὶ τοῖς γιγνο-
μένοις τῶν εὖ φρονούντων ἀλγήσειεν, ὅταν ἴδῃ πολ-
λοὺς τῶν πολιτῶν αὐτοὺς μὲν περὶ τῶν ἀναγκαίων,
εἴθ' ἕξουσιν εἴτε μή, πρὸ τῶν δικαστηρίων κληρου-
μένους, τῶν δ' Ἑλλήνων τοὺς ἐλαύνειν τὰς ναῦς βου-
λομένους τρέφειν ἀξιοῦντας, καὶ χορεύοντας μὲν ἐν e
χρυσοῖς ἱματίοις, χειμάζοντας δ' ἐν τοιούτοις, ἐν οἷς
οὐ βούλομαι λέγειν, καὶ τοιαύτας ἄλλας ἐναντιώσεις
περὶ τὴν διοίκησιν γιγνομένας, αἳ μεγάλην αἰσχύνην
55 τῇ πόλει ποιοῦσιν. (κα'.) Ὧν οὐδὲν ἦν ἐπ' ἐκείνης
τῆς βουλῆς· ἀπήλλαξε γὰρ τοὺς μὲν πένητας τῶν
ἀποριῶν ταῖς ἐργασίαις καὶ ταῖς παρὰ τῶν ἐχόντων 151
ὠφελείαις, τοὺς δὲ νεωτέρους τῶν ἀκολασιῶν τοῖς
ἐπιτηδεύμασι καὶ ταῖς αὑτῶν ἐπιμελείαις, τοὺς δὲ πο-
λιτευομένους τῶν πλεονεξιῶν ταῖς τιμωρίαις καὶ τῷ
μὴ λανθάνειν τοὺς ἀδικοῦντας, τοὺς δὲ πρεσβυτέρους
τῶν ἀθυμιῶν ταῖς τιμαῖς ταῖς πολιτικαῖς καὶ ταῖς παρὰ
τῶν νεωτέρων θεραπείαις. καίτοι πῶς ἂν γένοιτο ταύ-
της πλείονος ἀξία πολιτεία, τῆς οὕτω καλῶς ἁπάντων
τῶν πραγμάτων ἐπιμεληθείσης;

56 (κβ'.) Περὶ μὲν οὖν τῶν ποτὲ καθεστώτων τὰ μὲν b
πλεῖστα διεληλύθαμεν· ὅσα δὲ παραλελοίπαμεν, ἐκ τῶν
εἰρημένων, ὅτι κἀκεῖνα τὸν αὐτὸν τρόπον εἶχε τούτοις,

ῥᾴδιόν ἐστι καταμαθεῖν. (κγ΄.) Ἤδη δέ τινες ἀκούσαν-
τές μου ταῦτα διεξιόντος ἐπῄνεσαν μὲν ὡς οἷόν τε μά-
λιστα καὶ τοὺς προγόνους ἐμακάρισαν, ὅτι τὸν τρόπον
57 τοῦτον τὴν πόλιν διῴκουν, οὐ μὴν ὑμᾶς γ' ᾤοντο πει-
σθήσεσθαι χρῆσθαι τούτοις, ἀλλ' αἱρήσεσθαι διὰ τὴν c
συνήθειαν ἐν τοῖς καθεστηκόσι πράγμασι κακοπαθεῖν
μᾶλλον ἢ μετὰ πολιτείας ἀκριβεστέρας ἄμεινον τὸν
βίον διάγειν. εἶναι δ' ἔφασαν ἐμοὶ καὶ κίνδυνον, μὴ
τὰ βέλτιστα συμβουλεύων μισόδημος εἶναι δόξω καὶ
58 τὴν πόλιν ζητεῖν εἰς ὀλιγαρχίαν ἐμβαλεῖν. (κδ΄.) Ἐγὼ
δ' εἰ μὲν περὶ πραγμάτων ἀγνοουμένων καὶ μὴ κοινῶν
τοὺς λόγους ἐποιούμην καὶ περὶ τούτων ἐκέλευον ὑμᾶς
ἑλέσθαι συνέδρους ἢ συγγραφέας, δι' ὧν ὁ δῆμος κατ- d
ελύθη τὸ πρότερον, εἰκότως ἂν εἶχον ταύτην τὴν
αἰτίαν· νῦν δ' οὐδὲν εἴρηκα τοιοῦτον ἀλλὰ διείλεγμαι
περὶ διοικήσεως οὐκ ἀποκεκρυμμένης ἀλλὰ φανερᾶς,
59 ἣν πάντες ἴστε καὶ πατρίαν ἡμῖν οὖσαν καὶ πλείστων
ἀγαθῶν καὶ τῇ πόλει καὶ τοῖς ἄλλοις Ἕλλησιν αἰτίαν
γεγενημένην, πρὸς δὲ τούτοις ὑπὸ τοιούτων ἀνδρῶν
νομοθετηθεῖσαν καὶ κατασταθεῖσαν, οὓς οὐδεὶς ὅστις
οὐκ ἂν ὁμολογήσειε δημοτικωτάτους γεγενῆσθαι τῶν e
πολιτῶν. ὥστε πάντων ἂν μοι συμβαίη δεινότατον,
εἰ τοιαύτην πολιτείαν εἰσηγούμενος νεωτέρων δόξαιμι
πραγμάτων ἐπιθυμεῖν.

60 Ἔπειτα κἀκεῖθεν ῥᾴδιον γνῶναι τὴν ἐμὴν διά-
νοιαν· ἐν γὰρ τοῖς πλείστοις τῶν λόγων τῶν εἰρημέ- 152
νων ὑπ' ἐμοῦ φανήσομαι ταῖς μὲν ὀλιγαρχίαις καὶ ταῖς
πλεονεξίαις ἐπιτιμῶν, τὰς δ' ἰσότητας καὶ τὰς δημο-
κρατίας ἐπαινῶν, οὐ πάσας ἀλλὰ τὰς καλῶς καθεστη-
κυίας, οὐδ' ὡς ἔτυχον ἀλλὰ δικαίως καὶ λόγον ἐχόν-
61 τως. οἶδα γὰρ τούς τε προγόνους τοὺς ἡμετέρους ἐν
ταύτῃ τῇ καταστάσει πολὺ τῶν ἄλλων διενεγκόντας

καὶ Λακεδαιμονίους διὰ τοῦτο κάλλιστα πολιτευομέ-
νους, ὅτι μάλιστα δημοκρατούμενοι τυγχάνουσιν. ἐν b
γὰρ τῇ τῶν ἀρχῶν αἱρέσει καὶ τῷ βίῳ τῷ καθ' ἡμέραν
καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασιν ἴδοιμεν ἂν παρ' αὐτοῖς
τὰς ἰσότητας καὶ τὰς ὁμοιότητας μᾶλλον ἢ παρὰ τοῖς
ἄλλοις ἰσχυούσας· οἷς αἱ μὲν ὀλιγαρχίαι πολεμοῦσιν,
οἱ δὲ καλῶς δημοκρατούμενοι χρώμενοι διατελοῦσιν.
62 (κε'.) Τῶν τοίνυν ἄλλων πόλεων ταῖς ἐπιφανε-
στάταις καὶ μεγίσταις, ἣν ἐξετάζειν βουληθῶμεν, εὑ- c
ρήσομεν τὰς δημοκρατίας μᾶλλον ἢ τὰς ὀλιγαρχίας
συμφερούσας· ἐπεὶ καὶ τὴν ἡμετέραν πολιτείαν, ἧ πάν-
τες ἐπιτιμῶσιν, ἢν παραβάλωμεν αὐτὴν μὴ πρὸς τὴν
ὑπ' ἐμοῦ ῥηθεῖσαν ἀλλὰ πρὸς τὴν ὑπὸ τῶν τριάκοντα
καταστᾶσαν, οὐδεὶς ὅστις οὐκ ἂν θεοποίητον εἶναι
63 νομίσειεν. (κϛ'.) Βούλομαι δ' εἰ καί τινές με φήσουσιν
ἔξω τῆς ὑποθέσεως λέγειν, δηλῶσαι καὶ διελθεῖν, ὅσον
αὕτη τῆς τότε διήνεγκεν, ἵνα μηδεὶς οἴηταί με τὰ μὲν
ἁμαρτήματα τοῦ δήμου λίαν ἀκριβῶς ἐξετάζειν, εἰ δέ d
τι καλὸν ἢ σεμνὸν διαπέπρακται, ταῦτα δὲ παραλεί-
πειν. ἔσται δ' ὁ λόγος οὔτε μακρὸς οὔτ' ἀνωφελὴς τοῖς
64 ἀκούουσιν. (κζ'.) Ἐπειδὴ γὰρ τὰς ναῦς τὰς περὶ Ἑλ-
λήσποντον ἀπωλέσαμεν, καὶ ταῖς συμφοραῖς ἐκείναις
ἡ πόλις περιέπεσε, τίς οὐκ οἶδε τῶν πρεσβυτέρων τοὺς
μὲν δημοτικοὺς καλουμένους ἑτοίμους ὄντας ὁτιοῦν
πάσχειν ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ προσταττόμενον, καὶ
δεινὸν ἡγουμένους, εἴ τις ὄψεται τὴν πόλιν τὴν τῶν e
Ἑλλήνων ἄρξασαν, ταύτην ὑφ' ἑτέροις οὖσαν, τοὺς δὲ
τῆς ὀλιγαρχίας ἐπιθυμήσαντας ἑτοίμως καὶ τὰ τείχη
65 καθαιροῦντας καὶ τὴν δουλείαν ὑπομένοντας; καὶ τότε
μὲν, ὅτε τὸ πλῆθος ἦν κύριον τῶν πραγμάτων, ἡμᾶς
τὰς τῶν ἄλλων ἀκροπόλεις φρουροῦντας, ἐπειδὴ δ' οἱ 153
τριάκοντα παρέλαβον τὴν πολιτείαν, τοὺς πολεμίους

τὴν ἡμετέραν ἔχοντας; καὶ κατὰ μὲν ἐκεῖνον τὸν χρό-
νον δεσπότας ἡμῶν ὄντας Λακεδαιμονίους, ἐπειδὴ δ'
οἱ φεύγοντες κατελθόντες πολεμεῖν ὑπὲρ τῆς ἐλευθε-
ρίας ἐτόλμησαν καὶ Κόνων ναυμαχῶν ἐνίκησε, πρέ-
σβεις ἐλθόντας παρ' αὐτῶν καὶ διδόντας τῇ πόλει τὴν
66 ἀρχὴν τὴν τῆς θαλάττης; καὶ μὲν δὴ καὶ τάδε τίς οὐ
μνημονεύει τῶν ἡλικιωτῶν τῶν ἐμῶν, τὴν μὲν δημο- b
κρατίαν οὕτω κοσμήσασαν τὴν πόλιν καὶ τοῖς ἱεροῖς
καὶ τοῖς ὁσίοις ὥστ' ἔτι καὶ νῦν τοὺς ἀφικνουμένους
νομίζειν αὐτὴν ἀξίαν εἶναι μὴ μόνον τῶν Ἑλλήνων
ἄρχειν ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, τοὺς δὲ τριά-
κοντα τῶν μὲν ἀμελήσαντας, τὰ δὲ συλήσαντας, τοὺς
δὲ νεωσοίκους ἐπὶ καθαιρέσει τριῶν ταλάντων ἀπο-
δομένους, εἰς οὓς ἡ πόλις ἀνήλωσεν οὐκ ἐλάττω χιλίων
67 ταλάντων; ἀλλὰ μὴν οὐδὲ τὴν πραότητα δικαίως ἂν c
τις ἐπαινέσειε τὴν ἐκείνων μᾶλλον ἢ τὴν τῆς δημοκρα-
τίας. οἱ μὲν γὰρ ψηφίσματι παραλαβόντες τὴν πόλιν
πεντακοσίους μὲν καὶ χιλίους τῶν πολιτῶν ἀκρίτους
ἀπέκτειναν, εἰς δὲ τὸν Πειραιᾶ φυγεῖν πλείους ἢ πεν-
τακισχιλίους ἠνάγκασαν· οἱ δὲ κρατήσαντες καὶ μεθ'
ὅπλων κατιόντες, αὐτοὺς τοὺς αἰτιωτάτους τῶν κακῶν d
ἀνελόντες, οὕτω τὰ πρὸς τοὺς ἄλλους καλῶς καὶ νομί-
μως διῴκησαν ὥστε μηδὲν ἔλαττον ἔχειν τοὺς ἐκβα-
68 λόντας τῶν κατελθόντων. (κη'.) Ὃ δὲ πάντων κάλλι-
στον καὶ μέγιστον τεκμήριον τῆς ἐπιεικείας τοῦ δήμου·
δανεισαμένων γὰρ τῶν ἐν ἄστει μεινάντων ἑκατὸν
τάλαντα παρὰ Λακεδαιμονίων εἰς τὴν πολιορκίαν τῶν
τὸν Πειραιᾶ κατασχόντων, ἐκκλησίας γενομένης περὶ
ἀποδόσεως τῶν χρημάτων, καὶ λεγόντων πολλῶν, ὡς
δίκαιόν ἐστι διαλύειν τὰ πρὸς Λακεδαιμονίους μὴ τοὺς e
πολιορκουμένους ἀλλὰ τοὺς δανεισαμένους, ἔδοξε τῷ
69 δήμῳ κοινὴν ποιήσασθαι τὴν ἀπόδοσιν. καὶ γάρ τοι

διὰ ταύτην τὴν γνώμην εἰς τοιαύτην ἡμᾶς ὁμόνοιαν
κατέστησαν καὶ τοσοῦτον ἐπιδοῦναι τὴν πόλιν ἐποίη-
σαν ὥστε Λακεδαιμονίους, τοὺς ἐπὶ τῆς ὀλιγαρχίας 154
ὀλίγου δεῖν καθ' ἑκάστην τὴν ἡμέραν προστάττοντας
ἡμῖν, ἐλθεῖν ἐπὶ τῆς δημοκρατίας ἱκετεύσοντας καὶ
δεησομένους μὴ περιιδεῖν αὐτοὺς ἀναστάτους γενο-
μένους. τὸ δ' οὖν κεφάλαιον τῆς ἑκατέρων διανοίας
τοιοῦτον ἦν· οἱ μὲν γὰρ ἠξίουν τῶν μὲν πολιτῶν ἄρ-
χειν, τοῖς δὲ πολεμίοις δουλεύειν, οἱ δὲ τῶν μὲν ἄλλων
70 ἄρχειν, τοῖς δὲ πολίταις ἴσον ἔχειν. (κθ'.) Ταῦτα δὲ b
διῆλθον δυοῖν ἕνεκα, πρῶτον μὲν ἐμαυτὸν ἐπιδεῖξαι
βουλόμενος οὐκ ὀλιγαρχιῶν οὐδὲ πλεονεξιῶν ἀλλὰ
δικαίας καὶ κοσμίας ἐπιθυμοῦντα πολιτείας, ἔπειτα
τὰς δημοκρατίας τάς τε κακῶς καθεστηκυίας ἐλαττό-
νων συμφορῶν αἰτίας γιγνομένας, τάς τε καλῶς πο-
λιτευομένας προεχούσας τῷ δικαιοτέρας εἶναι καὶ κοι-
νοτέρας καὶ τοῖς χρωμένοις ἡδίους.

71 (λ'.) Τάχ' οὖν ἄν τις θαυμάσειεν, τί βουλόμενος
ἀντὶ τῆς πολιτείας τῆς οὕτω πολλὰ καὶ καλὰ διαπε- c
πραγμένης ἑτέραν ὑμᾶς πείθω μεταλαβεῖν, καὶ τίνος
ἕνεκα νῦν μὲν οὕτω καλῶς ἐγκεκωμίακα τὴν δημοκρα-
τίαν, ὅταν δὲ τύχω, πάλιν μεταβαλὼν ἐπιτιμῶ καὶ
κατηγορῶ τῶν καθεστώτων.

72 (λα'.) Ἐγὼ δὲ καὶ τῶν ἰδιωτῶν τοὺς ὀλίγα μὲν
κατορθοῦντας, πολλὰ δ' ἐξαμαρτάνοντας μέμφομαι
καὶ νομίζω φαυλοτέρους εἶναι τοῦ δέοντος, καὶ πρός
γε τούτοις τοὺς γεγονότας ἐκ καλῶν κἀγαθῶν ἀνδρῶν, d
καὶ μικρῷ μὲν ὄντας ἐπιεικεστέρους τῶν ὑπερβαλλόν-
των ταῖς πονηρίαις, πολὺ δὲ χείρους τῶν πατέρων,
λοιδορῶ, καὶ συμβουλεύσαιμ' ἂν αὐτοῖς παύσασθαι
73 τοιούτοις οὖσιν. τὴν αὐτὴν οὖν γνώμην ἔχω καὶ περὶ
τῶν κοινῶν· ἡγοῦμαι γὰρ δεῖν ἡμᾶς οὐ μέγα φρονεῖν,

οὐδ' ἀγαπᾶν, εἰ κακοδαιμονησάντων καὶ μανέντων ἀνθρώπων νομιμώτεροι γεγόναμεν, ἀλλὰ πολὺ μᾶλλον ἀγανακτεῖν καὶ βαρέως φέρειν, εἰ χείρους τῶν προγό- e
νων τυγχάνοιμεν ὄντες· πρὸς γὰρ τὴν ἐκείνων ἀρετὴν ἀλλ' οὐ πρὸς τὴν τῶν τριάκοντα πονηρίαν ἁμιλλητέον ἡμῖν ἐστὶν, ἄλλως τε καὶ προσῆκον ἡμῖν βελτίστοις
74 ἁπάντων ἀνθρώπων εἶναι. (λβʹ.) Καὶ τοῦτον εἴρηκα 155
τὸν λόγον οὐ νῦν πρῶτον ἀλλὰ πολλάκις ἤδη καὶ πρὸς πολλούς. ἐπίσταμαι γὰρ ἐν μὲν τοῖς ἄλλοις τόποις φύσεις ἐγγιγνομένας καρπῶν καὶ δένδρων καὶ ζώων ἰδίας ἐν ἑκάστοις καὶ πολὺ τῶν ἄλλων διαφερούσας, τὴν δ' ἡμετέραν χώραν ἄνδρας φέρειν καὶ τρέφειν δυναμένην οὐ μόνον πρὸς τὰς τέχνας καὶ τὰς πράξεις καὶ τοὺς λόγους εὐφυεστάτους ἀλλὰ καὶ πρὸς ἀνδρίαν καὶ
75 πρὸς ἀρετὴν πολὺ διαφέροντας. τεκμαίρεσθαι δὲ δί- b
καιόν ἐστι τοῖς τε παλαιοῖς ἀγῶσιν, οὓς ἐποιήσαντο πρὸς Ἀμαζόνας καὶ Θρᾷκας καὶ Πελοποννησίους ἅπαντας, καὶ τοῖς κινδύνοις τοῖς περὶ τὰ Περσικὰ γενομένοις, ἐν οἷς καὶ μόνοι καὶ μετὰ Πελοποννησίων, καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες, νικήσαντες τοὺς βαρβάρους ἀριστείων ἠξιώθησαν· ὧν οὐδὲν ἂν ἔπρα-
76 ξαν, εἰ μὴ πολὺ τὴν φύσιν διήνεγκαν. (λγʹ.) Καὶ μηδεὶς οἰέσθω ταύτην τὴν εὐλογίαν ἡμῖν προσήκειν τοῖς νῦν πολιτευομένοις, ἀλλὰ πολὺ τοὐναντίον. εἰσὶ γὰρ c
οἱ τοιοῦτοι τῶν λόγων ἔπαινος μὲν τῶν ἀξίους σφᾶς αὐτοὺς τῆς τῶν προγόνων ἀρετῆς παρεχόντων, κατηγορία δὲ τῶν τὰς εὐγενείας ταῖς αὑτῶν ῥᾳθυμίαις καὶ κακίαις καταισχυνόντων. ὅπερ ἡμεῖς ποιοῦμεν· εἰρήσεται γὰρ τἀληθές. τοιαύτης γὰρ ἡμῖν τῆς φύσεως ὑπαρχούσης οὐ διεφυλάξαμεν αὐτὴν ἀλλ' ἐμπεπτώκαμεν εἰς ἄνοιαν καὶ ταραχὴν καὶ πονηρῶν πραγμάτων
77 ἐπιθυμίαν. ἀλλὰ γὰρ ἣν ἐπακολουθῶ τοῖς ἐνοῦσιν d

ἐπιτιμῆσαι καὶ κατηγορῆσαι τῶν ἐνεστώτων πραγμά-
των, δέδοικα, μὴ πόρρω λίαν τῆς ὑποθέσεως ἀπο-
πλανηθῶ. (λδ'.) Περὶ μὲν οὖν τούτων καὶ πρότερον
εἰρήκαμεν καὶ πάλιν ἐροῦμεν, ἢν μὴ πείσωμεν ὑμᾶς
παύσασθαι τοιαῦτ' ἐξαμαρτάνοντας· περὶ δ' ὧν ἐξ
ἀρχῆς τὸν λόγον κατεστησάμην, βραχέα διαλεχθεὶς
παραχωρῶ τοῖς βουλομένοις ἔτι συμβουλεύειν περὶ e
τούτων.

78 (λε'.) Ἡμεῖς γὰρ ἢν μὲν οὕτως οἰκῶμεν τὴν πό-
λιν ὥσπερ νῦν, οὐκ ἔστιν ὅπως οὐ καὶ βουλευσόμεθα
καὶ πολεμήσομεν καὶ βιωσόμεθα καὶ σχεδὸν ἅπαντα
καὶ πεισόμεθα καὶ πράξομεν, ἅπερ ἔν τε τῷ παρόντι 156
καιρῷ καὶ τοῖς παρελθοῦσι χρόνοις· ἢν δὲ μεταβάλω-
μεν τὴν πολιτείαν, δῆλον, ὅτι κατὰ τὸν αὐτὸν λόγον,
οἷά περ ἦν τοῖς προγόνοις τὰ πράγματα, τοιαῦτ' ἔσται
καὶ περὶ ἡμᾶς· ἀνάγκη γὰρ ἐκ τῶν αὐτῶν πολιτευ-
μάτων καὶ τὰς πράξεις ὁμοίας ἀεὶ καὶ παραπλησίας
79 ἀποβαίνειν. (λϛ'.) Δεῖ δὲ τὰς μεγίστας αὐτῶν παρ'
ἀλλήλας θέντας βουλεύσασθαι, ποτέρας ἡμῖν αἱρετέον
ἐστίν. καὶ πρῶτον μὲν σκεψώμεθα τοὺς Ἕλληνας καὶ
τοὺς βαρβάρους, πῶς πρὸς ἐκείνην τὴν πολιτείαν διέ- b
κειντο καὶ πῶς νῦν ἔχουσι πρὸς ἡμᾶς. οὐ γὰρ ἐλάχι-
στον μέρος τὰ γένη ταῦτα συμβάλλεται πρὸς εὐδαιμο-
80 νίαν, ὅταν ἔχῃ κατὰ τρόπον ἡμῖν. (λζ'.) Οἱ μὲν τοί-
νυν Ἕλληνες οὕτως ἐπίστευον τοῖς κατ' ἐκεῖνον τὸν
χρόνον πολιτευομένοις ὥστε τοὺς πλείστους αὐτῶν
ἑκόντας ἐγχειρίσαι τῇ πόλει σφᾶς αὐτούς· οἱ δὲ βάρ-
βαροι τοσοῦτον ἀπεῖχον τοῦ πολυπραγμονεῖν περὶ τῶν
Ἑλληνικῶν πραγμάτων, ὥστ' οὔτε μακροῖς πλοίοις ἐπὶ c
τάδε Φασήλιδος ἔπλεον οὔτε στρατοπέδοις ἐντὸς Ἅλυος
81 ποταμοῦ κατέβαινον ἀλλὰ πολλὴν ἡσυχίαν ἦγον. νῦν
δ' εἰς τοῦτο τὰ πράγματα περιέστηκεν, ὥσθ' οἱ μὲν

μισοῦσι τὴν πόλιν, οἱ δὲ καταφρονοῦσιν ἡμῶν. καὶ
περὶ μὲν τοῦ μίσους τῶν Ἑλλήνων αὐτῶν ἀκηκόατε
τῶν στρατηγῶν· ὡς δὲ βασιλεὺς ἔχει πρὸς ἡμᾶς, ἐκ
τῶν ἐπιστολῶν ὧν ἔπεμψεν, ἐδήλωσεν.

82 (λη΄.) Ἔτι δὲ πρὸς τούτοις ὑπὸ μὲν ἐκείνης τῆς d
εὐταξίας οὕτως ἐπαιδεύθησαν οἱ πολῖται πρὸς ἀρε-
τήν, ὥστε σφᾶς μὲν αὐτοὺς μὴ λυπεῖν, τοὺς δ' εἰς τὴν
χώραν εἰσβάλλοντας ἅπαντας μαχόμενοι νικᾶν. ἡμεῖς
δὲ τοὐναντίον· ἀλλήλοις μὲν γὰρ κακὰ παρέχοντες
οὐδεμίαν ἡμέραν διαλείπομεν, τῶν δὲ περὶ τὸν πόλε-
μον οὕτω κατημελήκαμεν, ὥστ' οὐδ' εἰς ἐξετάσεις ἰέ-
83 ναι τολμῶμεν, ἢν μὴ λαμβάνωμεν ἀργύριον. τὸ δὲ
μέγιστον· τότε μὲν οὐδεὶς ἦν τῶν πολιτῶν ἐνδεὴς τῶν e
ἀναγκαίων, οὐδὲ προσαιτῶν τοὺς ἐντυγχάνοντας τὴν
πόλιν κατῄσχυνε, νῦν δὲ πλείους εἰσὶν οἱ σπανίζοντες
τῶν ἐχόντων· οἷς ἄξιόν ἐστι πολλὴν συγγνώμην ἔχειν,
εἰ μηδὲν τῶν κοινῶν φροντίζουσιν ἀλλὰ τοῦτο σκο-
ποῦσιν, ὁπόθεν τὴν ἀεὶ παροῦσαν ἡμέραν διάξουσιν. 157

84 (λθ΄.) Ἐγὼ μὲν οὖν ἡγούμενος, ἢν μιμησώμεθα
τοὺς προγόνους, καὶ τῶν κακῶν ἡμᾶς τούτων ἀπαλ-
λαγήσεσθαι καὶ σωτῆρας οὐ μόνον τῆς πόλεως ἀλλὰ
καὶ τῶν Ἑλλήνων ἁπάντων γενήσεσθαι, τήν τε πρόσ-
οδον ἐποιησάμην καὶ τοὺς λόγους εἴρηκα τούτους·
ὑμεῖς δὲ πάντα λογισάμενοι ταῦτα χειροτονεῖθ' ὅ τι
ἂν ὑμῖν δοκῇ μάλιστα συμφέρειν τῇ πόλει.

8.

ΠΕΡΙ ΕΙΡΗΝΗΣ.

(α΄.) Ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε 15
ταῦτα μέγιστα φάσκειν εἶναι καὶ μάλιστα σπουδῆς ἄξια τῇ πόλει, περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύσειν· οὐ μὴν ἀλλ' εἰ καὶ περὶ ἄλλων τινῶν πραγμάτων ἥρμοσε τοιαῦτα προειπεῖν, δοκεῖ μοι πρέπειν καὶ περὶ τῶν νῦν παρόντων ἐντεῦθεν ποιήσασθαι τὴν ἀρχήν.
2 ἥκομεν γὰρ ἐκκλησιάσοντες περὶ πολέμου καὶ εἰρήνης, b
ἃ μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων, καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευομένους ἄμεινον τῶν ἄλλων πράττειν. τὸ μὲν οὖν μέγεθος ὑπὲρ ὧν συνεληλύθαμεν, τηλικοῦτόν ἐστιν.
3 (β΄.) Ὁρῶ δ' ὑμᾶς οὐκ ἐξ ἴσου τῶν λεγόντων τὴν ἀκρόασιν ποιουμένους, ἀλλὰ τοῖς μὲν προσέχοντας τὸν νοῦν, τῶν δ' οὐδὲ τὴν φωνὴν ἀνεχομένους. καὶ θαυμαστὸν οὐδὲν ποιεῖτε· καὶ γὰρ τὸν ἄλλον χρόνον εἰώ- c
θατε πάντας τοὺς ἄλλους ἐκβάλλειν πλὴν τοὺς συν-
4 αγορεύοντας ταῖς ὑμετέραις ἐπιθυμίαις. ὃ καὶ δικαίως ἄν τις ὑμῖν ἐπιτιμήσειεν, ὅτι συνειδότες πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους γεγενημένους καὶ μισοῦντες ἐπὶ τῶν ἰδίων τοὺς ταύτην ἔχοντας τὴν τέχνην, ἐπὶ τῶν κοινῶν οὐχ ὁμοίως διάκεισθε πρὸς αὐτούς, ἀλλὰ κατηγοροῦντες τῶν προσιεμένων καὶ χαιρόντων τοῖς τοιούτοις αὐτοὶ φαίνεσθε d
μᾶλλον τούτοις πιστεύοντες ἢ τοῖς ἄλλοις πολίταις.
5 καὶ γάρ τοι πεποιήκατε τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν, ἀλλ' ὅπως ἀρέσκοντας ὑμῖν λόγους ἐροῦσιν. ἐφ' οὓς καὶ νῦν τὸ πλῆθος αὐτῶν ἐρρύηκεν. πᾶσι γὰρ ἦν φανε-

ρὸν, ὅτι μᾶλλον ἡσθήσεσθε τοῖς παρακαλοῦσιν ὑμᾶς
ἐπὶ τὸν πόλεμον ἢ τοῖς περὶ τῆς εἰρήνης συμβουλεύ-
6 ουσιν. οἱ μὲν γὰρ προσδοκίαν ἐμποιοῦσιν, ὡς καὶ τὰς e
κτήσεις τὰς ἐν ταῖς πόλεσι κομιούμεθα καὶ τὴν δύνα-
μιν ἀναληψόμεθα πάλιν, ἣν πρότερον ἐτυγχάνομεν
ἔχοντες· οἱ δ' οὐδὲν τοιοῦτον ὑποτείνουσιν, ἀλλ' ὡς
ἡσυχίαν ἔχειν δεῖ καὶ μὴ μεγάλων ἐπιθυμεῖν παρὰ τὸ
7 δίκαιον ἀλλὰ στέργειν τοῖς παροῦσιν, ὃ χαλεπώτατον 160
πάντων τοῖς πλείστοις τῶν ἀνθρώπων ἐστίν. οὕτω
γὰρ ἐξηρτήμεθα τῶν ἐλπίδων καὶ πρὸς τας δοκούσας
εἶναι πλεονεξίας ἀπλήστως ἔχομεν, ὥστ' οὐδ' οἱ κεκτη-
μένοι τοὺς μεγίστους πλούτους μένειν ἐπὶ τούτοις
ἐθέλουσιν ἀλλ' ἀεὶ τοῦ πλείονος ὀρεγόμενοι περὶ τῶν
ὑπαρχόντων κινδυνεύουσιν. ὅπερ ἄξιόν ἐστι δεδιέναι,
μὴ καὶ νῦν ἡμεῖς ἔνοχοι γενώμεθα ταύταις ταῖς ἀνοί-
8 αις· λίαν γάρ τινές μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν b
πόλεμον, ὥσπερ οὐ τῶν τυχόντων συμβεβουλευκότων
ἀλλὰ τῶν θεῶν ἀκηκοότες, ὅτι κατορθώσομεν ἅπαντα
καὶ ῥᾳδίως ἐπικρατήσομεν τῶν ἐχθρῶν. (γ'.) Χρὴ δὲ
τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι, μὴ βουλεύεσθαι,
περίεργον γὰρ, ἀλλὰ πράττειν, ὡς ἐγνώκασι, περὶ ὧν
δ' ἂν βουλεύωνται, μὴ νομίζειν εἰδέναι τὸ συμβησό-
μενον, ἀλλ' ὡς δόξῃ μὲν χρωμένους, ὅ τι ἂν τύχῃ δὲ c
9 γενησόμενον, οὕτω διανοεῖσθαι περὶ αὐτῶν. ὧν ὑμεῖς
οὐδέτερον τυγχάνετε ποιοῦντες ἀλλ' ὡς οἷόν τε ταρα-
χωδέστατα διάκεισθε. συνεληλύθατε μὲν γὰρ, ὡς δέον
ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξασθαι τὸ βέλ-
τιστον, ὥσπερ δ' ἤδη σαφῶς εἰδότες, ὃ πρακτέον ἐστὶν,
οὐκ ἐθέλετ' ἀκούειν πλὴν τῶν πρὸς ἡδονὴν δημηγο-
10 ρούντων. καίτοι προσῆκεν ὑμᾶς, εἴπερ ἠβούλεσθε ζη-
τεῖν τὸ τῇ πόλει συμφέρον, μᾶλλον τοῖς ἐναντιουμέ- d
νοις ταῖς ὑμετέραις γνώμαις προσέχειν τὸν νοῦν ἢ τοῖς

καταχαριζομένοις, εἰδότας, ὅτι τῶν ἐνθάδε παριόντων
οἱ μὲν ἃ βούλεσθε λέγοντες ῥᾳδίως ἐξαπατᾶν δύναν-
ται, τὸ γὰρ πρὸς χάριν ῥηθὲν ἐπισκοτεῖ τῷ καθορᾶν
ὑμᾶς τὸ βέλτιστον, ὑπὸ δὲ τῶν μὴ πρὸς ἡδονὴν συμ-
11 βουλευόντων οὐδὲν ἂν πάθοιτε τοιοῦτον· οὐ γάρ ἐστιν
ὅπως ἂν μεταπεῖσαι δυνηθεῖεν ὑμᾶς, μὴ φανερὸν τὸ e
συμφέρον ποιήσαντες. χωρὶς δὲ τούτων πῶς ἂν ἄν-
θρωποι καλῶς δυνηθεῖεν ἢ κρῖναι περὶ τῶν γεγενη-
μένων ἢ βουλεύσασθαι περὶ τῶν μελλόντων, εἰ μὴ
τοὺς μὲν λόγους τοὺς τῶν ἐναντιουμένων παρ' ἀλλή-
λους ἐξετάζοιεν, αὐτοὶ δ' αὐτοὺς κοινοὺς ἀμφοτέροις 1
12 ἀκροατὰς παράσχοιεν; (δ'.) Θαυμάζω δὲ τῶν τε πρε-
σβυτέρων, εἰ μηκέτι μνημονεύουσι, καὶ τῶν νεωτέ-
ρων, εἰ μηδενὸς ἀκηκόασιν, ὅτι διὰ μὲν τοὺς παραι-
νοῦντας ἀντέχεσθαι τῆς εἰρήνης οὐδὲν πώποτε κακὸν
ἐπάθομεν, διὰ δὲ τοὺς ῥᾳδίως τὸν πόλεμον αἱρουμέ-
νους πολλαῖς ἤδη καὶ μεγάλαις συμφοραῖς περιεπέσο-
μεν. ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα μνείαν ἀλλ' ἑτοί-
μως ἔχομεν, μηδὲν εἰς τοὔμπροσθεν ἡμῖν αὐτοῖς πράτ- b
τοντες, τριήρεις πληροῦν καὶ χρημάτων εἰσφορὰς ποι-
εῖσθαι καὶ βοηθεῖν καὶ πολεμεῖν οἷς ἂν τύχωμεν, ὥσ-
13 περ ἐν ἀλλοτρίᾳ τῇ πόλει κινδυνεύοντες. τούτων δ'
αἴτιόν ἐστιν, ὅτι, προσῆκον ὑμᾶς ὁμοίως ὑπὲρ τῶν
κοινῶν ὥσπερ ὑπὲρ τῶν ἰδίων σπουδάζειν, οὐ τὴν αὐ-
τὴν γνώμην ἔχετε περὶ αὐτῶν, ἀλλ' ὅταν μὲν ὑπὲρ
τῶν ἰδίων βουλεύησθε, ζητεῖτε συμβούλους τοὺς ἄμει-
νον φρονοῦντας ὑμῶν αὐτῶν, ὅταν δ' ὑπὲρ τῆς πό- c
λεως ἐκκλησιάζητε, τοῖς μὲν τοιούτοις ἀπιστεῖτε καὶ
φθονεῖτε, τοὺς δὲ πονηροτάτους τῶν ἐπὶ τὸ βῆμα παρ-
ιόντων ἀσκεῖτε καὶ νομίζετε δημοτικωτέρους εἶναι τοὺς
μεθύοντας τῶν νηφόντων καὶ τοὺς νοῦν οὐκ ἔχοντας
τῶν εὖ φρονούντων καὶ τοὺς τὰ τῆς πόλεως διανεμο-

μένους τῶν ἐκ τῆς ἰδίας οὐσίας ὑμῖν λειτουργούντων.
ὥστ' ἄξιον θαυμάζειν, εἴ τις ἐλπίζει τὴν πόλιν τοιού-
τοις συμβούλοις χρωμένην ἐπὶ τὸ βέλτιον ἐπιδώσειν. d
14 (ε'.) Ἐγὼ δ' οἶδα μέν, ὅτι πρόσαντές ἐστιν ἐναν-
τιοῦσθαι ταῖς ὑμετέραις διανοίαις, καὶ ὅτι δημοκρα-
τίας οὔσης οὐκ ἔστι παρρησία, πλὴν ἐνθάδε μὲν τοῖς
ἀφρονεστάτοις καὶ μηδὲν ὑμῶν φροντίζουσιν, ἐν δὲ τῷ
θεάτρῳ τοῖς κωμῳδοδιδασκάλοις· ὃ καὶ πάντων ἐστὶ
δεινότατον, ὅτι τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους
Ἕλληνας τὰ τῆς πόλεως ἁμαρτήματα τοσαύτην ἔχετε
χάριν, ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι, πρὸς δὲ τοὺς ἐπι- e
πλήττοντας καὶ νουθετοῦντας ὑμᾶς οὕτω διατίθεσθε
δυσκόλως ὥσπερ πρὸς τοὺς κακόν τι τὴν πόλιν ἐργα-
15 ζομένους. ὅμως δὲ καὶ τούτων ὑπαρχόντων οὐκ ἂν
ἀποσταίην ὧν διενοήθην. παρελήλυθα γὰρ οὐ χαριού-
μενος ὑμῖν οὐδὲ χειροτονίαν μνηστεύσων ἀλλ' ἀπο- 162
φανούμενος, ἃ τυγχάνω γιγνώσκων πρῶτον μὲν περὶ
ὧν οἱ πρυτάνεις προτιθέασιν, ἔπειτα περὶ τῶν ἄλλων
τῶν τῆς πόλεως πραγμάτων· οὐδὲν γὰρ ὄφελος ἔσται
τῶν νῦν περὶ τῆς εἰρήνης γνωσθέντων, ἢν μὴ καὶ περὶ
16 τῶν λοιπῶν ὀρθῶς βουλευσώμεθα. (ς'.) Φημὶ δ' οὖν
χρῆναι ποιεῖσθαι τὴν εἰρήνην μὴ μόνον πρὸς Χίους
καὶ Ῥοδίους καὶ Βυζαντίους ἀλλὰ πρὸς ἅπαντας ἀν- b
θρώπους, καὶ χρῆσθαι ταῖς συνθήκαις μὴ ταύταις αἷς
νῦν τινὲς γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις μὲν πρὸς
βασιλέα καὶ Λακεδαιμονίους, προσταττούσαις δὲ τοὺς
Ἕλληνας αὐτονόμους εἶναι καὶ τὰς φρουρὰς ἐκ τῶν
ἀλλοτρίων πόλεων ἐξιέναι καὶ τὴν αὑτῶν ἔχειν ἑκά-
στους. τούτων γὰρ οὔτε δικαιοτέρας εὑρήσομεν οὔτε
μᾶλλον τῇ πόλει συμφερούσας.

(ζ'.) Ἢν μὲν οὖν ἐνταῦθα καταλίπω τὸν λόγον, c
οἶδ' ὅτι δόξω τὴν πόλιν ἐλαττοῦν, εἰ Θηβαῖοι μὲν ἕξουσι

Θεσπιὰς καὶ Πλαταιὰς καὶ τὰς ἄλλας πόλεις, ἃς παρὰ
τοὺς ὅρκους κατειλήφασιν, ἡμεῖς δ' ἕξιμεν μηδεμιᾶς
ἀνάγκης οὔσης ἐξ ὧν τυγχάνομεν ἔχοντες· ἢν δὲ διὰ
τέλους ἀκούσητέ μου προσέχοντες τὸν νοῦν, οἶμαι
πάντας ὑμᾶς καταγνώσεσθαι πολλὴν ἄνοιαν καὶ μα–
νίαν τῶν τὴν ἀδικίαν πλεονεξίαν εἶναι νομιζόντων καὶ
τῶν τὰς ἀλλοτρίας πόλεις βίᾳ κατεχόντων καὶ μὴ λο– d
γιζομένων τὰς συμφορὰς τὰς ἐκ τῶν τοιούτων ἔργων
18 γιγνομένας. ταῦτα μὲν οὖν διὰ παντὸς τοῦ λόγου πει–
ρασόμεθα διδάσκειν ὑμᾶς. (η'.) Περὶ δὲ τῆς εἰρήνης
πρῶτον διαλεχθῶμεν καὶ σκεψώμεθα, τί ἂν ἐν τῷ
παρόντι γενέσθαι βουληθεῖμεν ἡμῖν. ἢν γὰρ ταῦτα
καλῶς ὁρισώμεθα καὶ νοῦν ἐχόντως, πρὸς ταύτην τὴν
ὑπόθεσιν ἀποβλέποντες ἄμεινον βουλευσόμεθα καὶ e
περὶ τῶν ἄλλων.
19 (θ'.) Ἆρ' οὖν ἂν ἐξαρκέσειεν ἡμῖν, εἰ τήν τε πό–
λιν ἀσφαλῶς οἰκοῖμεν καὶ τὰ περὶ τὸν βίον εὐπορώτε–
ροι γιγνοίμεθα καὶ τά τε πρὸς ἡμᾶς αὐτοὺς ὁμονοοῖ–
μεν καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμοῖμεν; ἐγὼ μὲν
γὰρ ἡγοῦμαι τούτων ὑπαρξάντων τελέως τὴν πόλιν 1(
εὐδαιμονήσειν. ὁ μὲν τοίνυν πόλεμος ἁπάντων ἡμᾶς
τῶν εἰρημένων ἀπεστέρηκεν· καὶ γὰρ πενεστέρους
ἐποίησε καὶ πολλοὺς κινδύνους ὑπομένειν ἠνάγκασε
καὶ πρὸς τοὺς Ἕλληνας διαβέβληκε καὶ πάντας τρόπους
20 τεταλαιπώρηκεν ἡμᾶς. ἢν δὲ τὴν εἰρήνην ποιησώμεθα,
καὶ τοιούτους ἡμᾶς αὐτοὺς παράσχωμεν, οἵους αἱ κοι–
ναὶ συνθῆκαι προστάττουσι, μετὰ πολλῆς μὲν ἀσφα–
λείας τὴν πόλιν οἰκήσομεν, ἀπαλλαγέντες πολέμων καὶ b
κινδύνων καὶ ταραχῆς, εἰς ἣν νῦν πρὸς ἀλλήλους καθ–
έσταμεν, καθ' ἑκάστην δὲ τὴν ἡμέραν πρὸς εὐπορίαν
ἐπιδώσομεν, ἀναπεπαυμένοι μὲν τῶν εἰσφορῶν καὶ
τῶν τριηραρχιῶν καὶ τῶν ἄλλων τῶν περὶ τὸν πόλε–

μον λειτουργιῶν, ἀδεῶς δὲ γεωργοῦντες καὶ τὴν θά-
λατταν πλέοντες καὶ ταῖς ἄλλαις ἐργασίαις ἐπιχειροῦν-
21 τες, αἳ νῦν διὰ τὸν πόλεμον ἐκλελοίπασιν. ὀψόμεθα
δὲ τὴν πόλιν διπλασίας μὲν ἢ νῦν τὰς προσόδους λαμ- c
βάνουσαν, μεστὴν δὲ γιγνομένην ἐμπόρων καὶ ξένων
καὶ μετοίκων, ὧν νῦν ἐρήμη καθέστηκεν. τὸ δὲ μέγι-
στον, συμμάχους ἕξομεν ἅπαντας ἀνθρώπους, οὐ βε-
βιασμένους ἀλλὰ πεπεισμένους, οὐδ' ἐν ταῖς μὲν ἀσφα-
λείαις διὰ τὴν δύναμιν ἡμᾶς ὑποδεχομένους, ἐν δὲ τοῖς
κινδύνοις ἀποστησομένους, ἀλλ' οὕτω διακειμένους
ὥσπερ χρὴ τοὺς ὡς ἀληθῶς συμμάχους καὶ φίλους ὄν- d
22 τας. πρὸς δὲ τούτοις ἃ νῦν ἀπολαβεῖν οὐ δυνάμεθα
διὰ πολέμου καὶ πολλῆς δαπάνης, ταῦτα διὰ πρεσβείας
ῥᾳδίως κομιούμεθα. μὴ γὰρ οἴεσθε μήτε Κερσοβλέ-
πτην ὑπὲρ Χερρονήσου μήτε Φίλιππον ὑπὲρ Ἀμφιπό-
λεως πολεμήσειν, ὅταν ἴδωσιν ἡμᾶς μηδενὸς τῶν ἀλ-
λοτρίων ἐφιεμένους. νῦν μὲν γὰρ εἰκότως φοβοῦνται
γείτονα ποιήσασθαι τὴν πόλιν ταῖς αὑτῶν δυναστείαις·
23 ὁρῶσι γὰρ ἡμᾶς οὐ στέργοντας ἐφ' οἷς ἂν ἔχωμεν, ἀλλ' e
ἀεὶ τοῦ πλείονος ὀρεγομένους· ἢν δὲ μεταβαλώμεθα
τὸν τρόπον καὶ δόξαν βελτίω λάβωμεν, οὐ μόνον ἀπο-
στήσονται τῆς ἡμετέρας ἀλλὰ καὶ τῆς αὑτῶν προσδώ-
σουσι· λυσιτελήσει γὰρ αὐτοῖς θεραπεύουσι τὴν δύ-
ναμιν τὴν τῆς πόλεως ἀσφαλῶς ἔχειν τὰς αὑτῶν βα-
24 σιλείας. καὶ μὲν δὴ καὶ τῆς Θρᾴκης ἡμῖν ἐξέσται το-
σαύτην ἀποτεμέσθαι χώραν ὥστε μὴ μόνον αὐτοὺς 164
ἄφθονον ἔχειν ἀλλὰ καὶ τοῖς δεομένοις τῶν Ἑλλήνων
καὶ δι' ἀπορίαν πλανωμένοις ἱκανὸν δύνασθαι βίον
παρασχεῖν. ὅπου γὰρ Ἀθηνόδωρος καὶ Καλλίστρατος,
ὁ μὲν ἰδιώτης ὤν, ὁ δὲ φυγάς, οἰκίσαι πόλεις οἷοί τε
γεγόνασιν, ἦ που βουληθέντες ἡμεῖς πολλοὺς ἂν τό-
πους τοιούτους κατασχεῖν δυνηθεῖμεν. χρὴ δὲ τοὺς

πρωτεύειν ἐν τοῖς Ἕλλησιν ἀξιοῦντας τοιούτων ἔργων b
ἡγεμόνας γίγνεσθαι πολὺ μᾶλλον ἢ πολέμου καὶ στρα-
τοπέδων ξενικῶν, ὧν νῦν ἐπιθυμοῦντες ἡμεῖς τυγ-
χάνομεν.

25 (ι΄.) *Περὶ* μὲν οὖν ὧν οἱ πρέσβεις ἐπαγγέλλονται,
καὶ ταῦθ' ἱκανὰ καὶ πόλλ' ἂν ἴσως τις προσθείη τού-
τοις· ἡγοῦμαι δὲ δεῖν ἡμᾶς οὐ μόνον ψηφισαμένους
τὴν εἰρήνην ἐκ τῆς ἐκκλησίας ἀπελθεῖν ἀλλὰ καὶ βου-
λευσαμένους, ὅπως ἄξομεν αὐτὴν καὶ μὴ ποιήσομεν, c
ὅπερ εἰώθαμεν, ὀλίγον χρόνον διαλιπόντες πάλιν εἰς
τὰς αὐτὰς καταστησόμεθα ταραχάς, μηδ' ἀναβολὴν
ἀλλ' ἀπαλλαγὴν εὑρήσομέν τινα τῶν κακῶν τῶν παρ-
26 όντων. οὐδὲν δὲ τούτων οἷόν τ' ἐστὶ γενέσθαι πρότε-
ρον, πρὶν ἂν πεισθῆτε τὴν μὲν ἡσυχίαν ὠφελιμωτέ-
ραν καὶ κερδαλεωτέραν εἶναι τῆς πολυπραγμοσύνης,
τὴν δὲ δικαιοσύνην τῆς ἀδικίας, τὴν δὲ τῶν ἰδίων ἐπι-
μέλειαν τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας. περὶ ὧν οὐδεὶς
πώποτε τῶν ῥητόρων εἰπεῖν ἐν ὑμῖν ἐτόλμησεν· ἐγὼ d
δὲ περὶ αὐτῶν τούτων τοὺς πλείστους τῶν λόγων μέλ-
λω ποιεῖσθαι πρὸς ὑμᾶς· ὁρῶ γὰρ τὴν εὐδαιμονίαν
ἐν τούτοις ἐνοῦσαν, ἀλλ' οὐκ ἐν οἷς νῦν τυγχάνομεν
27 πράττοντες. ἀνάγκη δὲ τὸν ἔξω τῶν εἰθισμένων ἐπι-
χειροῦντα δημηγορεῖν καὶ τὰς ὑμετέρας γνώμας μετα-
στῆσαι βουλόμενον πολλῶν πραγμάτων ἅψασθαι καὶ
διὰ μακροτέρων τοὺς λόγους ποιήσασθαι, καὶ τὰ μὲν
ἀναμνῆσαι, τῶν δὲ κατηγορῆσαι, τὰ δ' ἐπαινέσαι, περὶ e
δὲ τῶν συμβουλεῦσαι· μόλις γὰρ ἄν τις ὑμᾶς ἐξ ἁπάν-
των τούτων ἐπὶ τὸ βέλτιον φρονῆσαι δυνηθείη προ-
αγαγεῖν.

28 (ια΄.) Ἔχει γὰρ οὕτως. ἐμοὶ δοκοῦσιν ἅπαντες μὲν
ἐπιθυμεῖν τοῦ συμφέροντος καὶ τοῦ πλέον ἔχειν τῶν
ἄλλων, οὐκ εἰδέναι δὲ τὰς πράξεις τὰς ἐπὶ ταῦτα φε- 165

ρούσας ἀλλὰ ταῖς δόξαις διαφέρειν ἀλλήλων· οἱ μὲν
γὰρ ἔχειν ἐπιεικεῖς καὶ στοχάζεσθαι τοῦ δέοντος δυ-
ναμένας, οἱ δ' ὡς οἷόν τε πλεῖστον τοῦ συμφέροντος
29 διαμαρτανούσας. ὅπερ καὶ τῇ πόλει συμβέβηκεν. ἡμεῖς
γὰρ οἰόμεθα μὲν, ἢν τὴν θάλατταν πλέωμεν πολλαῖς
τριήρεσι καὶ βιαζώμεθα τὰς πόλεις συντάξεις διδόναι
καὶ συνέδρους ἐνθάδε πέμπειν, διαπράξεσθαί τι τῶν
δεόντων· πλεῖστον δὲ διεψεύσμεθα τῆς ἀληθείας. ὧν b
μὲν γὰρ ἠλπίζομεν, οὐδὲν ἀποβέβηκεν, ἔχθραι δ' ἡμῖν
ἐξ αὐτῶν καὶ πόλεμοι καὶ δαπάναι μεγάλαι γεγόνασιν,
30 εἰκότως· καὶ γὰρ τὸ πρότερον ἐκ μὲν τῆς τοιαύτης πο-
λυπραγμοσύνης εἰς τοὺς ἐσχάτους κινδύνους κατέστη-
μεν, ἐκ δὲ τοῦ δικαίαν τὴν πόλιν παρέχειν καὶ βοη-
θεῖν τοῖς ἀδικουμένοις καὶ μὴ τῶν ἀλλοτρίων ἐπιθυ-
μεῖν παρ' ἑκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἐλά-
βομεν· ὧν νῦν ἀλογίστως καὶ λίαν εἰκῇ πολὺν ἤδη c
31 χρόνον καταφρονοῦμεν. (ιβ'.) *Εἰς τοῦτο γάρ τινες*
ἀνοίας ἐληλύθασιν, ὥσθ' ὑπειλήφασι τὴν μὲν ἀδικίαν
ἐπονείδιστον μὲν εἶναι, κερδαλέαν δὲ καὶ πρὸς τὸν βίον
τὸν καθ' ἡμέραν συμφέρουσαν, τὴν δὲ δικαιοσύνην
εὐδόκιμον μὲν, ἀλυσιτελῆ δὲ καὶ μᾶλλον δυναμένην
32 τοὺς ἄλλους ὠφελεῖν ἢ τοὺς ἔχοντας αὐτὴν, κακῶς εἰ-
δότες, ὡς οὔτε πρὸς χρηματισμὸν οὔτε πρὸς δόξαν
οὔτε πρὸς ἃ δεῖ πράττειν οὐθ' ὅλως πρὸς εὐδαιμονίαν d
οὐδὲν ἂν συμβάλοιτο τηλικαύτην δύναμιν, ὅσην περ
ἀρετὴ καὶ τὰ μέρη ταύτης. τοῖς γὰρ ἀγαθοῖς οἷς ἔχομεν
ἐν τῇ ψυχῇ, τούτοις κτώμεθα καὶ τὰς ἄλλας ὠφελείας,
ὧν δεόμενοι τυγχάνομεν· ὥσθ' οἱ τῆς αὑτῶν διανοίας
ἀμελοῦντες λελήθασι σφᾶς αὐτοὺς ἅμα τοῦ τε φρονεῖν
33 ἄμεινον καὶ τοῦ πράττειν βέλτιον ὀλιγωροῦντες. θαυ-
μάζω δ' εἴ τις οἴεται τοὺς τὴν εὐσέβειαν καὶ τὴν δι- e
καιοσύνην ἀσκοῦντας καρτερεῖν καὶ μένειν ἐν τούτοις,

*ἐλπίζοντας ἔλαττον ἕξειν τῶν πονηρῶν, ἀλλ' οὐχ
ἡγουμένους καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις
πλέον οἴσεσθαι τῶν ἄλλων. ἐγὼ μὲν γὰρ πέπεισμαι
τούτους μόνους ὧν δεῖ πλεονεκτεῖν, τοὺς δ' ἄλλους
34 ὧν οὐ βέλτιόν ἐστιν. ὁρῶ γὰρ τοὺς μὲν τὴν ἀδι-
κίαν προτιμῶντας καὶ τὸ λαβεῖν τι τῶν ἀλλοτρίων
μέγιστον ἀγαθὸν νομίζοντας ὅμοια πάσχοντας τοῖς
δελεαζομένοις τῶν ζώων, καὶ κατ' ἀρχὰς μὲν ἀπο-
λαύοντας ὧν ἂν λάβωσιν, ὀλίγῳ δ' ὕστερον ἐν τοῖς
μεγίστοις κακοῖς ὄντας, τοὺς δὲ μετ' εὐσεβείας καὶ
δικαιοσύνης ζῶντας ἔν τε τοῖς παροῦσι χρόνοις ἀσφα- b
λῶς διάγοντας καὶ περὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους
35 τὰς ἐλπίδας ἔχοντας. καὶ ταῦτ' εἰ μὴ κατὰ πάντων οὕ-
τως εἴθισται συμβαίνειν, ἀλλὰ τό γ' ὡς ἐπὶ τὸ πολὺ
τοῦτον γίγνεται τὸν τρόπον. χρὴ δὲ τοὺς εὖ φρονοῦν-
τας, ἐπειδὴ τὸ μέλλον ἀεὶ συνοίσειν οὐ καθορῶμεν,
τὸ πολλάκις ὠφελοῦν, τοῦτο φαίνεσθαι προαιρουμέ-
νους. πάντων δ' ἀλογώτατον πεπόνθασιν, ὅσοι κάλ-
λιον μὲν ἐπιτήδευμα νομίζουσιν εἶναι καὶ θεοφιλέστε-
ρον τὴν δικαιοσύνην τῆς ἀδικίας, χεῖρον δ' οἴονται c
βιώσεσθαι τοὺς ταύτῃ χρωμένους τῶν τὴν πονηρίαν
προῃρημένων.*

36 *(ιγ'.) Ἠβουλόμην δ' ἄν, ὥσπερ προσῆκόν ἐστιν
ἐπαινεῖσθαι τὴν ἀρετήν, οὕτω πρόχειρον εἶναι πεῖσαι
τοὺς ἀκούοντας ἀσκεῖν αὐτήν· νῦν δὲ δέδοικα, μὴ
μάτην τὰ τοιαῦτα λέγωμεν. διεφθάρμεθα γὰρ πολὺν
ἤδη χρόνον ὑπ' ἀνθρώπων οὐδὲν ἀλλ' ἢ φενακίζειν
δυναμένων, οἳ τοσοῦτον τοῦ πλήθους καταπεφρονή- d
κασιν, ὥσθ' ὁπόταν βουληθῶσι πόλεμον πρός τινας
ἐξενεγκεῖν, αὐτοὶ χρήματα λαμβάνοντες λέγειν τολ-
μῶσιν, ὡς χρὴ τοὺς προγόνους μιμεῖσθαι, καὶ μὴ πε-
ριορᾶν ἡμᾶς αὐτοὺς καταγελωμένους, μηδὲ τὴν θά-*

λατταν πλέοντας τοὺς μὴ τὰς συντάξεις ἐθέλοντας ἡμῖν
37 ὑποτελεῖν. (ιδ΄.) Ἡδέως ἂν οὖν αὐτῶν πυθοίμην, τί-
σιν ἡμᾶς τῶν προγεγενημένων κελεύουσιν ὁμοίους
γίγνεσθαι, πότερα τοῖς περὶ τὰ Περσικὰ γενομένοις
ἢ τοῖς πρὸ τοῦ πολέμου τοῦ Δεκελεικοῦ τὴν πόλιν e
διοικήσασιν; εἰ μὲν γὰρ τούτοις, οὐδὲν ἀλλ' ἢ συμ-
βουλεύουσιν ἡμῖν πάλιν περὶ ἀνδραποδισμοῦ κινδυ-
38 νεύειν· εἰ δὲ τοῖς Μαραθῶνι τοὺς βαρβάρους νική-
σασι καὶ τοῖς πρὸ τούτων γενομένοις, πῶς οὐ πάντων 167
ἀναισχυντότατοι τυγχάνουσιν ὄντες, εἰ τοὺς τότε πο-
λιτευομένους ἐπαινοῦντες τἀναντία πράττειν ἐκείνοις
πείθουσιν ἡμᾶς, καὶ τοιαῦτ' ἐξαμαρτάνειν, περὶ ὧν
ἀπορῶ, τί ποιήσω, πότερα χρήσωμαι ταῖς ἀληθείαις
ὥσπερ περὶ τῶν ἄλλων, ἢ κατασιωπήσω, δείσας τὴν
πρὸς ὑμᾶς ἀπέχθειαν. (ιε΄.) Δοκεῖ μὲν γάρ μοι βέλ-
τιον εἶναι διαλεχθῆναι περὶ αὐτῶν, ὁρῶ δ' ὑμᾶς χα-
λεπώτερον διατιθεμένους πρὸς τοὺς ἐπιτιμῶντας ἢ b
39 πρὸς τοὺς αἰτίους τῶν κακῶν γεγενημένους. οὐ μὴν
ἀλλ' αἰσχυνθείην ἄν, εἰ φανείην μᾶλλον φροντίζων
τῆς ἐμαυτοῦ δόξης ἢ τῆς κοινῆς σωτηρίας. ἐμὸν μὲν
οὖν ἔργον ἐστὶ καὶ τῶν ἄλλων τῶν κηδομένων τῆς πό-
λεως προαιρεῖσθαι τῶν λόγων μὴ τοὺς ἡδίστους ἀλλὰ
τοὺς ὠφελιμωτάτους· ὑμᾶς δὲ χρὴ πρῶτον μὲν τοῦτο
γιγνώσκειν, ὅτι τῶν μὲν περὶ τὸ σῶμα νοσημάτων πολ-
λαὶ θεραπεῖαι καὶ παντοδαπαὶ τοῖς ἰατροῖς εὕρηνται, c
ταῖς δὲ ψυχαῖς ταῖς ἀγνοούσαις καὶ γεμούσαις πονηρῶν
ἐπιθυμιῶν οὐδέν ἐστιν ἄλλο φάρμακον πλὴν λόγος ὁ
40 τολμῶν τοῖς ἁμαρτανομένοις ἐπιπλήττειν, ἔπειθ' ὅτι
καταγέλαστόν ἐστι τὰς μὲν καύσεις καὶ τὰς τομὰς τῶν
ἰατρῶν ὑπομένειν, ἵνα πλειόνων ἀλγηδόνων ἀπαλλα-
γῶμεν, τοὺς δὲ λόγους ἀποδοκιμάζειν πρὶν εἰδέναι σα-

φῶς, εἰ τοιαύτην ἔχουσι τὴν δύναμιν ὥστ' ὠφελῆσαι
τοὺς ἀκούοντας. d

41 (ιϛ΄.) Τούτου δ' ἕνεκα ταῦτα προεῖπον, ὅτι περὶ
τῶν λοιπῶν οὐδὲν ὑποστειλάμενος ἀλλὰ παντάπασιν
ἀνειμένως μέλλω τοὺς λόγους ποιεῖσθαι πρὸς ὑμᾶς. τίς
γὰρ ἄλλοθεν ἐπελθὼν καὶ μήπω συνδιεφθαρμένος
ἡμῖν ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς γιγνομένοις οὐκ ἂν
μαίνεσθαι καὶ παραφρονεῖν ἡμᾶς νομίσειεν; οἳ φιλο-
τιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις καὶ τὴν
πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἀξιοῦμεν, e
οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν, ἀλλὰ πᾶν
42 τοὐναντίον. οἱ μὲν γὰρ ὑπὲρ τῶν Ἑλλήνων τοῖς βαρ-
βάροις πολεμοῦντες διετέλεσαν, ἡμεῖς δὲ τοὺς ἐκ τῆς
Ἀσίας τὸν βίον πορίζομένους ἐκεῖθεν ἀναστήσαντες
ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν· κἀκεῖνοι μὲν ἐλευθε- 16
ροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας καὶ βοηθοῦντες αὐ-
ταῖς τῆς ἡγεμονίας ἠξιώθησαν, ἡμεῖς δὲ καταδουλού-
μενοι καὶ τἀναντία τοῖς τότε πράττοντες ἀγανακτοῦ-
43 μεν, εἰ μὴ τὴν αὐτὴν τιμὴν ἐκείνοις ἕξομεν, οἳ τοσοῦ-
τον ἀπολελείμμεθα καὶ τοῖς ἔργοις καὶ ταῖς διανοίαις
τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἱ μὲν
ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας τήν τε πατρίδα τὴν αὐ- b
τῶν ἐκλιπεῖν ἐτόλμησαν, καὶ μαχόμενοι καὶ ναυμα-
χοῦντες τοὺς βαρβάρους ἐνίκησαν, ἡμεῖς δ' οὐδ' ὑπὲρ
τῆς ἡμετέρας αὐτῶν πλεονεξίας κινδυνεύειν ἀξιοῦμεν,
44 ἀλλ' ἄρχειν μὲν ἁπάντων ζητοῦμεν, στρατεύεσθαι δ'
οὐκ ἐθέλομεν, καὶ πόλεμον μὲν μικροῦ δεῖν πρὸς
ἅπαντας ἀνθρώπους ἀναιρούμεθα, πρὸς δὲ τοῦτον
οὐχ ἡμᾶς αὐτοὺς ἀσκοῦμεν, ἀλλ' ἀνθρώπους τοὺς μὲν
ἀπόλιδας, τοὺς δ' αὐτομόλους, τοὺς δ' ἐκ τῶν ἄλλων c
κακουργιῶν συνερρυηκότας, οἷς ὁπόταν τις διδῷ πλείω

45 μισθὸν, μετ' ἐκείνων ἐφ' ἡμᾶς ἀκολουθήσουσιν. ἀλλ'
ὅμως οὕτως αὐτοὺς ἀγαπῶμεν, ὥσθ' ὑπὲρ μὲν τῶν
παίδων τῶν ἡμετέρων, εἰ περί τινας ἐξαμάρτοιεν, οὐκ
ἂν ἐθελήσαιμεν δίκας ὑποσχεῖν, ὑπὲρ δὲ τῆς ἐκείνων
ἁρπαγῆς καὶ βίας καὶ παρανομίας μελλόντων τῶν ἐγ-
κλημάτων ἐφ' ἡμᾶς ἥξειν οὐχ ὅπως ἀγανακτοῦμεν ἀλ-
λὰ καὶ χαίρομεν, ὅταν ἀκούσωμεν αὐτοὺς τοιοῦτόν τι d
46 διαπεπραγμένους. εἰς τοῦτο δὲ μωρίας ἐληλύθαμεν,
ὥστ' αὐτοὶ μὲν ἐνδεεῖς τῶν καθ' ἡμέραν ἐσμὲν, ξενο-
τροφεῖν δ' ἐπικεχειρήκαμεν, καὶ τοὺς συμμάχους τοὺς
ἡμετέρους αὐτῶν ἰδίους λυμαινόμεθα καὶ δασμολογοῦ-
μεν, ἵνα τοῖς ἁπάντων ἀνθρώπων κοινοῖς ἐχθροῖς τὸν
47 μισθὸν ἐκπορίζωμεν. τοσούτῳ δὲ χείρους ἐσμὲν τῶν
προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάντων ἀλλὰ καὶ
τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν εἰ πολεμεῖν πρός e
τινας ψηφίσαιντο, μεστῆς οὔσης ἀργυρίου καὶ χρυσίου
τῆς ἀκροπόλεως ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς αὑτῶν
σώμασιν ᾤοντο δεῖν κινδυνεύειν, ἡμεῖς δ' εἰς τοσαύ-
την ἀπορίαν ἐληλυθότες καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες
ὥσπερ βασιλεὺς ὁ μέγας μισθωτοῖς χρώμεθα τοῖς στρα-
48 τοπέδοις. καὶ τότε μὲν εἰ τριήρεις πληροῖεν, τοὺς μὲν 169
ξένους καὶ τοὺς δούλους ναύτας εἰσεβίβαζον, τοὺς δὲ
πολίτας μεθ' ὅπλων ἐξέπεμπον· νῦν δὲ τοῖς μὲν ξέ-
νοις ὁπλίταις χρώμεθα, τοὺς δὲ πολίτας ἐλαύνειν
ἀναγκάζομεν, ὥσθ' ὁπόταν ἀποβαίνωσιν εἰς τὴν τῶν
πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες ὑπη-
ρέσιον ἔχοντες ἐκβαίνουσιν, οἱ δὲ τοιοῦτοι τὰς φύσεις
ὄντες, οἵους ὀλίγῳ πρότερον διῆλθον, μεθ' ὅπλων b
κινδυνεύουσιν.

49 (ιζ.) Ἀλλὰ γὰρ τὰ κατὰ τὴν πόλιν ἄν τις ἰδὼν
καλῶς διοικούμενα περὶ τῶν ἄλλων θαρρήσειεν, ἀλλ'
οὐκ ἂν ἐπ' αὐτοῖς τούτοις μάλιστ' ἀγανακτήσειεν; οἵ-

τινες αὐτόχθονες μὲν εἶναί φαμεν καὶ τὴν πόλιν ταύ-
την προτέραν οἰκισθῆναι τῶν ἄλλων, προσῆκον δ'
ἡμᾶς ἅπασιν εἶναι παράδειγμα τοῦ καλῶς καὶ τεταγ-
μένως πολιτεύεσθαι, χεῖρον καὶ ταραχωδέστερον τὴν c
ἡμετέραν αὐτῶν διοικοῦμεν τῶν ἄρτι τὰς πόλεις οἰκι-
50 ζόντων, καὶ σεμνυνόμεθα μὲν καὶ μέγα φρονοῦμεν
ἐπὶ τῷ βέλτιον γεγονέναι τῶν ἄλλων, ῥᾷον δὲ μετα-
δίδομεν τοῖς βουλομένοις ταύτης τῆς εὐγενείας ἢ Τρι-
βαλλοὶ καὶ Λευκανοὶ τῆς αὑτῶν δυσγενείας· πλείστους
δὲ τιθέμενοι νόμους οὕτως ὀλίγον αὐτῶν φροντίζο-
μεν, ἓν γὰρ ἀκούσαντες γνώσεσθε καὶ περὶ τῶν ἄλ-
λων, ὥστε θανάτου τῆς ζημίας ἐπικειμένης, ἤν τις
ἁλῷ δεκάζων, τοὺς τοῦτο φανερώτατα ποιοῦντας στρα- d
τηγοὺς χειροτονοῦμεν, καὶ τὸν πλείστους διαφθεῖραι
τῶν πολιτῶν δυνηθέντα, τοῦτον ἐπὶ τὰ μέγιστα τῶν
51 πραγμάτων καθίσταμεν· σπουδάζοντες δὲ περὶ τὴν
πολιτείαν οὐχ ἧττον ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πό-
λεως, καὶ τὴν δημοκρατίαν εἰδότες ἐν μὲν ταῖς ἡσυ-
χίαις καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ διαμένου-
σαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν, πρὸς
μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας ὡς πρὸς ὀλιγαρ- e
χικοὺς ὄντας δυσκόλως ἔχομεν, τοὺς δὲ τὸν πόλεμον
ποιοῦντας ὡς τῆς δημοκρατίας κηδομένους εὔνους
52 εἶναι νομίζομεν· ἐμπειρότατοι δὲ λόγων καὶ πραγμά-
των ὄντες οὕτως ἀλογίστως ἔχομεν, ὥστε περὶ τῶν αὐ- 170
τῶν τῆς αὐτῆς ἡμέρας οὐ ταὐτὰ γιγνώσκομεν, ἀλλ'
ὧν μὲν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι κατηγοροῦ-
μεν, ταῦτα συνελθόντες χειροτονοῦμεν, οὐ πολὺν δὲ
χρόνον διαλιπόντες τοῖς ἐνθάδε ψηφισθεῖσιν, ἐπειδὰν
ἀπίωμεν, πάλιν ἐπιτιμῶμεν· προσποιούμενοι δὲ σο-
φώτατοι τῶν Ἑλλήνων εἶναι τοιούτοις χρώμεθα συμ-
βούλοις, ὧν οὐκ ἔστιν ὅστις οὐκ ἂν καταφρονήσειεν,

καὶ τοὺς αὐτοὺς τούτους κυρίους ἁπάντων τῶν κοι- b
νῶν καθίσταμεν, οἷς οὐδεὶς ἂν οὐδὲν τῶν ἰδίων ἐπι-
53 τρέψειεν. ὃ δὲ πάντων σχετλιώτατον· οὓς γὰρ ὁμολο-
γήσαιμεν ἂν πονηροτάτους εἶναι τῶν πολιτῶν, τού-
τους πιστοτάτους φύλακας ἡγούμεθα τῆς πολιτείας
εἶναι· καὶ τοὺς μὲν μετοίκους τοιούτους εἶναι νομί-
ζομεν, οἵους περ ἂν τοὺς προστάτας νέμωσιν, αὐτοὶ
δ' οὐκ οἰόμεθα τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς προ-
54 εστῶσιν ἡμῶν. τοσοῦτον δὲ διαφέρομεν τῶν προγό- c
νων, ὅσον ἐκεῖνοι μὲν τοὺς αὐτοὺς προστάτας τε τῆς
πόλεως ἐποιοῦντο καὶ στρατηγοὺς ᾑροῦντο, νομίζον-
τες τὸν ἐπὶ τοῦ βήματος τὰ βέλτιστα συμβουλεῦσαι
δυνάμενον, τὸν αὐτὸν τοῦτον ἄριστ' ἂν βουλεύσασθαι
καὶ καθ' αὑτὸν γενόμενον, ἡμεῖς δὲ τοὐναντίον τού-
55 των ποιοῦμεν· οἷς μὲν γὰρ περὶ τῶν μεγίστων συμ-
βούλοις χρώμεθα, τούτους μὲν οὐκ ἀξιοῦμεν στρατη-
γοὺς χειροτονεῖν ὡς νοῦν οὐκ ἔχοντας, οἷς δ' οὐδεὶς d
ἂν οὔτε περὶ τῶν ἰδίων οὔτε περὶ τῶν κοινῶν συμ-
βουλεύσαιτο, τούτους δ' αὐτοκράτορας ἐκπέμπομεν
ὡς ἐκεῖ σοφωτέρους ἐσομένους καὶ ῥᾷον βουλευσομέ-
νους περὶ τῶν Ἑλληνικῶν πραγμάτων ἢ περὶ τῶν ἐν-
56 θάδε προτιθεμένων. λέγω δὲ ταῦτ' οὐ κατὰ πάντων
ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς λεγομένοις ὄντων. ἐπιλί-
ποι δ' ἄν με τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ πάσας
τὰς πλημμελείας τὰς ἐν τοῖς πράγμασιν ἐγγεγενημένας e
ἐξετάζειν ἐπιχειροίην.

57 (ιη'.) Τάχ' οὖν ἄν τις τῶν σφόδρα τοῖς λεγομέ-
νοις ἐνόχων ὄντων ἀγανακτήσας ἐρωτήσειεν, „πῶς, εἴ-
περ οὕτω κακῶς βουλευόμεθα, σῳζόμεθα καὶ δύνα-
μιν οὐδεμιᾶς πόλεως ἐλάττω κεκτημένοι τυγχάνο-
μεν;“ ἐγὼ δὲ πρὸς ταῦτ' ἀποκριναίμην ἄν, ὅτι τοὺς 171
ἀντιπάλους ἔχομεν οὐδὲν βέλτιον ἡμῶν φρονοῦντας.

58 εἰ γὰρ μετὰ τὴν μάχην ἣν ἐνίκησαν Θηβαῖοι Λακεδαι-
μονίους, ἐκεῖνοι μὲν ἐλευθερώσαντες τὴν Πελοπόν-
νησον καὶ τοὺς ἄλλους αὐτονόμους ποιήσαντες ἡσυ-
χίαν εἶχον, ἡμεῖς δὲ τοιαῦτ᾽ ἐξημαρτάνομεν, οὔτ᾽ ἂν
οὗτος ἔσχε ταύτην ποιήσασθαι τὴν ἐρώτησιν, ἡμεῖς τ᾽
ἂν ἔγνωμεν, ὅσῳ κρεῖττόν ἐστι τὸ σωφρονεῖν τοῦ πο-
59 λυπραγμονεῖν. νῦν δ᾽ ἐνταῦθα τὰ πράγματα περιέστη- b
κεν, ὥστε Θηβαῖοι μὲν ἡμᾶς σώζουσιν, ἡμεῖς δὲ Θη-
βαίους, καὶ συμμάχους ἐκεῖνοι μὲν ἡμῖν ποιοῦσιν,
ἡμεῖς δ᾽ ἐκείνοις. ὥστ᾽ εἰ νοῦν ἔχοιμεν, ἀλλήλοις ἂν
εἰς τὰς ἐκκλησίας ἀργύριον παρέχοιμεν· ὁπότεροι γὰρ
ἂν πλεονάκις συλλεγῶσιν, οὗτοι τοὺς ἐναντίους ἄμει-
60 νον πράττειν ποιοῦσιν. χρὴ δὲ τοὺς καὶ μικρὰ λογίζε-
σθαι δυναμένους οὐκ ἐν τοῖς τῶν ἐχθρῶν ἁμαρτήμασι
τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας, ἀλλ᾽ ἐν τοῖς αὑτῶν c
πράγμασι καὶ ταῖς αὑτῶν διανοίαις· τὸ μὲν γὰρ διὰ
τὴν ἐκείνων ἀμαθίαν συμβαῖνον ἡμῖν ἀγαθὸν τυχὸν
ἂν παύσαιτο καὶ λάβοι μεταβολήν, τὸ δὲ δι᾽ ἡμᾶς αὐ-
τοὺς γιγνόμενον βεβαιοτέρως ἂν ἔχοι καὶ μᾶλλον πα-
ραμείνειεν ἡμῖν.

61 (ιθ᾽.) Πρὸς μὲν οὖν τοὺς εἰκῇ τὰς ἐπιλήψεις ποι-
ουμένους οὐ χαλεπὸν ἀντειπεῖν· εἰ δὲ δή τις μοι πα- d
ραστὰς τῶν ἐπιεικέστερον διακειμένων ἀληθῆ μὲν λέ-
γειν με προσομολογήσειε καὶ προσηκόντως ἐπιτιμᾶν
τοῖς γιγνομένοις, δίκαιον δ᾽ εἶναι φαίη τοὺς ἐπ᾽ εὐ-
νοίᾳ νουθετοῦντας μὴ μόνον κατηγορεῖν τῶν πε-
62 πραγμένων ἀλλὰ καὶ συμβουλεύειν, τίνων ἀπεχό-
μενοι καὶ ποίων ὀρεγόμενοι παυσαίμεθ᾽ ἂν ταύτην
ἔχοντες τὴν γνώμην καὶ τοιαῦτ᾽ ἐξαμαρτάνοντες,
οὗτος ὁ λόγος ἀπορεῖν ἄν με ποιήσειεν ἀποκρίσεως,
οὐκ ἀληθοῦς καὶ συμφερούσης ἀλλ᾽ ἀρεσκούσης ὑμῖν. e
οὐ μὴν ἀλλ᾽ ἐπειδή περ ἀποκεκαλυμμένως ὥρμη-

μαι λέγειν, οὐκ ἀποκνητέον ἀποφήνασθαι καὶ περὶ
τούτων.
63 (κ'.) Ἃ μὲν οὖν ὑπάρχειν δεῖ τοῖς μέλλουσιν εὐ-
δαιμονήσειν, τήν τ' εὐσέβειαν καὶ τὴν σωφροσύνην
καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετήν, ὀλίγῳ πρό-
τερον εἰρήκαμεν· ὡς δ' ἂν τάχιστα πρὸς τὸ τοιοῦτοι γε- 172
νέσθαι παιδευθεῖμεν, ἀληθὲς μέν ἐστι τὸ ῥηθησόμενον,
ἴσως δ' ἂν ἀκούσασιν ὑμῖν δεινὸν εἶναι δόξειε καὶ παρὰ
64 πολὺ τῆς τῶν ἄλλων ἐξηλλαγμένον διανοίας. (κα'.) Ἐγὼ
γὰρ ἡγοῦμαι καὶ τὴν πόλιν ἡμᾶς ἄμεινον οἰκήσειν καὶ
βελτίους αὐτοὺς ἔσεσθαι καὶ πρὸς ἁπάσας τὰς πράξεις
ἐπιδώσειν, ἢν παυσώμεθα τῆς ἀρχῆς τῆς κατὰ θάλατταν
ἐπιθυμοῦντες. αὕτη γάρ ἐστιν ἡ καὶ νῦν εἰς ταραχὴν b
ἡμᾶς καθιστᾶσα καὶ τὴν δημοκρατίαν ἐκείνην κατα-
λύσασα, μεθ' ἧς οἱ πρόγονοι ζῶντες εὐδαιμονέστατοι
τῶν Ἑλλήνων ἦσαν, καὶ σχεδὸν ἁπάντων αἰτία τῶν
κακῶν ὧν αὐτοί τ' ἔχομεν καὶ τοῖς ἄλλοις παρέχομεν.
65 οἶδα μὲν οὖν, ὅτι χαλεπόν ἐστι δυναστείας ὑπὸ πάν-
των ἐρωμένης καὶ περιμαχήτου γεγενημένης κατηγο-
ροῦντα δοκεῖν ἀνεκτόν τι λέγειν· ὅμως δ' ἐπειδή περ
ὑπεμείνατε καὶ τοὺς ἄλλους λόγους, ἀληθεῖς μὲν ὄν- c
τας, φιλαπεχθήμονας δέ, καὶ τοῦτον ὑμῶν ἀνασχέσθαι
66 δέομαι, καὶ μὴ καταγνῶναί μου τοιαύτην μανίαν, ὡς
ἄρ' ἐγὼ προειλόμην ἂν διαλεχθῆναι πρὸς ὑμᾶς περὶ
πραγμάτων οὕτω παραδόξων, εἰ μή τι λέγειν ἀληθὲς
εἶχον περὶ αὐτῶν. νῦν δ' οἶμαι πᾶσι φανερὸν ποιή-
σειν, ὡς οὔτε δικαίας ἀρχῆς ἐπιθυμοῦμεν οὔτε γενέ-
σθαι δυνατῆς οὔτε συμφερούσης ἡμῖν.
67 (κβ'.) Ὅτι μὲν οὖν οὐ δικαίας, παρ' ὑμῶν μα- d
θὼν ὑμᾶς ἔχω διδάσκειν. ὅτε γὰρ Λακεδαιμόνιοι ταύ-
την εἶχον τὴν δύναμιν, ποίους λόγους οὐκ ἀνηλώσα-
μεν, κατηγοροῦντες μὲν τῆς ἐκείνων ἀρχῆς, διεξιόντες

δ' ὡς δίκαιόν ἐστιν αὐτονόμους εἶναι τοὺς Ἕλληνας;
68 τίνας δὲ τῶν πόλεων τῶν ἐλλογίμων οὐ παρεκαλέσα-
μεν ἐπὶ τὴν συμμαχίαν τὴν ὑπὲρ τούτων συστᾶσαν;
πόσας δὲ πρεσβείας ὡς βασιλέα τὸν μέγαν ἀπεστείλα- e
μεν, διδαξούσας αὐτόν, ὡς οὔτε δίκαιόν ἐστιν οὔτε
συμφέρον μίαν πόλιν κυρίαν εἶναι τῶν Ἑλλήνων; οὐ
πρότερον δ' ἐπαυσάμεθα πολεμοῦντες καὶ κινδυνεύ-
οντες καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, πρὶν ἠθέλη- 17
σαν Λακεδαιμόνιοι ποιήσασθαι τὰς συνθήκας τὰς περὶ
69 τῆς αὐτονομίας. ὅτι μὲν οὖν οὐ δίκαιόν ἐστι τοὺς κρείτ-
τους τῶν ἡττόνων ἄρχειν, ἐν ἐκείνοις τε τοῖς χρόνοις
τυγχάνομεν ἐγνωκότες καὶ νῦν ἐπὶ τῆς πολιτείας τῆς
παρ' ἡμῖν καθεστηκυίας.

(κγ'.) Ὡς δ' οὐδ' ἂν δυνηθεῖμεν τὴν ἀρχὴν ταύ-
την καταστρέψασθαι, ταχέως οἶμαι δηλώσειν. ἣν γὰρ
μετὰ μυρίων ταλάντων οὐχ οἷοί τ' ἦμεν διαφυλάξαι,
πῶς ἂν ταύτην ἐκ τῆς παρούσης ἀπορίας κτήσασθαι b
δυνηθεῖμεν, ἄλλως τε καὶ χρώμενοι τοῖς ἤθεσιν οὐχ
70 οἷς ἐλάβομεν ἀλλ' οἷς ἀπωλέσαμεν αὐτήν; (κδ'.) Ὡς
τοίνυν οὐδὲ δέξασθαι διδομένην τῇ πόλει συμφέρει,
δοκεῖτέ μοι τάχιστ' ἂν ἐκεῖθεν καταμαθεῖν. μᾶλλον δὲ
καὶ περὶ τούτων βούλομαι μικρὰ προειπεῖν· δέδοικα
γάρ, μὴ διὰ τὸ πολλοῖς ἐπιτιμᾶν δόξω τισὶ προηρῆσθαι
τῆς πόλεως κατηγορεῖν.

71 (κε'.) Ἐγὼ δ' εἰ μὲν πρὸς ἄλλους τινὰς ἐπεχεί-
ρουν οὕτω διεξιέναι περὶ τῶν πραγμάτων, εἰκότως c
ἂν εἶχον τὴν αἰτίαν ταύτην· νῦν δὲ πρὸς ὑμᾶς ποιοῦ-
μαι τοὺς λόγους, οὐ διαβάλλειν ἑτέροις ἐπιθυμῶν ἀλλ'
αὐτοὺς βουλόμενος παῦσαι τῶν τοιούτων ἔργων, καὶ
τὴν εἰρήνην, περὶ ἧς ἅπας ὁ λόγος ἐστί, βεβαίως καὶ
72 τὴν πόλιν καὶ τοὺς ἄλλους Ἕλληνας ἀγαγεῖν. ἀνάγκη
δὲ τοὺς νουθετοῦντας καὶ τοὺς κατηγοροῦντας τοῖς

μὲν λόγοις χρῆσθαι παραπλησίοις, τὰς δὲ διανοίας ἔχειν ἀλλήλοις ὡς οἷόν τ' ἐναντιωτάτας. ὥστε περὶ d *τῶν ταὐτὰ λεγόντων οὐκ ἀεὶ προσήκει τὴν αὐτὴν ὑμᾶς γνώμην ἔχειν, ἀλλὰ τοὺς μὲν ἐπὶ βλάβῃ λοιδοροῦντας μισεῖν ὡς κακόνους ὄντας τῇ πόλει, τοὺς δ' ἐπ' ὠφελείᾳ νουθετοῦντας ἐπαινεῖν καὶ βελτίστους τῶν*

73 *πολιτῶν νομίζειν, καὶ τούτων αὐτῶν μάλιστα τὸν ἐναργέστατα δυνάμενον δηλῶσαι τάς τε πονηρίας τῶν πράξεων καὶ τὰς συμφορὰς τὰς ἀπ' αὐτῶν γιγνομένας· οὗτος γὰρ ἂν τάχιστα ποιήσειεν ὑμᾶς, μισήσαν-* e *τας ἃ δεῖ, βελτιόνων ἐπιθυμῆσαι πραγμάτων. ὑπὲρ μὲν οὖν τῆς τῶν λόγων τραχύτητος καὶ τῶν εἰρημένων καὶ τῶν ῥηθήσεσθαι μελλόντων ταῦτ' ἔχω λέγειν πρὸς ὑμᾶς· ὅθεν δ' ἀπέλιπον, πάλιν ποιήσομαι τὴν ἀρχήν.*

74 (*κϛʹ.*) *Ἔφασκον γὰρ ἐκεῖθεν κάλλιστ' ἂν ὑμᾶς κα-* 174 *ταμαθεῖν, ὡς οὐ συμφέρει λαβεῖν τὴν κατὰ θάλατταν ἀρχὴν, εἰ σκέψαισθε, τίνα τρόπον ἡ πόλις διέκειτο πρὶν τὴν δύναμιν ταύτην κτήσασθαι, καὶ πῶς ἐπειδὴ κατέσχεν αὐτήν· ἢν γὰρ ταῦτα παρ' ἄλληλα τῇ διανοίᾳ θεωρήσητε, γνώσεσθ' ὅσων κακῶν αἰτία τῇ πόλει γέγονεν.*

75 (*κζʹ.*) *Ἡ μὲν τοίνυν πολιτεία τοσούτῳ βελτίων ἦν καὶ κρείττων ἡ τότε τῆς ὕστερον καταστάσης, ὅσῳ* b *περ Ἀριστείδης καὶ Θεμιστοκλῆς καὶ Μιλτιάδης ἄνδρες ἀμείνους ἦσαν Ὑπερβόλου καὶ Κλεοφῶντος καὶ τῶν νῦν δημηγορούντων· τὸν δὲ δῆμον εὑρήσετε τὸν τότε πολιτευόμενον οὐκ ἀργίας οὐδ' ἀπορίας οὐδ' ἐλπίδων*

76 *κενῶν ὄντα μεστὸν, ἀλλὰ νικᾶν μὲν δυνάμενον ἐν ταῖς μάχαις ἅπαντας τοὺς εἰς τὴν χώραν εἰσβάλλοντας, ἀριστείων δ' ἀξιούμενον ἐν τοῖς ὑπὲρ τῆς Ἑλλάδος κινδύνοις, οὕτω δὲ πιστευόμενον ὥστε τὰς πλείστας* c

αὐτῷ τῶν πόλεων ἑκούσας ἐγχειρίσαι σφᾶς αὐτάς.
77 τούτων δ' ὑπαρχόντων ἀντὶ μὲν τῆς πολιτείας τῆς πα-
ρὰ πᾶσιν εὐδοκιμούσης ἐπὶ τοιαύτην ἀκολασίαν ἡ δύ-
ναμις ἡμᾶς αὕτη προήγαγεν, ἣν οὐδεὶς ἂν ἀνθρώπων
ἐπαινέσειεν· ἀντὶ δὲ τοῦ νικᾶν τοὺς ἐπιστρατεύοντας
οὕτω τοὺς πολίτας ἐπαίδευσεν ὥστε μηδὲ πρὸ τῶν τει-
78 χῶν τολμᾶν ἐπεξιέναι τοῖς πολεμίοις· ἀντὶ δὲ τῆς εὐ-
νοίας τῆς παρὰ τῶν συμμάχων αὐτοῖς ὑπαρχούσης καὶ d
τῆς δόξης τῆς παρὰ τῶν ἄλλων Ἑλλήνων εἰς τοσοῦτον
μῖσος κατέστησεν, ὥστε παρὰ μικρὸν ἐλθεῖν ἐξανδρα-
ποδισθῆναι τὴν πόλιν, εἰ μὴ Λακεδαιμονίων τῶν ἐξ
ἀρχῆς πολεμούντων εὐνουστέρων ἐτύχομεν ἢ τῶν πρό-
79 τερον ἡμῖν συμμάχων ὄντων. οἷς οὐκ ἂν δικαίως ἐγ-
καλοῖμεν, ὅτι χαλεπῶς πρὸς ἡμᾶς διετέθησαν· οὐ
γὰρ ὑπάρχοντες ἀλλ' ἀμυνόμενοι καὶ πολλὰ καὶ δεινὰ
παθόντες τοιαύτην γνώμην ἔσχον περὶ ἡμᾶς. (κη'.) Τίς e
γὰρ ἂν ὑπέμεινε τὴν ἀσέλγειαν τῶν πατέρων τῶν ἡμε-
τέρων, οἳ συναγαγόντες ἐξ ἁπάσης τῆς Ἑλλάδος τοὺς
ἀργοτάτους καὶ τοὺς ἁπασῶν τῶν πονηριῶν μετέχον-
τας, πληροῦντες τούτων τὰς τριήρεις, ἀπηχθάνοντο
τοῖς Ἕλλησι, καὶ τοὺς μὲν βελτίστους τῶν ἐν ταῖς ἄλ- 175
λαις πόλεσιν ἐξέβαλλον, τοῖς δὲ πονηροτάτοις τῶν
80 Ἑλλήνων τἀκείνων διένεμον; ἀλλὰ γὰρ εἰ τολμήσαιμι
περὶ τῶν ἐν ἐκείνοις τοῖς πράγμασιν ἐγγενομένων ἀκρι-
βῶς διελθεῖν, ὑμᾶς μὲν ἴσως ἂν ποιήσαιμι βέλτιον
βουλεύσασθαι περὶ τῶν παρόντων, αὐτὸς δ' ἂν δια-
βληθείην· εἰώθατε γὰρ μισεῖν οὐχ οὕτω τοὺς αἰτίους
τῶν ἁμαρτημάτων ὡς τοὺς κατηγοροῦντας αὐτῶν.
81 τοιαύτην οὖν ὑμῶν γνώμην ἐχόντων δέδοικα, μὴ πει- b
ρώμενος ὑμᾶς εὐεργετεῖν αὐτὸς ἀπολαύσω τι φλαῦ-
ρον. οὐ μὴν ἀποστήσομαι παντάπασιν ὧν διενοήθην,
ἀλλὰ τὰ μὲν πικρότατα καὶ μάλιστ' ἂν ὑμᾶς λυπή-

σαντα παραλείψω, μνησθήσομαι δὲ τούτων μόνον, ἐξ
ὧν γνώσεσθε τὴν ἄνοιαν τῶν τότε πολιτευομένων.
82 (κθ'.) Οὕτω γὰρ ἀκριβῶς εὕρισκον, ἐξ ὧν ἄνθρω-
ποι μάλιστ' ἂν μισηθεῖεν, ὥστ' ἐψηφίσαντο τὸ πε-
ριγιγνόμενον τῶν φόρων ἀργύριον διελόντες κατὰ c
τάλαντον εἰς τὴν ὀρχήστραν τοῖς Διονυσίοις εἰσφέρειν,
ἐπειδὰν πλῆρες ᾖ τὸ θέατρον· καὶ τοῦτ' ἐποίουν καὶ
παρεισῆγον τοὺς παῖδας τῶν ἐν τῷ πολέμῳ τετελευ-
τηκότων, ἀμφοτέροις ἐπιδεικνύοντες, τοῖς μὲν συμ-
μάχοις τὰς τιμὰς τῆς οὐσίας αὐτῶν ὑπὸ μισθωτῶν εἰσ-
φερομένας, τοῖς δ' ἄλλοις Ἕλλησι τὸ πλῆθος τῶν ὀρ-
φανῶν καὶ τὰς συμφορὰς τὰς διὰ τὴν πλεονεξίαν ταύ-
83 την γιγνομένας. καὶ ταῦτα δρῶντες αὐτοί τε τὴν d
πόλιν εὐδαιμόνιζον καὶ πολλοὶ τῶν νοῦν οὐκ ἐχόντων
ἐμακάριζον αὐτήν, τῶν μὲν συμβήσεσθαι διὰ ταῦτα
μελλόντων οὐδεμίαν ποιούμενοι πρόνοιαν, τὸν δὲ
πλοῦτον θαυμάζοντες καὶ ζηλοῦντες, ὃς ἀδίκως εἰς τὴν
πόλιν εἰσελθὼν καὶ τὸν δικαίως ὑπάρξαντα διὰ τα-
84 χέων ἤμελλε προσαπολεῖν. εἰς τοῦτο γὰρ κατέστησαν
τῶν μὲν οἰκείων ἀμελείας, τῶν δ' ἀλλοτρίων ἐπιθυ- e
μίας, ὥστε Λακεδαιμονίων εἰσβεβληκότων εἰς τὴν
χώραν καὶ τοῦ τείχους ἤδη τοῦ Δεκελειᾶσιν ἑστηκότος
εἰς Σικελίαν τριήρεις ἐπλήρουν, καὶ οὐκ ᾐσχύνοντο
τὴν μὲν πατρίδα τεμνομένην καὶ πορθουμένην περι-
ορῶντες, ἐπὶ δὲ τοὺς οὐδὲν πώποτ' εἰς ἡμᾶς ἐξαμαρ-
85 τόντας στρατιὰν ἐκπέμποντες, ἀλλ' εἰς τοῦτ' ἀφρο- 176
σύνης ἦλθον, ὥστε τῶν προαστείων τῶν οἰκείων οὐ
κρατοῦντες Ἰταλίας καὶ Σικελίας καὶ Καρχηδόνος ἄρ-
ξειν προσεδόκησαν. τοσοῦτον δὲ διήνεγκαν ἀνοίᾳ πάν-
των ἀνθρώπων, ὥστε τοὺς μὲν ἄλλους αἱ συμφοραὶ
συστέλλουσι καὶ ποιοῦσιν ἐμφρονεστέρους, ἐκεῖνοι δ'
οὐδ' ὑπὸ τούτων ἐπαιδεύθησαν. καίτοι πλείοσι καὶ

μείζοσι περιέπεσον ἐπὶ τῆς ἀρχῆς ταύτης τῶν ἐν ἅπαντι
τῷ χρόνῳ τῇ πόλει γεγενημένων. εἰς Αἴγυπτον μέν b
γε διακόσιαι πλεύσασαι τριήρεις αὐτοῖς τοῖς πληρώ-
μασι διεφθάρησαν, περὶ δὲ Κύπρον πεντήκοντα καὶ
ἑκατόν· ἐν Δάτῳ δὲ μυρίους ὁπλίτας αὐτῶν καὶ τῶν
συμμάχων ἀπώλεσαν, ἐν Σικελίᾳ δὲ τέτταρας μυριά-
δας καὶ τριήρεις τετταράκοντα καὶ διακοσίας, τὸ δὲ τε-
87 λευταῖον ἐν Ἑλλησπόντῳ διακοσίας. τὰς δὲ κατὰ δέκα
καὶ πέντε καὶ πλείους τούτων ἀπολλυμένας καὶ τοὺς c
κατὰ χιλίους καὶ δισχιλίους ἀποθνήσκοντας τίς ἂν ἐξ-
αριθμήσειεν; πλὴν ἓν ἦν τοῦτο τῶν ἐγκυκλίων, τα-
φὰς ποιεῖν καθ' ἕκαστον τὸν ἐνιαυτόν, εἰς ἃς πολ-
λοὶ καὶ τῶν ἀστυγειτόνων καὶ τῶν ἄλλων Ἑλλήνων
ἐφοίτων, οὐ συμπενθήσοντες τοὺς τεθνεῶτας ἀλλὰ
88 συνηδόμενοι ταῖς ἡμετέραις συμφοραῖς. τελευτῶντες
δ' ἔλαθον σφᾶς αὐτοὺς τοὺς μὲν τάφους τοὺς δημο-
σίους τῶν πολιτῶν ἐμπλήσαντες, τὰς δὲ φρατρίας καὶ
τὰ γραμματεῖα τὰ ληξιαρχικὰ τῶν οὐδὲν τῇ πόλει προσ-
ηκόντων. γνοίη δ' ἄν τις ἐκεῖθεν μάλιστα τὸ πλῆθος
τῶν ἀπολλυμένων· τὰ γὰρ γένη τῶν ἀνδρῶν τῶν ὀνο-
μαστοτάτων καὶ τοὺς οἴκους τοὺς μεγίστους, οἳ καὶ
τὰς τυραννικὰς στάσεις καὶ τὸν Περσικὸν πόλεμον
διέφυγον, εὑρήσομεν ἐπὶ τῆς ἀρχῆς, ἧς ἐπιθυμοῦ-
89 μεν, ἀναστάτους γεγενημένους. ὥστ' εἴ τις σκοπεῖ-
σθαι βούλοιτο περὶ τῶν ἄλλων ὥσπερ πρὸς δεῖγμα
τοῦτ' ἀναφέρων, φανεῖμεν ἂν μικροῦ δεῖν ἀντηλλαγ-
μένοι. (λ'.) Καίτοι χρὴ πόλιν μὲν εὐδαιμονίζειν μὴ τὴν
ἐξ ἁπάντων ἀνθρώπων εἰκῇ πολλοὺς πολίτας ἀθροί-
ζουσαν ἀλλὰ τὴν τὸ γένος τῶν ἐξ ἀρχῆς τὴν πόλιν οἰ-
κισάντων μᾶλλον τῶν ἄλλων διασῴζουσαν, ἄνδρας δὲ
ζηλοῦν μὴ τοὺς τὰς τυραννίδας κατέχοντας μηδὲ τοὺς
μείζω δυναστείαν τοῦ δικαίου κεκτημένους, ἀλλὰ τοὺς

ἀξίους μὲν ὄντας τῆς μεγίστης τιμῆς, στέργοντας δ'
90 ἐπὶ ταῖς ὑπὸ τοῦ πλήθους διδομέναις. ταύτης γὰρ ἕξιν
οὔτ' ἀνὴρ οὔτε πόλις λαβεῖν ἂν δύναιτο σπουδαιοτέ-
ραν οὐδ' ἀσφαλεστέραν οὐδὲ πλείονος ἀξίαν· ἥνπερ
οἱ περὶ τὰ Περσικὰ γενόμενοι σχόντες οὐχ ὁμοίως τοῖς
λῃσταῖς ἐβίωσαν, τοτὲ μὲν πλείω τῶν ἱκανῶν ἔχοντες, b
τοτὲ δ' ἐν σιτοδείαις καὶ πολιορκίαις καὶ τοῖς μεγίστοις
κακοῖς καθεστῶτες, ἀλλὰ περὶ μὲν τὴν τροφὴν τὴν
καθ' ἡμέραν οὔτ' ἐν ἐνδείαις οὔτ' ἐν ὑπερβολαῖς ὄντες,
ἐπὶ δὲ τῇ τῆς πολιτείας δικαιοσύνῃ καὶ ταῖς ἀρεταῖς
ταῖς αὑτῶν φιλοτιμούμενοι καὶ τὸν βίον ἥδιον τῶν
91 ἄλλων διάγοντες. ὧν ἀμελήσαντες οἱ γενόμενοι μετ'
ἐκείνους οὐκ ἄρχειν ἀλλὰ τυραννεῖν ἐπεθύμησαν, ἃ
δοκεῖ μὲν τὴν αὐτὴν ἔχειν δύναμιν, πλεῖστον δ' ἀλλή- c
λων κεχώρισται· τῶν μὲν γὰρ ἀρχόντων ἔργον ἐστὶ
τοὺς ἀρχομένους ταῖς αὑτῶν ἐπιμελείαις ποιεῖν εὐδαι-
μονεστέρους, τοῖς δὲ τυράννοις ἔθος καθέστηκε τοῖς
τῶν ἄλλων πόνοις καὶ κακοῖς αὑτοῖς ἡδονὰς παρα-
σκευάζειν. ἀνάγκη δὲ τοὺς τοιούτοις ἔργοις ἐπιχει-
ροῦντας τυραννικαῖς καὶ ταῖς συμφοραῖς περιπίπτειν,
καὶ τοιαῦτα πάσχειν, οἷά περ ἂν καὶ τοὺς ἄλλους δρά-
92 σωσιν. ἃ καὶ τῇ πόλει συνέπεσεν· ἀντὶ μὲν γὰρ τοῦ
φρουρεῖν τὰς τῶν ἄλλων ἀκροπόλεις τῆς αὑτῶν ἐπεῖ- d
δον τοὺς πολεμίους κυρίους γενομένους· ἀντὶ δὲ τοῦ
παῖδας ὁμήρους λαμβάνειν ἀποσπῶντες ἀπὸ πατέρων
καὶ μητέρων, πολλοὶ τῶν πολιτῶν ἠναγκάσθησαν τοὺς
αὑτῶν ἐν τῇ πολιορκίᾳ χεῖρον παιδεύειν καὶ τρέφειν
ἢ προσῆκεν αὐτοῖς· ἀντὶ δὲ τοῦ γεωργεῖν τὰς χώρας
τὰς ἀλλοτρίας πολλῶν ἐτῶν οὐδ' ἰδεῖν αὐτοῖς ἐξεγέ-
93 νετο τὴν αὑτῶν. (λα'.) Ὥστ' εἴ τις ἡμᾶς ἐρωτήσειεν,
εἰ δεξαίμεθ' ἂν τοσοῦτον χρόνον ἄρξαντες τοιαῦτα πα-
θοῦσαν τὴν πόλιν ἐπιδεῖν, τίς ἂν ὁμολογήσειεν, πλὴν e

εἴ τις παντάπασιν ἀπονενοημένος ἐστὶ καὶ μήθ' ἱερῶν
μήτε γονέων μήτε παίδων μήτ' ἄλλου μηδενὸς φρον-
τίζει πλὴν τοῦ χρόνου μόνου τοῦ καθ' αὑτόν; ὧν οὐκ 1
ἄξιον τὴν διάνοιαν ζηλοῦν ἀλλὰ πολὺ μᾶλλον τῶν
πολλὴν πρόνοιαν ποιουμένων καὶ μηδὲν ἧττον ὑπὲρ
τῆς κοινῆς δόξης ἢ τῆς ἰδίας φιλοτιμουμένων καὶ προ-
αιρουμένων μέτριον βίον μετὰ δικαιοσύνης μᾶλλον
94 ἢ μέγαν πλοῦτον μετ' ἀδικίας. καὶ γὰρ οἱ πρόγονοι
τοιούτους αὑτοὺς παρασχόντες τήν τε πόλιν εὐδαιμο-
νεστάτην τοῖς ἐπιγιγνομένοις παρέδοσαν καὶ τῆς αὑ-
τῶν ἀρετῆς ἀθάνατον τὴν μνήμην κατέλιπον. ἐξ ὧν b
ἀμφότερα ῥᾴδιόν ἐστι καταμαθεῖν, καὶ τὴν χώραν
ἡμῶν, ὅτι δύναται τρέφειν ἄνδρας ἀμείνους τῶν ἄλ-
λων, καὶ τὴν καλουμένην μὲν ἀρχήν, οὖσαν δὲ συμ-
φοράν, ὅτι πέφυκε χείρους ἅπαντας ποιεῖν τοὺς χρω-
μένους αὐτῇ.

95 (λβ'.) Μέγιστον δὲ τεκμήριον· οὐ γὰρ μόνον ἡμᾶς
ἀλλὰ καὶ τὴν Λακεδαιμονίων πόλιν διέφθειρεν, ὥστε
τοῖς εἰθισμένοις ἐπαινεῖν τὰς ἐκείνων ἀρετὰς οὐχ οἷόν c
τ' ἐστὶν εἰπεῖν τοῦτον τὸν λόγον, ὡς ἡμεῖς μὲν διὰ τὸ
δημοκρατεῖσθαι κακῶς ἐχρησάμεθα τοῖς πράγμασιν,
εἰ δὲ Λακεδαιμόνιοι ταύτην τὴν δύναμιν παρέλαβον,
εὐδαίμονας ἂν καὶ τοὺς ἄλλους καὶ σφᾶς αὐτοὺς ἐποί-
ησαν. πολὺ γὰρ θᾶττον ἐν ἐκείνοις ἐπεδείξατο τὴν
φύσιν τὴν αὑτῆς· τὴν γὰρ πολιτείαν, ἣν ἐν ἑπτακο-
σίοις ἔτεσιν οὐδεὶς οἶδεν οὔθ' ὑπὸ κινδύνων οὔθ' ὑπὸ
συμφορῶν κινηθεῖσαν, ταύτην ἐν ὀλίγῳ χρόνῳ σαλεῦ- d
96 σαι καὶ λυθῆναι παρὰ μικρὸν ἐποίησεν. ἀντὶ γὰρ τῶν
καθεστώτων παρ' αὐτοῖς ἐπιτηδευμάτων τοὺς μὲν ἰδι-
ώτας ἐνέπλησεν ἀδικίας, ῥᾳθυμίας, ἀνομίας, φιλαρ-
γυρίας, τὸ δὲ κοινὸν τῆς πόλεως ὑπεροψίας μὲν τῶν
συμμάχων, ἐπιθυμίας δὲ τῶν ἀλλοτρίων, ὀλιγωρίας

δὲ τῶν ὅρκων καὶ τῶν συνθηκῶν. τοσοῦτον γὰρ ὑπερ-
εβάλοντο τοὺς ἡμετέρους τοῖς εἰς τοὺς Ἕλληνας ἁμαρ-
τήμασιν, ὅσον πρὸς τοῖς πρότερον ὑπάρχουσι σφαγὰς e
καὶ στάσεις ἐν ταῖς πόλεσιν ἐποίησαν, ἐξ ὧν ἀειμνή-
97 στους τὰς ἔχθρας πρὸς ἀλλήλους ἕξουσιν. οὕτω δὲ
φιλοπολέμως καὶ φιλοκινδύνως διετέθησαν, τὸν ἄλλον
χρόνον πρὸς τὰ τοιαῦτα πεφυλαγμένως μᾶλλον τῶν
ἄλλων ἔχοντες, ὥστ᾽ οὐδὲ τῶν συμμάχων οὐδὲ τῶν 179
εὐεργετῶν ἀπέσχοντο τῶν σφετέρων αὐτῶν, ἀλλὰ
βασιλέως μὲν αὐτοῖς εἰς τὸν πρὸς ἡμᾶς πόλεμον πλέον
ἢ πεντακισχίλια τάλαντα παρασχόντος, Χίων δὲ προ-
θυμότατα πάντων τῶν συμμάχων τῷ ναυτικῷ συγκιν-
98 δυνευσάντων, Θηβαίων δὲ μεγίστην δύναμιν εἰς τὸ
πεζὸν συμβαλομένων, οὐκ ἔφθασαν τὴν ἀρχὴν κατα-
σχόντες, καὶ Θηβαίοις μὲν εὐθὺς ἐπεβούλευσαν, ἐπὶ
δὲ τὸν βασιλέα Κλέαρχον καὶ στρατιὰν ἀνέπεμψαν, b
Χίων δὲ τοὺς μὲν πρώτους τῶν πολιτῶν ἐφυγάδευσαν,
τὰς δὲ τριήρεις ἐκ τῶν νεωρίων ἐξελκύσαντες ἁπάσας
99 ᾤχοντο λαβόντες. (λγ΄.) Οὐκ ἐξήρκεσε δ᾽ αὐτοῖς ταῦτ᾽
ἐξαμαρτεῖν, ἀλλὰ περὶ τοὺς αὐτοὺς χρόνους ἐπόρθουν
μὲν τὴν ἤπειρον, ὕβριζον δὲ τὰς νήσους, ἀνῄρουν δὲ
τὰς ἐν Ἰταλίᾳ καὶ Σικελίᾳ πολιτείας καὶ τυράννους
καθίστασαν, ἐλυμαίνοντο δὲ τὴν Πελοπόννησον καὶ
μεστὴν στάσεων καὶ πολέμων ἐποίησαν. ἐπὶ ποίαν γὰρ c
τῶν πόλεων οὐκ ἐστράτευσαν; ἢ περὶ τίνας αὐτῶν
100 οὐκ ἐξήμαρτον; οὐκ Ἠλείων μὲν μέρος τι τῆς χώρας
ἀφείλοντο, τὴν δὲ γῆν τὴν Κορινθίων ἔτεμον, Μαν-
τινέας δὲ διῴκισαν, Φλειασίους δ᾽ ἐξεπολιόρκησαν, εἰς
δὲ τὴν Ἀργείων εἰσέβαλον, οὐδὲν δ᾽ ἐπαύσαντο τοὺς
μὲν ἄλλους κακῶς ποιοῦντες, αὑτοῖς δὲ τὴν ἧτταν τὴν
ἐν Λεύκτροις παρασκευάζοντες; ἥν φασί τινες αἰτίαν
γεγενῆσθαι τῇ Σπάρτῃ τῶν κακῶν, οὐκ ἀληθῆ λέγοντες· d

οὐ γὰρ διὰ ταύτην ὑπὸ τῶν συμμάχων ἐμισήθησαν, ἀλλὰ διὰ τὰς ὕβρεις τὰς ἐν τοῖς ἔμπροσθεν χρόνοις καὶ ταύτην ἡττήθησαν καὶ περὶ τῆς αὐτῶν ἐκινδύνευ-
101 σαν. χρὴ δὲ τὰς αἰτίας ἐπιφέρειν οὐ τοῖς κακοῖς τοῖς ἐπιγιγνομένοις, ἀλλὰ τοῖς πρώτοις τῶν ἁμαρτημάτων, ἐξ ὧν ἐπὶ τὴν τελευτὴν ταύτην κατηνέχθησαν. ὥστε πολὺ ἂν τις ἀληθέστερα τυγχάνοι λέγων, εἰ φαίη τότε e
τὴν ἀρχὴν αὐτοῖς γεγενῆσθαι τῶν συμφορῶν, ὅτε τὴν ἀρχὴν τῆς θαλάττης παρελάμβανον· ἐκτῶντο γὰρ δύ-
102 ναμιν οὐδὲν ὁμοίαν τῇ πρότερον ὑπαρχούσῃ. διὰ μὲν γὰρ τὴν κατὰ γῆν ἡγεμονίαν καὶ τὴν εὐταξίαν καὶ τὴν
καρτερίαν τὴν ἐν αὐτῇ μελετωμένην ῥᾳδίως τῆς κατὰ 18
θάλατταν δυνάμεως ἐπεκράτησαν, διὰ δὲ τὴν ἀκολασίαν τὴν ὑπὸ ταύτης τῆς ἀρχῆς αὐτοῖς ἐγγενομένην ταχέως κἀκείνης τῆς ἡγεμονίας ἀπεστερήθησαν. οὐ γὰρ ἔτι τοὺς νόμους ἐφύλαττον, οὓς παρὰ τῶν προγόνων παρέλαβον, οὐδ' ἐν τοῖς ἤθεσιν ἔμενον οἷς πρό-
103 τερον εἶχον, ἀλλ' ὑπολαβόντες ἐξεῖναι ποιεῖν αὐτοῖς, ὅ τι ἂν βουληθῶσιν, εἰς πολλὴν ταραχὴν κατέστησαν.
οὐ γὰρ ᾔδεσαν τὴν ἐξουσίαν, ἧς πάντες εὔχονται τυ- b
χεῖν, ὡς δύσχρηστός ἐστιν, οὐδ' ὡς παραφρονεῖν ποιεῖ τοὺς ἀγαπῶντας αὐτήν, οὐδ' ὅτι τὴν φύσιν ὁμοίαν ἔχει ταῖς ἑταίραις ταῖς ἐρᾶν μὲν αὐτῶν ποιούσαις,
104 τοὺς δὲ χρωμένους ἀπολλυούσαις. (λδ'.) Καίτοι φανερῶς ἐπιδέδεικται ταύτην ἔχουσα τὴν δύναμιν· τοὺς γὰρ ἐν πλείσταις ἐξουσίαις γεγενημένους ἴδοι τις ἂν ταῖς μεγίσταις συμφοραῖς περιπεπτωκότας, ἀρξαμένους ἀφ' ἡμῶν καὶ Λακεδαιμονίων. αὗται γὰρ αἱ πό-
λεις καὶ πολιτευόμεναι πρότερον σωφρονέστατα καὶ c
δόξαν ἔχουσαι καλλίστην, ἐπειδὴ ταύτης ἔτυχον καὶ τὴν ἀρχὴν ἔλαβον, οὐδὲν ἀλλήλων διήνεγκαν, ἀλλ' ὥσπερ προσήκει τοὺς ὑπὸ τῶν αὐτῶν ἐπιθυμιῶν καὶ

*τῆς αὐτῆς νόσου διεφθαρμένους, καὶ ταῖς πράξεσι ταῖς
αὐταῖς ἐπεχείρησαν καὶ τοῖς ἁμαρτήμασι παραπλησίοις
ἐχρήσαντο καὶ τὸ τελευταῖον ὁμοίαις ταῖς συμφοραῖς
105 περιέπεσον. ἡμεῖς τε γὰρ μισηθέντες ὑπὸ τῶν συμμά- d
χων καὶ περὶ ἀνδραποδισμοῦ κινδυνεύσαντες ὑπὸ
Λακεδαιμονίων ἐσώθημεν, ἐκεῖνοί τε πάντων αὐτοὺς
ἀπολέσαι βουληθέντων ἐφ' ἡμᾶς καταφυγόντες δι'
ἡμῶν τῆς σωτηρίας ἔτυχον. καίτοι πῶς χρὴ τὴν ἀρχὴν
ταύτην ἐπαινεῖν τὴν τὰς τελευτὰς οὕτω πονηρὰς ἔχου-
σαν; ἢ πῶς οὐ μισεῖν καὶ φεύγειν τὴν πολλὰ καὶ δεινὰ
ποιεῖν ἀμφοτέρας τὰς πόλεις ἐπάρασαν καὶ παθεῖν
ἀναγκάσασαν;* e

106 *(λε΄.) Οὐκ ἄξιον δὲ θαυμάζειν, εἰ τὸν ἄλλον χρό-
νον ἐλάνθανεν ἅπαντας τοσούτων οὖσα κακῶν αἰτία
τοῖς ἔχουσιν αὐτήν, οὐδ' εἰ περιμάχητος ἦν ὑφ' ἡμῶν
καὶ Λακεδαιμονίων· εὑρήσετε γὰρ τοὺς πλείστους τῶν
ἀνθρώπων περὶ τὰς αἱρέσεις τῶν πραγμάτων ἁμαρτά-* 181
*νοντας, καὶ πλείους μὲν ἐπιθυμίας ἔχοντας τῶν κακῶν
ἢ τῶν ἀγαθῶν, ἄμεινον δὲ βουλευομένους ὑπὲρ τῶν
107 ἐχθρῶν ἢ σφῶν αὐτῶν. καὶ ταῦτ' ἴδοι τις ἂν ἐπὶ τῶν
μεγίστων· τί γὰρ οὐχ οὕτω γέγονεν; οὐχ ἡμεῖς μὲν
τοιαῦτα προῃρούμεθα πράττειν, ἐξ ὧν Λακεδαιμόνιοι
δεσπόται τῶν Ἑλλήνων κατέστησαν, ἐκεῖνοι δ' οὕτω
κακῶς προὔστησαν τῶν πραγμάτων ὥσθ' ἡμᾶς οὐ
πολλοῖς ἔτεσιν ὕστερον πάλιν ἐπιπολάσαι καὶ κυρίους* b
108 *γενέσθαι τῆς ἐκείνων σωτηρίας; οὐχ ἡ μὲν τῶν ἀττι-
κιζόντων πολυπραγμοσύνη λακωνίζειν τὰς πόλεις
ἐποίησεν, ἡ δὲ τῶν λακωνιζόντων ὕβρις ἀττικίζειν
τὰς αὐτὰς ταύτας ἠνάγκασεν; οὐ διὰ μὲν τὴν τῶν
δημηγορούντων πονηρίαν αὐτὸς ὁ δῆμος ἐπεθύμησε
τῆς ὀλιγαρχίας τῆς ἐπὶ τῶν τετρακοσίων καταστάσης,
διὰ δὲ τὴν τῶν τριάκοντα μανίαν ἅπαντες δημοτικώ-*

109 τεροι γεγόναμεν τῶν Φυλὴν καταλαβόντων; ἀλλὰ γὰρ c
ἐπὶ τῶν ἐλαττόνων καὶ τοῦ βίου τοῦ καθ' ἡμέραν ἐπι-
δείξειεν ἄν τις τοὺς πολλοὺς χαίροντας μὲν καὶ τῶν
ἐδεσμάτων καὶ τῶν ἐπιτηδευμάτων τοῖς καὶ τὸ σῶμα
καὶ τὴν ψυχὴν βλάπτουσιν, ἐπίπονα δὲ καὶ χαλεπὰ
νομίζοντας, ἀφ' ὧν ἀμφότερα ταῦτ' ἂν ὠφελοῖτο,
καὶ καρτερικοὺς εἶναι δοκοῦντας τοὺς ἐν τούτοις ἐμ-
110 μένοντας. οἵτινες οὖν ἐν οἷς ἀεὶ ζῶσι καὶ περὶ ὧν αὐ-
τοῖς μᾶλλον μέλει, τὰ χείρω φαίνονται προαιρούμενοι, d
τί θαυμαστὸν, εἰ περὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν
ἀγνοοῦσι καὶ μάχονται πρὸς ἀλλήλους, περὶ ἧς μηδεὶς
πώποτ' αὐτοῖς λογισμὸς εἰσῆλθεν;

111 (λϛ'.) Ὁρᾶτε δὲ καὶ τὰς μοναρχίας τὰς ἐν ταῖς
πόλεσι καθισταμένας, ὅσους ἔχουσι τοὺς ἐπιθυμητὰς
καὶ τοὺς ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν ὥστε κατα-
σχεῖν αὐτάς· αἷς τί τῶν δεινῶν ἢ τῶν χαλεπῶν οὐ
πρόσεστιν; οὐκ εὐθὺς ἐπειδὰν λάβωσι τὰς δυναστείας,
112 ἐν τοσούτοις ἐμπεπλεγμένοι κακοῖς εἰσὶν, ὥστ' ἀναγ- e
κάζεσθαι πολεμεῖν μὲν ἅπασι τοῖς πολίταις, μισεῖν δ'
ὑφ' ὧν οὐδὲν κακὸν πεπόνθασιν, ἀπιστεῖν δὲ τοῖς
φίλοις καὶ τοῖς ἑταίροις τοῖς αὐτῶν, παρακατατίθεσθαι 182
δὲ τὴν τῶν σωμάτων σωτηρίαν μισθοφόροις ἀνθρώ-
ποις, οὓς οὐδὲ πώποτ' εἶδον, μηδὲν δ' ἧττον φοβεῖ-
σθαι τοὺς φυλάττοντας ἢ τοὺς ἐπιβουλεύοντας, οὕτω
δ' ὑπόπτως πρὸς ἅπαντας ἔχειν ὥστε μηδὲ τοῖς οἰκειο-
113 τάτοις θαρρεῖν πλησιάζοντας; εἰκότως· συνίσασι γὰρ
τοὺς πρὸ αὐτῶν τετυραννευκότας τοὺς μὲν ὑπὸ τῶν
γονέων ἀνῃρημένους, τοὺς δ' ὑπὸ τῶν παίδων, τοὺς
δ' ὑπ' ἀδελφῶν, τοὺς δ' ὑπὸ γυναικῶν, ἔτι δὲ τὸ γένος b
αὐτῶν ἐξ ἀνθρώπων ἠφανισμένον. ἀλλ' ὅμως ὑπὸ
τοσαύτας τὸ πλῆθος συμφορὰς ἑκόντες σφᾶς αὐτοὺς
ὑποβάλλουσιν. ὅπου δ' οἱ πρωτεύοντες καὶ δόξας με-

γίστας ἔχοντες τοσούτων κακῶν ἐρῶσι, τί δεῖ θαυμά-
ζειν τοὺς ἄλλους, εἰ τοιούτων ἑτέρων ἐπιθυμοῦσιν;
114 (λζ΄.) Οὐκ ἀγνοῶ δ᾽ ὅτι τὸν μὲν περὶ τῶν τυράννων
λόγον ἀποδέχεσθε, τὸν δὲ περὶ τῆς ἀρχῆς δυσκόλως
ἀκούετε· πεπόνθατε γὰρ πάντων αἴσχιστον καὶ ῥᾳ-
θυμότατον· ἃ γὰρ ἐπὶ τῶν ἄλλων ὁρᾶτε, ταῦτ᾽ ἐφ᾽ c
ὑμῶν αὐτῶν ἀγνοεῖτε. καίτοι τῶν φρονίμως διακει-
μένων οὐκ ἐλάχιστον τοῦτο σημεῖόν ἐστιν, ἢν τὰς αὐ-
τὰς πράξεις ἐπὶ πάντων τῶν ὁμοίων φαίνωνται γνω-
115 ρίζοντες. ὧν ὑμῖν οὐδὲν πώποτ᾽ ἐμέλησεν, ἀλλὰ τὰς
μὲν τυραννίδας ἡγεῖσθε χαλεπὰς εἶναι καὶ βλαβερὰς
οὐ μόνον τοῖς ἄλλοις ἀλλὰ καὶ τοῖς ἔχουσιν αὐτὰς,
τὴν δ᾽ ἀρχὴν τὴν κατὰ θάλατταν μέγιστον τῶν ἀγα-
θῶν, τὴν οὐδὲν οὔτε τοῖς πάθεσιν οὔτε ταῖς πράξεσι d
τῶν μοναρχιῶν διαφέρουσαν. καὶ τὰ μὲν Θηβαίων
πράγματα νομίζετε πονηρῶς ἔχειν, ὅτι τοὺς περιοίκους
ἀδικοῦσιν, αὐτοὶ δ᾽ οὐδὲν βέλτιον τοὺς συμμάχους
διοικοῦντες ἢ ᾽κεῖνοι τὴν Βοιωτίαν, ἡγεῖσθε πάντα
τὰ δέοντα πράττειν.

116 (λη΄.) Ἢν οὖν ἐμοὶ πεισθῆτε, παυσάμενοι τοῦ
παντάπασιν εἰκῇ βουλεύεσθαι προσέξετε τὸν νοῦν
ὑμῖν αὐτοῖς καὶ τῇ πόλει καὶ φιλοσοφήσετε καὶ σκέψε-
σθε, τί τὸ ποιῆσάν ἐστι τὼ πόλη τούτω, λέγω δὲ τὴν e
ἡμετέραν καὶ τὴν Λακεδαιμονίων, ἐκ ταπεινῶν μὲν
πραγμάτων ἑκατέραν ὁρμηθεῖσαν ἄρξαι τῶν Ἑλλήνων,
ἐπειδὴ δ᾽ ἀνυπέρβλητον τὴν δύναμιν ἔλαβον, περὶ ἀν-
117 δραποδισμοῦ κινδυνεῦσαι· καὶ διὰ τίνας αἰτίας Θετ- 183
ταλοὶ μὲν μεγίστους πλούτους παραλαβόντες καὶ χώ-
ραν ἀρίστην καὶ πλείστην ἔχοντες εἰς ἀπορίαν καθε-
στήκασι, Μεγαρεῖς δὲ μικρῶν αὐτοῖς καὶ φαύλων τῶν
ἐξ ἀρχῆς ὑπαρξάντων, καὶ γῆν μὲν οὐκ ἔχοντες οὐδὲ
λιμένας οὐδ᾽ ἀργυρεῖα, πέτρας δὲ γεωργοῦντες, με-

118 γίστους οἴκους τῶν Ἑλλήνων κέκτηνται· κἀκείνων
μὲν τὰς ἀκροπόλεις ἄλλοι τινὲς ἀεὶ κατέχουσιν, ὄντων
αὐτοῖς πλέον τρισχιλίων ἱππέων καὶ πελταστῶν ἀνα- b
ριθμήτων, οὗτοι δὲ μικρὰν δύναμιν ἔχοντες τὴν αὑ-
τῶν ὅπως βούλονται διοικοῦσιν· καὶ πρὸς τούτοις οἱ
μὲν σφίσιν αὐτοῖς πολεμοῦσιν, οὗτοι δὲ μεταξὺ Πε-
λοποννησίων καὶ Θηβαίων καὶ τῆς ἡμετέρας πόλεως
119 οἰκοῦντες εἰρήνην ἄγοντες διατελοῦσιν. ἣν γὰρ ταῦτα
καὶ τὰ τοιαῦτα διεξίητε πρὸς ὑμᾶς αὐτούς, εὑρήσετε
τὴν μὲν ἀκολασίαν καὶ τὴν ὕβριν τῶν κακῶν αἰτίαν
γιγνομένην, τὴν δὲ σωφροσύνην τῶν ἀγαθῶν· ἣν c
ὑμεῖς ἐπὶ μὲν τῶν ἰδιωτῶν ἐπαινεῖτε, καὶ νομίζετε
τοὺς ταύτῃ χρωμένους ἀσφαλέστατα ζῆν καὶ βελτί-
στους εἶναι τῶν πολιτῶν, τὸ δὲ κοινὸν ἡμῶν οὐκ οἴ-
120 εσθε δεῖν τοιοῦτον παρασκευάζειν. καίτοι προσήκει
τὰς ἀρετὰς ἀσκεῖν καὶ τὰς κακίας φεύγειν πολὺ μᾶλ-
λον ταῖς πόλεσιν ἢ τοῖς ἰδιώταις. ἀνὴρ μὲν γὰρ ἀσεβὴς
καὶ πονηρὸς τυχὸν ἂν φθάσειε τελευτήσας πρὶν δοῦ-
ναι δίκην τῶν ἡμαρτημένων· αἱ δὲ πόλεις διὰ τὴν d
ἀθανασίαν ὑπομένουσι καὶ τὰς παρὰ τῶν ἀνθρώπων
καὶ τὰς παρὰ τῶν θεῶν τιμωρίας.
121 (λθʹ.) Ὧν ἐνθυμουμένους χρὴ μὴ προσέχειν τὸν
νοῦν τοῖς ἐν τῷ παρόντι μὲν χαριζομένοις, τοῦ δὲ
μέλλοντος χρόνου μηδεμίαν ἐπιμέλειαν ποιουμένοις,
μηδὲ τοῖς φιλεῖν μὲν τὸν δῆμον φάσκουσιν, ὅλην δὲ
τὴν πόλιν λυμαινομένοις· ὡς καὶ πρότερον, ἐπειδὴ
παρέλαβον οἱ τοιοῦτοι τὴν ἐπὶ τοῦ βήματος δυναστ[illegible] e
εἰς τοσαύτην ἄνοιαν προήγαγον τὴν πόλιν ὥ[illegible]
θεῖν αὐτήν, οἷάπερ ὀλίγῳ πρότερον ὑμῖν δ[illegible]
122 ὃ καὶ πάντων μάλιστ' ἄν τις θαυμάσει[illegible]
ρίζεσθε δημαγωγοὺς οὐ τοὺς τὴν αὐ[illegible]
τας τοῖς μεγάλην τὴν πόλιν ποιήσ[illegible]

καὶ λέγοντας καὶ πράττοντας τοῖς ἀπολέσασιν αὐτὴν, καὶ ταῦτ' εἰδότες οὐ μόνον ἐν τῷ ποιῆσαι τὴν πόλιν εὐδαίμονα τοὺς χρηστοὺς τῶν πονηρῶν διαφέροντας,
123 ἀλλὰ καὶ τὴν δημοκρατίαν ἐπὶ μὲν ἐκείνων ἐν πολλοῖς ἔτεσιν οὔτε κινηθεῖσαν οὔτε μεταστᾶσαν, ἐπὶ δὲ τούτων ἐν ὀλίγῳ χρόνῳ δὶς ἤδη καταλυθεῖσαν, καὶ τὰς φυγὰς καὶ τὰς ὑπὸ τῶν τυράννων καὶ τὰς ἐπὶ τῶν b
τριάκοντα γενομένας οὐ διὰ τοὺς συκοφάντας κατελθούσας ἀλλὰ διὰ τοὺς μισοῦντας τοὺς τοιούτους καὶ
124 μεγίστην ἐπ' ἀρετῇ δόξαν ἔχοντας. (μ'.) Ἀλλ' ὅμως τηλικούτων ἡμῖν ὑπομνημάτων καταλελειμμένων, ὡς ἐφ' ἑκατέρων αὐτῶν ἡ πόλις ἔπραττεν, οὕτω χαίρομεν ταῖς τῶν ῥητόρων πονηρίαις, ὥσθ' ὁρῶντες διὰ τὸν πόλεμον καὶ τὰς ταραχὰς, ἃς οὗτοι πεποιήκασι, τῶν μὲν ἄλλων πολιτῶν πολλοὺς ἐκ τῶν πατρῴων ἐκπεπτω- c
κότας, τούτους δ' ἐκ πενήτων πλουσίους γεγενημένους, οὐκ ἀγανακτοῦμεν, οὐδὲ φθονοῦμεν ταῖς εὐ-
125 πραγίαις αὐτῶν, ἀλλ' ὑπομένομεν τὴν μὲν πόλιν διαβολὰς ἔχουσαν, ὡς λυμαίνεται καὶ δασμολογεῖ τοὺς Ἕλληνας, τούτους δὲ τὰς ἐπικαρπίας λαμβάνοντας, καὶ τὸν μὲν δῆμον, ὅν φασιν οὗτοι δεῖν τῶν ἄλλων ἄρχειν, χεῖρον πράττοντα τῶν ταῖς ὀλιγαρχίαις δουλευόντων, οἷς δ' οὐδὲν ὑπῆρχεν ἀγαθὸν, τούτους δὲ διὰ τὴν ἄνοιαν τὴν ἡμετέραν ἐκ ταπεινῶν εὐδαίμονας γεγενημέ- d
126 νους. καίτοι Περικλῆς ὁ πρὸ τῶν τοιούτων δημαγωγὸς καταστὰς, παραλαβὼν τὴν πόλιν χεῖρον μὲν φρονοῦ- ... πρὶν κατασχεῖν τὴν ἀρχὴν, ἔτι δ' ἀνεκτῶς πο- ...ων, οὐκ ἐπὶ τὸν ἴδιον χρηματισμὸν ὥρμησεν, ...ὲν οἶκον ἐλάττω τὸν αὑτοῦ κατέλιπεν ...ρὸς παρέλαβεν, εἰς δὲ τὴν ἀκρόπολιν ...σχίλια τάλαντα χωρὶς τῶν ἱερῶν. e

127 οὗτοι δὲ τοσοῦτον ἐκείνου διενηνόχασιν, ὥστε λέγειν
μὲν τολμῶσιν, ὡς διὰ τὴν τῶν κοινῶν ἐπιμέλειαν οὐ
δύνανται τοῖς αὑτῶν ἰδίοις προσέχειν τὸν νοῦν, φαί-
νεται δὲ τὰ μὲν ἀμελούμενα τοσαύτην εἰληφότα τὴν
ἐπίδοσιν, ὅσην οὐδ' ἂν εὔξασθαι τοῖς θεοῖς πρότερον 18
ἠξίωσαν, τὸ δὲ πλῆθος ἡμῶν, οὗ κήδεσθαί φασιν,
οὕτω διακείμενον ὥστε μηδένα τῶν πολιτῶν ἡδέως
ζῆν μηδὲ ῥᾳθύμως, ἀλλ' ὀδυρμῶν μεστὴν εἶναι τὴν
128 πόλιν. οἱ μὲν γὰρ τὰς πενίας καὶ τὰς ἐνδείας ἀναγκά-
ζονται διεξιέναι καὶ θρηνεῖν πρὸς σφᾶς αὐτούς, οἱ δὲ
τὸ πλῆθος τῶν προσταγμάτων καὶ τῶν λειτουργιῶν
καὶ τὰ κακὰ τὰ περὶ τὰς συμμορίας καὶ τὰς ἀντιδόσεις·
ἃ τοιαύτας ἐμποιεῖ λύπας ὥστ' ἄλγιον ζῆν τοὺς τὰς b
οὐσίας κεκτημένους ἢ τοὺς συνεχῶς πενομένους.
129 (μα'.) Θαυμάζω δ' εἰ μὴ δύνασθε συνιδεῖν, ὅτι γένος
οὐδέν ἐστι κακονούστερον τῷ πλήθει πονηρῶν ῥητό-
ρων καὶ δημαγωγῶν· πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς καὶ
τῶν κατὰ τὴν ἡμέραν ἑκάστην ἀναγκαίων οὗτοι μά-
λιστα βούλονται σπανίζειν ὑμᾶς, ὁρῶντες τοὺς μὲν
ἐκ τῶν ἰδίων δυναμένους τὰ σφέτερ' αὐτῶν διοικεῖν
130 τῆς πόλεως ὄντας καὶ τῶν τὰ βέλτιστα λεγόντων, τοὺς
δ' ἀπὸ τῶν δικαστηρίων ζῶντας καὶ τῶν ἐκκλησιῶν c
καὶ τῶν ἐντεῦθεν λημμάτων ὑφ' αὑτοῖς διὰ τὴν ἔν-
δειαν ἠναγκασμένους εἶναι, καὶ πολλὴν χάριν ἔχοντας
ταῖς εἰσαγγελίαις καὶ ταῖς γραφαῖς καὶ ταῖς ἄλλαις συκο-
131 φαντίαις ταῖς δι' αὐτῶν γιγνομέναις. ἐν οὖν ταῖς ἀπο-
ρίαις, ἐν αἷς δυναστεύουσιν, ἐν ταύταις ἥδιστ' ἂν
ἴδοιεν ἅπαντας ὄντας τοὺς πολίτας. τεκμήριον δὲ
μέγιστον· οὐ γὰρ τοῦτο σκοποῦσιν, ἐξ οὗ τρόπου τοῖς
δεομένοις βίον ἐκποριοῦσιν, ἀλλ' ὅπως τοὺς ἔχειν τι d
δοκοῦντας τοῖς ἀπόροις ἐξισώσουσιν. (μβ'.) Τίς οὖν

ἀπαλλαγὴ γένοιτ' ἂν τῶν κακῶν τῶν παρόντων;
διείλεγμαι μὲν τὰ πλεῖστα περὶ αὐτῶν τούτων, οὐκ
ἐφεξῆς, ἀλλ' ὡς ἕκαστον τῷ καιρῷ συνέπιπτεν· μᾶλ-
λον δ' ἂν ὑμῖν ἐγγένοιτο μνημονεύειν, εἰ συναγαγὼν
τὰ μάλιστα κατεπείγοντα πάλιν ἐπανελθεῖν αὐτὰ πει-
ραθείην.

133 (μγ'.) Ἔστι δ' ἐξ ὧν ἂν ἐπανορθώσαιμεν τὰ
τῆς πόλεως καὶ βελτίω ποιήσαιμεν, πρῶτον μὲν ἢν e
συμβούλους ποιώμεθα τοιούτους περὶ τῶν κοινῶν,
οἵους περ ἂν περὶ τῶν ἰδίων ἡμῖν εἶναι βουληθεῖ-
μεν, καὶ παυσώμεθα δημοτικοὺς μὲν νομίζοντες τοὺς
συκοφάντας, ὀλιγαρχικοὺς δὲ τοὺς καλούς τε κἀγα- 186
θοὺς τῶν ἀνδρῶν, γνόντες, ὅτι φύσει μὲν οὐδεὶς
οὐδέτερον τούτων ἐστίν, ἐν ᾗ δ' ἂν ἕκαστοι τιμῶν-
ται, ταύτην βούλονται καθεστάναι τὴν πολιτείαν.
134 (μδ'.) Δεύτερον δ' ἢν ἐθελήσωμεν χρῆσθαι τοῖς συμ-
μάχοις ὁμοίως ὥσπερ τοῖς φίλοις, καὶ μὴ λόγῳ μὲν
αὐτονόμους ἀφιῶμεν, ἔργῳ δὲ τοῖς στρατηγοῖς αὐτοὺς
ὅ τι ἂν βούλωνται ποιεῖν ἐκδιδῶμεν, μηδὲ δεσποτικῶς
ἀλλὰ συμμαχικῶς αὐτῶν ἐπιστατῶμεν, ἐκεῖνο κατα- b
μαθόντες, ὅτι μιᾶς μὲν ἑκάστης τῶν πόλεων κρείττους
135 ἐσμέν, ἁπασῶν δ' ἥττους. (με'.) Τρίτον ἢν μηδὲν περὶ
πλείονος ἡγῆσθε μετά γε τὴν περὶ τοὺς θεοὺς εὐσέ-
βειαν τοῦ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν· τοῖς γὰρ
οὕτω διακειμένοις ἑκόντες καὶ τὰς δυναστείας καὶ τὰς
ἡγεμονίας διδόασιν.

136 (μς'.) Ἢν οὖν ἐμμείνητε τοῖς εἰρημένοις, καὶ πρὸς
τούτοις ὑμᾶς αὐτοὺς παράσχητε πολεμικοὺς μὲν ὄντας
ταῖς μελέταις καὶ ταῖς παρασκευαῖς, εἰρηνικοὺς δὲ c
τῷ μηδὲν παρὰ τὸ δίκαιον πράττειν, οὐ μόνον εὐδαί-
μονα ποιήσετε ταύτην τὴν πόλιν ἀλλὰ καὶ τοὺς Ἑλ-

137 ληνας ἅπαντας. οὐδὲ γὰρ ἄλλη τῶν πόλεων οὐδεμία
τολμήσει περὶ αὐτοὺς ἐξαμαρτάνειν, ἀλλ' ὀκνήσουσι
καὶ πολλὴν ἡσυχίαν ἄξουσιν, ὅταν εἰδῶσιν ἐφεδρεύ-
ουσαν τὴν δύναμιν τὴν ἡμετέραν καὶ παρεσκευασμέ-
νην τοῖς ἀδικουμένοις βοηθεῖν. οὐ μὴν ἀλλ' ὁπότερον
ἂν ποιήσωσιν, τό γ' ἡμέτερον καλῶς ἕξει καὶ συμφε-
138 ρόντως. ἤν τε γὰρ δόξῃ τῶν πόλεων ταῖς προεχούσαις d
ἀπέχεσθαι τῶν ἀδικημάτων, ἡμεῖς τούτων τῶν ἀγα-
θῶν τὴν αἰτίαν ἕξομεν· ἤν τ' ἐπιχειρῶσιν ἀδικεῖν,
ἐφ' ἡμᾶς ἅπαντες οἱ δεδιότες καὶ κακῶς πάσχοντες
καταφεύξονται, πολλὰς ἱκετείας καὶ δεήσεις ποιούμε-
νοι, καὶ διδόντες οὐ μόνον τὴν ἡγεμονίαν ἀλλὰ καὶ
139 σφᾶς αὐτούς. ὥστ' οὐκ ἀπορήσομεν, μεθ' ὧν κωλύ-
σομεν τοὺς ἐξαμαρτάνοντας, ἀλλὰ πολλοὺς ἕξομεν
τοὺς ἑτοίμως καὶ προθύμως συναγωνιζομένους ἡμῖν.
ποία γὰρ πόλις ἢ τίς ἀνθρώπων οὐκ ἐπιθυμήσει με- e
τασχεῖν τῆς φιλίας καὶ τῆς συμμαχίας τῆς ἡμετέρας,
ὅταν ὁρῶσι τοὺς αὐτοὺς ἀμφότερα, καὶ δικαιοτάτους
ὄντας καὶ μεγίστην δύναμιν κεκτημένους, καὶ τοὺς 1
μὲν ἄλλους σώζειν καὶ βουλομένους καὶ δυναμένους,
140 αὐτοὺς δὲ μηδεμιᾶς βοηθείας δεομένους; πόσην δὲ
χρὴ προσδοκᾶν ἐπίδοσιν τὰ τῆς πόλεως λήψεσθαι,
τοιαύτης εὐνοίας ἡμῖν παρὰ τῶν ἄλλων ὑπαρξάσης;
πόσον δὲ πλοῦτον εἰς τὴν πόλιν εἰσρυήσεσθαι, δι'
ἡμῶν ἁπάσης τῆς Ἑλλάδος σωζομένης; τίνας δ' οὐκ
ἐπαινέσεσθαι τοὺς τοσούτων καὶ τηλικούτων ἀγαθῶν
141 αἰτίους γεγενημένους; ἀλλὰ γὰρ οὐ δύναμαι διὰ τὴν b
ἡλικίαν ἅπαντα τῷ λόγῳ περιλαβεῖν, ἃ τυγχάνω τῇ
διανοίᾳ καθορῶν, πλὴν ὅτι καλόν ἐστιν ἐν ταῖς τῶν
ἄλλων ἀδικίαις καὶ μανίαις πρώτους εὖ φρονήσαντας
προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας, καὶ σωτῆρας
ἀλλὰ μὴ λυμεῶνας αὐτῶν κληθῆναι, καὶ περιβλέπτους

ἐπ' ἀρετῇ γενομένους τὴν δόξαν τὴν τῶν προγόνων ἀναλαβεῖν.

142 (μζ'.) *Κεφάλαιον δὲ τούτων ἐκεῖν' ἔχω λέγειν,* c
εἰς ὃ πάντα τὰ προειρημένα συντείνει καὶ πρὸς ὃ χρὴ βλέποντας τὰς πράξεις τὰς τῆς πόλεως δοκιμάζειν. δεῖ γὰρ ἡμᾶς, εἴπερ βουλόμεθα διαλύσασθαι μὲν τὰς διαβολὰς, ἃς ἔχομεν ἐν τῷ παρόντι, παύσασθαι δὲ τῶν πολέμων τῶν μάτην γιγνομένων, κτήσασθαι δὲ τῇ πόλει τὴν ἡγεμονίαν εἰς τὸν ἅπαντα χρόνον, μισῆσαι μὲν ἁπάσας τὰς τυραννικὰς ἀρχὰς καὶ τὰς δυναστείας, ἀναλογισαμένους τὰς συμφορὰς τὰς ἐξ αὐτῶν γεγενημένας, d
ζηλῶσαι δὲ καὶ μιμήσασθαι τὰς ἐν Λακεδαίμονι βασι-
143 *λείας. ἐκείνοις γὰρ ἀδικεῖν μὲν ἧττον ἔξεστιν ἢ τοῖς ἰδιώταις, τοσούτῳ δὲ μακαριστότεροι τυγχάνουσιν ὄντες τῶν βίᾳ τὰς τυραννίδας κατεχόντων, ὅσον οἱ μὲν τοὺς τοιούτους ἀποκτείναντες τὰς μεγίστας δωρεὰς παρὰ τῶν συμπολιτευομένων λαμβάνουσιν, ὑπὲρ ἐκείνων δ' οἱ μὴ τολμῶντες ἐν ταῖς μάχαις ἀποθνή-* e
σκειν ἀτιμότεροι γίγνονται τῶν τὰς τάξεις λειπόντων
144 *καὶ τὰς ἀσπίδας ἀποβαλλόντων. ἄξιον οὖν ὀρέγεσθαι τῆς τοιαύτης ἡγεμονίας. ἔνεστι δ' ἐν τοῖς πράγμασιν ἡμῶν τυχεῖν παρὰ τῶν Ἑλλήνων τῆς τιμῆς ταύτης, ἥνπερ ἐκεῖνοι παρὰ τῶν πολιτῶν ἔχουσιν, ἢν ὑπολά-* 188
βωσι τὴν δύναμιν τὴν ἡμετέραν μὴ δουλείας ἀλλὰ σωτηρίας αἰτίαν αὐτοῖς ἔσεσθαι.

145 (μη'.) *Πολλῶν δὲ καὶ καλῶν λόγον ἐνόντων περὶ τὴν ὑπόθεσιν ταύτην, ἐμοὶ μὲν ἀμφότερα συμβουλεύει παύσασθαι λέγοντι, καὶ τὸ μῆκος τοῦ λόγου καὶ τὸ πλῆθος τῶν ἐτῶν τῶν ἐμῶν· τοῖς δὲ νεωτέροις καὶ μᾶλλον ἀκμάζουσιν ἡγὼ παραινῶ καὶ παρακελεύομαι τοιαῦτα καὶ λέγειν καὶ γράφειν, ἐξ ὧν τὰς μεγίστας τῶν πόλεων καὶ τὰς εἰθισμένας ταῖς ἄλλαις κακὰ παρέ-*

χειν προτρέψουσιν ἐπ' ἀρετὴν καὶ δικαιοσύνην, ὡς ἐν ταῖς τῆς Ἑλλάδος εὐπραγίαις συμβαίνει καὶ τὰ τῶν φιλοσόφων πράγματα πολὺ βελτίω γίγνεσθαι.

9.
ΕΥΑΓΟΡΑΣ.

(α΄.) Ὁρῶν, ὦ Νικόκλεις, τιμῶντά σε τὸν τάφον 1(
τοῦ πατρὸς οὐ μόνον τῷ πλήθει καὶ τῷ κάλλει τῶν ἐπιφερομένων ἀλλὰ καὶ χοροῖς καὶ μουσικῇ καὶ γυμνικοῖς ἀγῶσιν, ἔτι δὲ πρὸς τούτοις ἵππων τε καὶ τριήρων ἁμίλλαις, καὶ λείποντ' οὐδεμίαν τῶν τοιούτων
2 ὑπερβολήν, ἡγησάμην Εὐαγόραν, εἴ τις ἐστὶν αἴσθησις τοῖς τετελευτηκόσι περὶ τῶν ἐνθάδε γιγνομένων, b
εὐμενῶς μὲν ἀποδέχεσθαι καὶ ταῦτα, καὶ χαίρειν ὁρῶντα τήν τε περὶ αὐτὸν ἐπιμέλειαν καὶ τὴν σὴν μεγαλοπρέπειαν, πολὺ δ' ἂν ἔτι πλείω χάριν ἔχειν ἢ τοῖς ἄλλοις ἅπασιν, εἴ τις δυνηθείη περὶ τῶν ἐπιτηδευμάτων αὐτοῦ καὶ τῶν κινδύνων ἀξίως διελθεῖν
3 τῶν ἐκείνῳ πεπραγμένων· εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν οὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους ἀλλ' ἀντὶ τοῦ c
ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας, καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην
4 καταλείψουσιν. αἱ μὲν οὖν δαπάναι τῶν μὲν τοιούτων οὐδὲν ἐξεργάζονται, τοῦ δὲ πλούτου σημεῖόν εἰσιν· οἱ δὲ περὶ τὴν μουσικὴν καὶ τὰς ἄλλας ἀγωνίας ὄντες, οἱ μὲν τὰς δυνάμεις τὰς αὑτῶν, οἱ δὲ τὰς τέχνας ἐπι-

δεξάμενοι, σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν· d
ὁ δὲ λόγος εἰ καλῶς διέλθοι τὰς ἐκείνου πράξεις, ἀεί-
μνηστον ἂν τὴν ἀρετὴν τὴν Εὐαγόρου παρὰ πᾶσιν
ἀνθρώποις ποιήσειεν.

5 (β'.) Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν
τοὺς ἐφ' αὑτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους, ἵν' οἵ
τε δυνάμενοι τὰ τῶν ἄλλων ἔργα κοσμεῖν ἐν εἰδόσι
ποιούμενοι τοὺς λόγους ταῖς ἀληθείαις ἐχρῶντο περὶ 190
αὐτῶν, οἵ τε νεώτεροι φιλοτιμοτέρως διέκειντο πρὸς
τὴν ἀρετὴν, εἰδότες, ὅτι τούτων εὐλογήσονται μᾶλλον
6 ὧν ἂν ἀμείνους σφᾶς αὐτοὺς παράσχωσιν. νῦν δὲ τίς
οὐκ ἂν ἀθυμήσειεν, ὅταν ὁρᾷ τοὺς μὲν περὶ τὰ Τρωϊκὰ
καὶ τοὺς ἐπέκεινα γενομένους ὑμνουμένους καὶ τρα-
γῳδουμένους, αὑτὸν δὲ προειδῇ, μηδ' ἂν ὑπερβάλλῃ
τὰς ἐκείνων ἀρετὰς, μηδέποτε τοιούτων ἐπαίνων ἀξι- b
ωθησόμενον; τούτων δ' αἴτιος ὁ φθόνος, ᾧ τοῦτο
μόνον ἀγαθὸν πρόσεστιν, ὅτι μέγιστον κακὸν τοῖς
ἔχουσίν ἐστιν. οὕτω γάρ τινες δυσκόλως πεφύκασιν,
ὥσθ' ἥδιον ἂν εὐλογουμένων ἀκούοιεν, οὓς οὐκ ἴσα-
σιν εἰ γεγόνασιν, ἢ τούτων, ὑφ' ὧν εὖ πεπονθότες
7 αὐτοὶ τυγχάνουσιν. οὐ μὴν δουλευτέον τοὺς νοῦν
ἔχοντας τοῖς οὕτω κακῶς φρονοῦσιν, ἀλλὰ τῶν μὲν
τοιούτων ἀμελητέον, τοὺς δ' ἄλλους ἐθιστέον ἀκού- c
ειν, περὶ ὧν καὶ λέγειν δίκαιόν ἐστιν, ἄλλως τ' ἐπειδὴ
καὶ τὰς ἐπιδόσεις ἴσμεν γιγνομένας καὶ τῶν τεχνῶν
καὶ τῶν ἄλλων ἁπάντων οὐ διὰ τοὺς ἐμμένοντας τοῖς
καθεστῶσιν ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας καὶ τολ-
μῶντας ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων.

8 (γ'.) Οἶδα μὲν οὖν, ὅτι χαλεπόν ἐστιν, ὃ μέλλω
ποιεῖν, ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. σημεῖον
δὲ μέγιστον· περὶ μὲν γὰρ ἄλλων πολλῶν καὶ παντο-
δαπῶν λέγειν τολμῶσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες,

118 γίστους οἴκους τῶν Ἑλλήνων κέκτηνται· κἀκείνων μὲν τὰς ἀκροπόλεις ἄλλοι τινὲς ἀεὶ κατέχουσιν, ὄντων αὐτοῖς πλέον τρισχιλίων ἱππέων καὶ πελταστῶν ἀνα- b ριθμήτων, οὗτοι δὲ μικρὰν δύναμιν ἔχοντες τὴν αὑτῶν ὅπως βούλονται διοικοῦσιν· καὶ πρὸς τούτοις οἱ μὲν σφίσιν αὐτοῖς πολεμοῦσιν, οὗτοι δὲ μεταξὺ Πελοποννησίων καὶ Θηβαίων καὶ τῆς ἡμετέρας πόλεως
119 οἰκοῦντες εἰρήνην ἄγοντες διατελοῦσιν. ἢν γὰρ ταῦτα καὶ τὰ τοιαῦτα διεξίητε πρὸς ὑμᾶς αὐτούς, εὑρήσετε τὴν μὲν ἀκολασίαν καὶ τὴν ὕβριν τῶν κακῶν αἰτίαν γιγνομένην, τὴν δὲ σωφροσύνην τῶν ἀγαθῶν· ἣν c ὑμεῖς ἐπὶ μὲν τῶν ἰδιωτῶν ἐπαινεῖτε, καὶ νομίζετε τοὺς ταύτῃ χρωμένους ἀσφαλέστατα ζῆν καὶ βελτίστους εἶναι τῶν πολιτῶν, τὸ δὲ κοινὸν ἡμῶν οὐκ οἴ-
120 εσθε δεῖν τοιοῦτον παρασκευάζειν. καίτοι προσήκει τὰς ἀρετὰς ἀσκεῖν καὶ τὰς κακίας φεύγειν πολὺ μᾶλλον ταῖς πόλεσιν ἢ τοῖς ἰδιώταις. ἀνὴρ μὲν γὰρ ἀσεβὴς καὶ πονηρὸς τυχὸν ἂν φθάσειε τελευτήσας πρὶν δοῦναι δίκην τῶν ἡμαρτημένων· αἱ δὲ πόλεις διὰ τὴν d ἀθανασίαν ὑπομένουσι καὶ τὰς παρὰ τῶν ἀνθρώπων καὶ τὰς παρὰ τῶν θεῶν τιμωρίας.

121 (λθʹ.) Ὧν ἐνθυμουμένους χρὴ μὴ προσέχειν τὸν
νοῦν τοῖς ἐν τῷ παρόντι μὲν χαριζομένοις, τοῦ δὲ
μέλλοντος χρόνου μηδεμίαν ἐπιμέλειαν ποιου[illegible]
μηδὲ τοῖς φιλεῖν μὲν τὸν δῆμον φάσκουσι[illegible]
τὴν πόλιν λυμαινομένοις· ὡς καὶ πρότ[illegible]
παρέλαβον οἱ τοιοῦτοι τὴν ἐπὶ τοῦ βήμα[illegible]
εἰς τοσαύτην ἄνοιαν προήγαγον τὴ[illegible]
θεῖν αὐτήν, οἵαπερ [illegible]
122 ὃ καὶ πάντων μ[illegible]
ρίζεσθε δ[illegible]
τας τοῖς [illegible]

καὶ λέγοντας καὶ πράττοντας τοῖς ἀπολέσασιν αὐτὴν, καὶ ταῦτ' εἰδότες οὐ μόνον ἐν τῷ ποιῆσαι τὴν πόλιν εὐδαίμονα τοὺς χρηστοὺς τῶν πονηρῶν διαφέροντας,
123 ἀλλὰ καὶ τὴν δημοκρατίαν ἐπὶ μὲν ἐκείνων ἐν πολλοῖς ἔτεσιν οὔτε κινηθεῖσαν οὔτε μεταστᾶσαν, ἐπὶ δὲ τούτων ἐν ὀλίγῳ χρόνῳ δὶς ἤδη καταλυθεῖσαν, καὶ τὰς φυγὰς καὶ τὰς ὑπὸ τῶν τυράννων καὶ τὰς ἐπὶ τῶν b
τριάκοντα γενομένας οὐ διὰ τοὺς συκοφάντας κατελθούσας ἀλλὰ διὰ τοὺς μισοῦντας τοὺς τοιούτους καὶ
124 μεγίστην ἐπ' ἀρετῇ δόξαν ἔχοντας. (μ'.) Ἀλλ' ὅμως τηλικούτων ἡμῖν ὑπομνημάτων καταλελειμμένων, ὡς ἐφ' ἑκατέρων αὐτῶν ἡ πόλις ἔπραττεν, οὕτω χαίρομεν ταῖς τῶν ῥητόρων πονηρίαις, ὥσθ' ὁρῶντες διὰ τὸν πόλεμον καὶ τὰς ταραχὰς, ἃς οὗτοι πεποιήκασι, τῶν μὲν ἄλλων πολιτῶν πολλοὺς ἐκ τῶν πατρῴων ἐκπεπτω- c
κότας, τούτους δ' ἐκ πενήτων πλουσίους γεγενημένους, οὐκ ἀγανακτοῦμεν, οὐδὲ φθονοῦμεν ταῖς εὐ-
125 πραγίαις αὐτῶν, ἀλλ' ὑπομένομεν τὴν μὲν πόλιν διαβολὰς ἔχουσαν, ὡς λυμαίνεται καὶ δασμολογεῖ τοὺς Ἕλληνας, τούτους δὲ τὰς ἐπικαρπίας λαμβάνοντας, καὶ τὸν μὲν δῆμον, ὅν φασιν οὗτοι δεῖν τῶν ἄλλων ἄρχειν, χεῖρον πράττοντα τῶν ταῖς ὀλιγαρχίαις δουλευόντων, οἷς δ' οὐδὲν ὑπῆρχεν ἀγαθ[illegible] τούτους δὲ διὰ τὴν ἄνοι-
αν τὴν ἡμετέραν ἐκ ταπ[illegible] γεγενημέ- d
126 νους. καίτοι Περικλῆς [illegible] δημαγωγὸς καταστὰς, παρ[illegible] μὲν φρονοῦσαν ἢ πρὶν [illegible] δ' ἀνεκτῶς πολιτευομέν[illegible]
ἀλλὰ τ[illegible]
ἢ πα[illegible] e

127 οὗτοι δὲ τοσοῦτον ἐκείνου διενηνόχασιν, ὥστε λέγειν
μὲν τολμῶσιν, ὡς διὰ τὴν τῶν κοινῶν ἐπιμέλειαν οὐ
δύνανται τοῖς αὑτῶν ἰδίοις προσέχειν τὸν νοῦν, φαί-
νεται δὲ τὰ μὲν ἀμελούμενα τοσαύτην εἰληφότα τὴν
ἐπίδοσιν, ὅσην οὐδ' ἂν εὔξασθαι τοῖς θεοῖς πρότερον 185
ἠξίωσαν, τὸ δὲ πλῆθος ἡμῶν, οὗ κήδεσθαί φασιν,
οὕτω διακείμενον ὥστε μηδένα τῶν πολιτῶν ἡδέως
ζῆν μηδὲ ῥᾳθύμως, ἀλλ' ὀδυρμῶν μεστὴν εἶναι τὴν
128 πόλιν. οἱ μὲν γὰρ τὰς πενίας καὶ τὰς ἐνδείας ἀναγκά-
ζονται διεξιέναι καὶ θρηνεῖν πρὸς σφᾶς αὐτούς, οἱ δὲ
τὸ πλῆθος τῶν προσταγμάτων καὶ τῶν λειτουργιῶν
καὶ τὰ κακὰ τὰ περὶ τὰς συμμορίας καὶ τὰς ἀντιδόσεις·
ἃ τοιαύτας ἐμποιεῖ λύπας ὥστ' ἄλγιον ζῆν τοὺς τὰς b
οὐσίας κεκτημένους ἢ τοὺς συνεχῶς πενομένους.
129 (μα'.) Θαυμάζω δ' εἰ μὴ δύνασθε συνιδεῖν, ὅτι γένος
οὐδέν ἐστι κακονούστερον τῷ πλήθει πονηρῶν ῥητό-
ρων καὶ δημαγωγῶν· πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς καὶ
τῶν κατὰ τὴν ἡμέραν ἑκάστην ἀναγκαίων οὗτοι μά-
λιστα βούλονται σπανίζειν ὑμᾶς, ὁρῶντες τοὺς μὲν
ἐκ τῶν ἰδίων δυναμένους τὰ σφέτερ' αὐτῶν διοικεῖν
130 τῆς πόλεως ὄντας καὶ τῶν τὰ βέλτιστα λεγόντων, τοὺς
δ' ἀπὸ τῶν δικαστηρίων ζῶντας καὶ τῶν ἐκκλησιῶν c
καὶ τῶν ἐντεῦθεν λημμάτων ὑφ' αὑτοῖς διὰ τὴν ἔν-
δειαν ἠναγκασμένους εἶναι, καὶ πολλὴν χάριν ἔχοντας
ταῖς εἰσαγγελίαις καὶ ταῖς γραφαῖς καὶ ταῖς ἄλλαις συκο-
131 φαντίαις ταῖς δι' αὑτῶν γιγνομέναις. ἐν οὖν ταῖς ἀπο-
ρίαις, ἐν αἷς δυναστεύουσιν, ἐν ταύταις ἥδιστ' ἂν
ἴδοιεν ἅπαντας ὄντας τοὺς πολίτας. τεκμήριον δὲ
μέγιστον· οὐ γὰρ τοῦτο σκοποῦσιν, ἐξ οὗ τρόπου τοῖς
δεομένοις βίον ἐκποριοῦσιν, ἀλλ' ὅπως τοὺς ἔχειν τι d
δοκοῦντας τοῖς ἀπόροις ἐξισώσουσιν. (μβ'.) Τίς οὖν

ἀπαλλαγὴ γένοιτ' ἂν τῶν κακῶν τῶν παρόντων;
διείλεγμαι μὲν τὰ πλεῖστα περὶ αὐτῶν τούτων, οὐκ
ἐφεξῆς, ἀλλ' ὡς ἕκαστον τῷ καιρῷ συνέπιπτεν· μᾶλ-
λον δ' ἂν ὑμῖν ἐγγένοιτο μνημονεύειν, εἰ συναγαγὼν
τὰ μάλιστα κατεπείγοντα πάλιν ἐπανελθεῖν αὐτὰ πει-
ραθείην.

133 (μγ'.) Ἔστι δ' ἐξ ὧν ἂν ἐπανορθώσαιμεν τὰ
τῆς πόλεως καὶ βελτίω ποιήσαιμεν, πρῶτον μὲν ἢν e
συμβούλους ποιώμεθα τοιούτους περὶ τῶν κοινῶν,
οἵους περ ἂν περὶ τῶν ἰδίων ἡμῖν εἶναι βουληθεῖ-
μεν, καὶ παυσώμεθα δημοτικοὺς μὲν νομίζοντες τοὺς
συκοφάντας, ὀλιγαρχικοὺς δὲ τοὺς καλούς τε κἀγα- 186
θοὺς τῶν ἀνδρῶν, γνόντες, ὅτι φύσει μὲν οὐδεὶς
οὐδέτερον τούτων ἐστίν, ἐν ᾗ δ' ἂν ἕκαστοι τιμῶν-
ται, ταύτην βούλονται καθεστάναι τὴν πολιτείαν.
134 (μδ'.) Δεύτερον δ' ἢν ἐθελήσωμεν χρῆσθαι τοῖς συμ-
μάχοις ὁμοίως ὥσπερ τοῖς φίλοις, καὶ μὴ λόγῳ μὲν
αὐτονόμους ἀφιῶμεν, ἔργῳ δὲ τοῖς στρατηγοῖς αὐτοὺς
ὅ τι ἂν βούλωνται ποιεῖν ἐκδιδῶμεν, μηδὲ δεσποτικῶς
ἀλλὰ συμμαχικῶς αὐτῶν ἐπιστατῶμεν, ἐκεῖνο κατα- b
μαθόντες, ὅτι μιᾶς μὲν ἑκάστης τῶν πόλεων κρείττους
135 ἐσμέν, ἁπασῶν δ' ἥττους. (με'.) Τρίτον ἢν μηδὲν περὶ
πλείονος ἡγῆσθε μετά γε τὴν περὶ τοὺς θεοὺς εὐσέ-
βειαν τοῦ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν· τοῖς γὰρ
οὕτω διακειμένοις ἑκόντες καὶ τὰς δυναστείας καὶ τὰς
ἡγεμονίας διδόασιν.

136 (μς'.) Ἢν οὖν ἐμμείνητε τοῖς εἰρημένοις, καὶ πρὸς
τούτοις ὑμᾶς αὐτοὺς παράσχητε πολεμικοὺς μὲν ὄντας
ταῖς μελέταις καὶ ταῖς παρασκευαῖς, εἰρηνικοὺς δὲ c
τῷ μηδὲν παρὰ τὸ δίκαιον πράττειν, οὐ μόνον εὐδαί-
μονα ποιήσετε ταύτην τὴν πόλιν ἀλλὰ καὶ τοὺς Ἕλ-

137 ληνας ἅπαντας. οὐδὲ γὰρ ἄλλη τῶν πόλεων οὐδεμία
τολμήσει περὶ αὐτοὺς ἐξαμαρτάνειν, ἀλλ᾽ ὀκνήσουσι
καὶ πολλὴν ἡσυχίαν ἄξουσιν, ὅταν εἰδῶσιν ἐφεδρεύ-
ουσαν τὴν δύναμιν τὴν ἡμετέραν καὶ παρεσκευασμέ-
νην τοῖς ἀδικουμένοις βοηθεῖν. οὐ μὴν ἀλλ᾽ ὁπότερον
ἂν ποιήσωσιν, τό γ᾽ ἡμέτερον καλῶς ἕξει καὶ συμφε-
138 ρόντως. ἤν τε γὰρ δόξῃ τῶν πόλεων ταῖς προεχούσαις d
ἀπέχεσθαι τῶν ἀδικημάτων, ἡμεῖς τούτων τῶν ἀγα-
θῶν τὴν αἰτίαν ἕξομεν· ἤν τ᾽ ἐπιχειρῶσιν ἀδικεῖν,
ἐφ᾽ ἡμᾶς ἅπαντες οἱ δεδιότες καὶ κακῶς πάσχοντες
καταφεύξονται, πολλὰς ἱκετείας καὶ δεήσεις ποιούμε-
νοι, καὶ διδόντες οὐ μόνον τὴν ἡγεμονίαν ἀλλὰ καὶ
139 σφᾶς αὐτούς. ὥστ᾽ οὐκ ἀπορήσομεν, μεθ᾽ ὧν κωλύ-
σομεν τοὺς ἐξαμαρτάνοντας, ἀλλὰ πολλοὺς ἕξομεν
τοὺς ἑτοίμως καὶ προθύμως συναγωνιζομένους ἡμῖν.
ποία γὰρ πόλις ἢ τίς ἀνθρώπων οὐκ ἐπιθυμήσει με- e
τασχεῖν τῆς φιλίας καὶ τῆς συμμαχίας τῆς ἡμετέρας,
ὅταν ὁρῶσι τοὺς αὐτοὺς ἀμφότερα, καὶ δικαιοτάτους
ὄντας καὶ μεγίστην δύναμιν κεκτημένους, καὶ τοὺς 18
μὲν ἄλλους σῴζειν καὶ βουλομένους καὶ δυναμένους,
140 αὐτοὺς δὲ μηδεμιᾶς βοηθείας δεομένους; πόσην δὲ
χρὴ προσδοκᾶν ἐπίδοσιν τὰ τῆς πόλεως λήψεσθαι,
τοιαύτης εὐνοίας ἡμῖν παρὰ τῶν ἄλλων ὑπαρξάσης;
πόσον δὲ πλοῦτον εἰς τὴν πόλιν εἰσρυήσεσθαι, δι᾽
ἡμῶν ἁπάσης τῆς Ἑλλάδος σῳζομένης; τίνας δ᾽ οὐκ
ἐπαινέσεσθαι τοὺς τοσούτων καὶ τηλικούτων ἀγαθῶν
141 αἰτίους γεγενημένους; ἀλλὰ γὰρ οὐ δύναμαι διὰ τὴν b
ἡλικίαν ἅπαντα τῷ λόγῳ περιλαβεῖν, ἃ τυγχάνω τῇ
διανοίᾳ καθορῶν, πλὴν ὅτι καλόν ἐστιν ἐν ταῖς τῶν
ἄλλων ἀδικίαις καὶ μανίαις πρώτους εὖ φρονήσαντας
προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας, καὶ σωτῆρας
ἀλλὰ μὴ λυμεῶνας αὐτῶν κληθῆναι, καὶ περιβλέπτους

ἐπ' ἀρετῇ γενομένους τὴν δόξαν τὴν τῶν προγόνων ἀναλαβεῖν.

142 (μζ'.) Κεφάλαιον δὲ τούτων ἐκεῖν' ἔχω λέγειν, c
εἰς ὃ πάντα τὰ προειρημένα συντείνει καὶ πρὸς ὃ χρὴ βλέποντας τὰς πράξεις τὰς τῆς πόλεως δοκιμάζειν. δεῖ γὰρ ἡμᾶς, εἴπερ βουλόμεθα διαλύσασθαι μὲν τὰς διαβολάς, ἃς ἔχομεν ἐν τῷ παρόντι, παύσασθαι δὲ τῶν πολέμων τῶν μάτην γιγνομένων, κτήσασθαι δὲ τῇ πόλει τὴν ἡγεμονίαν εἰς τὸν ἅπαντα χρόνον, μισῆσαι μὲν ἁπάσας τὰς τυραννικὰς ἀρχὰς καὶ τὰς δυναστείας, ἀναλογισαμένους τὰς συμφορὰς τὰς ἐξ αὐτῶν γεγενημένας, d
ζηλῶσαι δὲ καὶ μιμήσασθαι τὰς ἐν Λακεδαίμονι βασι-
143 λείας. ἐκείνοις γὰρ ἀδικεῖν μὲν ἧττον ἔξεστιν ἢ τοῖς ἰδιώταις, τοσούτῳ δὲ μακαριστότεροι τυγχάνουσιν ὄντες τῶν βίᾳ τὰς τυραννίδας κατεχόντων, ὅσον οἱ μὲν τοὺς τοιούτους ἀποκτείναντες τὰς μεγίστας δωρεὰς παρὰ τῶν συμπολιτευομένων λαμβάνουσιν, ὑπὲρ ἐκείνων δ' οἱ μὴ τολμῶντες ἐν ταῖς μάχαις ἀποθνή- e
σκειν ἀτιμότεροι γίγνονται τῶν τὰς τάξεις λειπόντων
144 καὶ τὰς ἀσπίδας ἀποβαλλόντων. ἄξιον οὖν ὀρέγεσθαι τῆς τοιαύτης ἡγεμονίας. ἔνεστι δ' ἐν τοῖς πράγμασιν ἡμῶν τυχεῖν παρὰ τῶν Ἑλλήνων τῆς τιμῆς ταύτης, ἥνπερ ἐκεῖνοι παρὰ τῶν πολιτῶν ἔχουσιν, ἢν ὑπολά- 188
βωσι τὴν δύναμιν τὴν ἡμετέραν μὴ δουλείας ἀλλὰ σωτηρίας αἰτίαν αὐτοῖς ἔσεσθαι.

145 (μη'.) Πολλῶν δὲ καὶ καλῶν λόγων ἐνόντων περὶ τὴν ὑπόθεσιν ταύτην, ἐμοὶ μὲν ἀμφότερα συμβουλεύει παύσασθαι λέγοντι, καὶ τὸ μῆκος τοῦ λόγου καὶ τὸ πλῆθος τῶν ἐτῶν τῶν ἐμῶν· τοῖς δὲ νεωτέροις καὶ μᾶλλον ἀκμάζουσιν ἠγὼ παραινῶ καὶ παρακελεύομαι τοιαῦτα καὶ λέγειν καὶ γράφειν, ἐξ ὧν τὰς μεγίστας τῶν πόλεων καὶ τὰς εἰθισμένας ταῖς ἄλλαις κακὰ παρέ-

χειν προτρέψουσιν ἐπ' ἀρετὴν καὶ δικαιοσύνην, ὡς ἐν ταῖς τῆς Ἑλλάδος εὐπραγίαις συμβαίνει καὶ τὰ τῶν φιλοσόφων πράγματα πολὺ βελτίω γίγνεσθαι.

9.

ΕΥΑΓΟΡΑΣ.

(α'.) Ὁρῶν, ὦ Νικόκλεις, τιμῶντά σε τὸν τάφον 18
τοῦ πατρὸς οὐ μόνον τῷ πλήθει καὶ τῷ κάλλει τῶν ἐπιφερομένων ἀλλὰ καὶ χοροῖς καὶ μουσικῇ καὶ γυμνικοῖς ἀγῶσιν, ἔτι δὲ πρὸς τούτοις ἵππων τε καὶ τριήρων ἁμίλλαις, καὶ λείποντ' οὐδεμίαν τῶν τοιούτων
2 ὑπερβολήν, ἡγησάμην Εὐαγόραν, εἴ τις ἐστὶν αἴσθησις τοῖς τετελευτηκόσι περὶ τῶν ἐνθάδε γιγνομένων, b
εὐμενῶς μὲν ἀποδέχεσθαι καὶ ταῦτα, καὶ χαίρειν ὁρῶντα τήν τε περὶ αὐτὸν ἐπιμέλειαν καὶ τὴν σὴν μεγαλοπρέπειαν, πολὺ δ' ἂν ἔτι πλείω χάριν ἔχειν ἢ τοῖς ἄλλοις ἅπασιν, εἴ τις δυνηθείη περὶ τῶν ἐπιτηδευμάτων αὐτοῦ καὶ τῶν κινδύνων ἀξίως διελθεῖν
3 τῶν ἐκείνῳ πεπραγμένων· εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν οὐ μόνον ἀντὶ
τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους ἀλλ' ἀντὶ τοῦ c
ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας, καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην
4 καταλείψουσιν. αἱ μὲν οὖν δαπάναι τῶν μὲν τοιούτων οὐδὲν ἐξεργάζονται, τοῦ δὲ πλούτου σημεῖόν εἰσιν· οἱ δὲ περὶ τὴν μουσικὴν καὶ τὰς ἄλλας ἀγωνίας ὄντες, οἱ μὲν τὰς δυνάμεις τὰς αὐτῶν, οἱ δὲ τὰς τέχνας ἐπι-

δεξάμενοι, σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν· d
ὁ δὲ λόγος εἰ καλῶς διέλθοι τὰς ἐκείνου πράξεις, ἀεί-
μνηστον ἂν τὴν ἀρετὴν τὴν Εὐαγόρου παρὰ πᾶσιν
ἀνθρώποις ποιήσειεν.

5 (β΄.) Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν
τοὺς ἐφ᾽ αὑτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους, ἵν᾽ οἵ
τε δυνάμενοι τὰ τῶν ἄλλων ἔργα κοσμεῖν ἐν εἰδόσι
ποιούμενοι τοὺς λόγους ταῖς ἀληθείαις ἐχρῶντο περὶ 190
αὐτῶν, οἵ τε νεώτεροι φιλοτιμοτέρως διέκειντο πρὸς
τὴν ἀρετήν, εἰδότες, ὅτι τούτων εὐλογήσονται μᾶλλον
6 ὧν ἂν ἀμείνους σφᾶς αὐτοὺς παράσχωσιν. νῦν δὲ τίς
οὐκ ἂν ἀθυμήσειεν, ὅταν ὁρᾷ τοὺς μὲν περὶ τὰ Τρωϊκὰ
καὶ τοὺς ἐπέκεινα γενομένους ὑμνουμένους καὶ τρα-
γῳδουμένους, αὑτὸν δὲ προειδῇ, μηδ᾽ ἂν ὑπερβάλλῃ
τὰς ἐκείνων ἀρετάς, μηδέποτε τοιούτων ἐπαίνων ἀξι- b
ωθησόμενον; τούτων δ᾽ αἴτιος ὁ φθόνος, ᾧ τοῦτο
μόνον ἀγαθὸν πρόσεστιν, ὅτι μέγιστον κακὸν τοῖς
ἔχουσίν ἐστιν. οὕτω γάρ τινες δυσκόλως πεφύκασιν,
ὥσθ᾽ ἥδιον ἂν εὐλογουμένων ἀκούοιεν, οὓς οὐκ ἴσα-
σιν εἰ γεγόνασιν, ἢ τούτων, ὑφ᾽ ὧν εὖ πεπονθότες
7 αὐτοὶ τυγχάνουσιν. οὐ μὴν δουλευτέον τοὺς νοῦν
ἔχοντας τοῖς οὕτω κακῶς φρονοῦσιν, ἀλλὰ τῶν μὲν
τοιούτων ἀμελητέον, τοὺς δ᾽ ἄλλους ἐθιστέον ἀκού- c
ειν, περὶ ὧν καὶ λέγειν δίκαιόν ἐστιν, ἄλλως τ᾽ ἐπειδὴ
καὶ τὰς ἐπιδόσεις ἴσμεν γιγνομένας καὶ τῶν τεχνῶν
καὶ τῶν ἄλλων ἁπάντων οὐ διὰ τοὺς ἐμμένοντας τοῖς
καθεστῶσιν ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας καὶ τολ-
μῶντας ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων.

8 (γ΄.) Οἶδα μὲν οὖν, ὅτι χαλεπόν ἐστιν, ὃ μέλλω
ποιεῖν, ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. σημεῖον
δὲ μέγιστον· περὶ μὲν γὰρ ἄλλων πολλῶν καὶ παντο-
δαπῶν λέγειν τολμῶσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες,

109 τεροι γεγόναμεν τῶν Φυλὴν καταλαβόντων; ἀλλὰ γὰρ c
ἐπὶ τῶν ἐλαττόνων καὶ τοῦ βίου τοῦ καθ' ἡμέραν ἐπι-
δείξειεν ἄν τις τοὺς πολλοὺς χαίροντας μὲν καὶ τῶν
ἐδεσμάτων καὶ τῶν ἐπιτηδευμάτων τοῖς καὶ τὸ σῶμα
καὶ τὴν ψυχὴν βλάπτουσιν, ἐπίπονα δὲ καὶ χαλεπὰ
νομίζοντας, ἀφ' ὧν ἀμφότερα ταῦτ' ἂν ὠφελοῖτο,
καὶ καρτερικοὺς εἶναι δοκοῦντας τοὺς ἐν τούτοις ἐμ-
110 μένοντας. οἵτινες οὖν ἐν οἷς ἀεὶ ζῶσι καὶ περὶ ὧν αὐ-
τοῖς μᾶλλον μέλει, τὰ χείρω φαίνονται προαιρούμενοι, d
τί θαυμαστὸν, εἰ περὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν
ἀγνοοῦσι καὶ μάχονται πρὸς ἀλλήλους, περὶ ἧς μηδεὶς
πώποτ' αὐτοῖς λογισμὸς εἰσῆλθεν;
111 (λϛʹ.) Ὁρᾶτε δὲ καὶ τὰς μοναρχίας τὰς ἐν ταῖς
πόλεσι καθισταμένας, ὅσους ἔχουσι τοὺς ἐπιθυμητὰς
καὶ τοὺς ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν ὥστε κατα-
σχεῖν αὐτάς· αἷς τί τῶν δεινῶν ἢ τῶν χαλεπῶν οὐ
πρόσεστιν; οὐκ εὐθὺς ἐπειδὰν λάβωσι τὰς δυναστείας,
112 ἐν τοσούτοις ἐμπεπλεγμένοι κακοῖς εἰσὶν, ὥστ' ἀναγ- e
κάζεσθαι πολεμεῖν μὲν ἅπασι τοῖς πολίταις, μισεῖν δ'
ὑφ' ὧν οὐδὲν κακὸν πεπόνθασιν, ἀπιστεῖν δὲ τοῖς
φίλοις καὶ τοῖς ἑταίροις τοῖς αὑτῶν, παρακατατίθεσθαι 182
δὲ τὴν τῶν σωμάτων σωτηρίαν μισθοφόροις ἀνθρώ-
ποις, οὓς οὐδὲ πώποτ' εἶδον, μηδὲν δ' ἧττον φοβεῖ-
σθαι τοὺς φυλάττοντας ἢ τοὺς ἐπιβουλεύοντας, οὕτω
δ' ὑπόπτως πρὸς ἅπαντας ἔχειν ὥστε μηδὲ τοῖς οἰκειο-
113 τάτοις θαρρεῖν πλησιάζοντας; εἰκότως· συνίσασι γὰρ
τοὺς πρὸ αὑτῶν τετυραννευκότας τοὺς μὲν ὑπὸ τῶν
γονέων ἀνῃρημένους, τοὺς δ' ὑπὸ τῶν παίδων, τοὺς
δ' ὑπ' ἀδελφῶν, τοὺς δ' ὑπὸ γυναικῶν, ἔτι δὲ τὸ γένος b
αὐτῶν ἐξ ἀνθρώπων ἠφανισμένον. ἀλλ' ὅμως ὑπὸ
τοσαύτας τὸ πλῆθος συμφορὰς ἑκόντες σφᾶς αὐτοὺς
ὑποβάλλουσιν. ὅπου δ' οἱ πρωτεύοντες καὶ δόξας με-

γίστας ἔχοντες τοσούτων κακῶν ἐρῶσι, τί δεῖ θαυμά-
ζειν τοὺς ἄλλους, εἰ τοιούτων ἑτέρων ἐπιθυμοῦσιν;
114 (λζ'.) Οὐκ ἀγνοῶ δ' ὅτι τὸν μὲν περὶ τῶν τυράννων
λόγον ἀποδέχεσθε, τὸν δὲ περὶ τῆς ἀρχῆς δυσκόλως
ἀκούετε· πεπόνθατε γὰρ πάντων αἴσχιστον καὶ ῥᾳ-
θυμότατον· ἃ γὰρ ἐπὶ τῶν ἄλλων ὁρᾶτε, ταῦτ' ἐφ' c
ὑμῶν αὐτῶν ἀγνοεῖτε. καίτοι τῶν φρονίμως διακει-
μένων οὐκ ἐλάχιστον τοῦτο σημεῖόν ἐστιν, ἢν τὰς αὐ-
τὰς πράξεις ἐπὶ πάντων τῶν ὁμοίων φαίνωνται γνω-
115 ρίζοντες. ὧν ὑμῖν οὐδὲν πώποτ' ἐμέλησεν, ἀλλὰ τὰς
μὲν τυραννίδας ἡγεῖσθε χαλεπὰς εἶναι καὶ βλαβερὰς
οὐ μόνον τοῖς ἄλλοις ἀλλὰ καὶ τοῖς ἔχουσιν αὐτάς,
τὴν δ' ἀρχὴν τὴν κατὰ θάλατταν μέγιστον τῶν ἀγα-
θῶν, τὴν οὐδὲν οὔτε τοῖς πάθεσιν οὔτε ταῖς πράξεσι d
τῶν μοναρχιῶν διαφέρουσαν. καὶ τὰ μὲν Θηβαίων
πράγματα νομίζετε πονηρῶς ἔχειν, ὅτι τοὺς περιοίκους
ἀδικοῦσιν, αὐτοὶ δ' οὐδὲν βέλτιον τοὺς συμμάχους
διοικοῦντες ἢ 'κεῖνοι τὴν Βοιωτίαν, ἡγεῖσθε πάντα
τὰ δέοντα πράττειν.

116 (λη'.) Ἢν οὖν ἐμοὶ πεισθῆτε, παυσάμενοι τοῦ
παντάπασιν εἰκῇ βουλεύεσθαι προσέξετε τὸν νοῦν
ὑμῖν αὐτοῖς καὶ τῇ πόλει καὶ φιλοσοφήσετε καὶ σκέψε-
σθε, τί τὸ ποιῆσάν ἐστι τὼ πόλη τούτω, λέγω δὲ τὴν e
ἡμετέραν καὶ τὴν Λακεδαιμονίων, ἐκ ταπεινῶν μὲν
πραγμάτων ἑκατέραν ὁρμηθεῖσαν ἄρξαι τῶν Ἑλλήνων,
ἐπειδὴ δ' ἀνυπέρβλητον τὴν δύναμιν ἔλαβον, περὶ ἀν-
117 δραποδισμοῦ κινδυνεῦσαι· καὶ διὰ τίνας αἰτίας Θετ- 183
ταλοὶ μὲν μεγίστους πλούτους παραλαβόντες καὶ χώ-
ραν ἀρίστην καὶ πλείστην ἔχοντες εἰς ἀπορίαν καθε-
στήκασι, Μεγαρεῖς δὲ μικρῶν αὐτοῖς καὶ φαύλων τῶν
ἐξ ἀρχῆς ὑπαρξάντων, καὶ γῆν μὲν οὐκ ἔχοντες οὐδὲ
λιμένας οὐδ' ἀργυρεῖα, πέτρας δὲ γεωργοῦντες, με-

118 γίστους οἴκους τῶν Ἑλλήνων κέκτηνται· κἀκείνων
μὲν τὰς ἀκροπόλεις ἄλλοι τινὲς ἀεὶ κατέχουσιν, ὄντων
αὐτοῖς πλέον τρισχιλίων ἱππέων καὶ πελταστῶν ἀνα- b
ριθμήτων, οὗτοι δὲ μικρὰν δύναμιν ἔχοντες τὴν αὑ-
τῶν ὅπως βούλονται διοικοῦσιν· καὶ πρὸς τούτοις οἱ
μὲν σφίσιν αὐτοῖς πολεμοῦσιν, οὗτοι δὲ μεταξὺ Πε-
λοποννησίων καὶ Θηβαίων καὶ τῆς ἡμετέρας πόλεως
119 οἰκοῦντες εἰρήνην ἄγοντες διατελοῦσιν. ἢν γὰρ ταῦτα
καὶ τὰ τοιαῦτα διεξίητε πρὸς ὑμᾶς αὐτούς, εὑρήσετε
τὴν μὲν ἀκολασίαν καὶ τὴν ὕβριν τῶν κακῶν αἰτίαν
γιγνομένην, τὴν δὲ σωφροσύνην τῶν ἀγαθῶν· ἣν c
ὑμεῖς ἐπὶ μὲν τῶν ἰδιωτῶν ἐπαινεῖτε, καὶ νομίζετε
τοὺς ταύτῃ χρωμένους ἀσφαλέστατα ζῆν καὶ βελτί-
στους εἶναι τῶν πολιτῶν, τὸ δὲ κοινὸν ἡμῶν οὐκ οἴ-
120 εσθε δεῖν τοιοῦτον παρασκευάζειν. καίτοι προσήκει
τὰς ἀρετὰς ἀσκεῖν καὶ τὰς κακίας φεύγειν πολὺ μᾶλ-
λον ταῖς πόλεσιν ἢ τοῖς ἰδιώταις. ἀνὴρ μὲν γὰρ ἀσεβὴς
καὶ πονηρὸς τυχὸν ἂν φθάσειε τελευτήσας πρὶν δοῦ-
ναι δίκην τῶν ἡμαρτημένων· αἱ δὲ πόλεις διὰ τὴν d
ἀθανασίαν ὑπομένουσι καὶ τὰς παρὰ τῶν ἀνθρώπων
καὶ τὰς παρὰ τῶν θεῶν τιμωρίας.
121 (λθ′.) Ὧν ἐνθυμουμένους χρὴ μὴ προσέχειν τὸν
νοῦν τοῖς ἐν τῷ παρόντι μὲν χαριζομένοις, τοῦ δὲ
μέλλοντος χρόνου μηδεμίαν ἐπιμέλειαν ποιουμένοις,
μηδὲ τοῖς φιλεῖν μὲν τὸν δῆμον φάσκουσιν, ὅλην δὲ
τὴν πόλιν λυμαινομένοις· ὡς καὶ πρότερον, ἐπειδὴ
παρέλαβον οἱ τοιοῦτοι τὴν ἐπὶ τοῦ βήματος δυναστείαν, e
εἰς τοσαύτην ἄνοιαν προήγαγον τὴν πόλιν ὥστε πα-
θεῖν αὐτήν, οἷάπερ ὀλίγῳ πρότερον ὑμῖν διηγησάμην.
122 ὃ καὶ πάντων μάλιστ᾽ ἄν τις θαυμάσειεν, ὅτι προχει-
ρίζεσθε δημαγωγοὺς οὐ τοὺς τὴν αὐτὴν γνώμην ἔχον-
τας τοῖς μεγάλην τὴν πόλιν ποιήσασιν ἀλλὰ τοὺς ὁμοι

καὶ λέγοντας καὶ πράττοντας τοῖς ἀπολέσασιν αὐτήν,
καὶ ταῦτ' εἰδότες οὐ μόνον ἐν τῷ ποιῆσαι τὴν πόλιν
εὐδαίμονα τοὺς χρηστοὺς τῶν πονηρῶν διαφέροντας,
123 ἀλλὰ καὶ τὴν δημοκρατίαν ἐπὶ μὲν ἐκείνων ἐν πολλοῖς
ἔτεσιν οὔτε κινηθεῖσαν οὔτε μεταστᾶσαν, ἐπὶ δὲ τού-
των ἐν ὀλίγῳ χρόνῳ δὶς ἤδη καταλυθεῖσαν, καὶ τὰς
φυγὰς καὶ τὰς ὑπὸ τῶν τυράννων καὶ τὰς ἐπὶ τῶν b
τριάκοντα γενομένας οὐ διὰ τοὺς συκοφάντας κατελ-
θούσας ἀλλὰ διὰ τοὺς μισοῦντας τοὺς τοιούτους καὶ
124 μεγίστην ἐπ' ἀρετῇ δόξαν ἔχοντας. (μ'.) Ἀλλ' ὅμως
τηλικούτων ἡμῖν ὑπομνημάτων καταλελειμμένων, ὡς
ἐφ' ἑκατέρων αὐτῶν ἡ πόλις ἔπραττεν, οὕτω χαίρομεν
ταῖς τῶν ῥητόρων πονηρίαις, ὥσθ' ὁρῶντες διὰ τὸν
πόλεμον καὶ τὰς ταραχάς, ἃς οὗτοι πεποιήκασι, τῶν
μὲν ἄλλων πολιτῶν πολλοὺς ἐκ τῶν πατρῴων ἐκπεπτω- c
κότας, τούτους δ' ἐκ πενήτων πλουσίους γεγενημέ-
νους, οὐκ ἀγανακτοῦμεν, οὐδὲ φθονοῦμεν ταῖς εὐ-
125 πραγίαις αὐτῶν, ἀλλ' ὑπομένομεν τὴν μὲν πόλιν δια-
βολὰς ἔχουσαν, ὡς λυμαίνεται καὶ δασμολογεῖ τοὺς
Ἕλληνας, τούτους δὲ τὰς ἐπικαρπίας λαμβάνοντας, καὶ
τὸν μὲν δῆμον, ὅν φασιν οὗτοι δεῖν τῶν ἄλλων ἄρχειν,
χεῖρον πράττοντα τῶν ταῖς ὀλιγαρχίαις δουλευόντων,
οἷς δ' οὐδὲν ὑπῆρχεν ἀγαθόν, τούτους δὲ διὰ τὴν ἄνοι-
αν τὴν ἡμετέραν ἐκ ταπεινῶν εὐδαίμονας γεγενημέ- d
126 νους. καίτοι Περικλῆς ὁ πρὸ τῶν τοιούτων δημαγωγὸς
καταστάς, παραλαβὼν τὴν πόλιν χεῖρον μὲν φρονοῦ-
σαν ἢ πρὶν κατασχεῖν τὴν ἀρχήν, ἔτι δ' ἀνεκτῶς πο-
λιτευομένην, οὐκ ἐπὶ τὸν ἴδιον χρηματισμὸν ὥρμησεν,
ἀλλὰ τὸν μὲν οἶκον ἐλάττω τὸν αὑτοῦ κατέλιπεν
ἢ παρὰ τοῦ πατρὸς παρέλαβεν, εἰς δὲ τὴν ἀκρόπολιν
ἀνήνεγκεν ὀκτακισχίλια τάλαντα χωρὶς τῶν ἱερῶν. e

127 οὗτοι δὲ τοσοῦτον ἐκείνου διενηνόχασιν, ὥστε λέγειν
μὲν τολμῶσιν, ὡς διὰ τὴν τῶν κοινῶν ἐπιμέλειαν οὐ
δύνανται τοῖς αὑτῶν ἰδίοις προσέχειν τὸν νοῦν, φαί-
νεται δὲ τὰ μὲν ἀμελούμενα τοσαύτην εἰληφότα τὴν
ἐπίδοσιν, ὅσην οὐδ' ἂν εὔξασθαι τοῖς θεοῖς πρότερον 185
ἠξίωσαν, τὸ δὲ πλῆθος ἡμῶν, οὗ κήδεσθαί φασιν,
οὕτω διακείμενον ὥστε μηδένα τῶν πολιτῶν ἡδέως
ζῆν μηδὲ ῥᾳθύμως, ἀλλ' ὀδυρμῶν μεστὴν εἶναι τὴν
128 πόλιν. οἱ μὲν γὰρ τὰς πενίας καὶ τὰς ἐνδείας ἀναγκά-
ζονται διεξιέναι καὶ θρηνεῖν πρὸς σφᾶς αὐτούς, οἱ δὲ
τὸ πλῆθος τῶν προσταγμάτων καὶ τῶν λειτουργιῶν
καὶ τὰ κακὰ τὰ περὶ τὰς συμμορίας καὶ τὰς ἀντιδόσεις·
ἃ τοιαύτας ἐμποιεῖ λύπας ὥστ' ἄλγιον ζῆν τοὺς τὰς b
οὐσίας κεκτημένους ἢ τοὺς συνεχῶς πενομένους.
129 (μα'.) Θαυμάζω δ' εἰ μὴ δύνασθε συνιδεῖν, ὅτι γένος
οὐδέν ἐστι κακονούστερον τῷ πλήθει πονηρῶν ῥητό-
ρων καὶ δημαγωγῶν· πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς καὶ
τῶν κατὰ τὴν ἡμέραν ἑκάστην ἀναγκαίων οὗτοι μά-
λιστα βούλονται σπανίζειν ὑμᾶς, ὁρῶντες τοὺς μὲν
ἐκ τῶν ἰδίων δυναμένους τὰ σφέτερ' αὐτῶν διοικεῖν
130 τῆς πόλεως ὄντας καὶ τῶν τὰ βέλτιστα λεγόντων, τοὺς
δ' ἀπὸ τῶν δικαστηρίων ζῶντας καὶ τῶν ἐκκλησιῶν c
καὶ τῶν ἐντεῦθεν λημμάτων ὑφ' αὑτοῖς διὰ τὴν ἔν-
δειαν ἠναγκασμένους εἶναι, καὶ πολλὴν χάριν ἔχοντας
ταῖς εἰσαγγελίαις καὶ ταῖς γραφαῖς καὶ ταῖς ἄλλαις συκο-
131 φαντίαις ταῖς δι' αὐτῶν γιγνομέναις. ἐν οὖν ταῖς ἀπο-
ρίαις, ἐν αἷς δυναστεύουσιν, ἐν ταύταις ἥδιστ' ἂν
ἴδοιεν ἅπαντας ὄντας τοὺς πολίτας. τεκμήριον δὲ
μέγιστον· οὐ γὰρ τοῦτο σκοποῦσιν, ἐξ οὗ τρόπου τοῖς
δεομένοις βίον ἐκποριοῦσιν, ἀλλ' ὅπως τοὺς ἔχειν τι d
δοκοῦντας τοῖς ἀπόροις ἐξισώσουσιν. (μβ'.) Τίς οὖν

ἀπαλλαγὴ γένοιτ' ἂν τῶν κακῶν τῶν παρόντων; διείλεγμαι μὲν τὰ πλεῖστα περὶ αὐτῶν τούτων, οὐκ ἐφεξῆς, ἀλλ' ὡς ἕκαστον τῷ καιρῷ συνέπιπτεν· μᾶλλον δ' ἂν ὑμῖν ἐγγένοιτο μνημονεύειν, εἰ συναγαγὼν τὰ μάλιστα κατεπείγοντα πάλιν ἐπανελθεῖν αὐτὰ πειραθείην.

133 (μγ'.) Ἔστι δ' ἐξ ὧν ἂν ἐπανορθώσαιμεν τὰ τῆς πόλεως καὶ βελτίω ποιήσαιμεν, πρῶτον μὲν ἢν e
συμβούλους ποιώμεθα τοιούτους περὶ τῶν κοινῶν, οἵους περ ἂν περὶ τῶν ἰδίων ἡμῖν εἶναι βουληθεῖμεν, καὶ παυσώμεθα δημοτικοὺς μὲν νομίζοντες τοὺς
συκοφάντας, ὀλιγαρχικοὺς δὲ τοὺς καλούς τε κἀγα- 186
θοὺς τῶν ἀνδρῶν, γνόντες, ὅτι φύσει μὲν οὐδεὶς οὐδέτερον τούτων ἐστὶν, ἐν ᾗ δ' ἂν ἕκαστοι τιμῶνται, ταύτην βούλονται καθεστάναι τὴν πολιτείαν.
134 (μδ'.) Δεύτερον δ' ἢν ἐθελήσωμεν χρῆσθαι τοῖς συμμάχοις ὁμοίως ὥσπερ τοῖς φίλοις, καὶ μὴ λόγῳ μὲν αὐτονόμους ἀφιῶμεν, ἔργῳ δὲ τοῖς στρατηγοῖς αὐτοὺς ὅ τι ἂν βούλωνται ποιεῖν ἐκδιδῶμεν, μηδὲ δεσποτικῶς
ἀλλὰ συμμαχικῶς αὐτῶν ἐπιστατῶμεν, ἐκεῖνο κατα- b
μαθόντες, ὅτι μιᾶς μὲν ἑκάστης τῶν πόλεων κρείττους
135 ἐσμὲν, ἁπασῶν δ' ἥττους. (με'.) Τρίτον ἢν μηδὲν περὶ πλείονος ἡγῆσθε μετά γε τὴν περὶ τοὺς θεοὺς εὐσέβειαν τοῦ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν· τοῖς γὰρ οὕτω διακειμένοις ἑκόντες καὶ τὰς δυναστείας καὶ τὰς ἡγεμονίας διδόασιν.

136 (μς'.) Ἢν οὖν ἐμμείνητε τοῖς εἰρημένοις, καὶ πρὸς τούτοις ὑμᾶς αὐτοὺς παράσχητε πολεμικοὺς μὲν ὄντας
ταῖς μελέταις καὶ ταῖς παρασκευαῖς, εἰρηνικοὺς δὲ c
τῷ μηδὲν παρὰ τὸ δίκαιον πράττειν, οὐ μόνον εὐδαίμονα ποιήσετε ταύτην τὴν πόλιν ἀλλὰ καὶ τοὺς Ἑλ-

137 ληνας ἅπαντας. οὐδὲ γὰρ ἄλλη τῶν πόλεων οὐδεμία
τολμήσει περὶ αὐτοὺς ἐξαμαρτάνειν, ἀλλ' ὀκνήσουσι
καὶ πολλὴν ἡσυχίαν ἄξουσιν, ὅταν εἰδῶσιν ἐφεδρεύ-
ουσαν τὴν δύναμιν τὴν ἡμετέραν καὶ παρεσκευασμέ-
νην τοῖς ἀδικουμένοις βοηθεῖν. οὐ μὴν ἀλλ' ὁπότερον
ἂν ποιήσωσιν, τό γ' ἡμέτερον καλῶς ἕξει καὶ συμφε-
138 ρόντως. ἤν τε γὰρ δόξῃ τῶν πόλεων ταῖς προεχούσαις d
ἀπέχεσθαι τῶν ἀδικημάτων, ἡμεῖς τούτων τῶν ἀγα-
θῶν τὴν αἰτίαν ἕξομεν· ἤν τ' ἐπιχειρῶσιν ἀδικεῖν,
ἐφ' ἡμᾶς ἅπαντες οἱ δεδιότες καὶ κακῶς πάσχοντες
καταφεύξονται, πολλὰς ἱκετείας καὶ δεήσεις ποιούμε-
νοι, καὶ διδόντες οὐ μόνον τὴν ἡγεμονίαν ἀλλὰ καὶ
139 σφᾶς αὐτούς. ὥστ' οὐκ ἀπορήσομεν, μεθ' ὧν κωλύ-
σομεν τοὺς ἐξαμαρτάνοντας, ἀλλὰ πολλοὺς ἕξομεν
τοὺς ἑτοίμως καὶ προθύμως συναγωνιζομένους ἡμῖν.
ποία γὰρ πόλις ἢ τίς ἀνθρώπων οὐκ ἐπιθυμήσει με- e
τασχεῖν τῆς φιλίας καὶ τῆς συμμαχίας τῆς ἡμετέρας,
ὅταν ὁρῶσι τοὺς αὐτοὺς ἀμφότερα, καὶ δικαιοτάτους
ὄντας καὶ μεγίστην δύναμιν κεκτημένους, καὶ τοὺς 18
μὲν ἄλλους σώζειν καὶ βουλομένους καὶ δυναμένους,
140 αὐτοὺς δὲ μηδεμιᾶς βοηθείας δεομένους; πόσην δὲ
χρὴ προσδοκᾶν ἐπίδοσιν τὰ τῆς πόλεως λήψεσθαι,
τοιαύτης εὐνοίας ἡμῖν παρὰ τῶν ἄλλων ὑπαρξάσης;
πόσον δὲ πλοῦτον εἰς τὴν πόλιν εἰσρυήσεσθαι, δι'
ἡμῶν ἁπάσης τῆς Ἑλλάδος σωζομένης; τίνας δ' οὐκ
ἐπαινέσεσθαι τοὺς τοσούτων καὶ τηλικούτων ἀγαθῶν
141 αἰτίους γεγενημένους; ἀλλὰ γὰρ οὐ δύναμαι διὰ τὴν b
ἡλικίαν ἅπαντα τῷ λόγῳ περιλαβεῖν, ἃ τυγχάνω τῇ
διανοίᾳ καθορῶν, πλὴν ὅτι καλόν ἐστιν ἐν ταῖς τῶν
ἄλλων ἀδικίαις καὶ μανίαις πρώτους εὖ φρονήσαντας
προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας, καὶ σωτῆρας
ἀλλὰ μὴ λυμεῶνας αὐτῶν κληθῆναι, καὶ περιβλέπτους

ἐπ' ἀρετῇ γενομένους τὴν δόξαν τὴν τῶν προγόνων
ἀναλαβεῖν.

142 (μζ'.) *Κεφάλαιον δὲ τούτων ἐκεῖν' ἔχω λέγειν,* c
εἰς ὃ πάντα τὰ προειρημένα συντείνει καὶ πρὸς ὃ χρὴ
βλέποντας τὰς πράξεις τὰς τῆς πόλεως δοκιμάζειν.
δεῖ γὰρ ἡμᾶς, εἴπερ βουλόμεθα διαλύσασθαι μὲν τὰς
διαβολάς, ἃς ἔχομεν ἐν τῷ παρόντι, παύσασθαι δὲ τῶν
πολέμων τῶν μάτην γιγνομένων, κτήσασθαι δὲ τῇ πό-
λει τὴν ἡγεμονίαν εἰς τὸν ἅπαντα χρόνον, μισῆσαι μὲν
ἁπάσας τὰς τυραννικὰς ἀρχὰς καὶ τὰς δυναστείας, ἀνα-
λογισαμένους τὰς συμφορὰς τὰς ἐξ αὐτῶν γεγενημένας, d
ζηλῶσαι δὲ καὶ μιμήσασθαι τὰς ἐν Λακεδαίμονι βασι-
143 *λείας. ἐκείνοις γὰρ ἀδικεῖν μὲν ἧττον ἔξεστιν ἢ τοῖς*
ἰδιώταις, τοσούτῳ δὲ μακαριστότεροι τυγχάνουσιν
ὄντες τῶν βίᾳ τὰς τυραννίδας κατεχόντων, ὅσον οἱ
μὲν τοὺς τοιούτους ἀποκτείναντες τὰς μεγίστας δω-
ρεὰς παρὰ τῶν συμπολιτευομένων λαμβάνουσιν, ὑπὲρ
ἐκείνων δ' οἱ μὴ τολμῶντες ἐν ταῖς μάχαις ἀποθνή- e
σκειν ἀτιμότεροι γίγνονται τῶν τὰς τάξεις λειπόντων
144 *καὶ τὰς ἀσπίδας ἀποβαλλόντων. ἄξιον οὖν ὀρέγεσθαι*
τῆς τοιαύτης ἡγεμονίας. ἔνεστι δ' ἐν τοῖς πράγμασιν
ἡμῶν τυχεῖν παρὰ τῶν Ἑλλήνων τῆς τιμῆς ταύτης,
ἥνπερ ἐκεῖνοι παρὰ τῶν πολιτῶν ἔχουσιν, ἢν ὑπολά- 188
βωσι τὴν δύναμιν τὴν ἡμετέραν μὴ δουλείας ἀλλὰ
σωτηρίας αἰτίαν αὐτοῖς ἔσεσθαι.

145 (μη'.) *Πολλῶν δὲ καὶ καλῶν λόγον ἐνόντων περὶ*
τὴν ὑπόθεσιν ταύτην, ἐμοὶ μὲν ἀμφότερα συμβουλεύει
παύσασθαι λέγοντι, καὶ τὸ μῆκος τοῦ λόγου καὶ τὸ
πλῆθος τῶν ἐτῶν τῶν ἐμῶν· τοῖς δὲ νεωτέροις καὶ
μᾶλλον ἀκμάζουσιν ἠγὼ παραινῶ καὶ παρακελεύομαι
τοιαῦτα καὶ λέγειν καὶ γράφειν, ἐξ ὧν τὰς μεγίστας
τῶν πόλεων καὶ τὰς εἰθισμένας ταῖς ἄλλαις κακὰ παρέ-

χειν προτρέψουσιν ἐπ' ἀρετὴν καὶ δικαιοσύνην, ὡς ἐν ταῖς τῆς Ἑλλάδος εὐπραγίαις συμβαίνει καὶ τὰ τῶν φιλοσόφων πράγματα πολὺ βελτίω γίγνεσθαι.

9.
ΕΥΑΓΟΡΑΣ.

(α'.) Ὁρῶν, ὦ Νικόκλεις, τιμῶντά σε τὸν τάφον 18
τοῦ πατρὸς οὐ μόνον τῷ πλήθει καὶ τῷ κάλλει τῶν
ἐπιφερομένων ἀλλὰ καὶ χοροῖς καὶ μουσικῇ καὶ γυμνι-
κοῖς ἀγῶσιν, ἔτι δὲ πρὸς τούτοις ἵππων τε καὶ τριή-
ρων ἁμίλλαις, καὶ λείποντ' οὐδεμίαν τῶν τοιούτων
2 ὑπερβολὴν, ἡγησάμην Εὐαγόραν, εἴ τις ἐστὶν αἴσθη-
σις τοῖς τετελευτηκόσι περὶ τῶν ἐνθάδε γιγνομένων, b
εὐμενῶς μὲν ἀποδέχεσθαι καὶ ταῦτα, καὶ χαίρειν
ὁρῶντα τήν τε περὶ αὐτὸν ἐπιμέλειαν καὶ τὴν σὴν
μεγαλοπρέπειαν, πολὺ δ' ἂν ἔτι πλείω χάριν ἔχειν ἢ
τοῖς ἄλλοις ἅπασιν, εἴ τις δυνηθείη περὶ τῶν ἐπιτη-
δευμάτων αὐτοῦ καὶ τῶν κινδύνων ἀξίως διελθεῖν
3 τῶν ἐκείνῳ πεπραγμένων· εὑρήσομεν γὰρ τοὺς φιλο-
τίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν οὐ μόνον ἀντὶ
τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους ἀλλ' ἀντὶ τοῦ c
ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον
περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας, καὶ πάντα
ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην
4 καταλείψουσιν. αἱ μὲν οὖν δαπάναι τῶν μὲν τοιούτων
οὐδὲν ἐξεργάζονται, τοῦ δὲ πλούτου σημεῖόν εἰσιν·
οἱ δὲ περὶ τὴν μουσικὴν καὶ τὰς ἄλλας ἀγωνίας ὄντες,
οἱ μὲν τὰς δυνάμεις τὰς αὑτῶν, οἱ δὲ τὰς τέχνας ἐπι-

δεξάμενοι, σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν· d
ὁ δὲ λόγος εἰ καλῶς διέλθοι τὰς ἐκείνου πράξεις, ἀεί-
μνηστον ἂν τὴν ἀρετὴν τὴν Εὐαγόρου παρὰ πᾶσιν
ἀνθρώποις ποιήσειεν.
5 (β'.) Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν
τοὺς ἐφ' αὑτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους, ἵν' οἵ
τε δυνάμενοι τὰ τῶν ἄλλων ἔργα κοσμεῖν ἐν εἰδόσι
ποιούμενοι τοὺς λόγους ταῖς ἀληθείαις ἐχρῶντο περὶ 190
αὐτῶν, οἵ τε νεώτεροι φιλοτιμοτέρως διέκειντο πρὸς
τὴν ἀρετήν, εἰδότες, ὅτι τούτων εὐλογήσονται μᾶλλον
6 ὧν ἂν ἀμείνους σφᾶς αὐτοὺς παράσχωσιν. νῦν δὲ τίς
οὐκ ἂν ἀθυμήσειεν, ὅταν ὁρᾷ τοὺς μὲν περὶ τὰ Τρωϊκὰ
καὶ τοὺς ἐπέκεινα γενομένους ὑμνουμένους καὶ τρα-
γῳδουμένους, αὑτὸν δὲ προειδῇ, μηδ' ἂν ὑπερβάλλῃ
τὰς ἐκείνων ἀρετάς, μηδέποτε τοιούτων ἐπαίνων ἀξι- b
ωθησόμενον; τούτων δ' αἴτιος ὁ φθόνος, ᾧ τοῦτο
μόνον ἀγαθὸν πρόσεστιν, ὅτι μέγιστον κακὸν τοῖς
ἔχουσίν ἐστιν. οὕτω γάρ τινες δυσκόλως πεφύκασιν,
ὥσθ' ἥδιον ἂν εὐλογουμένων ἀκούοιεν, οὓς οὐκ ἴσα-
σιν εἰ γεγόνασιν, ἢ τούτων, ὑφ' ὧν εὖ πεπονθότες
7 αὐτοὶ τυγχάνουσιν. οὐ μὴν δουλευτέον τοὺς νοῦν
ἔχοντας τοῖς οὕτω κακῶς φρονοῦσιν, ἀλλὰ τῶν μὲν
τοιούτων ἀμελητέον, τοὺς δ' ἄλλους ἐθιστέον ἀκού- c
ειν, περὶ ὧν καὶ λέγειν δίκαιόν ἐστιν, ἄλλως τ' ἐπειδὴ
καὶ τὰς ἐπιδόσεις ἴσμεν γιγνομένας καὶ τῶν τεχνῶν
καὶ τῶν ἄλλων ἁπάντων οὐ διὰ τοὺς ἐμμένοντας τοῖς
καθεστῶσιν ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας καὶ τολ-
μῶντας ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων.
8 (γ'.) Οἶδα μὲν οὖν, ὅτι χαλεπόν ἐστιν, ὃ μέλλω
ποιεῖν, ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. σημεῖον
δὲ μέγιστον· περὶ μὲν γὰρ ἄλλων πολλῶν καὶ παντο-
δαπῶν λέγειν τολμῶσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες,

περὶ δὲ τῶν τοιούτων οὐδεὶς πώποτ' αὐτῶν συγγρά- d
φειν ἐπεχείρησεν. καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην.
9 τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι· καὶ
γὰρ πλησιάζοντας τοὺς θεοὺς τοῖς ἀνθρώποις οἷόν
τ' αὐτοῖς ποιῆσαι καὶ διαλεγομένους καὶ συναγωνιζο-
μένους οἷς ἂν βουληθῶσι, καὶ περὶ τούτων δηλῶσαι
μὴ μόνον τοῖς τεταγμένοις ὀνόμασιν, ἀλλὰ τὰ μὲν ξέ-
νοις, τὰ δὲ καινοῖς, τὰ δὲ μεταφοραῖς, καὶ μηδὲν πα-
ραλιπεῖν ἀλλὰ πᾶσι τοῖς εἴδεσι διαποικῖλαι τὴν ποίη- e
10 σιν· τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιού-
των, ἀλλ' ἀποτόμως καὶ τῶν ὀνομάτων τοῖς πολιτικοῖς
μόνον καὶ τῶν ἐνθυμημάτων τοῖς περὶ αὐτὰς τὰς
πράξεις ἀναγκαῖόν ἐστι χρῆσθαι. πρὸς δὲ τούτοις οἱ 19
μὲν μετὰ μέτρων καὶ ῥυθμῶν ἅπαντα ποιοῦσιν, οἱ δ'
οὐδενὸς τούτων κοινωνοῦσιν· ἃ τοσαύτην ἔχει χάριν,
ὥστ' ἂν καὶ τῇ λέξει καὶ τοῖς ἐνθυμήμασιν ἔχῃ κακῶς,
ὅμως αὐταῖς ταῖς εὐρυθμίαις καὶ ταῖς συμμετρίαις
11 ψυχαγωγοῦσι τοὺς ἀκούοντας. γνοίη δ' ἄν τις ἐκεῖθεν
τὴν δύναμιν αὐτῶν· ἢν γάρ τις τῶν ποιημάτων τῶν
εὐδοκιμούντων τὰ μὲν ὀνόματα καὶ τὰς διανοίας κα-
ταλίπῃ, τὸ δὲ μέτρον διαλύσῃ, φανήσεται πολὺ κατα- b
δεέστερα τῆς δόξης ἧς νῦν ἔχομεν περὶ αὐτῶν. ὅμως
δὲ καίπερ τοσοῦτον πλεονεκτούσης τῆς ποιήσεως, οὐκ
ὀκνητέον ἀλλ' ἀποπειρατέον τῶν λόγων ἐστίν, εἰ καὶ
τοῦτο δυνήσονται, τοὺς ἀγαθοὺς ἄνδρας εὐλογεῖν
μηδὲν χεῖρον τῶν ἐν ταῖς ᾠδαῖς καὶ τοῖς μέτροις ἐγκω-
μιαζόντων.

12 (δ'.) Πρῶτον μὲν οὖν περὶ τῆς φύσεως τῆς Εὐα- c
γόρου, καὶ τίνων ἦν ἀπόγονος, εἰ καὶ πολλοὶ προεπί-
στανται, δοκεῖ μοι πρέπειν κἀμὲ τῶν ἄλλων ἕνεκα
διελθεῖν περὶ αὐτῶν, ἵνα πάντες εἰδῶσιν, ὅτι καλλίστων
αὐτῷ καὶ μεγίστων παραδειγμάτων καταλειφθέντων

13 οὐδὲν καταδεέστερον αὑτὸν ἐκείνων παρέσχεν. ὁμο-
λογεῖται μὲν γὰρ τοὺς ἀπὸ Διὸς εὐγενεστάτους τῶν
ἡμιθέων εἶναι, τούτων δ' αὐτῶν οὐκ ἔστιν ὅστις οὐκ
ἂν Αἰακίδας προκρίνειεν· ἐν μὲν γὰρ τοῖς ἄλλοις γέ- d
νεσιν εὑρήσομεν τοὺς μὲν ὑπερβάλλοντας, τοὺς δὲ
καταδεεστέρους ὄντας, οὗτοι δ' ἅπαντες ὀνομαστότα-
14 τοι τῶν καθ' αὑτοὺς γεγόνασιν. (ε'.) Τοῦτο μὲν γὰρ
Αἰακὸς ὁ Διὸς μὲν ἔκγονος, τοῦ δὲ γένους τοῦ Τευ-
κριδῶν πρόγονος, τοσοῦτον διήνεγκεν, ὥστε γενομέ-
νων αὐχμῶν ἐν τοῖς Ἕλλησι καὶ πολλῶν ἀνθρώπων
διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς ὑπερ-
έβαλλεν, ἦλθον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύον- e
τες αὐτὸν, νομίζοντες διὰ τῆς συγγενείας καὶ τῆς εὐ-
σεβείας τῆς ἐκείνου τάχιστ' ἂν εὑρέσθαι παρὰ τῶν
15 θεῶν τῶν παρόντων κακῶν ἀπαλλαγήν. σωθέντες δὲ
καὶ τυχόντες ὧν ἐδεήθησαν, ἱερὸν ἐν Αἰγίνῃ κατεστή-
σαντο κοινὸν τῶν Ἑλλήνων, οὗπερ ἐκεῖνος ἐποιήσατο
τὴν εὐχήν. καὶ κατ' ἐκεῖνόν τε τὸν χρόνον, ἕως ἦν 192
μετ' ἀνθρώπων, μετὰ καλλίστης ὢν δόξης διετέλεσεν·
ἐπειδή τε μετήλλαξε τὸν βίον, λέγεται παρὰ Πλού-
τωνι καὶ Κόρῃ μεγίστας τιμὰς ἔχων παρεδρεύειν ἐκεί-
16 νοις. (ϛ'.) Τούτου δὲ παῖδες ἦσαν Τελαμὼν καὶ Πηλεὺς,
ὧν ὁ μὲν ἕτερος μεθ' Ἡρακλέους ἐπὶ Λαομέδοντα
στρατευσάμενος ἀριστείων ἠξιώθη, Πηλεὺς δ' ἔν τε
τῇ μάχῃ τῇ πρὸς Κενταύρους ἀριστεύσας καὶ κατὰ
πολλοὺς ἄλλους κινδύνους εὐδοκιμήσας Θέτιδι τῇ Νη- b
ρέως, θνητὸς ὢν ἀθανάτῃ, συνῴκησε, καὶ μόνου τού-
του φασὶ τῶν προγεγενημένων ὑπὸ θεῶν ἐν τοῖς γά-
17 μοις ὑμέναιον ᾀσθῆναι. (ζ'.) Τούτοιν δ' ἑκατέρου, Τε-
λαμῶνος μὲν Αἴας καὶ Τεῦκρος ἐγενέσθην, Πηλέως δ'
Ἀχιλλεὺς, οἳ μέγιστον καὶ σαφέστατον ἔλεγχον ἔδοσαν
τῆς αὑτῶν ἀρετῆς· οὐ γὰρ ἐν ταῖς αὑτῶν πόλεσι μό-

νον ἐπρώτευσαν, οὐδ' ἐν τοῖς τόποις, ἐν οἷς κατῴ-
κουν, ἀλλὰ στρατείας τοῖς Ἕλλησιν ἐπὶ τοὺς βαρβά-
ρους γενομένης, καὶ πολλῶν μὲν ἑκατέρων ἀθροισθέν- c
18 των, οὐδενὸς δὲ τῶν ὀνομαστῶν ἀπολειφθέντος, ἐν
τούτοις τοῖς κινδύνοις Ἀχιλλεὺς μὲν ἁπάντων διή-
νεγκεν, Αἴας δὲ μετ' ἐκεῖνον ἠρίστευσε, Τεῦκρος δὲ
τῆς τε τούτων συγγενείας ἄξιος καὶ τῶν ἄλλων οὐδε-
νὸς χείρων γενόμενος, ἐπειδὴ Τροίαν συνεξεῖλεν, ἀφι-
κόμενος εἰς Κύπρον Σαλαμῖνά τε κατῴκισεν, ὁμώνυ-
μον ποιήσας τῆς πρότερον αὐτῷ πατρίδος οὔσης, καὶ
τὸ γένος τὸ νῦν βασιλεῦον κατέλιπεν. d

19 (η'.) Τὰ μὲν οὖν ἐξ ἀρχῆς Εὐαγόρᾳ παρὰ τῶν
προγόνων ὑπάρξαντα τηλικαῦτα τὸ μέγεθός ἐστιν.
τοῦτον δὲ τὸν τρόπον τῆς πόλεως κατοικισθείσης κα-
τὰ μὲν ἀρχὰς οἱ γεγονότες ἀπὸ Τεύκρου τὴν βασιλείαν
εἶχον, χρόνῳ δ' ὕστερον ἀφικόμενος ἐκ Φοινίκης ἀνὴρ
φυγὰς καὶ πιστευθεὶς ὑπὸ τοῦ τότε βασιλεύοντος καὶ
20 μεγάλας δυναστείας λαβὼν οὐ χάριν ἔσχε τούτων, ἀλλὰ e
κακὸς μὲν γενόμενος περὶ τὸν ὑποδεξάμενον, δεινὸς
δὲ πρὸς τὸ πλεονεκτῆσαι, τὸν μὲν εὐεργέτην ἐξέβα-
λεν, αὐτὸς δὲ τὴν βασιλείαν κατέσχεν. ἀπιστῶν δὲ τοῖς
πεπραγμένοις καὶ βουλόμενος ἀσφαλῶς κατασκευάσα-
σθαι τὰ περὶ αὐτὸν τήν τε πόλιν ἐξεβαρβάρωσε καὶ
τὴν νῆσον ὅλην βασιλεῖ τῷ μεγάλῳ κατεδούλωσεν.
21 (θ'.) Οὕτω δὲ τῶν πραγμάτων καθεστώτων καὶ τῶν 19
ἐκγόνων τῶν ἐκείνου τὴν ἀρχὴν ἐχόντων Εὐαγόρας
γίγνεται· περὶ οὗ τὰς μὲν φήμας καὶ τὰς μαντείας καὶ
τὰς ὄψεις τὰς ἐν τοῖς ὕπνοις γενομένας, ἐξ ὧν μειζό-
νως ἂν φανείη γεγονὼς ἢ κατ' ἄνθρωπον, αἱροῦμαι
παραλιπεῖν, οὐκ ἀπιστῶν τοῖς λεγομένοις, ἀλλ' ἵνα
πᾶσι ποιήσω φανερὸν, ὅτι τοσούτου δέω πλασάμενος
εἰπεῖν τι περὶ τῶν ἐκείνῳ πεπραγμένων, ὥστε καὶ τῶν

ὑπαρχόντων ἀφίημι τὰ τοιαῦτα, περὶ ὧν ὀλίγοι τινὲς
ἐπίστανται καὶ μὴ πάντες οἱ πολῖται συνίσασιν. ἄρξο- b
μαι δ' ἐκ τῶν ὁμολογουμένων λέγειν περὶ αὐτοῦ.
22 (ι'.) Παῖς μὲν γὰρ ὢν ἔσχε κάλλος καὶ ῥώμην καὶ
σωφροσύνην, ἅπερ τῶν ἀγαθῶν πρεπωδέστατα τοῖς
τηλικούτοις ἐστίν. καὶ τούτων μάρτυρας ἄν τις ποιή-
σαιτο, τῆς μὲν σωφροσύνης τοὺς συμπαιδευθέντας
τῶν πολιτῶν, τοῦ δὲ κάλλους ἅπαντας τοὺς ἰδόντας,
τῆς δὲ ῥώμης τοὺς (θεασαμένους τοὺς) ἀγῶνας, ἐν οἷς
23 ἐκεῖνος τῶν ἡλικιωτῶν ἐκρατίστευσεν. ἀνδρὶ δὲ γενο- c
μένῳ ταῦτά τε πάντα συνηυξήθη καὶ πρὸς τούτοις ἀν-
δρία προσεγένετο καὶ σοφία καὶ δικαιοσύνη, καὶ ταῦτ'
οὐ μέσως οὐδ' ὥσπερ ἑτέροις τισὶν, ἀλλ' ἕκαστον αὐτῶν
εἰς ὑπερβολήν· τοσοῦτον γὰρ καὶ ταῖς τοῦ σώματος καὶ
24 ταῖς τῆς ψυχῆς ἀρεταῖς διήνεγκεν, ὥσθ' ὁπότε μὲν αὐ-
τὸν ὁρῷεν οἱ τότε βασιλεύοντες, ἐκπλήττεσθαι καὶ φο-
βεῖσθαι περὶ τῆς ἀρχῆς, ἡγουμένους οὐχ οἷόν τ' εἶναι
τὸν τοιοῦτον τὴν φύσιν ἐν ἰδιώτου μέρει διαγαγεῖν,
ὁπότε δ' εἰς τοὺς τρόπους ἀποβλέψειαν, οὕτω σφόδρα d
πιστεύειν, ὥστ' εἰ καί τις ἄλλος τολμῴη περὶ αὐτοὺς
ἐξαμαρτάνειν, νομίζειν Εὐαγόραν αὐτοῖς ἔσεσθαι βοη-
25 θόν. (ια'.) Καὶ τοσοῦτον τῆς δόξης παραλλαττούσης
οὐδετέρου τούτων ἐψεύσθησαν· οὔτε γὰρ ἰδιώτης ὢν
διετέλεσεν οὔτε περὶ ἐκείνους ἐξήμαρτεν, ἀλλὰ τοσαύ-
την ὁ δαίμων ἔσχεν αὐτοῦ πρόνοιαν, ὅπως καλῶς λήψε-
ται τὴν βασιλείαν, ὥσθ' ὅσα μὲν ἀναγκαῖον ἦν παρα-
σκευασθῆναι δι' ἀσεβείας, ταῦτα μὲν ἕτερος ἔπραξεν, e
26 ἐξ ὧν δ' οἷόν τ' ἦν ὁσίως καὶ δικαίως λαβεῖν τὴν ἀρ-
χὴν, Εὐαγόρᾳ διεφύλαξεν. εἷς γὰρ τῶν δυναστευόν-
των ἐπιβουλεύσας τόν τε τύραννον ἀπέκτεινε καὶ συλ-
λαβεῖν Εὐαγόραν ἐπεχείρησεν, ἡγούμενος οὐ δυνήσε-
σθαι κατασχεῖν τὴν ἀρχὴν, εἰ μὴ κἀκεῖνον ἐκποδὼν

27 ποιήσαιτο. διαφυγὼν δὲ τὸν κίνδυνον καὶ σωθεὶς εἰς 191
Σόλους τῆς Κιλικίας οὐ τὴν αὐτὴν γνώμην ἔσχε τοῖς
ταῖς τοιαύταις συμφοραῖς περιπίπτουσιν. οἱ μὲν γὰρ
ἄλλοι, κἂν ἐκ τυραννίδος ἐκπέσωσι, διὰ τὰς παρούσας
τύχας ταπεινοτέρας τὰς ψυχὰς ἔχουσιν· ἐκεῖνος δ' εἰς
τοσοῦτον μεγαλοφροσύνης ἦλθεν, ὥστε τὸν ἄλλον
χρόνον ἰδιώτης ὤν, ἐπειδὴ φεύγειν ἠναγκάσθη, τυ-
28 ραννεῖν ᾠήθη δεῖν. καὶ τοὺς μὲν πλάνους τοὺς φυγα-
δικοὺς καὶ τὸ δι' ἑτέρων ζητεῖν τὴν κάθοδον καὶ θε-
ραπεύειν αὐτοῦ χείρους ὑπερεῖδεν, λαβὼν δὲ ταύτην b
ἀφορμήν, ἥνπερ χρὴ τοὺς εὐσεβεῖν βουλομένους, ἀμύ-
νεσθαι καὶ μὴ προτέρους ὑπάρχειν, καὶ προελόμενος
ἢ κατορθώσας τυραννεῖν ἢ διαμαρτὼν ἀποθανεῖν, πα-
ρακαλέσας ἀνθρώπους, ὡς οἱ τοὺς πλείστους λέγον-
τες, περὶ πεντήκοντα, μετὰ τούτων παρεσκευάζετο
29 ποιεῖσθαι τὴν κάθοδον. ὅθεν καὶ μάλιστ' ἄν τις καὶ
τὴν φύσιν τὴν ἐκείνου καὶ τὴν δόξαν, ἣν εἶχε παρὰ c
τοῖς ἄλλοις, θεωρήσειεν· μέλλοντος γὰρ πλεῖν μετὰ
τοσούτων ἐπὶ τηλικαύτην πρᾶξιν τὸ μέγεθος καὶ πάν-
των τῶν δεινῶν πλησίον ὄντων οὔτ' ἐκεῖνος ἠθύμη-
σεν οὔτε τῶν παρακληθέντων οὐδεὶς ἀποστῆναι τῶν
κινδύνων ἠξίωσεν, ἀλλ' οἱ μὲν ὥσπερ θεῷ συνακο-
λουθοῦντες ἅπαντες ἐνέμειναν τοῖς ὡμολογημένοις, ὁ
δ' ὥσπερ ἢ στρατόπεδον ἔχων κρεῖττον τῶν ἀντιπά-
λων ἢ προειδὼς τὸ συμβησόμενον οὕτω διέκειτο τὴν d
30 γνώμην. (ιβ'.) Δῆλον δ' ἐκ τῶν ἔργων· ἀποβὰς γὰρ
εἰς τὴν νῆσον οὐχ ἡγήσατο δεῖν χωρίον ἐχυρὸν κατα-
λαβὼν καὶ τὸ σῶμ' ἐν ἀσφαλείᾳ καταστήσας περιιδεῖν,
εἴ τινες αὐτῷ τῶν πολιτῶν βοηθήσουσιν· ἀλλ' εὐθύς,
ὥσπερ εἶχε, ταύτης τῆς νυκτὸς διελὼν τοῦ τείχους πυ-
λίδα καὶ ταύτῃ τοὺς μεθ' αὐτοῦ διαγαγὼν προσέβαλλε
31 πρὸς τὸ βασίλειον. καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τοῖς

τοιούτοις καιροῖς γιγνομένους καὶ τοὺς φόβους τοὺς e
τῶν ἄλλων καὶ τὰς παρακελεύσεις τὰς ἐκείνου τί δεῖ
λέγοντα διατρίβειν; γενομένων δ' αὐτῷ τῶν μὲν περὶ
τὸν τύραννον ἀνταγωνιστῶν, τῶν δ' ἄλλων πολιτῶν
θεατῶν, δεδιότες γὰρ τοῦ μὲν τὴν ἀρχήν, τοῦ δὲ τὴν 195
32 ἀρετὴν ἡσυχίαν εἶχον, οὐ πρότερον ἐπαύσατο μαχόμε-
νος καὶ μόνος πρὸς πολλοὺς καὶ μετ' ὀλίγων πρὸς
ἅπαντας [τοὺς ἐχθροὺς], πρὶν ἑλεῖν τὸ βασίλειον, καὶ
τούς τ' ἐχθροὺς ἐτιμωρήσατο καὶ τοῖς φίλοις ἐβοήθη-
σεν, ἔτι δὲ τῷ γένει τὰς τιμὰς τὰς πατρίους ἐκομίσατο,
καὶ τύραννον αὑτὸν τῆς πόλεως κατέστησεν.

33 (ιγ'.) Ἡγοῦμαι μὲν οὖν, εἰ καὶ μηδενὸς ἄλλου b
μνησθείην, ἀλλ' ἐνταῦθα καταλίποιμι τὸν λόγον,
ῥᾴδιον ἐκ τούτων εἶναι γνῶναι τήν τ' ἀρετὴν τὴν
Εὐαγόρου καὶ τὸ μέγεθος τῶν πεπραγμένων· οὐ
μὴν ἀλλ' ἔτι γε σαφέστερον περὶ ἀμφοτέρων τούτων
34 ἐκ τῶν ἐχομένων οἶμαι δηλώσειν. (ιδ'.) Τοσούτων γὰρ
τυράννων ἐν ἅπαντι τῷ χρόνῳ γεγενημένων οὐδεὶς
φανήσεται τὴν τιμὴν ταύτην κάλλιον ἐκείνου κτησά-
μενος. εἰ μὲν οὖν πρὸς ἕκαστον αὐτῶν τὰς πράξεις c
τὰς Εὐαγόρου παραβάλλοιμεν, οὔτ' ἂν ὁ λόγος ἴσως
τοῖς καιροῖς ἁρμόσειεν οὔτ' ἂν ὁ χρόνος τοῖς λεγομέ-
νοις ἀρκέσειεν· ἢν δὲ προελόμενοι τοὺς εὐδοκιμωτά-
τους ἐπὶ τούτων σκοπῶμεν, οὐδὲν μὲν χεῖρον ἐξετῶ-
μεν, πολὺ δὲ συντομώτερον διαλεχθησόμεθα περὶ
αὐτῶν.

35 (ιε'.) Τῶν μὲν οὖν τὰς πατρικὰς βασιλείας παρα-
λαβόντων τίς οὐκ ἂν τοὺς Εὐαγόρου κινδύνους προ-
κρίνειεν; οὐδεὶς γάρ ἐστιν οὕτω ῥᾴθυμος, ὅστις ἂν
δέξαιτο παρὰ τῶν προγόνων τὴν ἀρχὴν ταύτην παρα- d
λαβεῖν μᾶλλον ἢ κτησάμενος ὥσπερ ἐκεῖνος τοῖς παισὶ
36 τοῖς αὑτοῦ καταλιπεῖν. (ις'.) Καὶ μὴν τῶν γε παλαιῶν

καθόδων αὗται μάλιστ' εὐδοκιμοῦσιν, ἃς παρὰ τῶν
ποιητῶν ἀκούομεν· οὗτοι γὰρ οὐ μόνον τῶν γεγενη-
μένων τὰς καλλίστας ἡμῖν ἀπαγγέλλουσιν, ἀλλὰ καὶ
παρ' αὑτῶν καινὰς συντιθέασιν. ἀλλ' ὅμως οὐδεὶς
αὐτῶν μεμυθολόγηκεν, ὅστις οὕτω δεινοὺς καὶ φοβε-
ροὺς ποιησάμενος τοὺς κινδύνους εἰς τὴν αὑτοῦ κατ- e
ῆλθεν· ἀλλ' οἱ μὲν πλεῖστοι πεποίηνται διὰ τύχην λα-
βόντες τὰς βασιλείας, οἱ δὲ μετὰ δόλου καὶ τέχνης πε-
37 ριγενόμενοι τῶν ἐχθρῶν. (ιζ.) Ἀλλὰ μὴν τῶν γ' ἐπὶ
τάδε γεγενημένων, ἴσως δὲ καὶ τῶν ἁπάντων, Κῦρον
τὸν Μήδων μὲν ἀφελόμενον τὴν ἀρχήν, Πέρσαις δὲ κτη-
σάμενον, καὶ πλεῖστοι καὶ μάλιστα θαυμάζουσιν. ἀλλ' 196
ὁ μὲν τῷ Περσῶν στρατοπέδῳ τὸ Μήδων ἐνίκησεν, ὃ
πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ῥᾳδίως
ἂν ποιήσειαν· ὁ δὲ διὰ τῆς ψυχῆς τῆς αὑτοῦ καὶ τοῦ
σώματος τὰ πλεῖστα φαίνεται τῶν προειρημένων δια-
38 πραξάμενος. ἔπειτ' ἐκ μὲν τῆς Κύρου στρατηγίας οὔ-
πω δῆλον, ὅτι καὶ τοὺς Εὐαγόρου κινδύνους ἂν ὑπέ-
μεινεν, ἐκ δὲ τῶν τούτῳ πεπραγμένων ἅπασι φανε-
ρόν, ὅτι ῥᾳδίως ἂν κἀκείνοις τοῖς ἔργοις ἐπεχείρησεν. b
πρὸς δὲ τούτοις τῷ μὲν ὁσίως καὶ δικαίως ἅπαντα πέ-
πρακται, τῷ δ' οὐκ εὐσεβῶς ἔνια συμβέβηκεν· ὁ μὲν
γὰρ τοὺς ἐχθροὺς ἀπώλεσε, Κῦρος δὲ τὸν πατέρα τὸν
τῆς μητρὸς ἀπέκτεινεν. ὥστ' εἴ τινες βούλοιντο μὴ τὸ
μέγεθος τῶν συμβάντων ἀλλὰ τὴν ἀρετὴν τὴν ἑκατέ-
ρου κρίνειν, δικαίως ἂν Εὐαγόραν καὶ τούτου μᾶλλον
39 ἐπαινέσειαν. εἰ δὲ δεῖ συντόμως καὶ μηδὲν ὑποστειλά-
μενον μηδὲ δείσαντα τὸν φθόνον ἀλλὰ παρρησίᾳ χρη- c
σάμενον εἰπεῖν, οὐδεὶς οὔτε θνητὸς οὔθ' ἡμίθεος οὔτ'
ἀθάνατος εὑρεθήσεται κάλλιον οὐδὲ λαμπρότερον οὐδ'
εὐσεβέστερον λαβὼν ἐκείνου τὴν βασιλείαν. καὶ τού-
τοις ἐκείνως ἄν τις μάλιστα πιστεύσειεν, εἰ σφόδρα

τοῖς λεγομένοις ἀπιστήσας ἐξετάζειν ἐπιχειρήσειεν,
ὅπως ἕκαστος ἐτυράννευσεν. φανήσομαι γὰρ οὐκ ἐκ
παντὸς τρόπου μεγάλα λέγειν προθυμούμενος ἀλλὰ
διὰ τὴν τοῦ πράγματος ἀλήθειαν οὕτω περὶ αὐτοῦ d
θρασέως εἰρηκώς.

40 (ιη'.) Εἰ μὲν οὖν ἐπὶ μικροῖς διήνεγκε, τοιούτων
ἂν καὶ τῶν λόγων αὐτῷ προσῆκεν ἀξιοῦσθαι· νῦν δ'
ἅπαντες ἂν ὁμολογήσειαν τυραννίδα καὶ τῶν θείων
ἀγαθῶν καὶ τῶν ἀνθρωπίνων μέγιστον καὶ σεμνό-
τατον καὶ περιμαχητότατον εἶναι. τὸν δὴ τὸ κάλλι-
στον τῶν ὄντων κάλλιστα κτησάμενον τίς ἂν ἢ ποιη-
τὴς ἢ λόγων εὑρετὴς ἀξίως τῶν πεπραγμένων ἐπαι-
νέσειεν;

41 (ιθ'.) Οὐ τοίνυν ἐν τούτοις ὑπερβαλόμενος ἐν τοῖς e
ἄλλοις εὑρεθήσεται καταδεέστερος γενόμενος, ἀλλὰ
πρῶτον μὲν εὐφυέστατος ὢν τὴν γνώμην καὶ πλεῖστα
κατορθοῦν δυνάμενος ὅμως οὐκ ᾠήθη δεῖν ὀλιγωρεῖν
οὐδ' αὐτοσχεδιάζειν περὶ τῶν πραγμάτων, ἀλλ' ἐν τῷ
ζητεῖν καὶ φροντίζειν καὶ βουλεύεσθαι τὸν πλεῖστον 197
τοῦ χρόνου διέτριβεν, ἡγούμενος μέν, εἰ καλῶς τὴν
αὑτοῦ φρόνησιν παρασκευάσειεν, ὁμοίως αὑτῷ καὶ
τὴν βασιλείαν ἕξειν, θαυμάζων δ' ὅσοι τῶν μὲν ἄλλων
ἕνεκα τῆς ψυχῆς ποιοῦνται τὴν ἐπιμέλειαν, αὐτῆς δὲ
42 ταύτης μηδὲν τυγχάνουσι φροντίζοντες. ἔπειτα καὶ
περὶ τῶν πραγμάτων τὴν αὐτὴν διάνοιαν εἶχεν· ὁρῶν
γὰρ τοὺς ἄριστα τῶν ὄντων ἐπιμελουμένους ἐλάχιστα
λυπουμένους, καὶ τὰς ἀληθινὰς τῶν ῥᾳθυμιῶν οὐκ ἐν b
ταῖς ἀργίαις ἀλλ' ἐν ταῖς εὐπραγίαις καὶ καρτερίαις
ἐνούσας, οὐδὲν ἀνεξέταστον παρέλειπεν, ἀλλ' οὕτως
ἀκριβῶς καὶ τὰς πράξεις ᾔδει καὶ τῶν πολιτῶν ἕκα-
στον ἐγίγνωσκεν ὥστε μήτε τοὺς ἐπιβουλεύοντας αὐ-
τῷ φθάνειν μήτε τοὺς ἐπιεικεῖς ὄντας λανθάνειν, ἀλλὰ

πάντας τυγχάνειν τῶν προσηκόντων· οὐ γὰρ ἐξ ὧν
ἑτέρων ἤκουεν οὔτ' ἐκόλαζεν οὔτ' ἐτίμα τοὺς πολίτας, c
ἀλλ' ἐξ ὧν αὐτὸς συνῄδει τὰς κρίσεις ἐποιεῖτο περὶ αὐ-
43 τῶν. ἐν τοιαύταις δ' ἐπιμελείαις αὑτὸν καταστήσας
οὐδὲ περὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόν-
των οὐδὲ περὶ ἓν πεπλανημένως εἶχεν, ἀλλ' οὕτω θεο-
φιλῶς καὶ φιλανθρώπως διῴκει τὴν πόλιν ὥστε τοὺς
εἰσαφικνουμένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζη-
λοῦν ἢ τοὺς ἄλλους τῆς ὑπ' ἐκείνου βασιλείας· ἅπαν- d
τα γὰρ τὸν χρόνον διετέλεσεν οὐδένα μὲν ἀδικῶν, τοὺς
δὲ χρηστοὺς τιμῶν, καὶ σφόδρα μὲν ἁπάντων ἄρχων,
44 νομίμως δὲ τοὺς ἐξαμαρτόντας κολάζων· οὐδὲν μὲν
συμβούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις συμβου-
λευόμενος· πολλὰ μὲν τῶν χρωμένων ἡττώμενος,
ἅπαντα δὲ τῶν ἐχθρῶν περιγιγνόμενος· σεμνὸς ὢν
οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς ἀλλὰ ταῖς τοῦ βίου
κατασκευαῖς· οὐδὲ πρὸς ἓν ἀτάκτως οὐδ' ἀνωμάλως e
διακείμενος ἀλλ' ὁμοίως τὰς ἐν τοῖς ἔργοις ὁμολογίας
45 ὥσπερ τὰς ἐν τοῖς λόγοις διαφυλάττων· μέγα φρονῶν
οὐκ ἐπὶ τοῖς διὰ τύχην ἀλλ' ἐπὶ τοῖς δι' αὑτὸν γιγνο-
μένοις· τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις ὑφ' αὑτῷ
ποιούμενος, τοὺς δ' ἄλλους τῇ μεγαλοψυχίᾳ καταδου- 196
λούμενος· φοβερὸς ὢν οὐ τῷ πολλοῖς χαλεπαίνειν ἀλ-
λὰ τῷ πολὺ τὴν τῶν ἄλλων φύσιν ὑπερβάλλειν· ἡγού-
μενος τῶν ἡδονῶν ἀλλ' οὐκ ἀγόμενος ὑπ' αὐτῶν·
ὀλίγοις πόνοις πολλὰς ῥᾳστώνας κτώμενος ἀλλ' οὐ διὰ
μικρὰς ῥᾳθυμίας μεγάλους πόνους ὑπολειπόμενος·
46 ὅλως οὐδὲν παραλείπων ὧν προσεῖναι δεῖ τοῖς βασι-
λεῦσιν, ἀλλ' ἐξ ἑκάστης τῆς πολιτείας ἐξειλεγμένος τὸ b
βέλτιστον, καὶ δημοτικὸς μὲν ὢν τῇ τοῦ πλήθους θε-
ραπείᾳ, πολιτικὸς δὲ τῇ τῆς πόλεως ὅλης διοικήσει,
στρατηγικὸς δὲ τῇ πρὸς τοὺς κινδύνους εὐβουλίᾳ, τυ-

ρανικὸς δὲ τῷ πᾶσι τούτοις διαφέρειν. καὶ ταῦθ' ὅτι
προσῆν Εὐαγόρᾳ, καὶ πλείω τούτων, ἐξ αὐτῶν τῶν
ἔργων ῥᾴδιον καταμαθεῖν.
47 (κ'.) Παραλαβὼν γὰρ τὴν πόλιν ἐκβεβαρβαρωμέ-
νην καὶ διὰ τὴν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ἕλληνας c
προσδεχομένην οὔτε τέχνας ἐπισταμένην οὔτ' ἐμπο-
ρίῳ χρωμένην οὔτε λιμένα κεκτημένην ταῦτά τε πάν-
τα διώρθωσε καὶ πρὸς τούτοις καὶ χώραν πολλὴν προσ-
εκτήσατο καὶ τείχη προσπεριεβάλετο καὶ τριήρεις ἐναυ-
πηγήσατο καὶ ταῖς ἄλλαις κατασκευαῖς οὕτως ηὔξησε
τὴν πόλιν ὥστε μηδεμιᾶς τῶν Ἑλληνίδων ἀπολελεῖ-
φθαι, καὶ δύναμιν τοσαύτην ἐνεποίησεν ὥστε πολλοὺς
48 φοβεῖσθαι τῶν πρότερον καταφρονούντων αὐτῆς. καί- d
τοι τηλικαύτας ἐπιδόσεις τὰς πόλεις λαμβάνειν οὐχ
οἷόν τ' ἐστὶν, ἢν μή τις αὐτὰς διοικῇ τοιούτοις ἤθε-
σιν οἵοις Εὐαγόρας μὲν εἶχεν, ἐγὼ δ' ὀλίγῳ πρότερον
ἐπειράθην διελθεῖν. ὥστ' οὐ δέδοικα, μὴ φανῶ μείζω
λέγων τῶν ἐκείνῳ προσόντων ἀλλὰ μὴ πολὺ λίαν ἀπο-
49 λειφθῶ τῶν πεπραγμένων αὐτῷ. τίς γὰρ ἂν ἐφίκοιτο
τοιαύτης φύσεως, ὃς οὐ μόνον τὴν αὑτοῦ πόλιν πλεί-
ονος ἀξίαν ἐποίησεν ἀλλὰ καὶ τὸν τόπον ὅλον τὸν πε-
ριέχοντα τὴν νῆσον ἐπὶ πραότητα καὶ μετριότητα προ- e
ήγαγεν; πρὶν μέν γε λαβεῖν Εὐαγόραν τὴν ἀρχὴν οὕ-
τως ἀπροσοίστως καὶ χαλεπῶς εἶχον, ὥστε καὶ τῶν
ἀρχόντων τούτους ἐνόμιζον εἶναι βελτίστους, οἵτινες
ὠμότατα πρὸς τοὺς Ἕλληνας διακείμενοι τυγχάνοιεν·
50 νῦν δὲ τοσοῦτον μεταπεπτώκασιν ὥσθ' ἁμιλλᾶσθαι 199
μὲν, οἵτινες αὐτῶν δόξουσι φιλέλληνες εἶναι μάλιστα,
παιδοποιεῖσθαι δὲ τοὺς πλείστους αὐτῶν γυναῖκας
λαμβάνοντας παρ' ἡμῶν, χαίρειν δὲ καὶ τοῖς κτήμασι
καὶ τοῖς ἐπιτηδεύμασι τοῖς Ἑλληνικοῖς μᾶλλον ἢ τοῖς
παρὰ σφίσιν αὐτοῖς, πλείους δὲ καὶ τῶν περὶ τὴν μου-

*σικὴν καὶ τῶν περὶ τὴν ἄλλην παίδευσιν ἐν τούτοις
τοῖς τόποις διατρίβειν, ἢ παρ' οἷς πρότερον εἰωθότες
ἦσαν. καὶ τούτων ἁπάντων οὐδεὶς ὅστις οὐκ ἂν Εὐα- b
γόραν αἴτιον εἶναι προσομολογήσειεν.*

51 *(κα'.) Μέγιστον δὲ τεκμήριον καὶ τοῦ τρόπου καὶ
τῆς ὁσιότητος τῆς ἐκείνου· τῶν γὰρ Ἑλλήνων πολλοὶ
καὶ καλοὶ κἀγαθοὶ τὰς αὑτῶν πατρίδας ἀπολιπόντες
ἦλθον εἰς Κύπρον οἰκήσοντες, ἡγούμενοι κουφοτέραν
καὶ νομιμωτέραν εἶναι τὴν Εὐαγόρου βασιλείαν τῶν
οἴκοι πολιτειῶν· ὧν τοὺς μὲν ἄλλους ὀνομαστὶ διελ-*
52 *θεῖν πολὺ ἂν ἔργον εἴη· Κόνωνα δὲ τὸν διὰ πλείστας
ἀρετὰς πρωτεύσαντα τῶν Ἑλλήνων τίς οὐκ οἶδεν, ὅτι* c
*δυστυχήσας ἐξ ἁπάντων ἐκλεξάμενος ὡς Εὐαγόραν
ἦλθε, νομίσας καὶ τῷ σώματι βεβαιοτάτην εἶναι τὴν
παρ' ἐκείνῳ καταφυγὴν καὶ τῇ πόλει τάχιστ' ἂν αὐτὸν
γενέσθαι βοηθόν. καὶ πολλὰ πρότερον ἤδη κατωρθω-
κὼς οὐδὲ περὶ ἑνὸς πώποτε πράγματος ἔδοξεν ἄμεινον*
53 *ἢ περὶ τούτου βουλεύσασθαι· συνέβη γὰρ αὐτῷ διὰ
τὴν ἄφιξιν τὴν εἰς Κύπρον καὶ ποιῆσαι καὶ παθεῖν* d
*πλεῖστ' ἀγαθά. πρῶτον μὲν γὰρ οὐκ ἔφθασαν ἀλλή-
λοις πλησιάσαντες καὶ περὶ πλείονος ἐποιήσαντο σφᾶς
αὐτοὺς ἢ τοὺς πρότερον οἰκείους ὄντας. ἔπειτα περί
τε τῶν ἄλλων ὁμονοοῦντες ἅπαντα τὸν χρόνον διετέ-
λεσαν καὶ περὶ τῆς ἡμετέρας πόλεως τὴν αὐτὴν γνώ-*
54 *μην εἶχον. ὁρῶντες γὰρ αὐτὴν ὑπὸ Λακεδαιμονίοις
οὖσαν καὶ μεγάλῃ μεταβολῇ κεχρημένην λυπηρῶς καὶ
βαρέως ἔφερον, ἀμφότεροι προσήκοντα ποιοῦντες·* e
*τῷ μὲν γὰρ ἦν φύσει πατρίς, τὸν δὲ διὰ πολλὰς καὶ
μεγάλας εὐεργεσίας νόμῳ πολίτην ἐπεποίηντο. σκο-
πουμένοις δ' αὐτοῖς, ὅπως τῶν συμφορῶν αὐτὴν ἀπαλ-
λάξουσι, ταχὺν τὸν καιρὸν Λακεδαιμόνιοι παρεσκεύα-
σαν· ἄρχοντες γὰρ τῶν Ἑλλήνων καὶ κατὰ γῆν καὶ* 200

κατὰ θάλατταν εἰς τοῦτ' ἀπληστίας ἦλθον, ὥστε καὶ
55 τὴν Ἀσίαν κακῶς ποιεῖν ἐπεχείρησαν. λαβόντες δ' ἐκεῖ-
νοι τοῦτον τὸν καιρὸν καὶ τῶν στρατηγῶν τῶν βασι-
λέως ἀπορούντων, ὅ τι χρήσωνται τοῖς πράγμασιν,
ἐδίδασκον αὐτοὺς μὴ κατὰ γῆν ἀλλὰ κατὰ θάλατταν
ποιεῖσθαι τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους, νο-
μίζοντες, εἰ μὲν πεζὸν στρατόπεδον καταστήσαιντο καὶ
τούτῳ περιγένοιντο, τὰ περὶ τὴν ἤπειρον μόνον καλῶς b
ἕξειν, εἰ δὲ κατὰ θάλατταν κρατήσειαν, ἅπασαν τὴν
56 Ἑλλάδα τῆς νίκης ταύτης μεθέξειν. ὅπερ συνέβη· πει-
σθέντων γὰρ ταῦτα τῶν στρατηγῶν καὶ ναυτικοῦ συλ-
λεγέντος Λακεδαιμόνιοι μὲν κατεναυμαχήθησαν καὶ
τῆς ἀρχῆς ἀπεστερήθησαν, οἱ δ' Ἕλληνες ἠλευθερώ-
θησαν, ἡ δὲ πόλις ἡμῶν τῆς τε παλαιᾶς δόξης μέρος
τι πάλιν ἀνέλαβε καὶ τῶν συμμάχων ἡγεμὼν κατέστη.
καὶ ταῦτ' ἐπράχθη Κόνωνος μὲν στρατηγοῦντος, Εὐα- c
γόρου δὲ τοῦτό τε παρασχόντος καὶ τῆς δυνάμεως τὴν
57 πλείστην παρασκευάσαντος. ὑπὲρ ὧν ἡμεῖς μὲν αὐ-
τοὺς ἐτιμήσαμεν ταῖς μεγίσταις τιμαῖς καὶ τὰς εἰκόνας
αὐτῶν ἐστήσαμεν, οὗπερ τὸ τοῦ Διὸς ἄγαλμα τοῦ σω-
τῆρος, πλησίον ἐκείνου τε καὶ σφῶν αὐτῶν, ἀμφοτέ-
ρων ὑπόμνημα, καὶ τοῦ μεγέθους τῆς εὐεργεσίας καὶ
τῆς φιλίας τῆς πρὸς ἀλλήλους.

(κβ'.) Βασιλεὺς δ' οὐ τὴν αὐτὴν γνώμην ἔσχε περὶ
αὐτῶν, ἀλλ' ὅσῳ μείζω καὶ πλείονος ἄξια κατειργά- d
σαντο, τοσούτῳ μᾶλλον ἔδεισεν αὐτούς. περὶ μὲν οὖν
Κόνωνος ἄλλος ἡμῖν ἔσται λόγος· ὅτι δὲ πρὸς Εὐα-
58 γόραν οὕτως ἔσχεν, οὐδ' αὐτὸς λαθεῖν ἐζήτησεν. φαί-
νεται γὰρ μᾶλλον μὲν σπουδάσας περὶ τὸν ἐν Κύπρῳ
πόλεμον ἢ περὶ τοὺς ἄλλους ἅπαντας, μείζω δὲ καὶ χα-
λεπώτερον ἐκεῖνον ἀνταγωνιστὴν νομίσας ἢ Κῦρον
τὸν περὶ τῆς βασιλείας ἀμφισβητήσαντα. μέγιστον δὲ e

τεκμήριον· τοῦ μὲν γὰρ ἀκούων τὰς παρασκευὰς τοσοῦτον κατεφρόνησεν, ὥστε διὰ τὸ μὴ φροντίζειν μικροῦ δεῖν ἔλαθεν αὐτὸν ἐπὶ τὸ βασίλειον ἐπιστάς· πρὸς δὲ τοῦτον οὕτως ἐκ πολλοῦ περιδεῶς ἔσχεν, ὥστε μεταξὺ πάσχων εὖ πολεμεῖν πρὸς αὐτὸν ἐπεχείρησε, δίκαια μὲν οὐ ποιῶν, οὐ μὴν παντάπασιν ἀλόγως βου-
59 λευσάμενος. ἠπίστατο μὲν γὰρ πολλοὺς καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐκ ταπεινῶν καὶ φαύλων πραγμάτων μεγάλας δυναστείας κατεργασαμένους, ᾐσθάνετο δὲ τὴν Εὐαγόρου μεγαλοψυχίαν καὶ τὰς ἐπιδόσεις αὐτῷ καὶ τῆς δόξης καὶ τῶν πραγμάτων οὐ κατὰ μικρὸν γιγνομένας ἀλλὰ καὶ τὴν φύσιν ἀνυπέρβλητον ἔχοντα καὶ τὴν τύχην αὐτῷ συναγωνιζομένην·
60 ὥστ' οὐχ ὑπὲρ τῶν γεγενημένων ὀργιζόμενος ἀλλὰ b
περὶ τῶν μελλόντων φοβούμενος, οὐδὲ περὶ Κύπρου μόνον δεδιὼς ἀλλὰ πολὺ περὶ μειζόνων ἐποιήσατο τὸν πόλεμον πρὸς αὐτόν. οὕτω δ' οὖν ὥρμησεν, ὥστ' εἰς τὴν στρατείαν ταύτην πλέον ἢ τάλαντα πεντακισχίλια
61 καὶ μύρια κατηνάλωσεν. (κγ'.) Ἀλλ' ὅμως Εὐαγόρας πάσαις ἀπολελειμμένος ταῖς δυνάμεσιν, ἀντιτάξας τὴν αὑτοῦ γνώμην πρὸς τὰς οὕτως ὑπερμεγέθεις παρασκευάς, ἐπέδειξεν αὑτὸν ἐν τούτοις πολὺ θαυμαστότε- c
ρον ἢ τοῖς ἄλλοις τοῖς προειρημένοις. ὅτε μὲν γὰρ αὐτὸν εἴων εἰρήνην ἄγειν, τὴν αὑτοῦ πόλιν μόνην εἶ-
62 χεν· ἐπειδὴ δ' ἠναγκάσθη πολεμεῖν, τοιοῦτος ἦν καὶ τοιοῦτον εἶχε Πνυταγόραν τὸν υἱὸν τὸν αὑτοῦ συναγωνιστήν, ὥστε μικροῦ μὲν ἐδέησε Κύπρον ἅπασαν κατασχεῖν, Φοινίκην δ' ἐπόρθησε, Τύρον δὲ κατὰ κράτος εἷλε, Κιλικίαν δὲ βασιλέως ἀπέστησε, τοσούτους δὲ τῶν πολεμίων ἀπώλεσεν ὥστε πολλοὺς Περσῶν d
πενθοῦντας τὰς αὑτῶν συμφορὰς μεμνῆσθαι τῆς ἀρε-
63 τῆς τῆς ἐκείνου· τελευτῶν δ' οὕτως ἐνέπλησεν αὐτοὺς

τοῦ πολεμεῖν, ὥστ' εἰθισμένων τὸν ἄλλον χρόνον τῶν
βασιλέων μὴ διαλλάττεσθαι τοῖς ἀποστᾶσι, πρὶν κύριοι
γένοιντο τῶν σωμάτων, ἄσμενοι τὴν εἰρήνην ἐποιή-
σαντο, λύσαντες μὲν τὸν νόμον τοῦτον, οὐδὲν δὲ κι-
64 νήσαντες τῆς Εὐαγόρου τυραννίδος. καὶ Λακεδαιμο-
νίων μὲν τῶν καὶ δόξαν καὶ δύναμιν μεγίστην ἐχόντων e
κατ' ἐκεῖνον τὸν χρόνον ἐντὸς τριῶν ἐτῶν ἀφείλετο
τὴν ἀρχήν, Εὐαγόρᾳ δὲ πολεμήσας ἔτη δέκα τῶν αὐ-
τῶν κύριον αὐτὸν κατέλιπεν, ὧνπερ ἦν καὶ πρὶν εἰς
τὸν πόλεμον εἰσελθεῖν. ὃ δὲ πάντων δεινότατον· τὴν
γὰρ πόλιν, ἣν Εὐαγόρας ἑτέρου τυραννοῦντος μετὰ 202
πεντήκοντ' ἀνδρῶν εἷλε, ταύτην βασιλεὺς ὁ μέγας
τοσαύτην δύναμιν ἔχων οὐχ οἷός τ' ἐγένετο χειρώ-
σασθαι.

65 (κδ'.) Καίτοι πῶς ἄν τις τὴν ἀνδρίαν ἢ τὴν φρό-
νησιν ἢ σύμπασαν τὴν ἀρετὴν τὴν Εὐαγόρου φανε-
ρώτερον ἐπιδείξειεν ἢ διὰ τοιούτων ἔργων καὶ κινδύ-
νων; οὐ γὰρ μόνον φανεῖται τοὺς ἄλλους πολέμους
ἀλλὰ καὶ τὸν τῶν ἡρώων ὑπερβαλόμενος, τὸν ὑπὸ
πάντων ἀνθρώπων ὑμνούμενον. οἱ μὲν γὰρ μεθ' b
ἁπάσης τῆς Ἑλλάδος Τροίαν μόνην εἷλον, ὁ δὲ μίαν
πόλιν ἔχων πρὸς ἅπασαν τὴν Ἀσίαν ἐπολέμησεν· ὥστ'
εἰ τοσοῦτοι τὸ πλῆθος ἐγκωμιάζειν αὐτὸν ἠβουλήθη-
σαν, ὅσοι περ ἐκείνους, πολὺ ἂν μείζω καὶ τὴν δόξαν
66 αὐτῶν ἔλαβεν. (κε'.) Τίνα γὰρ εὑρήσομεν τῶν τότε
γενομένων, εἰ τοὺς μύθους ἀφέντες τὴν ἀλήθειαν σκο-
ποῖμεν, τοιαῦτα διαπεπραγμένον, ἢ τίνα τοσούτων
μεταβολῶν ἐν τοῖς πράγμασιν αἴτιον γεγενημένον; c
ὃς αὑτὸν μὲν ἐξ ἰδιώτου τύραννον κατέστησε, τὸ δὲ
γένος ἅπαν ἀπεληλαμένον τῆς πολιτείας εἰς τὰς προσ-
ηκούσας τιμὰς πάλιν ἐπανήγαγε, τοὺς δὲ πολίτας ἐκ
βαρβάρων μὲν Ἕλληνας ἐποίησεν, ἐξ ἀνάνδρων δὲ πο-

67 λεμικούς, ἐξ ἀδόξων δ' ὀνομαστούς, τὸν δὲ τόπον ἄμι-
κτον ὅλον παραλαβὼν καὶ παντάπασιν ἐξηγριωμένον
ἡμερώτερον καὶ πραότερον κατέστησεν, ἔτι δὲ πρὸς
τούτοις εἰς ἔχθραν μὲν βασιλεῖ καταστὰς οὕτως αὐ- d
τὸν ἠμύνατο καλῶς ὥστ' ἀείμνηστον γεγενῆσθαι τὸν
πόλεμον τὸν περὶ Κύπρον, ὅτε δ' ἦν αὐτῷ σύμμα-
χος, τοσούτῳ χρησιμώτερον αὐτὸν παρέσχε τῶν ἄλλων
68 ὥσθ' ὁμολογουμένως μεγίστην αὐτῷ συμβαλέσθαι
δύναμιν εἰς τὴν ναυμαχίαν τὴν περὶ Κνίδον, ἧς γε-
νομένης βασιλεὺς μὲν ἁπάσης τῆς Ἀσίας κύριος κατέ-
στη, Λακεδαιμόνιοι δ' ἀντὶ τοῦ τὴν ἤπειρον πορθεῖν
περὶ τῆς αὑτῶν κινδυνεύειν ἠναγκάσθησαν, οἱ δ' Ἕλ- e
ληνες ἀντὶ δουλείας αὐτονομίας ἔτυχον, Ἀθηναῖοι δὲ
τοσοῦτον ἐπέδοσαν ὥστε τοὺς πρότερον αὐτῶν ἄρχον-
69 τας ἐλθεῖν αὐτοῖς τὴν ἀρχὴν δώσοντας. (κϛ'.) Ὥστ'
εἴ τις ἔροιτό με, τί νομίζω μέγιστον εἶναι τῶν Εὐα-
γόρᾳ πεπραγμένων, πότερον τὰς ἐπιμελείας καὶ τὰς 20
παρασκευὰς τὰς πρὸς Λακεδαιμονίους, ἐξ ὧν τὰ προ-
ειρημένα γέγονεν, ἢ τὸν τελευταῖον πόλεμον, ἢ τὴν
κατάληψιν τῆς βασιλείας, ἢ τὴν ὅλην τῶν πραγμάτων
διοίκησιν, εἰς πολλὴν ἀπορίαν ἂν κατασταίην· ἀεὶ γάρ
μοι δοκεῖ μέγιστον εἶναι καὶ θαυμαστότατον, καθ' ὅ
τι ἂν αὐτῶν ἐπιστήσω τὴν διάνοιαν.

70 (κζ'.) Ὥστ' εἴ τινες τῶν προγεγενημένων δι' ἀρε-
τὴν ἀθάνατοι γεγόνασιν, οἶμαι κἀκεῖνον ἠξιῶσθαι
ταύτης τῆς δωρεᾶς, σημείοις χρώμενος, ὅτι καὶ τὸν b
ἐνθάδε χρόνον εὐτυχέστερον καὶ θεοφιλέστερον ἐκεί-
νων διαβεβίωκεν. τῶν μὲν γὰρ ἡμιθέων τοὺς πλεί-
στους καὶ τοὺς ὀνομαστοτάτους εὑρήσομεν ταῖς μεγί-
σταις συμφοραῖς περιπεσόντας, Εὐαγόρας δ' οὐ μόνον
θαυμαστότατος ἀλλὰ καὶ μακαριστότατος ἐξ ἀρχῆς ὢν
71 διετέλεσεν. (κη'.) Τί γὰρ ἀπέλιπεν εὐδαιμονίας, ὃς

τοιούτων μὲν προγόνων ἔτυχεν, οἵων οὐδεὶς ἄλλος, c
πλὴν εἴ τις ἀπὸ τῶν αὐτῶν ἐκείνῳ γέγονεν, τοσοῦτον
δὲ καὶ τῷ σώματι καὶ τῇ γνώμῃ τῶν ἄλλων διήνεγκεν
ὥστε μὴ μόνον Σαλαμῖνος ἀλλὰ καὶ τῆς Ἀσίας ἁπάσης
ἄξιος εἶναι τυραννεῖν, κάλλιστα δὲ κτησάμενος τὴν
βασιλείαν ἐν ταύτῃ τὸν βίον διετέλεσε, θνητὸς δὲ γε-
νόμενος ἀθάνατον τὴν περὶ αὑτοῦ μνήμην κατέλιπε,
τοσοῦτον δ' ἐβίω χρόνον ὥστε μήτε τοῦ γήρως ἄμοι-
ρος γενέσθαι μήτε τῶν νόσων μετασχεῖν τῶν διὰ ταύ-
72 την τὴν ἡλικίαν γιγνομένων. πρὸς δὲ τούτοις, ὃ δο- d
κεῖ σπανιώτατον εἶναι καὶ χαλεπώτατον, εὐπαιδίας
τυχεῖν ἅμα καὶ πολυπαιδίας, οὐδὲ τούτου διήμαρτεν,
ἀλλὰ καὶ τοῦτ' αὐτῷ συνέπεσεν. καὶ τὸ μέγιστον, ὅτι
τῶν ἐξ αὑτοῦ γεγονότων οὐδὲν κατέλιπεν ἰδιωτικοῖς
ὀνόμασι προσαγορευόμενον, ἀλλὰ τὸν μὲν βασιλέα
καλούμενον, τοὺς δ' ἄνακτας, τὰς δ' ἀνάσσας. ὥστ'
εἴ τινες τῶν ποιητῶν περί τινος τῶν προγεγενημένων
ὑπερβολαῖς κέχρηνται, λέγοντες, ὡς ἦν θεὸς ἐν ἀν- e
θρώποις ἢ δαίμων θνητὸς, ἅπαντα τὰ τοιαῦτα περὶ
τὴν ἐκείνου φύσιν ῥηθῆναι μάλιστ' ἂν ἁρμόσειεν.
73 (κθ'.) Τῶν μὲν οὖν εἰς Εὐαγόραν πολλὰ μὲν οἶ-
μαι παραλιπεῖν· ὑστερίζω γὰρ τῆς ἀκμῆς τῆς ἐμαυτοῦ, 204
μεθ' ἧς ἀκριβέστερον καὶ φιλοπονώτερον ἐξειργασά-
μην ἂν τὸν ἔπαινον τοῦτον· οὐ μὴν ἀλλὰ καὶ νῦν,
ὅσον κατὰ τὴν ἐμὴν δύναμιν, οὐκ ἀνεγκωμίαστός
ἐστιν. (λ'.) Ἐγὼ δ' ὦ Νικόκλεις ἡγοῦμαι καλὰ μὲν
εἶναι μνημεῖα καὶ τὰς τῶν σωμάτων εἰκόνας, πολὺ
μέντοι πλείονος ἀξίας τὰς τῶν πράξεων καὶ τῆς δια-
νοίας, ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς
74 ἔχουσι θεωρήσειεν. προκρίνω δὲ ταύτας πρῶτον μὲν b
εἰδὼς τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν οὐχ οὕτως
ἐπὶ τῷ κάλλει τοῦ σώματος σεμνυνομένους ὡς ἐπὶ τοῖς

ἔργοις καὶ τῇ γνώμῃ φιλοτιμουμένους· ἐπειθ' ὅτι τοὺς
μὲν τύπους ἀναγκαῖον παρὰ τούτοις εἶναι μόνοις,
παρ' οἷς ἂν σταθῶσι, τοὺς δὲ λόγους ἐξενεχθῆναί θ' οἷόν
τ' ἐστὶν εἰς τὴν Ἑλλάδα καὶ διαδοθέντας ἐν ταῖς τῶν
εὖ φρονούντων διατριβαῖς ἀγαπᾶσθαι, παρ' οἷς κρεῖτ-
75 τόν ἐστιν ἢ παρὰ τοῖς ἄλλοις ἅπασιν εὐδοκιμεῖν· πρὸς
δὲ τούτοις ὅτι τοῖς μὲν πεπλασμένοις καὶ τοῖς γεγραμ- c
μένοις οὐδεὶς ἂν τὴν τοῦ σώματος φύσιν ὁμοιώσειε,
τοὺς δὲ τρόπους τοὺς ἀλλήλων καὶ τὰς διανοίας τὰς ἐν
τοῖς λεγομένοις ἐνούσας ῥᾴδιόν ἐστι μιμεῖσθαι τοῖς μὴ
ῥᾳθυμεῖν αἱρουμένοις ἀλλὰ χρηστοῖς εἶναι βουλομέ-
76 νοις. (λα'.) Ὧν ἕνεκα καὶ μᾶλλον ἐπεχείρησα γράφειν
τὸν λόγον τοῦτον, ἡγούμενος καὶ σοὶ καὶ τοῖς σοῖς
παισὶ καὶ τοῖς ἄλλοις τοῖς ἀπ' Εὐαγόρου γεγονόσι πολὺ d
καλλίστην ἂν γενέσθαι ταύτην παράκλησιν, εἴ τις
ἀθροίσας τὰς ἀρετὰς τὰς ἐκείνου καὶ τῷ λόγῳ κοσμή-
σας παραδοίη θεωρεῖν ὑμῖν καὶ συνδιατρίβειν αὐταῖς.
77 τοὺς μὲν γὰρ ἄλλους προτρέπομεν ἐπὶ τὴν φιλοσοφίαν
ἑτέρους ἐπαινοῦντες, ἵνα ζηλοῦντες τοὺς εὐλογουμέ-
νους τῶν αὐτῶν ἐκείνοις ἐπιτηδευμάτων ἐπιθυμῶσιν,
ἐγὼ δὲ σὲ καὶ τοὺς σοὺς οὐκ ἀλλοτρίοις παραδείγμασι
χρώμενος ἀλλ' οἰκείοις παρακαλῶ, καὶ συμβουλεύω e
προσέχειν τὸν νοῦν, ὅπως καὶ λέγειν καὶ πράττειν μη-
78 δενὸς ἧττον δυνήσει τῶν Ἑλλήνων. (λβ'.) Καὶ μὴ νό-
μιζέ με καταγιγνώσκειν, ὡς νῦν ἀμελεῖς, ὅτι πολλάκις
σοι διακελεύομαι περὶ τῶν αὐτῶν. οὐ γὰρ οὔτ' ἐμὲ
λέληθας οὔτε τοὺς ἄλλους, ὅτι καὶ πρῶτος καὶ μόνος 207
τῶν ἐν τυραννίδι καὶ πλούτῳ καὶ τρυφαῖς ὄντων φιλο-
σοφεῖν καὶ πονεῖν ἐπικεχείρηκας, οὐδ' ὅτι πολλοὺς
τῶν βασιλέων ποιήσεις ζηλώσαντας τὴν σὴν παίδευ-
σιν τούτων τῶν διατριβῶν ἐπιθυμεῖν, ἀφεμένους ἐφ'
79 οἷς νῦν λίαν χαίρουσιν. ἀλλ' ὅμως ἐγὼ ταῦτ' εἰδὼς

οὐδὲν ἧττον καὶ ποιῶ καὶ ποιήσω ταὐτὸν, ὅπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ θεαταί· καὶ γὰρ ἐκεῖνοι παρακελεύονται τῶν δρομέων οὐ τοῖς ἀπολελειμμένοις ἀλλὰ
80 τοῖς περὶ τῆς νίκης ἁμιλλωμένοις. (λγ'.) Ἐμὸν μὲν οὖν ἔργον καὶ τῶν ἄλλων φίλων τοιαῦτα καὶ λέγειν καὶ γράφειν, ἐξ ὧν μέλλομέν σε παροξύνειν ὀρέγεσθαι τούτων, ὧνπερ καὶ νῦν τυγχάνεις ἐπιθυμῶν· σοὶ δὲ προσήκει μηδὲν ἐλλείπειν ἀλλ' ὥσπερ ἐν τῷ παρόντι καὶ τὸν λοιπὸν χρόνον ἐπιμελεῖσθαι καὶ τὴν ψυχὴν ἀσκεῖν, ὅπως ἄξιος ἔσει καὶ τοῦ πατρὸς καὶ τῶν ἄλλων προγόνων. ὡς ἅπασι μὲν προσήκει περὶ πολλοῦ ποιεῖσθαι τὴν φρόνησιν, μάλιστα δ' ὑμῖν τοῖς πλείστων καὶ με-
81 γίστων κυρίοις οὖσιν. χρὴ δ' οὐκ ἀγαπᾶν, εἰ τῶν παρόντων τυγχάνεις ὢν ἤδη κρείττων, ἀλλ' ἀγανακτεῖν, εἰ τοιοῦτος μὲν ὢν αὐτὸς τὴν φύσιν, γεγονὼς δὲ τὸ μὲν παλαιὸν ἀπὸ Διὸς, τὸ δ' ὑπογυιότατον ἐξ ἀνδρὸς τοιούτου τὴν ἀρετὴν, μὴ πολὺ διοίσεις καὶ τῶν ἄλλων καὶ τῶν ἐν ταῖς αὐταῖς σοι τιμαῖς ὄντων. ἔστι δ' ἐπὶ σοὶ μὴ διαμαρτεῖν τούτων· ἂν γὰρ ἐμμένῃς τῇ φιλοσοφίᾳ καὶ τοσοῦτον ἐπιδιδῷς, ὅσον περ νῦν, ταχέως γενήσει τοιοῦτος, οἷόν σε προσήκει.

10.

Ε Λ Ε Ν Η.

(α'.) Εἰσί τινες οἳ μέγα φρονοῦσιν, ἢν ὑπόθεσιν 208
ἄτοπον καὶ παράδοξον ποιησάμενοι περὶ ταύτης ἀνεκτῶς εἰπεῖν δυνηθῶσι· καὶ καταγεγηράκασιν οἱ μὲν οὐ φάσκοντες οἷόν τ' εἶναι ψευδῆ λέγειν οὐδ' ἀντιλέ-

γειν οὐδὲ δύω λόγω περὶ τῶν αὐτῶν πραγμάτων ἀντ-
ειπεῖν, οἱ δὲ διεξιόντες ὡς ἀνδρία καὶ σοφία καὶ δικαιο-
σύνη ταὐτόν ἐστι, καὶ φύσει μὲν οὐδὲν αὐτῶν ἔχομεν, b
μία δ' ἐπιστήμη καθ' ἁπάντων ἐστίν· ἄλλοι δὲ περὶ
τὰς ἔριδας διατρίβουσι τὰς οὐδὲν μὲν ὠφελούσας,
πράγματα δὲ παρέχειν τοῖς πλησιάζουσι δυναμένας.
2 (β'.) Ἐγὼ δ' εἰ μὲν ἑώρων νεωστὶ τὴν περιεργίαν ταύ-
την ἐν τοῖς λόγοις ἐγγεγενημένην καὶ τούτους ἐπὶ τῇ
καινότητι τῶν εὑρημένων φιλοτιμουμένους, οὐκ ἂν
ὁμοίως ἐθαύμαζον αὐτῶν· νῦν δὲ τίς ἐστιν οὕτως
ὀψιμαθὴς, ὅστις οὐκ οἶδε Πρωταγόραν καὶ τοὺς κατ' c
ἐκεῖνον τὸν χρόνον γενομένους σοφιστὰς, ὅτι καὶ τοι-
αῦτα καὶ πολὺ τούτων πραγματωδέστερα συγγράμ-
3 ματα κατέλιπον ἡμῖν; πῶς γαρ ἄν τις ὑπερβάλοιτο
Γοργίαν τὸν τολμήσαντα λέγειν, ὡς οὐδὲν τῶν ὄντων
ἔστιν, ἢ Ζήνωνα τὸν ταὐτὰ δυνατὰ καὶ πάλιν ἀδύνατα
πειρώμενον ἀποφαίνειν, ἢ Μέλισσον, ὃς ἀπείρων τὸ d
πλῆθος πεφυκότων τῶν πραγμάτων ὡς ἑνὸς ὄντος τοῦ
4 παντὸς ἐπεχείρησεν ἀποδείξεις εὑρίσκειν; (γ'.) Ἀλλ'
ὅμως οὕτω φανερῶς ἐκείνων ἐπιδειξάντων, ὅτι ῥᾴδιόν
ἐστι, περὶ ὧν ἄν τις πρόθηται, ψευδῆ μηχανήσασθαι
λόγον, ἔτι περὶ τὸν τόπον τοῦτον διατρίβουσιν· οὓς 209
ἐχρῆν ἀφεμένους ταύτης τῆς τερθρείας, τῆς ἐν μὲν
τοῖς λόγοις ἐξελέγχειν προσποιουμένης, ἐν δὲ τοῖς ἔρ-
γοις πολὺν ἤδη χρόνον ἐξεληλεγμένης, τὴν ἀλήθειαν
5 διώκειν, καὶ περὶ τὰς πράξεις, ἐν αἷς πολιτευόμεθα,
τοὺς συνόντας παιδεύειν, καὶ περὶ τὴν ἐμπειρίαν τὴν
τούτων γυμνάζειν, ἐνθυμουμένους, ὅτι πολὺ κρεῖτ-
τόν ἐστι περὶ τῶν χρησίμων ἐπιεικῶς δοξάζειν ἢ περὶ
τῶν ἀχρήστων ἀκριβῶς ἐπίστασθαι, καὶ μικρὸν προ- b
έχειν ἐν τοῖς μεγάλοις μᾶλλον ἢ πολὺ διαφέρειν ἐν
τοῖς μικροῖς καὶ τοῖς μηδὲν πρὸς τὸν βίον ὠφελοῦσιν.

6 (δ'.) Ἀλλὰ γὰρ οὐδενὸς αὐτοῖς ἄλλου μέλει πλὴν τοῦ
χρηματίζεσθαι παρὰ τῶν νεωτέρων. ἔστι δ' ἡ περὶ τὰς
ἔριδας φιλοσοφία δυναμένη τοῦτο ποιεῖν· οἱ γὰρ μήτε
τῶν ἰδίων πω μήτε τῶν κοινῶν φροντίζοντες τούτοις
μάλιστα χαίρουσι τῶν λόγων, οἳ μηδὲ πρὸς ἓν χρήσι-
7 μοι τυγχάνουσιν ὄντες. (ε'.) Τοῖς μὲν οὖν τηλικούτοις
πολλὴ συγγνώμη ταύτην ἔχειν τὴν διάνοιαν· ἐπὶ γὰρ e
ἁπάντων τῶν πραγμάτων πρὸς τὰς περιττότητας καὶ
τὰς θαυματοποιίας οὕτω διακείμενοι διατελοῦσι· τοῖς
δὲ παιδεύειν προσποιουμένοις ἄξιον ἐπιτιμᾶν, ὅτι κατ-
ηγοροῦσι μὲν τῶν ἐπὶ τοῖς ἰδίοις συμβολαίοις ἐξαπα-
τώντων καὶ μὴ δικαίως τοῖς λόγοις χρωμένων, αὐτοὶ
δ' ἐκείνων δεινότερα ποιοῦσιν· οἱ μὲν γὰρ ἄλλους τι-
νὰς ἐζημίωσαν, οὗτοι δὲ τοὺς συνόντας μάλιστα βλά- d
8 πτουσιν. (ς'.) Τοσοῦτον δ' ἐπιδεδωκέναι πεποιήκασι
τὸ ψευδολογεῖν, ὥστ' ἤδη τινὲς, ὁρῶντες τούτους ἐκ
τῶν τοιούτων ὠφελουμένους, τολμῶσι γράφειν, ὡς
ἐστιν ὁ τῶν πτωχευόντων καὶ φευγόντων βίος ζηλω-
τότερος ἢ τῶν ἄλλων ἀνθρώπων, καὶ ποιοῦνται τε-
κμήριον, ὡς εἰ περὶ πονηρῶν πραγμάτων ἔχουσί τι λέ-
γειν, περί γε τῶν καλῶν κἀγαθῶν ῥᾳδίως εὐπορήσου-
9 σιν. ἐμοὶ δὲ δοκεῖ πάντων εἶναι καταγελαστότατον τὸ e
διὰ τούτων τῶν λόγων ζητεῖν πείθειν, ὡς περὶ τῶν
πολιτικῶν ἐπιστήμην ἔχουσιν, ἐξὸν ἐν αὐτοῖς οἷς ἐπ-
αγγέλλονται τὴν ἐπίδειξιν ποιεῖσθαι· τοὺς γὰρ ἀμφισ-
βητοῦντας τοῦ φρονεῖν καὶ φάσκοντας εἶναι σοφι-
στὰς οὐκ ἐν τοῖς ἠμελημένοις ὑπὸ τῶν ἄλλων, ἀλλ' ἐν 210
οἷς ἅπαντές εἰσιν ἀνταγωνισταὶ, προσήκει διαφέρειν
10 καὶ κρείττους εἶναι τῶν ἰδιωτῶν. νῦν δὲ παραπλήσιον
ποιοῦσιν, ὥσπερ ἂν εἴ τις προσποιοῖτο κράτιστος εἶ-
ναι τῶν ἀθλητῶν ἐνταῦθα καταβαίνων, οὗ μηδεὶς ἂν
ἄλλος ἀξιώσειεν. τίς γὰρ ἂν τῶν εὖ φρονούντων συμ-

φορὰς ἐπαινεῖν ἐπιχειρήσειεν; ἀλλὰ δῆλον, ὅτι δι'
11 *ἀσθένειαν ἐνταῦθα καταφεύγουσιν. ἔστι γὰρ τῶν μὲν*
τοιούτων συγγραμμάτων μία τις ὁδὸς, ἣν οὔθ' εὑρεῖν b
οὔτε μαθεῖν οὔτε μιμήσασθαι δύσκολόν ἐστιν· οἱ δὲ
κοινοὶ καὶ πιστοὶ καὶ τούτοις ὅμοιοι τῶν λόγων διὰ
πολλῶν ἰδεῶν καὶ καιρῶν δυσκαταμαθήτων εὑρίσκον-
ταί τε καὶ λέγονται, καὶ τοσούτῳ χαλεπωτέραν ἔχουσι
τὴν σύνθεσιν, ὅσῳ περ τὸ σεμνύνεσθαι τοῦ σκώπτειν
καὶ τὸ σπουδάζειν τοῦ παίζειν ἐπιπονώτερόν ἐστιν.
12 *σημεῖον δὲ μέγιστον· τῶν μὲν γὰρ τοὺς βομβυλιοὺς*
καὶ τοὺς ἅλας καὶ τὰ τοιαῦτα βουληθέντων ἐπαινεῖν c
οὐδεὶς πώποτε λόγων ἠπόρησεν, οἱ δὲ περὶ τῶν ὁμο-
λογουμένων ἀγαθῶν ἢ καλῶν ἢ τῶν διαφερόντων ἐπ'
ἀρετῇ λέγειν ἐπιχειρήσαντες πολὺ καταδεέστερον τῶν
13 *ὑπαρχόντων ἅπαντες εἰρήκασιν. οὐ γὰρ τῆς αὐτῆς*
γνώμης ἐστὶν ἀξίως εἰπεῖν περὶ ἑκατέρων αὐτῶν, ἀλλὰ
τὰ μὲν [μικρὰ] ῥᾴδιον τοῖς λόγοις ὑπερβαλέσθαι, τῶν
δὲ χαλεπὸν τοῦ μεγέθους ἐφικέσθαι· καὶ περὶ μὲν τῶν
δόξαν ἐχόντων σπάνιον εὑρεῖν, ἃ μηδεὶς πρότερον εἴ- d
ρηκε, περὶ δὲ τῶν φαύλων καὶ ταπεινῶν ὅ τι ἂν τις
τύχῃ φθεγξάμενος, ἅπαν ἴδιόν ἐστιν.
14 (ζ.) *Διὸ καὶ τὸν γράψαντα περὶ τῆς Ἑλένης ἐπαι-*
νῶ μάλιστα τῶν εὖ λέγειν τι βουληθέντων, ὅτι περὶ
τοιαύτης ἐμνήσθη γυναικὸς, ἣ καὶ τῷ γένει καὶ τῷ
κάλλει καὶ τῇ δόξῃ πολὺ διήνεγκεν. οὐ μὴν ἀλλὰ καὶ
τοῦτον μικρόν τι παρέλαθεν· φησὶ μὲν γὰρ ἐγκώμιον
γεγραφέναι περὶ αὐτῆς, τυγχάνει δ' ἀπολογίαν εἰρη-
15 *κὼς ὑπὲρ τῶν ἐκείνῃ πεπραγμένων. ἔστι δ' οὐκ ἐκ τῶν* e
αὐτῶν ἰδεῶν οὐδὲ περὶ τῶν αὐτῶν [ἔργων] ὁ λόγος,
ἀλλὰ πᾶν τοὐναντίον· ἀπολογεῖσθαι μὲν γὰρ προσή-
κει περὶ τῶν ἀδικεῖν αἰτίαν ἐχόντων, ἐπαινεῖν δὲ τοὺς 21
ἐπ' ἀγαθῷ τινι διαφέροντας.

(η'.) Ἵνα δὲ μὴ δοκῶ τὸ ῥᾷστον ποιεῖν, ἐπιτιμᾶν τοῖς ἄλλοις μηδὲν ἐπιδεικνὺς τῶν ἐμαυτοῦ, πειράσομαι περὶ τῆς αὐτῆς ταύτης εἰπεῖν, παραλιπὼν ἅπαντα τὰ τοῖς ἄλλοις εἰρημένα.

16 (θ'.) Τὴν μὲν οὖν ἀρχὴν τοῦ λόγου ποιήσομαι τὴν ἀρχὴν τοῦ γένους αὐτῆς. πλείστων γὰρ ἡμιθέων ὑπὸ Διὸς γεννηθέντων μόνης ταύτης γυναικὸς πατὴρ
ἠξίωσε κληθῆναι. σπουδάσας δὲ μάλιστα περί τε τὸν b
ἐξ Ἀλκμήνης καὶ τοὺς ἐκ Λήδας, τοσούτῳ μᾶλλον Ἑλένην Ἡρακλέους προὐτίμησεν, ὥστε τῷ μὲν ἰσχὺν ἔδωκεν, ἣ βίᾳ τῶν ἄλλων κρατεῖν δύναται, τῇ δὲ κάλλος ἀπένειμεν, ὃ καὶ τῆς ῥώμης αὐτῆς ἄρχειν πέφυκεν.
17 εἰδὼς δὲ τὰς ἐπιφανείας καὶ τὰς λαμπρότητας οὐκ ἐκ τῆς ἡσυχίας ἀλλ' ἐκ τῶν πολέμων καὶ τῶν ἀγώνων
γιγνομένας, βουλόμενος αὐτῶν μὴ μόνον τὰ σώματ' c
εἰς θεοὺς ἀναγαγεῖν ἀλλὰ καὶ τὰς δόξας ἀειμνήστους καταλιπεῖν, τοῦ μὲν ἐπίπονον καὶ φιλοκίνδυνον τὸν βίον κατέστησε, τῆς δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν ἐποίησεν.

18 (ι'.) Καὶ πρῶτον μὲν Θησεὺς, ὁ λεγόμενος μὲν Αἰγέως, γενόμενος δ' ἐκ Ποσειδῶνος, ἰδὼν αὐτὴν οὔπω μὲν ἀκμάζουσαν, ἤδη δὲ τῶν ἄλλων διαφέρουσαν, τοσοῦτον ἡττήθη τοῦ κάλλους ὁ κρατεῖν τῶν ἄλ-
λων εἰθισμένος, ὥσθ' ὑπαρχούσης αὐτῷ καὶ πατρίδος d
μεγίστης καὶ βασιλείας ἀσφαλεστάτης ἡγησάμενος οὐκ
ἄξιον εἶναι ζῆν ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς ἄνευ τῆς
19 πρὸς ἐκείνην οἰκειότητος, ἐπειδὴ παρὰ τῶν κυρίων οὐχ οἷός τ' ἦν αὐτὴν λαβεῖν, ἀλλ' ἐπέμενον τήν τε τῆς παιδὸς ἡλικίαν καὶ τὸν χρησμὸν τὸν παρὰ τῆς Πυθίας, ὑπεριδὼν τὴν ἀρχὴν τὴν Τυνδάρεω καὶ κατα-
φρονήσας τῆς ῥώμης τῆς Κάστορος καὶ Πολυδεύκους e
καὶ πάντων τῶν ἐν Λακεδαίμονι δεινῶν ὀλιγωρήσας,

βίᾳ λαβὼν αὐτὴν εἰς Ἄφιδναν τῆς Ἀττικῆς κατέθετο,
20 *καὶ τοσαύτην χάριν ἔσχε Πειρίθῳ τῷ μετασχόντι τῆς*
ἁρπαγῆς, ὥστε βουληθέντος αὐτοῦ μνηστεῦσαι Κόρην
τὴν Διὸς καὶ Δήμητρος, καὶ παρακαλοῦντος ἐπὶ τὴν
εἰς Ἅιδου κατάβασιν, ἐπειδὴ συμβουλεύων οὐχ οἷός 21
τ' ἦν ἀποτρέπειν, προδήλου τῆς συμφορᾶς οὔσης
ὅμως αὐτῷ συνηκολούθησε, νομίζων ὀφείλειν τοῦτον
τὸν ἔρανον, μηδενὸς ἀποστῆναι τῶν ὑπὸ Πειρίθου
προσταχθέντων ἀνθ' ὧν ἐκεῖνος αὐτῷ συνεκινδύ-
νευσεν.

21 (ια'.) *Εἰ μὲν οὖν ὁ ταῦτα πράξας εἷς ἦν τῶν τυ-*
χόντων ἀλλὰ μὴ τῶν πολὺ διενεγκόντων, οὐκ ἂν πω
δῆλος ἦν ὁ λόγος, πότερον Ἑλένης ἔπαινος ἢ κατηγο-
ρία Θησέως ἐστίν· νῦν δὲ τῶν μὲν ἄλλων τῶν εὐδο- b
κιμησάντων εὑρήσομεν τὸν μὲν ἀνδρίας, τὸν δὲ σο-
φίας, τὸν δ' ἄλλου τινὸς τῶν τοιούτων μερῶν ἀπε-
στερημένον, τοῦτον δὲ μόνον οὐδ' ἑνὸς ἐνδεᾶ γενό-
22 *μενον, ἀλλὰ παντελῆ τὴν ἀρετὴν κτησάμενον. δοκεῖ*
δέ μοι πρέπειν περὶ αὐτοῦ καὶ διὰ μακροτέρων εἰπεῖν·
ἡγοῦμαι γὰρ ταύτην μεγίστην εἶναι πίστιν τοῖς βου-
λομένοις Ἑλένην ἐπαινεῖν, ἢν ἐπιδείξωμεν τοὺς ἀγα-
πήσαντας καὶ θαυμάσαντας ἐκείνην αὐτοὺς τῶν ἄλ- c
λων θαυμαστοτέρους ὄντας. (ιβ'.) *Ὅσα μὲν γὰρ ἐφ'*
ἡμῶν γέγονεν, εἰκότως ἂν ταῖς δόξαις ταῖς ἡμετέραις
αὐτῶν διακρίνοιμεν, περὶ δὲ τῶν οὕτω παλαιῶν προσ-
ήκει τοῖς κατ' ἐκεῖνον τὸν χρόνον εὖ φρονήσασιν ὁμο-
νοοῦντας ἡμᾶς φαίνεσθαι.

23 *Κάλλιστον μὲν οὖν ἔχω περὶ Θησέως τοῦτ' εἰπεῖν,*
ὅτι κατὰ τὸν αὐτὸν χρόνον Ἡρακλεῖ γενόμενος ἐνά-
μιλλον τὴν αὐτοῦ δόξαν πρὸς τὴν ἐκείνου κατέστησεν.
οὐ γὰρ μόνον τοῖς ὅπλοις ἐκοσμήσαντο παραπλησίοις d
ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασιν ἐχρήσαντο τοῖς αὐτοῖς,

πρέποντα τῇ συγγενείᾳ ποιοῦντες. ἐξ ἀδελφῶν γὰρ
γεγονότες, ὁ μὲν ἐκ Διὸς, ὁ δ' ἐκ Ποσειδῶνος, ἀδελ-
φὰς καὶ τὰς ἐπιθυμίας ἔσχον. μόνοι γὰρ οὗτοι τῶν
προγεγενημένων ὑπὲρ τοῦ βίου τοῦ τῶν ἀνθρώπων
24 ἀθληταὶ κατέστησαν. (ιγ'.) Συνέβη δὲ τὸν μὲν ὀνο-
μαστοτέρους καὶ μείζους, τὸν δ' ὠφελιμωτέρους καὶ
τοῖς Ἕλλησιν οἰκειοτέρους ποιήσασθαι τοὺς κινδύ-
νους. τῷ μὲν γὰρ Εὐρυσθεὺς προσέταττε τάς τε βοῦς e
τὰς ἐκ τῆς Ἐρυθείας ἀγαγεῖν καὶ τὰ μῆλα τὰ τῶν
Ἑσπερίδων ἐνεγκεῖν καὶ τὸν Κέρβερον ἀναγαγεῖν καὶ
τοιούτους ἄλλους πόνους, ἐξ ὧν ἤμελλεν οὐ τοὺς ἄλ-
25 λους ὠφελήσειν ἀλλ' αὐτὸς κινδυνεύσειν· ὁ δ' αὐτὸς
αὑτοῦ κύριος ὢν τούτους προῃρεῖτο τῶν ἀγώνων, ἐξ 213
ὧν ἤμελλεν ἢ τῶν Ἑλλήνων ἢ τῆς αὑτοῦ πατρίδος
εὐεργέτης γενήσεσθαι. καὶ τόν τε ταῦρον τὸν ἀνεθέν-
τα μὲν ὑπὸ Ποσειδῶνος, τὴν δὲ χώραν λυμαινόμενον,
ὃν πάντες οὐκ ἐτόλμων ὑπομένειν, μόνος χειρωσά-
μενος μεγάλου φόβου καὶ πολλῆς ἀπορίας τοὺς οἰ-
26 κοῦντας τὴν πόλιν ἀπήλλαξεν· καὶ μετὰ ταῦτα Λαπί-
θαις σύμμαχος γενόμενος, στρατευσάμενος ἐπὶ Κεν-
ταύρους τοὺς διφυεῖς, οἳ καὶ τάχει καὶ ῥώμῃ καὶ τόλμῃ b
διενεγκόντες τὰς μὲν ἐπόρθουν, τὰς δ' ἤμελλον, ταῖς δ'
ἠπείλουν τῶν πόλεων, τούτους μάχῃ νικήσας εὐθὺς
μὲν αὐτῶν τὴν ὕβριν ἔπαυσεν, οὐ πολλῷ δ' ὕστερον
27 τὸ γένος ἐξ ἀνθρώπων ἠφάνισεν. περὶ δὲ τοὺς αὐτοὺς
χρόνους τὸ τέρας τὸ τραφὲν μὲν ἐν Κρήτῃ, γενόμενον
δ' ἐκ Πασιφάης τῆς Ἡλίου θυγατρὸς, ᾧ κατὰ μαν-
τείαν δασμὸν τῆς πόλεως δὶς ἑπτὰ παῖδας ἀποστελ-
λούσης, ἰδὼν αὐτοὺς ἀγομένους καὶ πανδημεὶ προ- c
πεμπομένους ἐπὶ θάνατον ἄνομον καὶ προὖπτον καὶ
πενθουμένους ἔτι ζῶντας, οὕτως ἠγανάκτησεν, ὥσθ'
ἡγήσατο κρεῖττον εἶναι τεθνάναι μᾶλλον ἢ ζῆν ἄρχων

τῆς πόλεως τῆς οὕτως οἰκτρὸν τοῖς ἐχθροῖς φόρον
28 ὑποτελεῖν ἠναγκασμένης. σύμπλους δὲ γενόμενος, καὶ
κρατήσας φύσεως ἐξ ἀνδρὸς μὲν καὶ ταύρου μεμιγμέ-
νης, τὴν δ' ἰσχὺν ἐχούσης, οἵαν προσήκει τὴν ἐκ τοι-
ούτων σωμάτων συγκειμένην, τοὺς μὲν παῖδας δια- d
σώσας τοῖς γονεῦσιν ἀπέδωκε, τὴν δὲ πόλιν οὕτως
ἀνόμου καὶ δεινοῦ καὶ δυσαπαλλάκτου προστάγματος
ἠλευθέρωσεν.

29 (ιδ'.) Ἀπορῶ δ' ὅ τι χρήσωμαι τοῖς ἐπιλοίποις·
ἐπιστὰς γὰρ ἐπὶ τὰ Θησέως ἔργα καὶ λέγειν ἀρξάμενος
περὶ αὐτῶν ὀκνῶ μὲν μεταξὺ παύσασθαι καὶ παραλι-
πεῖν τήν τε Σκίρωνος καὶ Κερκύονος καὶ τῶν ἄλλων
τῶν τοιούτων παρανομίαν, πρὸς οὓς ἀνταγωνιστὴς e
γενόμενος ἐκεῖνος πολλῶν καὶ μεγάλων συμφορῶν
τοὺς Ἕλληνας ἀπήλλαξεν, αἰσθάνομαι δ' ἐμαυτὸν ἔξω
φερόμενον τῶν καιρῶν καὶ δέδοικα, μή τισι δόξω περὶ
τούτου μᾶλλον σπουδάζειν ἢ περὶ ἧς τὴν ἀρχὴν ὑπε-
30 θέμην. ἐξ ἀμφοτέρων οὖν τούτων αἱροῦμαι τὰ μὲν 214
πλεῖστα παραλιπεῖν διὰ τοὺς δυσκόλως ἀκροωμένους,
περὶ δὲ τῶν ἄλλων ὡς ἂν δύνωμαι συντομώτατα διελ-
θεῖν, ἵνα τὰ μὲν ἐκείνοις, τὰ δ' ἐμαυτῷ χαρίσωμαι,
καὶ μὴ παντάπασιν ἡττηθῶ τῶν εἰθισμένων φθονεῖν
καὶ τοῖς λεγομένοις ἅπασιν ἐπιτιμᾶν.

31 (ιε'.) Τὴν μὲν οὖν ἀνδρίαν ἐν τούτοις ἐπεδείξατο
τοῖς ἔργοις, ἐν οἷς αὐτὸς καθ' αὑτὸν ἐκινδύνευσε, τὴν
δ' ἐπιστήμην, ἣν εἶχε πρὸς τὸν πόλεμον, ἐν ταῖς μάχαις, b
αἷς μεθ' ὅλης τῆς πόλεως ἠγωνίσατο, τὴν δ' εὐσέ-
βειαν τὴν πρὸς τοὺς θεοὺς ἔν τε ταῖς Ἀδράστου καὶ
ταῖς τῶν παίδων τῶν Ἡρακλέους ἱκετείαις, τοὺς μὲν
γὰρ μάχῃ νικήσας Πελοποννησίους διέσωσε, τῷ δὲ
τοὺς ὑπὸ τῇ Καδμείᾳ τελευτήσαντας βίᾳ Θηβαίων
θάψαι παρέδωκε, τὴν δ' ἄλλην ἀρετὴν καὶ τὴν σωφρο-

σύνην ἔν τε τοῖς προειρημένοις καὶ μάλιστ' ἐν οἷς τὴν
32 πόλιν διῴκησεν. (ις'.) Ὁρῶν γὰρ τοὺς βίᾳ τῶν πολι- c
τῶν ἄρχειν ζητοῦντας ἑτέροις δουλεύοντας καὶ τοὺς
ἐπικίνδυνον τὸν βίον τοῖς ἄλλοις καθιστάντας αὐτοὺς
περιδεῶς ζῶντας, καὶ πολεμεῖν ἀναγκαζομένους μετὰ
μὲν τῶν πολιτῶν πρὸς τοὺς ἐπιστρατευομένους, μετὰ
33 δ' ἄλλων τινῶν πρὸς τοὺς συμπολιτευομένους, ἔτι δὲ
συλῶντας μὲν τὰ τῶν θεῶν, ἀποκτείνοντας δὲ τοὺς
βελτίστους τῶν πολιτῶν, ἀπιστοῦντας δὲ τοῖς οἰκειο-
τάτοις, οὐδὲν δὲ ῥᾳθυμότερον ζῶντας τῶν ἐπὶ θανάτῳ
συνειλημμένων, ἀλλὰ τὰ μὲν ἔξω ζηλουμένους, αὐτοὺς d
34 δὲ παρ' αὐτοῖς μᾶλλον τῶν ἄλλων λυπουμένους· τί
γάρ ἐστιν ἄλγιον ἢ ζῆν ἀεὶ δεδιότα, μή τις αὐτὸν τῶν
παρεστώτων ἀποκτείνῃ, καὶ μηδὲν ἧττον φοβούμενον
τοὺς φυλάττοντας ἢ τοὺς ἐπιβουλεύοντας; τούτων
ἁπάντων καταφρονήσας καὶ νομίσας οὐκ ἄρχοντας ἀλ-
λὰ νοσήματα τῶν πόλεων εἶναι τοὺς τοιούτους, ἐπέ-
δειξεν, ὅτι ῥᾴδιόν ἐστιν ἅμα τυραννεῖν καὶ μηδὲν χεῖ-
35 ρον διακεῖσθαι τῶν ἐξ ἴσου πολιτευομένων. (ιζ'.) Καὶ e
πρῶτον μὲν τὴν πόλιν σποράδην καὶ κατὰ κώμας οἰ-
κοῦσαν εἰς ταὐτὸν συναγαγὼν τηλικαύτην ἐποίησεν
ὥστ' ἔτι καὶ νῦν ἀπ' ἐκείνου τοῦ χρόνου μεγίστην 215
τῶν Ἑλληνίδων εἶναι· μετὰ δὲ ταῦτα κοινὴν τὴν πα-
τρίδα καταστήσας καὶ τὰς ψυχὰς τῶν συμπολιτευομέ-
νων ἐλευθερώσας ἐξ ἴσου τὴν ἅμιλλαν αὐτοῖς περὶ τῆς
ἀρετῆς ἐποίησε, πιστεύων μὲν ὁμοίως αὐτῶν προέξειν
ἀσκούντων ὥσπερ ἀμελούντων, εἰδὼς δὲ τὰς τιμὰς
ἡδίους οὔσας τὰς παρὰ τῶν μέγα φρονούντων ἢ τὰς
36 παρὰ τῶν δουλευόντων. τοσούτου δ' ἐδέησεν ἀκόν- b
των τι ποιεῖν τῶν πολιτῶν, ὥσθ' ὁ μὲν τὸν δῆμον
καθίστη κύριον τῆς πολιτείας, οἱ δὲ μόνον αὐτὸν ἄρ-
χειν ἠξίουν, ἡγούμενοι πιστοτέραν καὶ κοινοτέραν

εἶναι τὴν ἐκείνου μοναρχίαν τῆς αὑτῶν δημοκρατίας.
οὐ γὰρ ὥσπερ ἕτεροι τοὺς μὲν πόνους ἄλλοις προσ-
έταττε, τῶν δ' ἡδονῶν αὐτὸς μόνος ἀπέλαυεν, ἀλλὰ
τοὺς μὲν κινδύνους ἰδίους ἐποιεῖτο, τὰς δ' ὠφελείας
37 ἅπασιν εἰς τὸ κοινὸν ἀπεδίδου. καὶ γάρ τοι διετέλεσε
τὸν βίον οὐκ ἐπιβουλευόμενος ἀλλ' ἀγαπώμενος, οὐδ' c
ἐπακτῷ δυνάμει τὴν ἀρχὴν διαφυλάττων ἀλλὰ τῇ τῶν
πολιτῶν εὐνοίᾳ δορυφορούμενος, τῇ μὲν ἐξουσίᾳ τυ-
ραννῶν, ταῖς δ' εὐεργεσίαις δημαγωγῶν· οὕτω γὰρ
νομίμως καὶ καλῶς διῴκει τὴν πόλιν ὥστ' ἔτι καὶ νῦν
ἴχνος τῆς ἐκείνου πραότητος ἐν τοῖς ἤθεσιν ἡμῶν κα-
ταλελεῖφθαι.

38 (ιη'.) Τὴν δὴ γεννηθεῖσαν μὲν ὑπὸ Διός, κρατή-
σασαν δὲ τοιαύτης ἀρετῆς καὶ σωφροσύνης, πῶς οὐκ d
ἐπαινεῖν χρὴ καὶ τιμᾶν καὶ νομίζειν πολὺ τῶν πώποτε
γενομένων διενεγκεῖν; οὐ γὰρ δὴ μάρτυρά γε πιστό-
τερον οὐδὲ κριτὴν ἱκανώτερον ἕξομεν ἐπαγαγέσθαι
περὶ τῶν Ἑλένῃ προσόντων ἀγαθῶν τῆς Θησέως δια-
νοίας. ἵνα δὲ μὴ δοκῶ δι' ἀπορίαν περὶ τὸν αὐτὸν
τόπον διατρίβειν, μηδ' ἀνδρὸς ἑνὸς δόξῃ καταχρώμε-
νος ἐπαινεῖν αὐτήν, βούλομαι καὶ περὶ τῶν ἐχομένων
διελθεῖν.

39 (ιθ'.) Μετὰ γὰρ τὴν Θησέως εἰς Ἅιδου κατάβα- e
σιν ἐπανελθούσης αὖθις εἰς Λακεδαίμονα καὶ πρὸς τὸ
μνηστεύεσθαι λαβούσης ἡλικίαν ἅπαντες οἱ τότε βασι-
λεύοντες καὶ δυναστεύοντες τὴν αὐτὴν γνώμην ἔσχον
περὶ αὐτῆς· ἐξὸν γὰρ αὐτοῖς λαμβάνειν ἐν ταῖς αὑτῶν 211
πόλεσι γυναῖκας τὰς πρωτευούσας, ὑπεριδόντες τοὺς
40 οἴκοι γάμους ἦλθον ἐκείνην μνηστεύσοντες. οὔπω δὲ
κεκριμένου τοῦ μέλλοντος αὐτῇ συνοικήσειν ἀλλ' ἔτι
κοινῆς τῆς τύχης οὔσης οὕτω πρόδηλος ἦν ἅπασιν
ἐσομένη περιμάχητος, ὥστε συνελθόντες πίστεις ἐδο-

σαν ἀλλήλοις ἦ μὴν βοηθήσειν, εἴ τις ἀποστεροίη τὸν
ἀξιωθέντα λαβεῖν αὐτήν, νομίζων ἕκαστος τὴν ἐπι- b
41 κουρίαν ταύτην αὑτῷ παρασκευάζειν. τῆς μὲν οὖν
ἰδίας ἐλπίδος πλὴν ἑνὸς ἀνδρὸς ἅπαντες ἐψεύσθησαν,
τῆς δὲ κοινῆς δόξης ἧς ἔσχον περὶ ἐκείνης οὐδεὶς αὐ-
τῶν διήμαρτεν. (κ'.) Οὐ πολλοῦ γὰρ χρόνου διελθόν-
τος, γενομένης ἐν θεοῖς περὶ κάλλους ἔριδος, ἧς Ἀλέ-
ξανδρος ὁ Πριάμου κατέστη κριτής, καὶ διδούσης Ἥρας
μὲν ἁπάσης αὐτῷ τῆς Ἀσίας βασιλεύειν, Ἀθηνᾶς δὲ
42 κρατεῖν ἐν τοῖς πολέμοις, Ἀφροδίτης δὲ τὸν γάμον
τὸν Ἑλένης, τῶν μὲν σωμάτων οὐ δυνηθεὶς λαβεῖν c
διάγνωσιν ἀλλ' ἡττηθεὶς τῆς τῶν θεῶν ὄψεως, τῶν
δὲ δωρεῶν ἀναγκασθεὶς γενέσθαι κριτής, εἵλετο τὴν
οἰκειότητα τὴν Ἑλένης ἀντὶ τῶν ἄλλων ἁπάντων, οὐ
πρὸς τὰς ἡδονὰς ἀποβλέψας, — καίτοι καὶ τοῦτο τοῖς
εὖ φρονοῦσι πολλῶν αἱρετώτερόν ἐστιν, ἀλλ' ὅμως
43 οὐκ ἐπὶ τοῦθ' ὥρμησεν, ἀλλ' ἐπεθύμησε Διὸς γενέσθαι
κηδεστής, νομίζων πολὺ μείζω καὶ καλλίω ταύτην εἶ-
ναι τὴν τιμὴν ἢ τὴν τῆς Ἀσίας βασιλείαν, καὶ μεγάλας d
μὲν ἀρχὰς καὶ δυναστείας καὶ φαύλοις ἀνθρώποις ποτὲ
παραγίγνεσθαι, τοιαύτης δὲ γυναικὸς οὐδένα τῶν
ἐπιγιγνομένων ἀξιωθήσεσθαι, πρὸς δὲ τούτοις οὐδὲν
ἂν κτῆμα κάλλιον καταλιπεῖν τοῖς παισὶν ἢ παρασκευ-
άσας αὐτοῖς, ὅπως μὴ μόνον πρὸς πατρὸς ἀλλὰ καὶ
44 πρὸς μητρὸς ἀπὸ Διὸς ἔσονται γεγονότες. ἠπίστατο
γὰρ τὰς μὲν ἄλλας εὐτυχίας ταχέως μεταπιπτούσας,
τὴν δ' εὐγένειαν ἀεὶ τοῖς αὐτοῖς παραμένουσαν, ὥστε e
ταύτην μὲν τὴν αἵρεσιν ὑπὲρ ἅπαντος τοῦ γένους ἔσε-
σθαι, τὰς δ' ἑτέρας δωρεὰς ὑπὲρ τοῦ χρόνου μόνον
τοῦ καθ' αὑτόν.

45 (κα'.) Τῶν μὲν οὖν εὖ φρονούντων οὐδεὶς ἂν
τοῖς λογισμοῖς τούτοις ἐπιτιμήσειεν, τῶν δὲ μηδὲν πρὸ 217

τοῦ πράγματος ἐνθυμουμένων ἀλλὰ τὸ συμβαῖνον μό-
νον σκοπουμένων ἤδη τινὲς ἐλοιδόρησαν αὐτόν· ὧν
τὴν ἄνοιαν ἐξ ὧν ἐβλασφήμησαν περὶ ἐκείνου ῥᾴδιον
46 ἅπασι καταμαθεῖν. πῶς γὰρ οὐ καταγέλαστον πεπόν-
θασιν, εἰ τὴν αὑτῶν φύσιν ἱκανωτέραν εἶναι νομίζουσι
τῆς ὑπὸ τῶν θεῶν προκριθείσης; οὐ γὰρ δή που περὶ
ὧν εἰς τοσαύτην ἔριν κατέστησαν τὸν τυχόντα διαγνῶ- b
ναι κύριον ἐποίησαν, ἀλλὰ δῆλον, ὅτι τοσαύτην ἔσχον
σπουδὴν ἐκλέξασθαι κριτὴν τὸν βέλτιστον, ὅσηνπερ
47 περὶ αὐτοῦ τοῦ πράγματος ἐπιμέλειαν ἐποιήσαντο. χρὴ
δὲ σκοπεῖν, ὁποῖός τις ἦν, καὶ δοκιμάζειν αὐτὸν οὐκ ἐκ
τῆς ὀργῆς τῆς τῶν ἀποτυχουσῶν, ἀλλ' ἐξ ὧν ἅπασαι
βουλευσάμεναι προείλοντο τὴν ἐκείνου διάνοιαν. κα-
κῶς μὲν γὰρ παθεῖν ὑπὸ τῶν κρειττόνων οὐδὲν κω-
λύει καὶ τοὺς μηδὲν ἐξημαρτηκότας· τοιαύτης δὲ τι-
μῆς τυχεῖν ὥστε θνητὸν ὄντα θεῶν γενέσθαι κριτήν, c
οὐχ οἷόν τε μὴ οὐ τὸν πολὺ τῇ γνώμῃ διαφέροντα.
48 (κβʹ.) Θαυμάζω δ' εἴ τις οἴεται κακῶς βεβουλεῦσθαι
τὸν μετὰ ταύτης ζῆν ἑλόμενον, ἧς ἕνεκα πολλοὶ τῶν
ἡμιθέων ἀποθνήσκειν ἠθέλησαν. πῶς δ' οὐκ ἂν ἦν
ἀνόητος, εἰ τοὺς θεοὺς εἰδὼς περὶ κάλλους φιλονι-
κοῦντας αὐτὸς κάλλους κατεφρόνησε, καὶ μὴ ταύτην
ἐνόμισε μεγίστην εἶναι τῶν δωρεῶν, περὶ ἧς κἀκείνας
ἑώρα μάλιστα σπουδαζούσας;

49 (κγʹ.) Τίς δ' ἂν τὸν γάμον τὸν Ἑλένης ὑπερεῖδεν, d
ἧς ἁρπασθείσης οἱ μὲν Ἕλληνες οὕτως ἠγανάκτησαν
ὥσπερ ὅλης τῆς Ἑλλάδος πεπορθημένης, οἱ δὲ βάρβα-
ροι τοσοῦτον ἐφρόνησαν, ὅσον περ ἂν εἰ πάντων ἡμῶν
ἐκράτησαν. δῆλον δ' ὡς ἑκάτεροι διετέθησαν· πολλῶν
γὰρ αὐτοῖς πρότερον ἐγκλημάτων γενομένων περὶ μὲν
τῶν ἄλλων ἡσυχίαν ἦγον, ὑπὲρ δὲ ταύτης τηλικοῦτον
συνεστήσαντο πόλεμον οὐ μόνον τῷ μεγέθει τῆς ὀρ-

γῆς ἀλλὰ καὶ τῷ μήκει τοῦ χρόνου καὶ τῷ πλήθει τῶν e
50 παρασκευῶν, ὅσος οὐδεὶς πώποτε γέγονεν. ἐξὸν δὲ τοῖς
μὲν ἀποδοῦσιν Ἑλένην ἀπηλλάχθαι τῶν παρόντων
κακῶν, τοῖς δ' ἀμελήσασιν ἐκείνης ἀδεῶς οἰκεῖν τὸν 218
ἐπίλοιπον χρόνον, οὐδέτεροι ταῦτ' ἠθέλησαν· ἀλλ' οἱ
μὲν περιεώρων καὶ πόλεις ἀναστάτους γιγνομένας
καὶ τὴν χώραν πορθουμένην, ὥστε μὴ προέσθαι τοῖς
Ἕλλησιν αὐτήν, οἱ δ' ᾑροῦντο μένοντες ἐπὶ τῆς ἀλλο-
τρίας καταγηράσκειν καὶ μηδέποτε τοὺς αὑτῶν ἰδεῖν
μᾶλλον ἢ 'κείνην καταλιπόντες εἰς τὰς αὑτῶν πατρί-
51 δας ἀπελθεῖν. καὶ ταῦτ' ἐποίουν οὐχ ὑπὲρ Ἀλεξάνδρου b
καὶ Μενελάου φιλονικοῦντες, ἀλλ' οἱ μὲν ὑπὲρ τῆς
Ἀσίας, οἱ δ' ὑπὲρ τῆς Εὐρώπης, νομίζοντες, ἐν ὁπο-
τέρᾳ τὸ σῶμα τοὐκείνης κατοικήσειε, ταύτην εὐδαι-
μονεστέραν τὴν χώραν ἔσεσθαι.

52 (κδʹ.) Τοσοῦτος δ' ἔρως ἐνέπεσε τῶν πόνων καὶ
τῆς στρατείας ἐκείνης οὐ μόνον τοῖς Ἕλλησι καὶ τοῖς
βαρβάροις ἀλλὰ καὶ τοῖς θεοῖς, ὥστ' οὐδὲ τοὺς ἐξ αὑτῶν
γεγονότας ἀπέτρεψαν τῶν ἀγώνων τῶν περὶ Τροίαν, c
ἀλλὰ Ζεὺς μὲν προειδὼς τὴν Σαρπηδόνος εἱμαρμένην,
Ἠὼς δὲ τὴν Μέμνονος, Ποσειδῶν δὲ τὴν Κύκνου,
Θέτις δὲ τὴν Ἀχιλλέως, ὅμως αὐτοὺς συνεξώρμησαν
53 καὶ συνεξέπεμψαν, ἡγούμενοι κάλλιον αὐτοῖς εἶναι τε-
θνάναι μαχομένοις περὶ τῆς Διὸς θυγατρὸς μᾶλλον ἢ
ζῆν ἀπολειφθεῖσι τῶν περὶ ἐκείνης κινδύνων. καὶ τί
δεῖ θαυμάζειν, ἃ περὶ τῶν παίδων διενοήθησαν; αὐ-
τοὶ γὰρ πολὺ μείζω καὶ δεινοτέραν ἐποιήσαντο παρά-
ταξιν τῆς πρὸς Γίγαντας αὐτοῖς γενομένης· πρὸς μὲν d
γὰρ ἐκείνους μετ' ἀλλήλων ἐμαχέσαντο, περὶ δὲ ταύ-
της πρὸς σφᾶς αὐτοὺς ἐπολέμησαν.

54 (κεʹ.) Εὐλόγως δὲ κἀκεῖνοι ταῦτ' ἔγνωσαν, κἀγὼ
τηλικαύταις ὑπερβολαῖς ἔχω χρήσασθαι περὶ αὐτῆς·

κάλλους γὰρ πλεῖστον μέρος μετέσχεν, ὃ σεμνότατον καὶ
τιμιώτατον καὶ θειότατον τῶν ὄντων ἐστίν. ῥᾴδιον δὲ
γνῶναι τὴν δύναμιν αὐτοῦ· τῶν μὲν γὰρ ἀνδρίας ἢ σο-
φίας ἢ δικαιοσύνης μὴ μετεχόντων πολλὰ φανήσεται e
τιμώμενα μᾶλλον ἢ τούτων ἕκαστον, τῶν δὲ κάλλους
ἀπεστερημένων οὐδὲν εὑρήσομεν ἀγαπώμενον ἀλλὰ
πάντα καταφρονούμενα, πλὴν ὅσα ταύτης τῆς ἰδέας
κεκοινώνηκε, καὶ τὴν ἀρετὴν διὰ τοῦτο μάλιστ' εὐδο-
κιμοῦσαν, ὅτι κάλλιστον τῶν ἐπιτηδευμάτων ἐστίν.
55 γνοίη δ' ἄν τις κἀκεῖθεν, ὅσον διαφέρει τῶν ὄντων, 21
ἐξ ὧν αὐτοὶ διατιθέμεθα πρὸς ἕκαστον αὐτῶν. τῶν
μὲν γὰρ ἄλλων, ὧν ἂν ἐν χρείᾳ γενώμεθα, τυχεῖν μό-
νον βουλόμεθα, περαιτέρω δὲ περὶ αὐτῶν οὐδὲν τῇ
ψυχῇ προσπεπόνθαμεν· τῶν δὲ καλῶν ἔρως ἡμῖν ἐγ-
γίγνεται, τοσούτῳ μείζω τοῦ βούλεσθαι ῥώμην ἔχων,
56 ὅσῳ περ καὶ τὸ πρᾶγμα κρεῖττόν ἐστιν. καὶ τοῖς μὲν
κατὰ σύνεσιν ἢ κατ' ἄλλο τι προέχουσι φθονοῦμεν,
ἢν μὴ τῷ ποιεῖν ἡμᾶς εὖ καθ' ἑκάστην τὴν ἡμέραν b
προσαγάγωνται καὶ στέργειν σφᾶς αὐτοὺς ἀναγκάσω-
σι· τοῖς δὲ καλοῖς εὐθὺς ἰδόντες εὖνοι γιγνόμεθα, καὶ
μόνους αὐτοὺς ὥσπερ τοὺς θεοὺς οὐκ ἀπαγορεύομεν
57 θεραπεύοντες, ἀλλ' ἥδιον δουλεύομεν τοῖς τοιούτοις
ἢ τῶν ἄλλων ἄρχομεν, πλείω χάριν ἔχοντες τοῖς πολλὰ
προστάττουσιν ἢ τοῖς μηδὲν ἐπαγγέλλουσιν. καὶ τοὺς
μὲν ὑπ' ἄλλῃ τινὶ δυνάμει γιγνομένους λοιδοροῦμεν
καὶ κόλακας ἀποκαλοῦμεν, τοὺς δὲ τῷ κάλλει λατρεύ- c
οντας φιλοκάλους καὶ φιλοπόνους εἶναι νομίζομεν.
58 τοσαύτῃ δ' εὐσεβείᾳ καὶ προνοίᾳ χρώμεθα περὶ τὴν
ἰδέαν τὴν τοιαύτην, ὥστε καὶ τῶν ἐχόντων τὸ κάλλος
τοὺς μὲν μισθαρνήσαντας καὶ κακῶς βουλευσαμένους
περὶ τῆς αὐτῶν ἡλικίας μᾶλλον ἀτιμάζομεν ἢ τοὺς εἰς
τὰ τῶν ἄλλων σώματ' ἐξαμαρτόντας· ὅσοι δ' ἂν τὴν

αὐτῶν ὥραν διαφυλάξωσιν ἄβατον τοῖς πονηροῖς ὥσ-
περ ἱερὸν ποιήσαντες, τούτους εἰς τὸν ἐπίλοιπον χρό- d
νον ὁμοίως τιμῶμεν ὥσπερ τοὺς ὅλην τὴν πόλιν ἀγα-
θόν τι ποιήσαντας.

59 (κς΄.) Καὶ τί δεῖ τὰς ἀνθρωπίνας δόξας λέγοντα
διατρίβειν; ἀλλὰ Ζεὺς ὁ κρατῶν πάντων ἐν μὲν τοῖς
ἄλλοις τὴν αὑτοῦ δύναμιν ἐνδείκνυται, πρὸς δὲ τὸ
κάλλος ταπεινὸς γιγνόμενος ἀξιοῖ πλησιάζειν. Ἀμφι-
τρύωνι μὲν γὰρ εἰκασθεὶς ὡς Ἀλκμήνην ἦλθε, χρυσὸς
δὲ ῥυεὶς Δανάῃ συνεγένετο, κύκνος δὲ γενόμενος εἰς e
τοὺς Νεμέσεως κόλπους κατέφυγε, τούτῳ δὲ πάλιν
ὁμοιωθεὶς Λήδαν ἐνύμφευσεν· ἀεὶ δὲ μετὰ τέχνης ἀλλ'
οὐ μετὰ βίας θηρώμενος φαίνεται τὴν φύσιν τὴν τοι-
60 αύτην. τοσούτῳ δὲ μᾶλλον προτετίμηται τὸ κάλλος 218
παρ' ἐκείνοις ἢ παρ' ἡμῖν, ὥστε καὶ ταῖς γυναιξὶ ταῖς
αὑτῶν ὑπὸ τούτου κρατουμέναις συγγνώμην ἔχουσι,
καὶ πολλὰς ἄν τις ἐπιδείξειε τῶν ἀθανάτων, αἳ θνη-
τοῦ κάλλους ἡττήθησαν, ὧν οὐδεμία λαθεῖν τὸ γεγε-
νημένον ὡς αἰσχύνην ἔχον ἐζήτησεν, ἀλλ' ὡς καλῶν
ὄντων τῶν πεπραγμένων ὑμνεῖσθαι μᾶλλον ἢ σιωπᾶ-
σθαι περὶ αὐτῶν ἠβουλήθησαν. μέγιστον δὲ τῶν εἰ-
ρημένων· πλείους γὰρ ἂν εὕροιμεν διὰ τὸ κάλλος b
ἀθανάτους γεγενημένους ἢ διὰ τὰς ἄλλας ἀρετὰς
ἁπάσας.

61 (κζ΄.) Ὧν Ἑλένη τοσούτῳ πλέον ἔσχεν, ὅσῳ περ
καὶ τὴν ὄψιν αὐτῶν διήνεγκεν. οὐ γὰρ μόνον ἀθανα-
σίας ἔτυχεν, ἀλλὰ καὶ τὴν δύναμιν ἰσόθεον λαβοῦσα
πρῶτον μὲν τοὺς ἀδελφοὺς ἤδη κατεχομένους ὑπὸ τῆς
πεπρωμένης εἰς θεοὺς ἀνήγαγε, βουλομένη δὲ πιστὴν
ποιῆσαι τὴν μεταβολὴν οὕτως αὐτοῖς τὰς τιμὰς ἐναρ-
γεῖς ἔδωκεν ὥσθ' ὁρωμένους ὑπὸ τῶν ἐν τῇ θαλάττῃ c
κινδυνευόντων σώζειν, οἵτινες ἂν αὐτοὺς εὐσεβῶς

62 *κατακαλέσωνται. μετὰ δὲ ταῦτα τοσαύτην Μενελάῳ
χάριν ἀπέδωκεν ὑπὲρ τῶν πόνων καὶ τῶν κινδύνων,
οὓς δι' ἐκείνην ὑπέμεινεν, ὥστε τοῦ γένους ἅπαν-
τος τοῦ Πελοπιδῶν διαφθαρέντος καὶ κακοῖς ἀνη-
κέστοις περιπεσόντος οὐ μόνον αὐτὸν τῶν συμφορῶν
τούτων ἀπήλλαξεν ἀλλὰ καὶ θεὸν ἀντὶ θνητοῦ ποιή-
σασα σύνοικον αὑτῇ καὶ πάρεδρον εἰς ἅπαντα τὸν*
63 *αἰῶνα κατεστήσατο. καὶ τούτοις ἔχω τὴν πόλιν τὴν* d
*Σπαρτιατῶν τὴν μάλιστα τὰ παλαιὰ διασῴζουσαν
ἔργῳ παρασχέσθαι μαρτυροῦσαν· ἔτι γὰρ καὶ νῦν ἐν
Θεράπναις τῆς Λακωνικῆς θυσίας αὐτοῖς ἁγίας καὶ
πατρίας ἀποτελοῦσιν οὐχ ὡς ἥρωσιν ἀλλ' ὡς θεοῖς
ἀμφοτέροις οὖσιν.*

64 (*κη'*.) *Ἐνεδείξατο δὲ καὶ Στησιχόρῳ τῷ ποιητῇ τὴν
αὑτῆς δύναμιν· ὅτε μὲν γὰρ ἀρχόμενος τῆς ᾠδῆς
ἐβλασφήμησέ τι περὶ αὐτῆς, ἀνέστη τῶν ὀφθαλμῶν* e
*ἐστερημένος, ἐπειδὴ δὲ γνοὺς τὴν αἰτίαν τῆς συμφορᾶς
τὴν καλουμένην παλινῳδίαν ἐποίησε, πάλιν αὐτὸν*
65 *εἰς τὴν αὐτὴν φύσιν κατέστησεν. λέγουσι δέ τινες καὶ
τῶν Ὁμηριδῶν, ὡς ἐπιστᾶσα τῆς νυκτὸς Ὁμήρῳ προσ-
έταξε ποιεῖν περὶ τῶν στρατευσαμένων ἐπὶ Τροίαν,
βουλομένη τὸν ἐκείνων θάνατον ζηλωτότερον ἢ τὸν* 21
*βίον τὸν τῶν ἄλλων καταστῆσαι· καὶ μέρος μέν τι καὶ
διὰ τὴν Ὁμήρου τέχνην, μάλιστα δὲ διὰ ταύτην οὕτως
ἐπαφρόδιτον καὶ παρὰ πᾶσιν ὀνομαστὴν αὐτοῦ γενέ-
σθαι τὴν ποίησιν.*

66 (*κθ'*.) *Ὡς οὖν καὶ δίκην λαβεῖν καὶ χάριν ἀπο-
δοῦναι δυναμένην, τοὺς μὲν τοῖς χρήμασι προέχοντας
ἀναθήμασι καὶ θυσίαις καὶ ταῖς ἄλλαις προσόδοις ἱλά-
σκεσθαι καὶ τιμᾶν αὐτὴν χρή, τοὺς δὲ φιλοσόφους* b
πειρᾶσθαί τι λέγειν περὶ αὐτῆς ἄξιον τῶν ὑπαρχόν-

των ἐκείνῃ· τοῖς γὰρ πεπαιδευμένοις πρέπει τοιαύτας
ποιεῖσθαι τὰς ἀπαρχάς.
67 (λ'.) Πολὺ δὲ πλείω τὰ παραλελειμμένα τῶν εἰ-
ρημένων ἐστίν. χωρὶς γὰρ τεχνῶν καὶ φιλοσοφιῶν καὶ
τῶν ἄλλων ὠφελειῶν, ἃς ἔχοι τις ἂν εἰς ἐκείνην καὶ
τὸν πόλεμον τὸν Τρωϊκὸν ἀνενεγκεῖν, δικαίως ἂν καὶ
τοῦ μὴ δουλεύειν ἡμᾶς τοῖς βαρβάροις Ἑλένην αἰτίαν
εἶναι νομίζοιμεν. εὑρήσομεν γὰρ τοὺς Ἕλληνας δι' c
αὐτὴν ὁμονοήσαντας καὶ κοινὴν στρατείαν ἐπὶ τοὺς
βαρβάρους ποιησαμένους, καὶ τότε πρῶτον τὴν Εὐρώ-
68 πην τῆς Ἀσίας τρόπαιον στήσασαν· ἐξ ὧν τοσαύτης
μεταβολῆς ἐτύχομεν, ὥστε τὸν μὲν ἐπέκεινα χρόνον
οἱ δυστυχοῦντες ἐν τοῖς βαρβάροις τῶν Ἑλληνίδων
πόλεων ἄρχειν ἠξίουν, καὶ Δαναὸς μὲν ἐξ Αἰγύπτου
φυγὼν Ἄργος κατέσχε, Κάδμος δὲ Σιδώνιος Θηβῶν
ἐβασίλευσε, Κᾶρες δὲ τὰς νήσους κατῴκουν, Πελο- d
ποννήσου δὲ συμπάσης ὁ Ταντάλου Πέλοψ ἐκράτησεν,
μετὰ δ' ἐκεῖνον τὸν πόλεμον τοσαύτην ἐπίδοσιν τὸ
γένος ἡμῶν ἔλαβεν ὥστε καὶ πόλεις μεγάλας καὶ χώραν
69 πολλὴν ἀφελέσθαι τῶν βαρβάρων. ἢν οὖν τινὲς βού-
λωνται ταῦτα διεργάζεσθαι καὶ μηκύνειν, οὐκ ἀπορή-
σουσιν ἀφορμῆς, ὅθεν Ἑλένην ἔξω τῶν εἰρημένων
ἕξουσιν ἐπαινεῖν, ἀλλὰ πολλοῖς καὶ καινοῖς λόγοις ἐν-
τεύξονται περὶ αὐτῆς.

Addenda vel corrigenda in praefatione.

---

pag. VIII v. 25 insere: *C. Fuhr* (animadversiones in or. Att., Bonnae 1877).

pag. X v. 30 corrige: *χρώμενόν σ'*] *χρωμένοις* *Γ* Bs., *χρωμένους* v. Bk.

pag. XXII v. 18 adde: Egit de eare P. Foucart in „Revue de philologie“ N. S. I pag. 38.

ISOCRATIS

ORATIONES.

RECOGNOVIT PRAEFATUS EST INDICEM NOMINUM ADDIDIT

GUSTAVUS EDUARDUS BENSELER.

VOL. II.

LIPSIAE

SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.

MDCCCLXXVII.

ΥΠΟΘΕΣΕΙΣ.

Hac parte (II.) continentur:

Oratio XI. *Busiris.* (p. 1—12.)

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΒΟΥΣΙΡΙΔΟΣ ΑΔΗΛΟΥ ΤΟΥ ΓΡΑΨΑΝΤΟΣ.

Τοῦτον τὸν λόγον γράφει πρὸς Πολυκράτη τινὰ σοφιστήν, ἐξ ἀνάγκης ἐλθόντα ἐπὶ τὸ σοφιστεύειν διὰ πενίαν, Ἀθηναῖον μὲν τῷ γένει, σοφιστεύοντα δὲ νῦν ἐν Κύπρῳ. γράφει δὲ αὐτῷ ὡς φίλος, ἐπανορθούμενος αὐτὸν δῆθεν ὡς σφαλέντα ἐν τούτοις τοῖς λόγοις οἷς ἔγραφεν, ἔν τε τῷ ἐγκωμίῳ τοῦ Βουσίριδος καὶ ἐν τῇ κατηγορίᾳ τοῦ Σωκράτους. αὐτὸς γάρ ἐστιν ὁ παρασχὼν τὸν λόγον τῆς κατηγορίας Σωκράτους τοῖς περὶ Ἄνυτον καὶ Μέλητον, ἵνα κατηγορηθεὶς ἀποθάνῃ. κατηγόρουν δὲ αὐτοῦ, ὡς ὅτι καινὰ δαιμόνια εἰσφέρει τοῖς Ἀθηναίοις, λέγων δεῖν σέβειν ὄρνεα καὶ κύνας καὶ τὰ τοιαῦτα, καὶ διὰ τοῦτο διαφθείρει τοὺς νέους τοὺς μανθάνοντας. Ἐζήτησαν δέ τινες, διὰ ποίαν αἰτίαν μὴ φανερῶς τὸν κατ' αὐτοῦ λόγον εἰσῆλθεν, εἴ γε φείδεται τοῦ διδασκάλου; καὶ λέγομεν, ἵνα μὴ ὀργισθῶσιν οἱ Ἀθηναῖοι, ἀρτίως Σωκράτους καταψηφισάμενοι. δοκεῖ οὖν διὰ τούτου ὥσπερ ἐλέγχειν αὐτοὺς ὡς κακῶς καταψηφισαμένους. καὶ γὰρ καὶ αὐτοὶ μετέγνωσαν ὕστερον, ὅτι ἀσεβῶς ἔπραξαν καταψηφισάμενοι Σωκράτους, εἶτα καὶ σωφρονισθέντες διὰ τοῦ λοιμοῦ τοῦ ἐγκατασκήψαντος αὐτοῖς διὰ τὸν Σωκράτους θάνατον. ἀπέθανε δὲ ἐπὶ Λάχητος ἄρχοντος. ὅθεν λοιπὸν ἐκέλευσαν μηδένα δημοσίᾳ, οἷον ἐν κοινῷ θεάτρῳ, λέγειν περὶ Σωκράτους. ἀμέλει λέγεταί τι τοιοῦτον, ὡς ὅτι Εὐριπίδου βουλομένου εἰπεῖν περὶ αὐτοῦ καὶ δεδιότος, ἀναπλάσασθαι Παλαμήδην, ἵνα διὰ τούτου σχοίη καιρὸν τοῦ αἰνίξασθαι εἰς τὸν Σωκράτη καὶ εἰς τοὺς Ἀθηναίους „ἐκάνετε, ἐκάνετε τῶν Ἑλλήνων τὸν ἄριστον“ ὅ ἐστιν ἐφονεύσατε. *καὶ νοῆσαν τὸ θέατρον ἅπαν ἐδάκρυσε, διότι περὶ Σωκράτους ᾐνίττετο. Γράφει οὖν αὐτῷ τὸν λόγον τοῦτον, ὥσπερ εἴπομεν, ἐπιλαμβανόμενος αὐτοῦ. εἰ δέ τις ζητήσει τὴν αἰτίαν, διὰ τί μὴ καὶ τὸν ἄλλον λόγον εἶπεν εἰς τὸν Σωκράτην, λέγομεν, ὡς ἤδη περὶ τούτου προειρήκαμεν, ἵνα μὴ ὀργισθῶσιν αὐτῷ οἱ Ἀθηναῖοι ἔναγχος καταψηφισάμενοι.*

Ἡ δ' ὑπόθεσις τοῦ Βουσίριδος τοιαύτη. Βούσιρις τῆς Λιβύης καὶ Ποσειδῶνος ἐγένετο παῖς· οὗτος τεχθεὶς ἐν Λιβύῃ τῇ χώρᾳ, ὑπεριδὼν τῆς ἐκεῖ οἰκήσεως εἵλετο τὴν ἐν Αἰγύπτῳ, καὶ κτίζει πόλιν ὁμώνυμον αὐτῷ Βούσιριν, ἥτις καὶ νῦν οὕτω κέκληται. αἰτίαν δ' ἔσχεν ὡς ξενηλάτης καὶ ὡς θύων τοὺς ξένους. ὁ οὖν Πολυκράτης, ἅτε δὴ καὶ σοφιστὴς καὶ λογογράφος, ἠθέλησε καὶ ἀπολογίαν γρά

φαι ὑπὲρ τοῦ Βουσίριδος καὶ ὑπὲρ τούτων ὧν ἐνεκαλεῖτο· εἰς ἣν αὐτοῦ ὁ Ἰσοκράτης ἐπιλαμβάνεται καὶ ὑποτίθεται αὐτός, πῶς ἔδει αὐτὸν γράψαι τὸ ἐγκώμιον. διὸ καὶ ὁ λόγος οὗτος τῶν τεσσάρων ἐγκωμίων ἐστίν.

Orat. XII. *Panathenaicus.* (p. 13—80.)

ΥΠΟΘΕΣΙΣ ΕΚ ΤΟΥ ΦΩΤΙΟΥ.

Ὁ δὲ Παναθηναϊκὸς ἐγκώμιόν ἐστι τῆς Ἀθηναίων πόλεως καὶ τῶν προγόνων, ὃν ἀπάρξασθαι μέν φησι συγγράφειν ἐνενήκοντα καὶ τεττάρων ἐτῶν ἄγων ἡλικίαν, νόσου δὲ χαλεπῆς τριετίαν κατασχούσης ἐν τῷ ἐνενηκοστῷ ἑβδόμῳ εἰς πέρας ἀγαγεῖν τὸν λόγον.

Orat. XIII. *Contra Sophistas.* (p. 81—86.)

ΥΠΟΘΕΣΙΣ ΑΝΩΝΥΜΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Οὗτος ὁ λόγος τῶν ἄγαν τεχνικῶς γεγραμμένων ἐστὶν Ἰσοκράτους, εἴπερ τις ἄλλος· ἐν τούτῳ γὰρ σχεδὸν ἅπασαν διέλαβε τὴν ῥητορικήν. διδάσκει γὰρ ἡμᾶς ἐν αὐτῷ, ὁποῖος ὀφείλει εἶναι ὁ μαθητής, οἷος δὲ ὁ διδάσκαλος, καὶ διαιρεῖ τὸν λόγον εἰς δύο, εἴς τε τὴν ἐριστικὴν φιλοσοφίαν καὶ εἰς τὴν πολιτικὴν ἀρετήν, ὅ ἐστι τὴν ῥητορικήν, τοὺς ἐν αὐταῖς κακῶς ἐξεταζομένους ἐξελέγξαι βουλόμενος. καὶ λέγει πρῶτον περὶ τῶν ἐριστικῶν, εἶτα περὶ τῶν πολιτικῶν· τέμνει δὲ τοῦτο εἰς δύο, εἴς τε τοὺς ἐπαγγελλομένους διδάσκειν, μὴ εἰδότας δέ, καὶ εἰς τοὺς γράψαντας τέχνην ῥητορικήν, πάλιν δὲ καὶ αὐτοὺς ἀγνοοῦντας. ἐζήτησαν δέ τινες, διὰ ποίαν αἰτίαν οὕτως ἦλθεν ἐπὶ τοῦτον τὸν λόγον ὥστε ἁπλῶς καταδραμεῖν τούτων. καὶ οἱ μὲν ἀπελογήσαντο, λέγοντες τὴν αἰτίαν, ἣν προείπομεν, διὰ τὸ τὸν Ἀριστοτέλην λυπῆσαι αὐτὸν διὰ τὸ ἀφελέσθαι τὸν μαθητὴν αὐτοῦ, Θεοδέκτην ὀνόματι. αὕτη δὲ ἡ αἰτία ὥς ἐστιν εὐήθης οὐ δύσκολον καταμαθεῖν· οὐδὲ γὰρ κατὰ μόνων φιλοσόφων ποιεῖται τὸν λόγον ἀλλὰ καὶ ῥητόρων αὐτῶν. Ποία οὖν εἴη ἂν ἀληθὴς αἰτία ἢ αὕτη, διότι ἑώρα ἐν τῷ χρόνῳ τοῦ λόγου τούτου πολλοὺς ἐπιπηδῶντας ταῖς τέχναις ἀπερισκέπτως καὶ ἐπαγγελλομένους διδάσκειν ἅπερ οὐκ ἴσασι, καὶ σοφιζομένους τὴν ἀλήθειαν. διὸ καὶ ὁ λόγος αὐτῷ ἐπιγέγραπται κατὰ τῶν σοφιστῶν, οὐχ ἁπλῶς τῶν σοφιστευόντων ἀλλὰ κατὰ πάντων τῶν σοφιζομένων τὴν ἀλήθειαν. τριχῶς γὰρ τοῦτο τοὔνομα λέγεται παρὰ τοῖς παλαιοῖς· οἷον οὕτω σοφὸν καλοῦσιν αὐτὸ τὸ ἀληθὲς καὶ τὸ καλόν· ὅθεν καὶ ὁ Πλάτων φιλόσοφον καλεῖ τὸ πρῶτον αἴτιον, τὸ φιλοῦν αὐτὸ τὸ ἀληθὲς καὶ τὸ καλόν, ὅθεν καὶ ὁ ἄνθρωπος ὁ μετιὼν τὴν φιλοσοφίαν ἐκ τούτου παρωνόμασται, καθὰ καὶ αὐτὸς μιμεῖται τὸν θεὸν κατὰ τὸ δυνατόν· καὶ πάλιν σοφιστὴν καλοῦσι αὐτὸν τὸν ῥήτορα, τὸν διδάσκοντα τοὺς ῥητορικοὺς λόγους· σοφιστὴν δὲ καὶ τὸν σοφιζόμενον τὴν ἀλήθειαν, περὶ οὗ νῦν διέρχεται. ἐζήτησαν δέ τινες πάλιν καὶ διὰ τί αὐτὸς ὁ λόγος, εἴ γε εἷς ἐστι τῶν τεσσάρων ἐγκωμίων, κατὰ τῶν σοφιστῶν ἐπιγράφεται, καὶ ψόγος ἐστὶ καὶ μὴ ὅπερ οἰκεῖον ἐγκωμίου, τὸ μᾶλλον ὑπέρ τινος

λέγειν ἢ κατά τινος. καὶ λέγομεν, ὅτι, ἐὰν σκοπήσῃ τις, ὑπὸ τί ἀνάγεται καὶ ὁ ψόγος καὶ τὸ ἐγκώμιον, ὅτι ἑκάτερον ὑπὸ ἓν εἶδος τι πανηγυρικὸν, εὑρήσει τὴν αἰτίαν· ἡ γὰρ οἰκειότης πρὸς τὸ ἐγκώμιον καὶ τὸ τοῖς αὐτοῖς κεφαλαίοις τέμνεσθαι τὸν ψόγον, ὥσπερ καὶ τὸ ἐγκώμιον, ἐποίησε καὶ τὸν ψόγον ἐγκώμιον ὀνομάζεσθαι κατὰ ἀντίφρασιν. εἰ δέ τις εἴποι· διὰ τί δὲ μὴ δικανικοῦ εἴδους ἐστίν, εἴ γε καταδρομῇ κέχρηται, λέγομεν, ἐπειδὴ οὔτε ἐν δικαστηρίῳ ἐλέχθη οὔτε ἡ τιμωρία ὥρισται.

Orat. XIV. *Plataicus.* (p. 87—101.)

ΥΠΟΘΕΣΙΣ ΑΝΩΝΥΜΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Περὶ τοὺς χρόνους τοῦ λόγου τούτου πολλοὶ πλανῶνται. ζητοῦσι γὰρ, πῶς δυνατὸν εἰρηκέναι τὸν Ἰσοκράτην ὑπὲρ Πλαταιέων, κατασκαφέντων ἐν τῇ γ΄ ἱστορίᾳ τοῦ Πελοποννησιακοῦ πολέμου, τὸν ὕστερον μετὰ πολλὰ ἔτη γενόμενον τῶν Πελοποννησιακῶν. ἐγένετο γὰρ ἡ κατασκαφὴ τῶν Πλαταιέων ἐν τῷ ε΄ ἔτει τοῦ Πελοποννησιακοῦ· κατέσχε δὲ κ΄ καὶ ἑπτὰ ἔτη ὁ πᾶς πόλεμος, καὶ τὰ λοιπὰ κβ΄· εἶτα ἐν ᾧ ἦρξαν Λακεδαιμόνιοι, τριάκοντα, ἤγουν πεντήκοντα δύο [κατὰ] Φιλίππου ἔτη εἴρηται ὁ λόγος, ὡς ἀνάγκη τὸν Ἰσοκράτην τριῶν ἐτῶν ὄντα εἰπεῖν τὸν λόγον, ὅπερ ἀδύνατον. πρὸς ὃ καί τινες ἀπολογούμενοι λέγουσιν, ὅτι πρὸς μελέτην εἴρηται ὁ λόγος ζητήματος· οὐκ ἔστι δέ. ἀλλὰ τὸ δεύτερον κατεσκάφησαν οἱ Πλαταιεῖς· ὅτε μὲν ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ὑπὸ Λακεδαιμονίων χαριζομένων Θηβαίοις, εἶτα ὅτε ἐπολέμησαν Λακεδαιμόνιοι Θηβαίοις μετὰ τὸν Πελοποννησιακὸν πόλεμον καὶ ἐνίκησαν οἱ Λακεδαιμόνιοι, πολεμίους ὁμόρους ἀναστῆσαι Θηβαίοις βουλόμενοι ἀνῴκισαν Πλάταιαν· εἶτα ὕστερον νικήσαντες οἱ Θηβαῖοι ἐν Λεύκτροις, κατέσκαψαν αὐτοὺς, Πλαταιέας, οὓς ὕστερον ἀνοικίζει πάλιν Φίλιππος κατὰ Θηβαίων. κατασκαφέντες οὖν νῦν τὴν δευτέραν κατασκαφὴν ἔρχονται εἰς τὰς Ἀθήνας, ἀναλαβεῖν βουλόμενοι τὴν πόλιν διὰ τῶν Ἀθηναίων, εἰς οὓς κατέφυγον, ὥς φησιν ὁ Ἀριστείδης. καὶ ἡ μὲν ὑπόθεσις αὕτη· ἡ δὲ στάσις πραγματικὴ ἔγγραφος.

Orat. XV. *De Permutatione.* (p. 101—177.)

ΥΠΟΘΕΣΙΣ ΕΚ ΤΟΥ ΦΩΤΙΟΥ.

Ὁ δὲ περὶ τῆς ἀντιδόσεως ἐπιγραφόμενος λόγος δικανικός τις εἶναι δοκεῖ καὶ ἀπολογίαν ἔχων, ὧν Λυσίμαχος κακῶς εἶπεν Ἰσοκράτην. Δύο δὲ καὶ ὀγδοήκοντα ἐτῶν ὄντι οὗτος αὐτῷ μέγιστος ἐν τῶν ἄλλων λόγος συνετάγη. Ἔστι δ᾽ ὁ λόγος σύμμικτος καὶ ποικίλος μᾶλλον ἢ οἱ ἄλλοι· παρατίθεται δὲ καὶ τῶν ἄλλων αὐτοῦ λόγων περικοπάς τινας, ἐξ ὧν οὐ φθείρειν τοὺς νέους ἀλλ᾽ ὠφελεῖν τὸ κοινὸν ἐπιδείκνυσιν ἑαυτόν.

Orat. XVI. *De Bigis.* (p. 178—190.)
Orat. XVII. *Trapeziticus* (ὃν ἔγραψε ξένῳ τινὶ τῶν μαθητῶν κατὰ Πασίωνος τοῦ Τραπεζίτου. Dion.). (p. 190—205.)

16—21.

ΕΚ ΤΟΥ ΔΙΟΝΥΣΙΟΥ.

Τοιοῦτος μὲν δή τις ἐν τοῖς συμβουλευτικοῖς λόγοις ὁ ἀνήρ· ἐν δὲ τοῖς δικανικοῖς τὰ μὲν ἄλλα πάνυ ἀκριβὴς καὶ ἀληθινὸς καὶ τῷ Λυσίου χαρακτῆρι ἔγγιστα μὲν προσεληλυθώς, ἐν δὲ τῇ συνθέσει τῶν ὀνομάτων τὸ λεῖον ἐκεῖνο καὶ εὐπρεπὲς ἔχων ἔλαττον μὲν ἢ ἐν ἄλλοις λόγοις, οὐ μὴν ἀλλ' ἔχων γε. Μηδεὶς δ' ἀγνοεῖν ὑπολάβῃ με, μήθ' ὅτι Ἀφαρεύς, ὁ πρόγονός τε καὶ εἰσποίητος Ἰσοκράτει γενόμενος, ἐν τῷ πρὸς Μεγακλείδην περὶ τῆς ἀντιδόσεως λόγῳ διορίζεται μηδεμίαν ὑπὸ τοῦ πατρὸς ὑπόθεσιν εἰς δικαστήριον γεγράφθαι, μήθ' ὅτι δέσμας πάνυ πολλὰς δικαστικῶν λόγων Ἰσοκρατείων περιφέρεσθαί φησιν ὑπὸ τῶν βιβλιοπωλῶν Ἀριστοτέλης· ἐπίσταμαι γὰρ ταῦτα ὑπὸ τῶν ἀνδρῶν ἐκείνων λεγόμενα· καὶ οὔτ' Ἀριστοτέλει πείθομαι ῥυπαίνειν τὸν ἄνδρα βουλομένῳ, οὔτ' Ἀφαρεῖ, τούτου γ' ἕνεκα λόγον εὐπρεπῆ πλαττομένῳ, συντίθεμαι· ἱκανὸν δ' ἡγησάμενος εἶναι τῆς ἀληθείας βεβαιωτὴν τὸν Ἀθηναῖον Κηφισόδωρον, ὃς καὶ συνεβίωσεν Ἰσοκράτει καὶ γνησιώτατος ἀκουστὴς ἐγένετο καὶ τὴν ἀπολογίαν τὴν πάνυ θαυμαστὴν ἐν ταῖς πρὸς Ἀριστοτέλην ἀντιγραφαῖς ἐποιήσατο, πιστεύω γεγράφθαι λόγους τινὰς ὑπὸ τοῦ ἀνδρὸς εἰς δικαστήρια, οὐ μέντοι πολλούς.

11.
ΒΟΥΣΙΡΙΣ.

(α'.) Τὴν μὲν ἐπιείκειαν τὴν σήν, ὦ Πολύκρατες, 221
καὶ τὴν τοῦ βίου μεταβολὴν παρ' ἄλλων πυνθανόμε-
νος οἶδα· τῶν δὲ λόγων τινάς, ὧν γέγραφας, αὐτὸς
ἀνεγνωκὼς ἥδιστα μὲν ἄν σοι περὶ ὅλης ἐπαρρησιασά-
μην τῆς παιδεύσεως, περὶ ἣν ἠνάγκασαι διατρίβειν·
ἡγοῦμαι γὰρ τοῖς ἀναξίως μὲν δυστυχοῦσιν, ἐκ δὲ
φιλοσοφίας χρηματίζεσθαι ζητοῦσιν ἅπαντας τοὺς
πλείω πεπραγματευμένους καὶ μᾶλλον ἀπηκριβωμέ-
νους προσήκειν ἐθελοντὰς τοῦτον εἰσφέρειν τὸν ἔρα-
2 νον· ἐπειδὴ δ' οὔπω περιτετυχήκαμεν ἀλλήλοις, περὶ
μὲν τῶν ἄλλων, ἤν ποτ' εἰς ταὐτὸν ἔλθωμεν, τόθ'
ἡμῖν ἐξέσται διὰ πλειόνων ποιήσασθαι τὴν συνουσίαν,
ἃ δ' ἐν τῷ παρόντι δυναίμην ἂν εὐεργετῆσαί σε, ταῦτα
δ' ᾠήθην χρῆναι σοὶ μὲν ἐπιστεῖλαι, πρὸς δὲ τοὺς ἄλ-
3 λους ὡς οἷόν τε μάλιστ' ἀποκρύψασθαι. γιγνώσκω
μὲν οὖν, ὅτι τοῖς πλείστοις τῶν νουθετουμένων ἔμ-
φυτόν ἐστι μὴ πρὸς τὰς ὠφελείας ἀποβλέπειν, ἀλλὰ 222
τοσούτῳ χαλεπώτερον ἀκούειν τῶν λεγομένων, ὅσῳ
περ ἂν αὐτῶν τις ἀκριβέστερον ἐξετάζῃ τὰς ἁμαρτίας·
ὅμως δ' οὐκ ὀκνητέον ὑπομένειν τὴν ἀπέχθειαν ταύ-
την τοῖς εὐνοϊκῶς πρός τινας ἔχουσιν, ἀλλὰ πειρατέον
μεθιστάναι τὴν δόξαν τῶν οὕτω πρὸς τοὺς συμβου-
4 λεύοντας διακειμένων. (β'.) Αἰσθόμενος οὖν οὐχ ἥκι-
στά σε μεγαλαυχούμενον ἐπί τε τῇ Βουσίριδος ἀπολο-
γίᾳ καὶ τῇ Σωκράτους κατηγορίᾳ, πειράσομαί σοι b

ποιῆσαι καταφανὲς, ὅτι πολὺ τοῦ δέοντος ἐν ἀμφοτέ-
ροις τοῖς λόγοις διήμαρτες. ἁπάντων γὰρ εἰδότων,
ὅτι δεῖ τοὺς μὲν εὐλογεῖν τινὰς βουλομένους πλείω
τῶν ὑπαρχόντων ἀγαθῶν αὐτοῖς προσόντ' ἀποφαίνειν,
τοὺς δὲ κατηγοροῦντας τἀναντία τούτων ποιεῖν, το-
5 σούτου δέεις οὕτω κεχρῆσθαι τοῖς λόγοις, ὥσθ' ὑπὲρ
μὲν Βουσίριδος ἀπολογήσασθαι φάσκων οὐχ ὅπως τῆς
ὑπαρχούσης αὐτὸν διαβολῆς ἀπήλλαξας ἀλλὰ καὶ τη- c
λικαύτην αὐτῷ τὸ μέγεθος παρανομίαν προσῆψας, ἧς
οὐκ ἔσθ' ὅπως ἄν τις δεινοτέραν ἐξευρεῖν δυνηθείη·
τῶν γὰρ ἄλλων τῶν ἐπιχειρησάντων ἐκεῖνον λοιδορεῖν
τοσοῦτον μόνον περὶ αὐτοῦ βλασφημούντων, ὡς ἔθυε
τῶν ξένων τοὺς ἀφικνουμένους, σὺ καὶ κατεσθίειν
αὐτὸν τοὺς ἀνθρώπους ᾐτιάσω· Σωκράτους δὲ κατη-
γορεῖν ἐπιχειρήσας, ὥσπερ ἐγκωμιάσαι βουλόμενος
Ἀλκιβιάδην ἔδωκας αὐτῷ μαθητὴν, ὃν ὑπ' ἐκείνου d
μὲν οὐδεὶς ᾔσθετο παιδευόμενον, ὅτι δὲ πολὺ διήνεγκε
6 τῶν ἄλλων, ἅπαντες ἂν ὁμολογήσειαν. τοιγαροῦν εἰ
γένοιτ' ἐξουσία τοῖς τετελευτηκόσι βουλεύσασθαι περὶ
τῶν εἰρημένων, ὁ μὲν ἄν σοι τοσαύτην ἔχοι χάριν ὑπὲρ
τῆς κατηγορίας, ὅσην οὐδενὶ τῶν ἐπαινεῖν αὐτὸν εἰ-
θισμένων, ὁ δ' εἰ καὶ περὶ τοὺς ἄλλους πραότατος ἦν,
ἀλλ' οὖν ἐπί γε τοῖς ὑπὸ σοῦ λεγομένοις οὕτως ἂν
ἀγανακτήσειεν ὥστε μηδεμιᾶς ἀποσχέσθαι τιμωρίας
καίτοι πῶς οὐκ αἰσχύνεσθαι μᾶλλον ἢ σεμνύνεσθαι
προσήκει τὸν παρὰ τοῖς λοιδορουμένοις ὑφ' αὐτοῦ e
μᾶλλον ἀγαπώμενον ἢ παρὰ τοῖς ἐγκωμιαζομένοις;
7 (γ'.) Οὕτω δ' ἠμέλησας, εἰ μηδὲν ὁμολογούμενον ἐρεῖς,
ὥστε φῂς μὲν αὐτὸν τὴν Αἰόλου καὶ τὴν Ὀρφέως ζη-
λῶσαι δόξαν, ἀποφαίνεις δ' οὐδὲν τῶν αὐτῶν ἐκείνοις
ἐπιτηδεύσαντα. πότερα γὰρ τοῖς περὶ Αἰόλου λεγομέ-
νοις αὐτὸν παρατάξωμεν; ἀλλ' ἐκεῖνος μὲν τῶν ξένων

τοὺς ἐπὶ τὴν χώραν ἐκπίπτοντας εἰς τὰς αὑτῶν πατρί-
δας ἀπέστελλεν, ὁ δ' εἰ χρὴ τοῖς ὑπὸ σοῦ λεγομένοις
8 πιστεύειν, θύσας κατήσθιεν. ἢ τοῖς Ὀρφέως ἔργοις
ὁμοιώσωμεν; ἀλλ' ὁ μὲν ἐξ Ἅιδου τοὺς τεθνεῶτας
ἀνῆγεν, ὁ δὲ πρὸ μοίρας τοὺς ζῶντας ἀπώλλυεν. ὥσθ'
ἡδέως ἂν εἰδείην, τί ποτ' ἂν ἐποίησεν, εἰ καταφρο-
νῶν αὐτῶν ἐτύγχανεν, ὃς θαυμάζων τὴν ἀρετὴν τὴν
ἐκείνων ἅπαντα φαίνεται τἀναντία διαπραττόμενος. b
ὃ δὲ πάντων ἀτοπώτατον, ὅτι περὶ τὰς γενεαλογίας
ἐσπουδακὼς ἐτόλμησας εἰπεῖν, ὡς τούτους ἐζήλωσεν,
ὧν οὐδ' οἱ πατέρες πω κατ' ἐκεῖνον τὸν χρόνον γε-
γονότες ἦσαν.
9 (δ'.) Ἵνα δὲ μὴ δοκῶ τὸ προχειρότατον ποιεῖν,
ἐπιλαμβάνεσθαι τῶν εἰρημένων [μηδὲν ἐπιδεικνὺς τῶν
ἐμαυτοῦ], πειράσομαί σοι διὰ βραχέων δηλῶσαι περὶ
τὴν αὐτὴν ὑπόθεσιν, καίπερ οὐ σπουδαίαν οὖσαν οὐ- c
δὲ σεμνοὺς λόγους ἔχουσαν, ἐξ ὧν ἔδει καὶ τὸν ἔπαι-
νον καὶ τὴν ἀπολογίαν ποιήσασθαι.
10 (ε'.) Περὶ μὲν οὖν τῆς Βουσίριδος εὐγενείας τίς
οὐκ ἂν δυνηθείη ῥᾳδίως εἰπεῖν; ὃς πατρὸς μὲν ἦν
Ποσειδῶνος, μητρὸς δὲ Λιβύης τῆς Ἐπάφου τοῦ Διός,
ἥν φασι πρώτην γυναῖκα βασιλεύσασαν ὁμώνυμον
αὑτῇ τὴν χώραν καταστῆσαι. τυχὼν δὲ τοιούτων προ-
γόνων οὐκ ἐπὶ τούτοις μόνοις μέγ' ἐφρόνησεν, ἀλλ' d
ᾠήθη δεῖν καὶ τῆς ἀρετῆς τῆς αὑτοῦ μνημεῖον εἰς
ἅπαντα τὸν χρόνον καταλιπεῖν.
11 (ς'.) Τὴν μὲν οὖν μητρῴαν ἀρχὴν ὑπερεῖδεν
ἐλάττω νομίσας ἢ κατὰ τὴν αὑτοῦ φύσιν εἶναι, πλεί-
στους δὲ καταστρεψάμενος καὶ μεγίστην δύναμιν κτη-
σάμενος ἐν Αἰγύπτῳ κατεστήσατο τὴν βασιλείαν, οὐκ
ἐκ τῶν παρουσῶν μόνον ἀλλ' ἐξ ἁπασῶν προκρίνας
12 τὴν ἐκεῖ πολὺ διαφέρειν οἴκησιν. ἑώρα γὰρ τοὺς μὲν e

ἄλλους τόπους οὐκ εὐκαίρως οὐδ' εὐαρμόστως πρὸς
τὴν τοῦ σύμπαντος φύσιν ἔχοντας, ἀλλὰ τοὺς μὲν ὑπ'
ὄμβρων κατακλυζομένους, τοὺς δ' ὑπὸ καυμάτων δια-
φθειρομένους, ταύτην δὲ τὴν χώραν ἐν καλλίστῳ μὲν
τοῦ κόσμου κειμένην, πλεῖστα δὲ καὶ παντοδαπώτατα
φέρειν δυναμένην, ἀθανάτῳ δὲ τείχει τῷ Νείλῳ τε- 224
13 τειχισμένην, ὃς οὐ μόνον φυλακὴν ἀλλὰ καὶ τροφὴν
ἱκανὴν αὐτῇ παρέχειν πέφυκεν, ἀνάλωτος μὲν ὢν καὶ
δύσμαχος τοῖς ἐπιβουλεύουσιν, εὐαγωγὸς δὲ καὶ πρὸς
πολλὰ χρήσιμος τοῖς ἐντὸς αὐτοῦ κατοικοῦσιν. πρὸς
γὰρ τοῖς προειρημένοις καὶ τὴν δύναμιν αὐτῶν πρὸς
τὴν τῆς γῆς ἐργασίαν ἰσόθεον πεποίηκεν· τῶν γὰρ
ὄμβρων καὶ τῶν αὐχμῶν τοῖς μὲν ἄλλοις ὁ Ζεὺς ταμίας
ἐστὶν, ἐκείνων δ' ἕκαστος ἀμφοτέρων τούτων αὐτὸς b
14 αὑτῷ κύριος καθέστηκεν. εἰς τοσαύτην δ' ὑπερβολὴν
εὐδαιμονίας ἥκουσιν, ὥστε τῇ μὲν ἀρετῇ καὶ τῇ φύσει
τῆς χώρας καὶ τῷ πλήθει τῶν πεδίων ἤπειρον καρ-
ποῦνται, τῇ δὲ τῶν περιόντων διαθέσει καὶ τῇ τῶν
ἐλλειπόντων κομιδῇ διὰ τὴν τοῦ ποταμοῦ δύναμιν
νῆσον οἰκοῦσιν· κύκλῳ γὰρ αὐτὴν περιέχων καὶ πᾶ-
σαν διαρρέων πολλὴν αὐτοῖς εὐπορίαν ἀμφοτέρων
τούτων πεποίηκεν.
15 Ἤρξατο μὲν οὖν ἐντεῦθεν, ὅθεν περ χρὴ τοὺς εὖ
φρονοῦντας, ἅμα τόν τε τόπον ὡς κάλλιστον καταλα- c
βεῖν καὶ τροφὴν ἱκανὴν τοῖς περὶ αὐτὸν ἐξευρεῖν.
(ζ.) Μετὰ δὲ ταῦτα διελόμενος χωρὶς ἑκάστους τοὺς μὲν
ἐπὶ τὰς ἱερωσύνας κατέστησε, τοὺς δ' ἐπὶ τὰς τέχνας
ἔτρεψε, τοὺς δὲ τὰ περὶ τὸν πόλεμον μελετᾶν ἠνάγκα-
σεν, ἡγούμενος τὰ μὲν ἀναγκαῖα καὶ τὰς περιουσίας
ἔκ τε τῆς χώρας καὶ τῶν τεχνῶν δεῖν ὑπάρχειν, τούτων
δ' εἶναι φυλακὴν ἀσφαλεστάτην τήν τε περὶ τὸν πό-
λεμον ἐπιμέλειαν καὶ τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν. d

16 (η'.) Ἅπαντας δὲ τοὺς ἀριθμοὺς περιλαβὼν, ἐξ ὧν
ἄριστ' ἄν τις τὰ κοινὰ διοικήσειεν, ἀεὶ τοῖς αὐτοῖς
τὰς αὐτὰς πράξεις μεταχειρίζεσθαι προσέταξεν, εἰδὼς
τοὺς μὲν μεταβαλλομένους τὰς ἐργασίας οὐδὲ πρὸς ἓν
τῶν ἔργων ἀκριβῶς ἔχοντας, τοὺς δ' ἐπὶ ταῖς αὐταῖς
πράξεσι συνεχῶς διαμένοντας εἰς ὑπερβολὴν ἕκαστον
17 ἀποτελοῦντας. τοιγαροῦν καὶ πρὸς τὰς τέχνας εὑρή-
σομεν αὐτοὺς πλέον διαφέροντας τῶν περὶ τὰς αὐτὰς e
ἐπιστήμας ἢ τοὺς ἄλλους δημιουργοὺς τῶν ἰδιωτῶν,
καὶ πρὸς τὴν σύνταξιν, δι' ἧς τήν τε βασιλείαν καὶ
τὴν ἄλλην πολιτείαν διαφυλάττουσιν, οὕτω καλῶς
ἔχοντας ὥστε καὶ τῶν φιλοσόφων τοὺς ὑπὲρ τῶν τοι-
ούτων λέγειν ἐπιχειροῦντας καὶ μάλιστ' εὐδοκιμοῦν-
τας τὴν ἐν Αἰγύπτῳ προαιρεῖσθαι πολιτείαν, καὶ Λα- 225
κεδαιμονίους μέρος τι τῶν ἐκεῖθεν μιμουμένους ἄρι-
18 στα διοικεῖν τὴν αὑτῶν πόλιν. καὶ γὰρ τὸ μηδένα τῶν
μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν
καὶ τὰ συσσίτια καὶ τὴν τῶν σωμάτων ἄσκησιν, ἔτι δὲ
τὸ μηδενὸς τῶν ἀναγκαίων ἀποροῦντας τῶν κοινῶν
προσταγμάτων ἀμελεῖν, μηδ' ἐπὶ ταῖς ἄλλαις τέχναις
διατρίβειν, ἀλλὰ τοῖς ὅπλοις καὶ ταῖς στρατείαις
προσέχειν τὸν νοῦν, ἐκεῖθεν ἅπαντα ταῦτ' εἰλήφασιν. b
19 τοσούτῳ δὲ χεῖρον κέχρηνται τούτοις τοῖς ἐπιτηδεύ-
μασιν, ὅσον οὗτοι μὲν ἅπαντες στρατιῶται καταστάν-
τες βίᾳ τὰ τῶν ἄλλων λαμβάνειν ἀξιοῦσιν, ἐκεῖνοι δ'
οὕτως οἰκοῦσιν, ὥσπερ χρὴ τοὺς μήτε τῶν ἰδίων ἀμε-
λοῦντας μήτε τοῖς ἀλλοτρίοις ἐπιβουλεύοντας. γνοίη
δ' ἄν τις ἐνθένδε τὸ διάφορον ἑκατέρας τῆς πολιτείας.
20 εἰ μὲν γὰρ ἅπαντες μιμησαίμεθα τὴν Λακεδαιμονίων
ἀργίαν καὶ πλεονεξίαν, εὐθὺς ἂν ἀπολοίμεθα καὶ διὰ c
τὴν ἔνδειαν τῶν καθ' ἡμέραν καὶ διὰ τὸν πόλεμον τὸν
πρὸς ἡμᾶς αὐτούς· εἰ δὲ τοῖς Αἰγυπτίων νόμοις χρῆ-

ΥΠΟΘΕΣΕΙΣ.

Hac parte (II.) continentur:

Oratio XI. *Busiris.* (p. 1—12.)

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΒΟΥΣΙΡΙΔΟΣ ΑΔΗΛΟΥ ΤΟΥ ΓΡΑΨΑΝΤΟΣ.

Τοῦτον τὸν λόγον γράφει πρὸς Πολυκράτη τινὰ σοφιστήν, ἐξ ἀνάγκης ἐλθόντα ἐπὶ τὸ σοφιστεύειν διὰ πενίαν, Ἀθηναῖον μὲν τῷ γένει, σοφιστεύοντα δὲ νῦν ἐν Κύπρῳ. γράφει δὲ αὐτῷ ὡς φίλος, ἐπανορθούμενος αὐτὸν δῆθεν ὡς σφαλέντα ἐν τούτοις τοῖς λόγοις οἷς ἔγραφεν, ἔν τε τῷ ἐγκωμίῳ τοῦ Βουσίριδος καὶ ἐν τῇ κατηγορίᾳ τοῦ Σωκράτους. αὐτὸς γάρ ἐστιν ὁ παρασχὼν τὸν λόγον τῆς κατηγορίας Σωκράτους τοῖς περὶ Ἄνυτον καὶ Μέλητον, ἵνα κατηγορηθεὶς ἀποθάνῃ. κατηγόρουν δὲ αὐτοῦ, ὡς ὅτι καινὰ δαιμόνια εἰσφέρει τοῖς Ἀθηναίοις, λέγων δεῖν σέβειν ὄρνεα καὶ κύνας καὶ τὰ τοιαῦτα, καὶ διὰ τοῦτο διαφθείρει τοὺς νέους τοὺς μανθάνοντας. Ἐζήτησαν δέ τινες, διὰ ποίαν αἰτίαν μὴ φανερῶς τὸν κατ' αὐτοῦ λόγον εἰσῆλθεν, εἴ γε φείδεται τοῦ διδασκάλου; καὶ λέγομεν, ἵνα μὴ ὀργισθῶσιν οἱ Ἀθηναῖοι, ἀρτίως Σωκράτους καταψηφισάμενοι. δοκεῖ οὖν διὰ τούτου ὥσπερ ἐλέγχειν αὐτοὺς ὡς κακῶς καταψηφισαμένους. καὶ γὰρ καὶ αὐτοὶ μετέγνωσαν ὕστερον, ὅτι ἀσεβῶς ἔπραξαν καταψηφισάμενοι Σωκράτους, εἶτα καὶ σωφρονισθέντες διὰ τοῦ λοιμοῦ τοῦ ἐγκατασκήψαντος αὐτοῖς διὰ τὸν Σωκράτους θάνατον. ἀπέθανε δὲ ἐπὶ Λάχητος ἄρχοντος. ὅθεν λοιπὸν ἐκέλευσαν μηδένα δημοσίᾳ, οἷον ἐν κοινῷ θεάτρῳ, λέγειν περὶ Σωκράτους. ἀμέλει λέγεταί τι τοιοῦτον, ὡς ὅτι Εὐριπίδου βουλομένου εἰπεῖν περὶ αὐτοῦ καὶ δεδιότος, ἀναπλάσασθαι Παλαμήδην, ἵνα διὰ τούτου σχοίη καιρὸν τοῦ αἰνίξασθαι εἰς τὸν Σωκράτη καὶ εἰς τοὺς Ἀθηναίους „ἐκάνετε, ἐκάνετε τῶν Ἑλλήνων τὸν ἄριστον“ ὃ ἔστιν ἐ φ ο ν ε ύ σ α τ ε. *καὶ νοήσαν τὸ θέατρον ἅπαν ἐδάκρυσε, διότι περὶ Σωκράτους ᾐνίττετο. Γράφει οὖν αὐτῷ τὸν λόγον τοῦτον, ὥσπερ εἴπομεν, ἐπιλαμβανόμενος αὐτοῦ. εἰ δέ τις ζητήσει τὴν αἰτίαν, διὰ τί μὴ καὶ τὸν ἄλλον λόγον εἶπεν εἰς τὸν Σωκράτην, λέγομεν, ὡς ἤδη περὶ τούτου προειρήκαμεν, ἵνα μὴ ὀργισθῶσιν αὐτῷ οἱ Ἀθηναῖοι ἔναγχος καταψηφισάμενοι.*

Ἡ δ' ὑπόθεσις τοῦ Βουσίριδος τοιαύτη. Βούσιρις τῆς Λιβύης καὶ Ποσειδῶνος ἐγένετο παῖς· οὗτος τεχθεὶς ἐν Λιβύῃ τῇ χώρᾳ, ὑπεριδὼν τῆς ἐκεῖ οἰκήσεως εἵλετο τὴν ἐν Αἰγύπτῳ, καὶ κτίζει πόλιν ὁμώνυμον αὐτῷ Βούσιριν, ἥτις καὶ νῦν οὕτω κέκληται. αἰτίαν δ' ἔσχεν ὡς ξενηλάτης καὶ ὡς θύων τοὺς ξένους. ὁ οὖν Πολυκράτης, ἅτε δὴ καὶ σοφιστὴς καὶ λογογράφος, ἠθέλησε καὶ ἀπολογίαν γρά-

φαι ὑπὲρ τοῦ Βουσίριδος καὶ ὑπὲρ τούτων ὧν ἐνεκαλεῖτο· εἰς ἣν αὐτοῦ ὁ Ἰσοκράτης ἐπιλαμβάνεται καὶ ὑποτίθεται αὐτός, πῶς ἔδει αὐτὸν γράψαι τὸ ἐγκώμιον. διὸ καὶ ὁ λόγος οὗτος τῶν τεσσάρων ἐγκωμίων ἐστίν.

Orat. XII. *Panathenaicus.* (p. 13—80.)

ΥΠΟΘΕΣΙΣ ΕΚ ΤΟΥ ΦΩΤΙΟΥ.

Ὁ δὲ Παναθηναϊκὸς ἐγκώμιόν ἐστι τῆς Ἀθηναίων πόλεως καὶ τῶν προγόνων, ὃν ἀπάρξασθαι μέν φησι συγγράφειν ἐνενήκοντα καὶ τεττάρων ἐτῶν ἄγων ἡλικίαν, νόσου δὲ χαλεπῆς τριετίαν κατασχούσης ἐν τῷ ἐνενηκοστῷ ἑβδόμῳ εἰς πέρας ἀγαγεῖν τὸν λόγον.

Orat. XIII. *Contra Sophistas.* (p. 81—86.)

ΥΠΟΘΕΣΙΣ ΑΝΩΝΥΜΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Οὗτος ὁ λόγος τῶν ἄγαν τεχνικῶς γεγραμμένων ἐστὶν Ἰσοκράτους, εἴπερ τις ἄλλος· ἐν τούτῳ γὰρ σχεδὸν ἅπασαν διέλαβε τὴν ῥητορικήν. διδάσκει γὰρ ἡμᾶς ἐν αὐτῷ, ὁποῖος ὀφείλει εἶναι ὁ μαθητής, οἷος δὲ ὁ διδάσκαλος, καὶ διαιρεῖ τὸν λόγον εἰς δύο, εἴς τε τὴν ἐριστικὴν φιλοσοφίαν καὶ εἰς τὴν πολιτικὴν ἀρετήν, ὅ ἐστι τὴν ῥητορικήν, τοὺς ἐν αὐταῖς κακῶς ἐξεταζομένους ἐξελέγξαι βουλόμενος. καὶ λέγει πρῶτον περὶ τῶν ἐριστικῶν, εἶτα περὶ τῶν πολιτικῶν· τέμνει δὲ τοῦτο εἰς δύο, εἴς τε τοὺς ἐπαγγελλομένους διδάσκειν, μὴ εἰδότας δέ, καὶ εἰς τοὺς γράψαντας τέχνην ῥητορικήν, πάλιν δὲ καὶ αὐτοὺς ἀγνοοῦντας. ἐζήτησαν δέ τινες, διὰ ποίαν αἰτίαν οὕτως ἦλθεν ἐπὶ τοῦτον τὸν λόγον ὥστε ἁπλῶς καταδραμεῖν τούτων. καὶ οἱ μὲν ἀπελογήσαντο, λέγοντες τὴν αἰτίαν, ἣν προείπομεν, διὰ τὸ τὸν Ἀριστοτέλην λυπῆσαι αὐτὸν διὰ τὸ ἀφελέσθαι τὸν μαθητὴν αὐτοῦ, Θεοδέκτην ὀνόματι. αὕτη δὲ ἡ αἰτία ὥς ἐστιν εὐήθης οὐ δύσκολον καταμαθεῖν· οὐδὲ γὰρ κατὰ μόνων φιλοσόφων ποιεῖται τὸν λόγον ἀλλὰ καὶ ῥητόρων αὐτῶν. Ποία οὖν εἴη ἂν ἀληθὴς αἰτία ἢ αὕτη, διότι ἑώρα ἐν τῷ χρόνῳ τοῦ λόγου τούτου πολλοὺς ἐπιπηδῶντας ταῖς τέχναις ἀπερισκέπτως καὶ ἐπαγγελλομένους διδάσκειν ἅπερ οὐκ ἴσασι, καὶ σοφιζομένους τὴν ἀλήθειαν. διὸ καὶ ὁ λόγος αὐτῷ ἐπιγέγραπται κατὰ τῶν σοφιστῶν, οὐχ ἁπλῶς τῶν σοφιστευόντων ἀλλὰ κατὰ πάντων τῶν σοφιζομένων τὴν ἀλήθειαν. τριχῶς γὰρ τοῦτο τοὔνομα λέγεται παρὰ τοῖς παλαιοῖς· οἷον οὕτω σοφὸν καλοῦσιν αὐτὸ τὸ ἀληθὲς καὶ τὸ καλόν· ὅθεν καὶ ὁ Πλάτων φιλόσοφον καλεῖ τὸ πρῶτον αἴτιον, τὸ φιλοῦν αὐτὸ τὸ ἀληθὲς καὶ τὸ καλόν, ὅθεν καὶ ὁ ἄνθρωπος ὁ μετιὼν τὴν φιλοσοφίαν ἐκ τούτου παρωνόμασται, καθὰ καὶ αὐτὸς μιμεῖται τὸν θεὸν κατὰ τὸ δυνατόν· καὶ πάλιν σοφιστὴν καλοῦσι αὐτὸν τὸν ῥήτορα, τὸν διδάσκοντα τοὺς ῥητορικοὺς λόγους· σοφιστὴν δὲ καὶ τὸν σοφιζόμενον τὴν ἀλήθειαν, περὶ οὗ νῦν διέρχεται. ἐζήτησαν δέ τινες πάλιν καὶ διὰ τί αὐτὸς ὁ λόγος, εἴ γε εἷς ἐστι τῶν τεσσάρων ἐγκωμίων, κατὰ τῶν σοφιστῶν ἐπιγράφεται, καὶ ψόγος ἐστὶ καὶ μὴ ὅπερ οἰκεῖον ἐγκωμίου, τὸ μᾶλλον ὑπέρ τινος

λέγειν ἢ κατά τινος. καὶ λέγομεν, ὅτι, ἐὰν σκοπήσῃ τις, ὑπὸ τί ἀνάγεται καὶ ὁ ψόγος καὶ τὸ ἐγκώμιον, ὅτι ἑκάτερον ὑπὸ ἓν εἶδος τι πανηγυρικὸν, εὑρήσει τὴν αἰτίαν· ἡ γὰρ οἰκειότης πρὸς τὸ ἐγκώμιον καὶ τὸ τοῖς αὐτοῖς κεφαλαίοις τέμνεσθαι τὸν ψόγον, ὥσπερ καὶ τὸ ἐγκώμιον, ἐποίησε καὶ τὸν ψόγον ἐγκώμιον ὀνομάζεσθαι κατὰ ἀντίφρασιν. εἰ δέ τις εἴποι· διὰ τί δὲ μὴ δικανικοῦ εἴδους ἐστίν, εἴ γε καταδρομῇ κέχρηται, λέγομεν, ἐπειδὴ οὔτε ἐν δικαστηρίῳ ἐλέγχθη οὔτε ἡ τιμωρία ὥρισται.

Orat. XIV. *Plataicus.* (p. 87—101.)

ΥΠΟΘΕΣΙΣ ΑΝΩΝΥΜΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Περὶ τοὺς χρόνους τοῦ λόγου τούτου πολλοὶ πλανῶνται. ζητοῦσι γὰρ, πῶς δυνατὸν εἰρηκέναι τὸν Ἰσοκράτην ὑπὲρ Πλαταιέων, κατασκαφέντων ἐν τῇ γ΄ ἱστορίᾳ τοῦ Πελοποννησιακοῦ πολέμου, τὸν ὕστερον μετὰ πολλὰ ἔτη γενόμενον τῶν Πελοποννησιακῶν. ἐγένετο γὰρ ἡ κατασκαφὴ τῶν Πλαταιέων ἐν τῷ ε΄ ἔτει τοῦ Πελοποννησιακοῦ· κατέσχε δὲ κ΄ καὶ ἑπτὰ ἔτη ὁ πᾶς πόλεμος, καὶ τὰ λοιπὰ κβ΄· εἶτα ἐν ᾧ ἦρξαν Λακεδαιμόνιοι, τριάκοντα, ἤγουν πεντήκοντα δύο [κατὰ] Φιλίππου ἔτη εἴρηται ὁ λόγος, ὡς ἀνάγκη τὸν Ἰσοκράτην τριῶν ἐτῶν ὄντα εἰπεῖν τὸν λόγον, ὅπερ ἀδύνατον. πρὸς ὃ καί τινες ἀπολογούμενοι λέγουσιν, ὅτι πρὸς μελέτην εἴρηται ὁ λόγος ζητήματος· οὐκ ἔστι δέ. ἀλλὰ τὸ δεύτερον κατεσκάφησαν οἱ Πλαταιεῖς· ὅτε μὲν ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ὑπὸ Λακεδαιμονίων χαριζομένων Θηβαίοις, εἶτα ὅτε ἐπολέμησαν Λακεδαιμόνιοι Θηβαίοις μετὰ τὸν Πελοποννησιακὸν πόλεμον καὶ ἐνίκησαν οἱ Λακεδαιμόνιοι, πολεμίους ὁμόρους ἀναστῆσαι Θηβαίοις βουλόμενοι ἀνῴκισαν Πλάταιαν· εἶτα ὕστερον νικήσαντες οἱ Θηβαῖοι ἐν Λεύκτροις, κατέσκαψαν αὐτοὺς, Πλαταιέας, οὓς ὕστερον ἀνοικίζει πάλιν Φίλιππος κατὰ Θηβαίων. κατασκαφέντες οὖν νῦν τὴν δευτέραν κατασκαφὴν ἔρχονται εἰς τὰς Ἀθήνας, ἀναλαβεῖν βουλόμενοι τὴν πόλιν διὰ τῶν Ἀθηναίων, εἰς οὓς κατέφυγον, ὥς φησιν ὁ Ἀριστείδης. καὶ ἡ μὲν ὑπόθεσις αὕτη· ἡ δὲ στάσις πραγματικὴ ἄγραφος.

Orat. XV. *De Permutatione.* (p. 101—177.)

ΥΠΟΘΕΣΙΣ ΕΚ ΤΟΥ ΦΩΤΙΟΥ.

Ὁ δὲ περὶ τῆς ἀντιδόσεως ἐπιγραφόμενος λόγος δικανικός τις εἶναι δοκεῖ καὶ ἀπολογίαν ἔχων, ὡν Λυσίμαχος κακῶς εἶπεν Ἰσοκράτην. Δύο δὲ καὶ ὀγδοήκοντα ἐτῶν ὄντι οὗτος αὐτῷ μέγιστος ἐν τῶν ἄλλων λόγος συνετάγη. Ἔστι δ' ὁ λόγος σύμμικτος καὶ ποικίλος μᾶλλον ἢ οἱ ἄλλοι· παρατίθεται δὲ καὶ τῶν ἄλλων αὐτοῦ λόγων περικοπάς τινας, ἐξ ὧν οὐ φθείρειν τοὺς νέους ἀλλ' ὠφελεῖν τὸ κοινὸν ἐπιδείκνυσιν ἑαυτόν.

Orat. XVI. *De Bigis.* (p. 178—190.)

Orat. XVII. *Trapeziticus* (ὃν ἔγραψε ξένῳ τινὶ τῶν μαθητῶν κατὰ Πασίωνος τοῦ Τραπεζίτου. Dion.). (p. 190—205.)

16—21.

ΕΚ ΤΟΥ ΔΙΟΝΥΣΙΟΥ.

Τοιοῦτος μὲν δή τις ἐν τοῖς συμβουλευτικοῖς λόγοις ὁ ἀνήρ· ἐν δὲ τοῖς δικανικοῖς τὰ μὲν ἄλλα πάνυ ἀκριβὴς καὶ ἀληθινὸς καὶ τῷ Λυσίου χαρακτῆρι ἔγγιστα μὲν προσεληλυθώς, ἐν δὲ τῇ συνθέσει τῶν ὀνομάτων τὸ λεῖον ἐκεῖνο καὶ εὐπρεπὲς ἔχων ἔλαττον μὲν ἢ ἐν ἄλλοις λόγοις, οὐ μὴν ἀλλ' ἔχων γε. Μηδεὶς δ' ἀγνοεῖν ὑπολάβῃ με, μήθ' ὅτι Ἀφαρεύς, ὁ πρόγονός τε καὶ εἰσποίητος Ἰσοκράτει γενόμενος, ἐν τῷ πρὸς Μεγακλείδην περὶ τῆς ἀντιδόσεως λόγῳ διορίζεται μηδεμίαν ὑπὸ τοῦ πατρὸς ὑπόθεσιν εἰς δικαστήριον γεγράφθαι, μήθ' ὅτι δέσμας πάνυ πολλὰς δικαστικῶν λόγων Ἰσοκρατείων περιφέρεσθαί φησιν ὑπὸ τῶν βιβλιοπωλῶν Ἀριστοτέλης· ἐπίσταμαι γὰρ ταῦτα ὑπὸ τῶν ἀνδρῶν ἐκείνων λεγόμενα· καὶ οὔτ' Ἀριστοτέλει πείθομαι ῥυπαίνειν τὸν ἄνδρα βουλομένῳ, οὔτ' Ἀφαρεῖ, τούτου γ' ἕνεκα λόγον εὐπρεπῆ πλαττομένῳ, συντίθεμαι· ἱκανὸν δ' ἡγησάμενος εἶναι τῆς ἀληθείας βεβαιωτὴν τὸν Ἀθηναῖον Κηφισόδωρον, ὃς καὶ συνεβίωσεν Ἰσοκράτει καὶ γνησιώτατος ἀκουστὴς ἐγένετο καὶ τὴν ἀπολογίαν τὴν πάνυ θαυμαστὴν ἐν ταῖς πρὸς Ἀριστοτέλην ἀντιγραφαῖς ἐποιήσατο, πιστεύω γεγράφθαι λόγους τινὰς ὑπὸ τοῦ ἀνδρὸς εἰς δικαστήρια, οὐ μέντοι πολλούς.

11.
ΒΟΥΣΙΡΙΣ.

(α΄.) Τὴν μὲν ἐπιείκειαν τὴν σὴν, ὦ Πολύκρατες, 221
καὶ τὴν τοῦ βίου μεταβολὴν παρ' ἄλλων πυνθανόμενος οἶδα· τῶν δὲ λόγων τινὰς, ὧν γέγραφας, αὐτὸς ἀνεγνωκὼς ἥδιστα μὲν ἄν σοι περὶ ὅλης ἐπαρρησιασάμην τῆς παιδεύσεως, περὶ ἣν ἠνάγκασαι διατρίβειν· ἡγοῦμαι γὰρ τοῖς ἀναξίως μὲν δυστυχοῦσιν, ἐκ δὲ φιλοσοφίας χρηματίζεσθαι ζητοῦσιν ἅπαντας τοὺς πλείω πεπραγματευμένους καὶ μᾶλλον ἀπηκριβωμένους προσήκειν ἐθελοντὰς τοῦτον εἰσφέρειν τὸν ἔρα-
2 νον· ἐπειδὴ δ' οὔπω περιτετυχήκαμεν ἀλλήλοις, περὶ μὲν τῶν ἄλλων, ἤν ποτ' εἰς ταὐτὸν ἔλθωμεν, τόθ' ἡμῖν ἐξέσται διὰ πλειόνων ποιήσασθαι τὴν συνουσίαν, ἃ δ' ἐν τῷ παρόντι δυναίμην ἂν εὐεργετῆσαί σε, ταῦτα δ' ᾠήθην χρῆναι σοὶ μὲν ἐπιστεῖλαι, πρὸς δὲ τοὺς ἄλ-
3 λους ὡς οἷόν τε μάλιστ' ἀποκρύψασθαι. γιγνώσκω μὲν οὖν, ὅτι τοῖς πλείστοις τῶν νουθετουμένων ἔμφυτόν ἐστι μὴ πρὸς τὰς ὠφελείας ἀποβλέπειν, ἀλλὰ 222
τοσούτῳ χαλεπώτερον ἀκούειν τῶν λεγομένων, ὅσῳ περ ἂν αὐτῶν τις ἀκριβέστερον ἐξετάζῃ τὰς ἁμαρτίας· ὅμως δ' οὐκ ὀκνητέον ὑπομένειν τὴν ἀπέχθειαν ταύτην τοῖς εὐνοϊκῶς πρός τινας ἔχουσιν, ἀλλὰ πειρατέον μεθιστάναι τὴν δόξαν τῶν οὕτω πρὸς τοὺς συμβου-
4 λεύοντας διακειμένων. (β΄.) Αἰσθόμενος οὖν οὐχ ἥκιστά σε μεγαλαυχούμενον ἐπί τε τῇ Βουσίριδος ἀπολογίᾳ καὶ τῇ Σωκράτους κατηγορίᾳ, πειράσομαί σοι b

ποιῆσαι καταφανὲς, ὅτι πολὺ τοῦ δέοντος ἐν ἀμφοτέ-
ροις τοῖς λόγοις διήμαρτες. ἁπάντων γὰρ εἰδότων,
ὅτι δεῖ τοὺς μὲν εὐλογεῖν τινὰς βουλομένους πλείω
τῶν ὑπαρχόντων ἀγαθῶν αὐτοῖς προσόντ' ἀποφαίνειν,
τοὺς δὲ κατηγοροῦντας τἀναντία τούτων ποιεῖν, το-
5 σούτου δέεις οὕτω κεχρῆσθαι τοῖς λόγοις, ὥσθ' ὑπὲρ
μὲν Βουσίριδος ἀπολογήσασθαι φάσκων οὐχ ὅπως τῆς
ὑπαρχούσης αὐτὸν διαβολῆς ἀπήλλαξας ἀλλὰ καὶ τη- c
λικαύτην αὐτῷ τὸ μέγεθος παρανομίαν προσῆψας, ἧς
οὐκ ἔσθ' ὅπως ἄν τις δεινοτέραν ἐξευρεῖν δυνηθείη·
τῶν γὰρ ἄλλων τῶν ἐπιχειρησάντων ἐκεῖνον λοιδορεῖν
τοσοῦτον μόνον περὶ αὐτοῦ βλασφημούντων, ὡς ἔθυε
τῶν ξένων τοὺς ἀφικνουμένους, σὺ καὶ κατεσθίειν
αὐτὸν τοὺς ἀνθρώπους ᾐτιάσω· Σωκράτους δὲ κατη-
γορεῖν ἐπιχειρήσας, ὥσπερ ἐγκωμιάσαι βουλόμενος
Ἀλκιβιάδην ἔδωκας αὐτῷ μαθητὴν, ὃν ὑπ' ἐκείνου d
μὲν οὐδεὶς ᾔσθετο παιδευόμενον, ὅτι δὲ πολὺ διήνεγκε
6 τῶν ἄλλων, ἅπαντες ἂν ὁμολογήσειαν. τοιγαροῦν εἰ
γένοιτ' ἐξουσία τοῖς τετελευτηκόσι βουλεύσασθαι περὶ
τῶν εἰρημένων, ὁ μὲν ἂν σοι τοσαύτην ἔχοι χάριν ὑπὲρ
τῆς κατηγορίας, ὅσην οὐδενὶ τῶν ἐπαινεῖν αὐτὸν εἰ-
θισμένων, ὁ δ' εἰ καὶ περὶ τοὺς ἄλλους πραότατος ἦν,
ἀλλ' οὖν ἐπί γε τοῖς ὑπὸ σοῦ λεγομένοις οὕτως ἂν
ἀγανακτήσειεν ὥστε μηδεμιᾶς ἀποσχέσθαι τιμωρίας
καίτοι πῶς οὐκ αἰσχύνεσθαι μᾶλλον ἢ σεμνύνεσθαι
προσήκει τὸν παρὰ τοῖς λοιδορουμένοις ὑφ' αὑτοῦ e
μᾶλλον ἀγαπώμενον ἢ παρὰ τοῖς ἐγκωμιαζομένοις;
7 (γ'.) Οὕτω δ' ἠμέλησας, εἰ μηδὲν ὁμολογούμενον ἐρεῖς,
ὥστε φῂς μὲν αὐτὸν τὴν Αἰόλου καὶ τὴν Ὀρφέως ζη-
λῶσαι δόξαν, ἀποφαίνεις δ' οὐδὲν τῶν αὐτῶν ἐκείνοις
ἐπιτηδεύσαντα. πότερα γὰρ τοῖς περὶ Αἰόλου λεγομέ-
νοις αὐτὸν παρατάξωμεν; ἀλλ' ἐκεῖνος μὲν τῶν ξένων 223

τοὺς ἐπὶ τὴν χώραν ἐκπίπτοντας εἰς τὰς αὑτῶν πατρί-
δας ἀπέστελλεν, ὁ δ' εἰ χρὴ τοῖς ὑπὸ σοῦ λεγομένοις
8 πιστεύειν, θύσας κατήσθιεν. ἢ τοῖς Ὀρφέως ἔργοις
ὁμοιώσωμεν; ἀλλ' ὁ μὲν ἐξ Ἅιδου τοὺς τεθνεῶτας
ἀνῆγεν, ὁ δὲ πρὸ μοίρας τοὺς ζῶντας ἀπώλλυεν. ὥσθ'
ἡδέως ἂν εἰδείην, τί ποτ' ἂν ἐποίησεν, εἰ καταφρο-
νῶν αὐτῶν ἐτύγχανεν, ὃς θαυμάζων τὴν ἀρετὴν τὴν
ἐκείνων ἅπαντα φαίνεται τἀναντία διαπραττόμενος. b
ὃ δὲ πάντων ἀτοπώτατον, ὅτι περὶ τὰς γενεαλογίας
ἐσπουδακὼς ἐτόλμησας εἰπεῖν, ὡς τούτους ἐζήλωσεν,
ὧν οὐδ' οἱ πατέρες πω κατ' ἐκεῖνον τὸν χρόνον γε-
γονότες ἦσαν.

9 (δ'.) Ἵνα δὲ μὴ δοκῶ τὸ προχειρότατον ποιεῖν,
ἐπιλαμβάνεσθαι τῶν εἰρημένων [μηδὲν ἐπιδεικνὺς τῶν
ἐμαυτοῦ], πειράσομαί σοι διὰ βραχέων δηλῶσαι περὶ
τὴν αὐτὴν ὑπόθεσιν, καίπερ οὐ σπουδαίαν οὖσαν οὐ- c
δὲ σεμνοὺς λόγους ἔχουσαν, ἐξ ὧν ἔδει καὶ τὸν ἔπαι-
νον καὶ τὴν ἀπολογίαν ποιήσασθαι.

10 (ε'.) Περὶ μὲν οὖν τῆς Βουσίριδος εὐγενείας τίς
οὐκ ἂν δυνηθείη ῥᾳδίως εἰπεῖν; ὃς πατρὸς μὲν ἦν
Ποσειδῶνος, μητρὸς δὲ Λιβύης τῆς Ἐπάφου τοῦ Διὸς,
ἥν φασι πρώτην γυναῖκα βασιλεύσασαν ὁμώνυμον
αὑτῇ τὴν χώραν καταστῆσαι. τυχὼν δὲ τοιούτων προ-
γόνων οὐκ ἐπὶ τούτοις μόνοις μέγ' ἐφρόνησεν, ἀλλ' d
ᾠήθη δεῖν καὶ τῆς ἀρετῆς τῆς αὑτοῦ μνημεῖον εἰς
ἅπαντα τὸν χρόνον καταλιπεῖν.

11 (ς'.) Τὴν μὲν οὖν μητρῴαν ἀρχὴν ὑπερεῖδεν
ἐλάττω νομίσας ἢ κατὰ τὴν αὑτοῦ φύσιν εἶναι, πλεί-
στους δὲ καταστρεψάμενος καὶ μεγίστην δύναμιν κτη-
σάμενος ἐν Αἰγύπτῳ κατεστήσατο τὴν βασιλείαν, οὐκ
ἐκ τῶν παρουσῶν μόνον ἀλλ' ἐξ ἁπασῶν προκρίνας
12 τὴν ἐκεῖ πολὺ διαφέρειν οἴκησιν. ἑώρα γὰρ τοὺς μὲν e

ἄλλους τόπους οὐκ εὐκαίρως οὐδ' εὐαρμόστως πρὸς
τὴν τοῦ σύμπαντος φύσιν ἔχοντας, ἀλλὰ τοὺς μὲν ὑπ'
ὄμβρων κατακλυζομένους, τοὺς δ' ὑπὸ καυμάτων δια-
φθειρομένους, ταύτην δὲ τὴν χώραν ἐν καλλίστῳ μὲν
τοῦ κόσμου κειμένην, πλεῖστα δὲ καὶ παντοδαπώτατα
φέρειν δυναμένην, ἀθανάτῳ δὲ τείχει τῷ Νείλῳ τε- 224
13 τειχισμένην, ὃς οὐ μόνον φυλακὴν ἀλλὰ καὶ τροφὴν
ἱκανὴν αὐτῇ παρέχειν πέφυκεν, ἀνάλωτος μὲν ὢν καὶ
δύσμαχος τοῖς ἐπιβουλεύουσιν, εὐαγωγὸς δὲ καὶ πρὸς
πολλὰ χρήσιμος τοῖς ἐντὸς αὐτοῦ κατοικοῦσιν. πρὸς
γὰρ τοῖς προειρημένοις καὶ τὴν δύναμιν αὐτῶν πρὸς
τὴν τῆς γῆς ἐργασίαν ἰσόθεον πεποίηκεν· τῶν γὰρ
ὄμβρων καὶ τῶν αὐχμῶν τοῖς μὲν ἄλλοις ὁ Ζεὺς ταμίας
ἐστίν, ἐκείνων δ' ἕκαστος ἀμφοτέρων τούτων αὐτὸς b
14 αὑτῷ κύριος καθέστηκεν. εἰς τοσαύτην δ' ὑπερβολὴν
εὐδαιμονίας ἥκουσιν, ὥστε τῇ μὲν ἀρετῇ καὶ τῇ φύσει
τῆς χώρας καὶ τῷ πλήθει τῶν πεδίων ἤπειρον καρ-
ποῦνται, τῇ δὲ τῶν περιόντων διαθέσει καὶ τῇ τῶν
ἐλλειπόντων κομιδῇ διὰ τὴν τοῦ ποταμοῦ δύναμιν
νῆσον οἰκοῦσιν· κύκλῳ γὰρ αὐτὴν περιέχων καὶ πᾶ-
σαν διαρρέων πολλὴν αὐτοῖς εὐπορίαν ἀμφοτέρων
τούτων πεποίηκεν.

15 Ἤρξατο μὲν οὖν ἐντεῦθεν, ὅθεν περ χρὴ τοὺς εὖ
φρονοῦντας, ἅμα τόν τε τόπον ὡς κάλλιστον καταλα- c
βεῖν καὶ τροφὴν ἱκανὴν τοῖς περὶ αὐτὸν ἐξευρεῖν.
(ζ.) Μετὰ δὲ ταῦτα διελόμενος χωρὶς ἑκάστους τοὺς μὲν
ἐπὶ τὰς ἱερωσύνας κατέστησε, τοὺς δ' ἐπὶ τὰς τέχνας
ἔτρεψε, τοὺς δὲ τὰ περὶ τὸν πόλεμον μελετᾶν ἠνάγκα-
σεν, ἡγούμενος τὰ μὲν ἀναγκαῖα καὶ τὰς περιουσίας
ἔκ τε τῆς χώρας καὶ τῶν τεχνῶν δεῖν ὑπάρχειν, τούτων
δ' εἶναι φυλακὴν ἀσφαλεστάτην τήν τε περὶ τὸν πό-
λεμον ἐπιμέλειαν καὶ τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν. d

16 (η'.) Ἅπαντας δὲ τοὺς ἀριθμοὺς περιλαβὼν, ἐξ ὧν
ἄριστ' ἄν τις τὰ κοινὰ διοικήσειεν, ἀεὶ τοῖς αὐτοῖς
τὰς αὐτὰς πράξεις μεταχειρίζεσθαι προσέταξεν, εἰδὼς
τοὺς μὲν μεταβαλλομένους τὰς ἐργασίας οὐδὲ πρὸς ἓν
τῶν ἔργων ἀκριβῶς ἔχοντας, τοὺς δ' ἐπὶ ταῖς αὐταῖς
πράξεσι συνεχῶς διαμένοντας εἰς ὑπερβολὴν ἕκαστον
17 ἀποτελοῦντας. τοιγαροῦν καὶ πρὸς τὰς τέχνας εὑρή-
σομεν αὐτοὺς πλέον διαφέροντας τῶν περὶ τὰς αὐτὰς e
ἐπιστήμας ἢ τοὺς ἄλλους δημιουργοὺς τῶν ἰδιωτῶν,
καὶ πρὸς τὴν σύνταξιν, δι' ἧς τήν τε βασιλείαν καὶ
τὴν ἄλλην πολιτείαν διαφυλάττουσιν, οὕτω καλῶς
ἔχοντας ὥστε καὶ τῶν φιλοσόφων τοὺς ὑπὲρ τῶν τοι-
ούτων λέγειν ἐπιχειροῦντας καὶ μάλιστ' εὐδοκιμοῦν-
τας τὴν ἐν Αἰγύπτῳ προαιρεῖσθαι πολιτείαν, καὶ Λα- 225
κεδαιμονίους μέρος τι τῶν ἐκεῖθεν μιμουμένους ἄρι-
18 στα διοικεῖν τὴν αὑτῶν πόλιν. καὶ γὰρ τὸ μηδένα τῶν
μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν
καὶ τὰ συσσίτια καὶ τὴν τῶν σωμάτων ἄσκησιν, ἔτι δὲ
τὸ μηδενὸς τῶν ἀναγκαίων ἀποροῦντας τῶν κοινῶν
προσταγμάτων ἀμελεῖν, μηδ' ἐπὶ ταῖς ἄλλαις τέχναις
διατρίβειν, ἀλλὰ τοῖς ὅπλοις καὶ ταῖς στρατείαις
προσέχειν τὸν νοῦν, ἐκεῖθεν ἅπαντα ταῦτ' εἰλήφασιν. b
19 τοσούτῳ δὲ χεῖρον κέχρηνται τούτοις τοῖς ἐπιτηδεύ-
μασιν, ὅσον οὗτοι μὲν ἅπαντες στρατιῶται καταστάν-
τες βίᾳ τὰ τῶν ἄλλων λαμβάνειν ἀξιοῦσιν, ἐκεῖνοι δ'
οὕτως οἰκοῦσιν, ὥσπερ χρὴ τοὺς μήτε τῶν ἰδίων ἀμε-
λοῦντας μήτε τοῖς ἀλλοτρίοις ἐπιβουλεύοντας. γνοίη
δ' ἄν τις ἐνθένδε τὸ διάφορον ἑκατέρας τῆς πολιτείας.
20 εἰ μὲν γὰρ ἅπαντες μιμησαίμεθα τὴν Λακεδαιμονίων
ἀργίαν καὶ πλεονεξίαν, εὐθὺς ἂν ἀπολοίμεθα καὶ διὰ c
τὴν ἔνδειαν τῶν καθ' ἡμέραν καὶ διὰ τὸν πόλεμον τὸν
πρὸς ἡμᾶς αὐτούς· εἰ δὲ τοῖς Αἰγυπτίων νόμοις χρῆ-

σθαι βουληθεῖμεν, καὶ τοῖς μὲν ἐργάζεσθαι, τοῖς δὲ
τὰ τούτων σώζειν δόξειεν, ἕκαστοι τὴν αὑτῶν ἔχοντες
εὐδαιμόνως ἂν τὸν βίον διατελοῖμεν.
21 (θ΄.) Καὶ μὲν δὴ καὶ τῆς περὶ τὴν φρόνησιν ἐπι-
μελείας εἰκότως ἄν τις ἐκεῖνον αἴτιον νομίσειεν. τοῖς
γὰρ ἱερεῦσι παρεσκεύασεν εὐπορίαν μὲν ταῖς ἐκ τῶν d
ἱερῶν προσόδοις, σωφροσύνην δὲ ταῖς ἁγνείαις ταῖς
ὑπὸ τῶν νόμων προστεταγμέναις, σχολὴν δὲ ταῖς τῶν
22 κινδύνων καὶ τῶν ἄλλων ἔργων ἀτελείαις· μεθ' ὧν
ἐκεῖνοι βιοτεύοντες τοῖς μὲν σώμασιν ἰατρικὴν ἐξεῦ-
ρον ἐπικουρίαν, οὐ διακεκινδυνευμένοις φαρμάκοις
χρωμένην ἀλλὰ τοιούτοις, ἃ τὴν μὲν ἀσφάλειαν ὁμοί-
αν ἔχει τῇ τροφῇ τῇ καθ' ἡμέραν, τὰς δ' ὠφελείας e
τηλικαύτας ὥστ' ἐκείνους ὁμολογουμένως ὑγιεινοτά-
τους εἶναι καὶ μακροβιωτάτους, ταῖς δὲ ψυχαῖς φιλο-
σοφίας ἄσκησιν κατέδειξαν, ἣ καὶ νομοθετῆσαι καὶ
23 τὴν φύσιν τῶν ὄντων ζητῆσαι δύναται. καὶ τοὺς μὲν
πρεσβυτέρους ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων ἔταξαν,
τοὺς δὲ νεωτέρους ἀμελήσαντας τῶν ἡδονῶν ἐπ' ἀστρο- 226
λογίᾳ καὶ λογισμοῖς καὶ γεωμετρίᾳ διατρίβειν ἔπεισαν,
ὧν τὰς δυνάμεις οἱ μὲν ὡς πρὸς ἔνια χρησίμους ἐπαι-
νοῦσιν, οἱ δ' ὡς πλεῖστα πρὸς ἀρετὴν συμβαλλομένας
ἀποφαίνειν ἐπιχειροῦσιν.
24 (ι΄.) Μάλιστα δ' ἄξιον ἐπαινεῖν καὶ θαυμάζειν τὴν
εὐσέβειαν αὐτῶν καὶ τὴν περὶ τοὺς θεοὺς θεραπείαν.
ὅσοι μὲν γὰρ σφᾶς αὐτοὺς οὕτω κατεσχημάτισαν ὥστ'
ἢ κατὰ σοφίαν ἢ κατ' ἄλλην τιν' ἀρετὴν ὑπολαμβάνε-
σθαι μειζόνως ἢ κατὰ τὴν ἀξίαν, οὗτοι μὲν βλάπτουσι b
τοὺς ἐξαπατηθέντας· ὅσοι δὲ τῶν θείων πραγμάτων
οὕτω προέστησαν ὥστε καὶ τὰς ἐπιμελείας καὶ τὰς
τιμωρίας εἶναι δοκεῖν ἀκριβεστέρας τῶν συμβαινόν-
των, οἱ δὲ τοιοῦτοι πλεῖστα τὸν βίον τὸν τῶν ἀνθρώ-

25 πων ὠφελοῦσιν· καὶ γὰρ τὴν ἀρχὴν οἱ τὸν φόβον ἡμῖν
ἐνεργασάμενοι τούτου αἴτιοι γεγόνασι τοῦ μὴ παν-
τάπασι θηριωδῶς διακεῖσθαι πρὸς ἀλλήλους. ἐκεῖνοι c
τοίνυν οὕτως ἁγίως περὶ ταῦτα καὶ σεμνῶς ἔχουσιν
ὥστε καὶ τοὺς ὅρκους πιστοτέρους εἶναι τοὺς ἐν τοῖς
ἐκείνων ἱεροῖς ἢ τοὺς παρὰ τοῖς ἄλλοις καθεστῶτας,
καὶ τῶν ἁμαρτημάτων ἕκαστον οἴεσθαι παραχρῆμα
δώσειν δίκην, ἀλλ' οὐ διαλήσειν τὸν παρόντα χρόνον,
οὐδ' εἰς τοὺς παῖδας ἀναβληθήσεσθαι τὰς τιμωρίας.
26 καὶ ταῦτ' εἰκότως δοξάζουσιν· πολλὰς γὰρ αὐτοῖς καὶ
παντοδαπὰς ἀσκήσεις τῆς ὁσιότητος ἐκεῖνος κατέστη- d
σεν, ὅστις καὶ τῶν ζώων τῶν παρ' ἡμῖν καταφρονου-
μένων ἔστιν ἃ σέβεσθαι καὶ τιμᾶν ἐνομοθέτησεν, οὐκ
ἀγνοῶν τὴν δύναμιν αὐτῶν, ἀλλ' ἅμα μὲν ἐθίζειν
οἰόμενος δεῖν τὸν ὄχλον ἐμμένειν ἅπασι τοῖς ὑπὸ τῶν
27 ἀρχόντων παραγγελλομένοις, ἅμα δὲ βουλόμενος πεῖ-
ραν λαμβάνειν ἐν τοῖς φανεροῖς, ἥντινα περὶ τῶν
ἀφανῶν διάνοιαν ἔχουσιν. ἐνόμιζε γὰρ τοὺς μὲν τού-
των ὀλιγωροῦντας τυχὸν καὶ τῶν μειζόνων καταφρο- e
νήσειν, τοὺς δ' ἐπὶ πάντων ὁμοίως ἐμμένοντας τῇ
τάξει βεβαίως ἔσεσθαι τὴν αὐτῶν εὐσέβειαν ἐπιδε-
δειγμένους.
28 (ια'.) Ἔχοι δ' ἄν τις μὴ σπεύδειν ὡρμημένος πολ-
λὰ καὶ θαυμαστὰ περὶ τῆς ὁσιότητος αὐτῶν διελθεῖν,
ἣν οὔτε μόνος οὔτε πρῶτος ἐγὼ τυγχάνω καθεωρακώς,
ἀλλὰ πολλοὶ καὶ τῶν ὄντων καὶ τῶν προγεγενημένων, 227
ὧν καὶ Πυθαγόρας ὁ Σάμιός ἐστιν· ὃς ἀφικόμενος
εἰς Αἴγυπτον καὶ μαθητὴς ἐκείνων γενόμενος τήν τ'
ἄλλην φιλοσοφίαν πρῶτος εἰς τοὺς Ἕλληνας ἐκόμισε,
καὶ τὰ περὶ τὰς θυσίας καὶ τὰς ἁγιστείας τὰς ἐν τοῖς
ἱεροῖς ἐπιφανέστερον τῶν ἄλλων ἐσπούδασεν, ἡγού-
μενος, εἰ καὶ μηδὲν αὐτῷ διὰ ταῦτα πλέον γίγνοιτο

παρὰ τῶν θεῶν, ἀλλ' οὖν παρά γε τοῖς ἀνθρώποις ἐκ b
29 τούτων μάλιστ' εὐδοκιμήσειν. ὅπερ αὐτῷ καὶ συνέβη·
τοσοῦτον γὰρ εὐδοξίᾳ τοὺς ἄλλους ὑπερέβαλεν, ὥστε
καὶ τοὺς νεωτέρους ἅπαντας ἐπιθυμεῖν αὐτοῦ μαθη-
τὰς εἶναι, καὶ τοὺς πρεσβυτέρους ἥδιον ὁρᾶν τοὺς
παῖδας τοὺς αὑτῶν ἐκείνῳ συγγιγνομένους ἢ τῶν οἰ-
κείων ἐπιμελουμένους. καὶ τούτοις οὐχ οἷόν τ' ἀπι-
στεῖν· ἔτι γὰρ καὶ νῦν τοὺς προσποιουμένους ἐκείνου
μαθητὰς εἶναι μᾶλλον σιγῶντας θαυμάζουσιν ἢ τοὺς
ἐπὶ τῷ λέγειν μεγίστην δόξαν ἔχοντας. c
30 (ιβ'.) Ἴσως ἂν οὖν τοῖς εἰρημένοις ἀπαντήσειας,
ὅτι τὴν μὲν χώραν καὶ τοὺς νόμους καὶ τὴν εὐσέβειαν,
ἔτι δὲ τὴν φιλοσοφίαν ἐπαινῶ τὴν Αἰγυπτίων, ὡς δὲ
τούτων αἴτιος ἦν, ὃν ὑπεθέμην, οὐδεμίαν ἔχω λέγειν
ἀπόδειξιν. (ιγ'.) Ἐγὼ δ' εἰ μὲν ἄλλος τίς μοι τὸν τρό-
πον τοῦτον ἐπέπληττεν, ἡγούμην ἂν αὐτὸν πεπαιδευ-
μένως ἐπιτιμᾶν· σοὶ δ' οὐ προσήκει ταύτην ποιεῖσθαι
31 τὴν ἐπίληψιν. βουληθεὶς γὰρ Βούσιριν εὐλογεῖν προ-
είλου λέγειν, ὡς τόν τε Νεῖλον περὶ τὴν χώραν περι- d
έρρηξε καὶ τῶν ξένων τοὺς ἀφικνουμένους θύων κατ-
ήσθιεν· ὡς δὲ ταῦτ' ἐποίησεν οὐδεμίαν πίστιν εἴρη-
κας. καίτοι πῶς οὐ καταγέλαστόν ἐστι ταῦτα παρὰ τῶν
ἄλλων ἀπαιτεῖν, οἷς αὐτὸς μηδὲ κατὰ μικρὸν τυγχά-
32 νεις κεχρημένος; ἀλλὰ τοσούτῳ πλέον ἡμῶν ἀπέχεις
τοῦ πιστὰ λέγειν, ὅσον ἐγὼ μὲν οὐδενὸς αὐτὸν αἰτιῶ-
μαι τῶν ἀδυνάτων ἀλλὰ νόμων καὶ πολιτείας, αἵπερ
εἰσὶ πράξεις τῶν ἀνδρῶν τῶν καλῶν κἀγαθῶν· σὺ δὲ e
τοιούτων δημιουργὸν ἀποφαίνεις, ὧν οὐδέτερον οὐ-
δεὶς ἂν ἀνθρώπων ποιήσειεν, ἀλλὰ τὸ μὲν τῆς τῶν
θηρίων ὠμότητος, τὸ δὲ τῆς τῶν θεῶν δυνάμεως ἔρ-
33 γον ἐστίν. ἔπειτ' εἰ καὶ τυγχάνομεν ἀμφότεροι ψευδῆ
λέγοντες, ἀλλ' οὖν ἐγὼ μὲν κέχρημαι τούτοις τοῖς 228

λόγοις, οἷσπερ χρὴ τοὺς ἐπαινοῦντας, σὺ δ' οἷς προσ-
ήκει τοὺς λοιδοροῦντας· ὥστ' οὐ μόνον τῆς ἀληθείας
αὐτῶν ἀλλὰ καὶ τῆς ἰδέας ὅλης, δι' ἧς εὐλογεῖν δεῖ,
φαίνει διημαρτηκώς.

34 (ιδ'.) Χωρὶς δὲ τούτων εἰ δεῖ τῶν σῶν ἀπαλλα-
γέντα τὸν ἐμὸν λόγον ἐξετάζειν, οὐδεὶς ἂν αὐτῷ δι-
καίως ἐπιπλήξειεν. εἰ μὲν γὰρ ἄλλος τις ἦν φανερὸς
ὁ ταῦτα πράξας, ἁγώ φημι γεγενῆσθαι δι' ἐκεῖνον,
ὁμολογῶ λίαν εἶναι τολμηρὸς, εἰ περὶ ὧν ἅπαντες b
35 ἐπίστανται, περὶ τούτων μεταπείθειν ἐπιχειρῶ. νῦν
δ' ἐν κοινῷ τῶν πραγμάτων ὄντων καὶ δοξάσαι δέον
περὶ αὐτῶν, τίν' ἂν τις τῶν ἐκεῖ καθεστώτων ἐκ τῶν
εἰκότων σκοπούμενος αἰτιώτερον εἶναι νομίσειεν ἢ
τὸν ἐκ Ποσειδῶνος μὲν γεγονότα, πρὸς δὲ μητρὸς ἀπὸ
Διὸς ὄντα, μεγίστην δὲ δύναμιν τῶν καθ' αὑτὸν κτη-
σάμενον καὶ παρὰ τοῖς ἄλλοις ὀνομαστότατον γεγενη-
μένον; οὐ γὰρ δή που τοὺς ἁπάντων τούτων ἀπολε- c
λειμμένους προσήκει μᾶλλον ἢ 'κεῖνον τηλικούτων
ἀγαθῶν εὑρετὰς γενέσθαι.

36 (ιε'.) Καὶ μὲν δὴ καὶ τοῖς χρόνοις ῥᾳδίως ἄν τις
τοὺς λόγους τοὺς τῶν λοιδορούντων ἐκεῖνον ψευδεῖς
ὄντας ἐπιδείξειεν. οἱ γὰρ αὐτοὶ τῆς τε Βουσίριδος ξε-
νοφονίας κατηγοροῦσι καί φασιν αὐτὸν ὑφ' Ἡρακλέ-
37 ους ἀποθανεῖν· ὁμολογεῖται δὲ παρὰ πάντων τῶν λο-
γοποιῶν Περσέως τοῦ Διὸς καὶ Δανάης Ἡρακλέα μὲν
εἶναι τέτταρσι γενεαῖς νεώτερον, Βούσιριν δὲ πλέον
ἢ διακοσίοις ἔτεσι πρεσβύτερον. καίτοι τὸν βουλόμε- d
νον ἀπολύσασθαι τὴν ὑπὲρ ἐκείνου διαβολὴν πῶς οὐκ
ἄτοπόν ἐστι ταύτην τὴν πίστιν παραλιπεῖν, τὴν οὕτως
38 ἐναργῆ καὶ τηλικαύτην δύναμιν ἔχουσαν; (ις'.) Ἀλλὰ
γὰρ οὐδέν σοι τῆς ἀληθείας ἐμέλησεν, ἀλλὰ ταῖς τῶν
ποιητῶν βλασφημίαις ἐπηκολούθησας, οἳ δεινότερα

μὲν πεποιηκότας καὶ πεπονθότας ἀποφαίνουσι τοὺς
ἐκ τῶν ἀθανάτων γεγονότας ἢ τοὺς ἐκ τῶν ἀνθρώπων
τῶν ἀνοσιωτάτων, τοιούτους δὲ λόγους περὶ αὐτῶν e
τῶν θεῶν εἰρήκασιν, οἵους οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν
εἰπεῖν τολμήσειεν· οὐ γὰρ μόνον κλοπὰς καὶ μοιχείας
καὶ παρ' ἀνθρώποις θητείας αὐτοῖς ὠνείδισαν ἀλλὰ
καὶ παίδων βρώσεις καὶ πατέρων ἐκτομὰς καὶ μητέρων 22
δεσμοὺς καὶ πολλὰς ἄλλας ἀνομίας κατ' αὐτῶν ἐλο-
39 γοποίησαν. ὑπὲρ ὧν τὴν μὲν ἀξίαν δίκην οὐκ ἔδοσαν,
οὐ μὴν ἀτιμώρητοί γε διέφυγον, ἀλλ' οἱ μὲν αὐτῶν
ἀλῆται καὶ τῶν καθ' ἡμέραν ἐνδεεῖς κατέστησαν, οἱ δ'
ἐτυφλώθησαν, ἄλλος δὲ φεύγων τὴν πατρίδα καὶ τοῖς
οἰκειοτάτοις πολεμῶν ἅπαντα τὸν χρόνον διετέλεσεν,
Ὀρφεὺς δ' ὁ μάλιστα τούτων τῶν λόγων ἁψάμενος,
40 διασπασθεὶς τὸν βίον ἐτελεύτησεν· ὥστ' ἢν σωφρο- b
νῶμεν, οὐ μιμησόμεθα τοὺς λόγους τοὺς ἐκείνων, οὐδὲ
περὶ μὲν τῆς πρὸς ἀλλήλους κακηγορίας νομοθετήσο-
μεν, τῆς δ' εἰς τοὺς θεοὺς παρρησίας ὀλιγωρήσο-
μεν, ἀλλὰ φυλαξόμεθα καὶ νομιοῦμεν ὁμοίως ἀσεβεῖν
τούς τε λέγοντας τὰ τοιαῦτα καὶ τοὺς πιστεύοντας
αὐτοῖς.

41 (ιζ'.) Ἐγὼ μὲν οὖν οὐχ ὅπως τοὺς θεούς, ἀλλ'
οὐδὲ τοὺς ἐξ ἐκείνων γεγονότας οὐδεμιᾶς ἡγοῦμαι κα-
κίας μετασχεῖν, ἀλλ' αὐτούς τε πάσας ἔχοντας τὰς c
ἀρετὰς φῦναι καὶ τοῖς ἄλλοις τῶν καλλίστων ἐπιτη-
δευμάτων ἡγεμόνας καὶ διδασκάλους γενέσθαι. καὶ
γὰρ ἄλογον, εἰ τῆς μὲν ἡμετέρας εὐπαιδίας εἰς τοὺς
θεοὺς τὴν αἰτίαν ἀναφέρομεν, τῆς δὲ σφετέρας αὐ-
42 τῶν μηδὲν αὐτοὺς φροντίζειν νομίζοιμεν. ἀλλ' εἰ μὲν
ἡμῶν τις τῆς τῶν ἀνθρώπων φύσεως κατασταίη κύ-
ριος, οὐδ' ἂν τοὺς οἰκέτας ἐάσειεν εἶναι πονηρούς·
ἐκείνων δὲ καταγιγνώσκομεν, ὡς καὶ τοὺς ἐξ αὐτῶν d

*γεγονότας περιεῖδον οὕτως ἀσεβεῖς καὶ παρανόμους
ὄντας. καὶ σὺ μὲν οἴει καὶ τοὺς μηδὲν προσήκοντας,
ἥν σοι πλησιάσωσι, βελτίους ποιήσειν, τοὺς δὲ θεοὺς
οὐδεμίαν ἡγεῖ τῆς τῶν παίδων ἀρετῆς ἔχειν ἐπιμέ-
43 λειαν. καίτοι κατὰ τὸν σὸν λόγον δυοῖν τοῖν αἰσχί-
στοιν οὐ διαμαρτάνουσιν· εἰ μὲν γὰρ μηδὲν δέονται
χρηστοὺς αὐτοὺς εἶναι, χείρους εἰσὶ τῶν ἀνθρώ-
πων τὴν διάνοιαν, εἰ δὲ βούλονται μέν, ἀποροῦσι δ'* e
*ὅπως ποιήσωσιν, ἐλάττω τῶν σοφιστῶν τὴν δύναμιν
ἔχουσιν.*

44 *(ιη'.) Πολλῶν δ' ἐνόντων εἰπεῖν, ἐξ ὧν ἄν τις καὶ
τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν μηκύνειεν, οὐχ ἡγοῦ-
μαι δεῖν μακρολογεῖν· οὐ γὰρ ἐπίδειξιν τοῖς ἄλλοις
ποιούμενος ἀλλ' ὑποδεῖξαί σοι βουλόμενος, ὡς χρὴ* 230
*τούτων ἑκάτερον ποιεῖν, διείλεγμαι περὶ αὐτῶν, ἐπεὶ
τόν γε λόγον, ὃν σὺ γέγραφας, οὐκ ἀπολογίαν ὑπὲρ
Βουσίριδος ἀλλ' ὁμολογίαν τῶν ἐπικαλουμένων δι-
45 καίως ἄν τις εἶναι νομίσειεν. οὐ γὰρ ἀπολύεις αὐτὸν
τῶν αἰτιῶν ἀλλ' ἀποφαίνεις, ὡς καὶ τῶν ἄλλων τινὲς
ταὐτὰ πεποιήκασι, ῥαθυμοτάτην τοῖς ἁμαρτάνουσιν
εὑρίσκων καταφυγήν. εἰ γὰρ τῶν μὲν ἀδικημάτων μὴ
ῥᾴδιον εὑρεῖν, ὃ μήπω τυγχάνει γεγενημένον, τοὺς δ'* b
*ἐφ' ἑκάστοις αὐτῶν ἁλισκομένους μηδὲν ἡγοίμεθα
δεινὸν ποιεῖν, ὅταν ἕτεροι ταὐτὰ φαίνωνται διαπε-
πραγμένοι, πῶς οὐκ ἂν καὶ τὰς ἀπολογίας ἅπασι ῥᾳ-
δίας ποιήσαιμεν, καὶ τοῖς βουλομένοις εἶναι πονηροῖς
46 πολλὴν ἐξουσίαν παρασκευάσαιμεν; (ιθ'.) Μάλιστα
δ' ἂν κατίδοις τὴν εὐήθειαν τῶν εἰρημένων ἐπὶ σαυ-
τοῦ θεωρήσας. ἐνθυμήθητι γάρ· εἰ μεγάλων καὶ δει-
νῶν αἰτιῶν περὶ σὲ γεγονυιῶν τοῦτόν τις τὸν τρόπον* c
*σοι συνείποι, πῶς ἂν διατεθείης; ἐγὼ μὲν γὰρ οἶδ'
ὅτι μᾶλλον ἂν αὐτὸν μισήσειας ἢ τοὺς κατηγοροῦντας.*

καίτοι πῶς οὐκ αἰσχρὸν τοιαύτας ὑπὲρ τῶν ἄλλων
ποιεῖσθαι τὰς ἀπολογίας, ἐφ' αἷς ὑπὲρ σαυτοῦ λεγο-
47 μέναις μάλιστ' ἂν ὀργισθείης; (κ'.) Σκέψαι δὲ κἀκεῖνο
καὶ δίελθε πρὸς αὑτόν. εἴ τις τῶν σοι συνόντων ἐπαρ-
θείη ποιεῖν, ἃ σὺ τυγχάνεις εὐλογῶν, πῶς οὐκ ἂν
ἀθλιώτατος εἴη καὶ τῶν νῦν ὄντων καὶ τῶν πώποτε d
γεγενημένων; ἆρ' οὖν χρὴ τοιούτους λόγους γράφειν,
οἷς τοῦτο προσέσται μέγιστον ἀγαθὸν, ἢν μηδένα πεῖ-
σαι τῶν ἀκουσάντων δυνηθῶσιν;

48 (κα'.) Ἀλλὰ γὰρ ἴσως ἂν εἴποις, ὡς οὐδὲ σὲ τοῦτο
παρέλαθεν, ἀλλ' ἠβουλήθης τοῖς φιλοσόφοις παρά-
δειγμα καταλιπεῖν, ὡς χρὴ περὶ τῶν αἰσχρῶν αἰτιῶν
καὶ δυσχερῶν πραγμάτων ποιεῖσθαι τὰς ἀπολογίας.
ἀλλ' εἰ καὶ πρότερον ἠγνόεις, οἶμαί σοι νῦν γεγενῆ- e
σθαι φανερὸν, ὅτι πολὺ θᾶττον ἄν τις σωθείη μηδὲν
φθεγξάμενος ἢ τοῦτον τὸν τρόπον ἀπολογησάμενος.
49 καὶ μὲν δὴ καὶ τοῦτο δῆλον, ὅτι τῆς φιλοσοφίας ἐπι-
κήρως διακειμένης καὶ φθονουμένης διὰ τοὺς τοιού-
τους τῶν λόγων ἔτι μᾶλλον αὐτὴν μισήσουσιν.

(κβ'.) Ἢν οὖν ἐμοὶ πείθῃ, μάλιστα μὲν οὐ ποιή- 231
σει τοῦ λοιποῦ πονηρὰς ὑποθέσεις, εἰ δὲ μὴ, τοιαῦτα
ζητήσεις λέγειν, ἐξ ὧν μήτ' αὐτὸς χείρων εἶναι δόξεις
μήτε τοὺς μιμουμένους λυμανεῖ μήτε τὴν περὶ τοὺς
50 λόγους παίδευσιν διαβαλεῖς. (κγ'.) Καὶ μὴ θαυμάσῃς,
εἰ νεώτερος ὢν καὶ μηδέν σοι προσήκων οὕτω προχεί-
ρως ἐπιχειρῶ σε νουθετεῖν· ἡγοῦμαι γὰρ οὐ τῶν πρε-
σβυτάτων οὐδὲ τῶν οἰκειοτάτων ἀλλὰ τῶν πλεῖστ' εἰ-
δότων καὶ βουλομένων ὠφελεῖν ἔργον εἶναι περὶ τῶν
τοιούτων συμβουλεύειν.

12.
ΠΑΝΑΘΗΝΑΪΚΟΣ.

(α΄.) Νεώτερος μὲν ὢν προῃρούμην γράφειν τῶν 232
λόγων οὐ τοὺς μυθώδεις οὐδὲ τοὺς τερατείας καὶ ψευ-
δολογίας μεστοὺς, οἷς οἱ πολλοὶ μᾶλλον χαίρουσιν ἢ
τοῖς περὶ τῆς αὑτῶν σωτηρίας λεγομένοις, οὐδὲ τοὺς
τὰς παλαιὰς πράξεις καὶ τοὺς πολέμους τοὺς Ἑλληνι-
κοὺς ἐξηγουμένους, καίπερ εἰδὼς δικαίως αὐτοὺς ἐπ-
αινουμένους, οὐδ᾽ αὖ τοὺς ἁπλῶς εἰρῆσθαι δοκοῦν- 233
τας καὶ μηδεμιᾶς κομψότητος μετέχοντας, οὓς οἱ δεινοὶ
περὶ τοὺς ἀγῶνας παραινοῦσι τοῖς νεωτέροις μελετᾶν,
2 εἴπερ βούλονται πλέον ἔχειν τῶν ἀντιδίκων, ἀλλὰ
πάντας τούτους ἐάσας περὶ ἐκείνους ἐπραγματευόμην
τοὺς περὶ τῶν συμφερόντων τῇ τε πόλει καὶ τοῖς ἄλ-
λοις Ἕλλησι συμβουλεύοντας, καὶ πολλῶν μὲν ἐνθυ-
μημάτων γέμοντας, οὐκ ὀλίγων δ᾽ ἀντιθέσεων καὶ b
παρισώσεων καὶ τῶν ἄλλων ἰδεῶν τῶν ἐν ταῖς ῥητο-
ρείαις διαλαμπουσῶν καὶ τοὺς ἀκούοντας ἐπισημαί-
νεσθαι καὶ θορυβεῖν ἀναγκαζουσῶν· νῦν δ᾽ οὐδ᾽
3 ὁπωσοῦν τοὺς τοιούτους. ἡγοῦμαι γὰρ οὐχ ἁρμόττειν
οὔτε τοῖς ἔτεσι τοῖς ἐνενήκοντα καὶ τέτταρσιν, ἁγὼ
τυγχάνω γεγονὼς, οὔθ᾽ ὅλως τοῖς ἤδη πολιὰς ἔχου-
σιν ἐκεῖνον τὸν τρόπον ἔτι λέγειν, ἀλλ᾽ ὡς ἅπαντες
μὲν ἂν ἐλπίσειαν, εἰ βουληθεῖεν, οὐδεὶς δ᾽ ἂν δυνη- c
θείη ῥᾳδίως πλὴν τῶν πονεῖν ἐθελόντων καὶ σφόδρα
4 προσεχόντων τὸν νοῦν. τούτου δ᾽ ἕνεκα ταῦτα προ-
εῖπον, ἵν᾽ ἤν τισιν ὁ μέλλων δειχθήσεσθαι λόγος μα-
λακώτερος ὢν φαίνηται τῶν πρότερον διαδεδομένων,
μὴ παραβάλλωσι πρὸς τὴν ἐκείνων ποικιλίαν, ἀλλὰ

πρὸς τὴν ὑπόθεσιν αὐτὸν κρίνωσι τὴν ἐν τῷ παρόντι
δεδοκιμασμένην.

5 (β΄.) Διαλέξομαι δὲ περί τε τῶν τῇ πόλει πεπραγ-
μένων καὶ περὶ τῆς τῶν προγόνων ἀρετῆς, οὐκ ἀπὸ d
τούτων ἀρξάμενος ἀλλ' ἀπὸ τῶν ἐμοὶ συμβεβηκότων·
ἐντεῦθεν γὰρ οἶμαι μᾶλλον κατεπείγειν. (γ΄.) Πει-
ρώμενος γὰρ ἀναμαρτήτως ζῆν καὶ τοῖς ἄλλοις ἀλύ-
πως, οὐδένα διαλέλοιπα χρόνον ὑπὸ μὲν τῶν σοφιστῶν
τῶν ἀδοκίμων καὶ πονηρῶν διαβαλλόμενος, ὑπ' ἄλ-
λων δέ τινων οὐχ οἷός εἰμι γιγνωσκόμενος ἀλλὰ τοι-
οῦτος ὑπολαμβανόμενος, οἷον ἂν παρ' ἑτέρων ἀκού-
6 σωσιν. βούλομαι οὖν προδιαλεχθῆναι περί τ' ἐμαυ- e
τοῦ καὶ περὶ τῶν οὕτω πρός με διακειμένων, ἵν' ἤν
πως οἷός τε γένωμαι, τοὺς μὲν παύσω βλασφημοῦν-
τας, τοὺς δ' εἰδέναι ποιήσω, περὶ ἃ τυγχάνω διατρί-
βων· ἢν γὰρ ταῦτα τῷ λόγῳ δυνηθῶ διοικῆσαι κατὰ
τρόπον, ἐλπίζω τὸν ἐπίλοιπον χρόνον αὐτός τ' ἀλύ- 234
πως διάξειν, καὶ τῷ λόγῳ τῷ μέλλοντι ῥηθήσεσθαι
τοὺς παρόντας μᾶλλον προσέξειν τὸν νοῦν.

7 (δ΄.) Οὐκ ὀκνήσω δὲ κατειπεῖν οὔτε τὴν νῦν ἐγ-
γιγνομένην ἐν τῇ διανοίᾳ μοι ταραχὴν οὔτε τὴν ἀτο-
πίαν ὧν ἐν τῷ παρόντι τυγχάνω γιγνώσκων, οὔτ' εἴ
τι πράττω τῶν δεόντων. ἐγὼ γὰρ μετεσχηκὼς τῶν με-
γίστων ἀγαθῶν, ὧν ἅπαντες ἂν εὔξαιντο μεταλαβεῖν,
πρῶτον μὲν τῆς περὶ τὸ σῶμα καὶ τὴν ψυχὴν ὑγιείας, b
οὐχ ὡς ἔτυχον ἀλλ' ἐναμίλλως τοῖς μάλιστα περὶ ἑκά-
τερον τούτων εὐτυχηκόσιν, ἔπειτα τῆς περὶ τὸν βίον
εὐπορίας ὥστε μηδενὸς πώποτ' ἀπορῆσαι τῶν μετρίων,
8 μηδ' ὧν ἄνθρωπος ἂν νοῦν ἔχων ἐπιθυμήσειεν, ἔτι
τοῦ μὴ τῶν καταβεβλημένων εἷς εἶναι, μηδὲ τῶν
κατημελημένων ἀλλ' ἐκείνων, περὶ ὧν οἱ χαριέστατοι
τῶν Ἑλλήνων καὶ μνησθεῖεν ἂν καὶ διαλεχθεῖεν ὡς c

σπουδαίων ὄντων, τούτων ἁπάντων μοι συμβεβηκό-
των, τῶν μὲν ὑπερβαλλόντως, τῶν δ' ἐξαρκούντως,
οὐκ ἀγαπῶ ζῶν ἐπὶ τούτοις, ἀλλ' οὕτω τὸ γῆράς ἐστι
δυσάρεστον καὶ μικρολόγον καὶ μεμψίμοιρον, ὥστε
πολλάκις ἤδη τήν τε φύσιν τὴν ἐμαυτοῦ κατεμεμψά-
9 μην, ὡς οὐδεὶς ἄλλος καταπεφρόνηκε, καὶ τὴν τύχην
ὠδυράμην, ταύτῃ μὲν οὐδὲν ἔχων ἐπικαλεῖν ἄλλο,
πλὴν ὅτι περὶ τὴν φιλοσοφίαν, ἣν προειλόμην, ἀτυ- d
χίαι τινὲς καὶ συκοφαντίαι γεγόνασι, τὴν δὲ φύσιν εἰ-
δὼς πρὸς μὲν τὰς πράξεις ἀρρωστοτέραν καὶ μαλακω-
τέραν οὖσαν τοῦ δέοντος, πρὸς δὲ τοὺς λόγους οὔτε
τελείαν οὔτε πανταχῇ χρησίμην, ἀλλὰ δοξάσαι μὲν
περὶ ἑκάστου τὴν ἀλήθειαν μᾶλλον δυναμένην τῶν εἰ-
δέναι φασκόντων, εἰπεῖν δὲ περὶ τῶν αὐτῶν τούτων
ἐν συλλόγῳ πολλῶν ἀνθρώπων ἁπασῶν ὡς ἔπος εἰ-
πεῖν ἀπολελειμμένην.

10 Οὕτω γὰρ ἐνδεὴς ἀμφοτέρων ἐγενόμην τῶν με- e
γίστην δύναμιν ἐχόντων παρ' ἡμῖν, φωνῆς θ' ἱκανῆς
καὶ τόλμης, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν πολιτῶν· ὧν οἱ
μὴ τυχόντες ἀτιμότεροι περιέρχονται πρὸς τὸ δοκεῖν
ἄξιοί τινος εἶναι τῶν ὀφειλόντων τῷ δημοσίῳ· τοῖς 235
μὲν γὰρ ἐκτίσειν τὸ καταγνωσθὲν ἐλπίδες ὕπεισιν, οἱ
11 δ' οὐδέποτ' ἂν τὴν φύσιν μεταβάλοιεν. (ε'.) Οὐ μὴν
ἐπὶ τούτοις ἀθυμήσας περιεῖδον ἐμαυτὸν ἄδοξον οὐδ'
ἀφανῆ παντάπασι γενόμενον, ἀλλ' ἐπειδὴ τοῦ πολι-
τεύεσθαι διήμαρτον, ἐπὶ τὸ φιλοσοφεῖν καὶ πονεῖν
καὶ γράφειν, ἃ διανοηθείην, κατέφυγον, οὐ περὶ μι-
κρῶν τὴν προαίρεσιν ποιούμενος οὐδὲ περὶ τῶν ἰδίων
συμβολαίων οὐδὲ περὶ ὧν ἄλλοι τινὲς ληροῦσιν, ἀλλὰ
περὶ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν καὶ πολιτικῶν b
πραγμάτων, δι' ἃ προσήκειν ᾤμην μοι τοσούτῳ μᾶλ-
λον τιμᾶσθαι τῶν ἐπὶ τὸ βῆμα παριόντων, ὅσῳ περ

περὶ μειζόνων καὶ καλλιόνων ἢ 'κεῖνοι τοὺς λόγους
12 ἐποιούμην. ὧν οὐδὲν ἡμῖν ἀποβέβηκεν. καίτοι πάν-
τες ἴσασι τῶν μὲν ῥητόρων τοὺς πολλοὺς οὐχ ὑπὲρ
τῶν τῇ πόλει συμφερόντων, ἀλλ' ὑπὲρ ὧν αὐτοὶ λή-
ψεσθαι προσδοκῶσι, δημηγορεῖν τολμῶντας, ἐμὲ δὲ
καὶ τοὺς ἐμοὺς οὐ μόνον τῶν κοινῶν ἀπεχομένους c
μᾶλλον τῶν ἄλλων ἀλλὰ καὶ τῶν ἰδίων εἰς τὰς τῆς πό-
λεως χρείας ὑπὲρ τὴν δύναμιν τὴν ἡμετέραν αὐτῶν
13 δαπανωμένους, ἔτι δὲ τοὺς μὲν ἢ λοιδορουμένους ἐν
ταῖς ἐκκλησίαις περὶ μεσεγγυήματος σφίσιν αὐτοῖς ἢ
λυμαινομένους τοὺς συμμάχους ἢ τῶν ἄλλων, ὃν ἂν
τύχωσι, συκοφαντοῦντας, ἐμὲ δὲ τῶν λόγων ἡγεμόνα
τούτων γεγενημένον τῶν παρακαλούντων τοὺς Ἕλλη-
νας ἐπί τε τὴν ὁμόνοιαν τὴν πρὸς ἀλλήλους καὶ τὴν d
14 στρατείαν τὴν ἐπὶ τοὺς βαρβάρους, καὶ τῶν συμβου-
λευόντων ἀποικίαν ἐκπέμπειν κοινῇ πάντας ἡμᾶς ἐπὶ
τοσαύτην χώραν καὶ τοιαύτην, περὶ ἧς, ὅσοι περ ἀκη-
κόασιν, ὁμολογοῦσιν ἡμᾶς τ' εἰ σωφρονήσαιμεν καὶ
παυσαίμεθα τῆς πρὸς ἀλλήλους μανίας, ταχέως ἂν
ἄνευ πόνων καὶ κινδύνων κατασχεῖν αὐτὴν, ἐκείνην
τε ῥᾳδίως ἂν ἅπαντας δέξασθαι τοὺς ἐνδεεῖς ἡμῶν ὄν-
τας τῶν ἐπιτηδείων· ὧν πράξεις, εἰ πάντες συνελ- e
θόντες ζητοῖεν, οὐδέποτ' ἂν εὕροιεν καλλίους οὐδὲ
μείζους οὐδὲ μᾶλλον ἅπασιν ἡμῖν συμφερούσας.

15 (ς'.) Ἀλλ' ὅμως οὕτω πολὺ τῇ διανοίᾳ διεστώτων
ἡμῶν καὶ τοσούτῳ σπουδαιοτέραν ἐμοῦ πεποιημένου 23
τὴν αἵρεσιν οὐ δικαίως οἱ πολλοὶ περὶ ἡμῶν ὑπειλή-
φασιν ἀλλὰ ταραχωδῶς καὶ παντάπασιν ἀλογίστως.
τῶν μὲν γὰρ ῥητόρων τὸν τρόπον ψέγοντες προστά-
τας αὐτοὺς τῆς πόλεως ποιοῦνται καὶ κυρίους ἁπάν-
των καθιστᾶσιν, ἐμοῦ δὲ τοὺς λόγους ἐπαινοῦντες αὐ-
τῷ μοι φθονοῦσι δι' οὐδὲν ἕτερον ἢ διὰ τούτους, οὓς

ἀποδεχόμενοι τυγχάνουσιν· οὕτως ἀτυχῶς φέρομαι
παρ' αὐτοῖς.
16 (ζ'.) Καὶ τί δεῖ θαυμάζειν τῶν πρὸς ἁπάσας τὰς b
ὑπεροχὰς οὕτω διακεῖσθαι πεφυκότων, ὅπου καὶ τῶν
οἰομένων διαφέρειν καὶ ζηλούντων ἐμὲ καὶ μιμεῖσθαι
γλιχομένων τινὲς ἔτι δυσμενέστερον ἔχουσί μοι τῶν
ἰδιωτῶν· ὧν τίνας ἄν τις εὕροι πονηροτέρους, εἰρή-
σεται γάρ, εἰ καί τισι δόξω νεώτερα καὶ βαρύτερα λέ-
γειν τῆς ἡλικίας, οἵτινες οὔτε φράζειν οὐδὲν μέρος
ἔχοντες τοῖς μαθηταῖς τῶν εἰρημένων ὑπ' ἐμοῦ, τοῖς
τε λόγοις παραδείγμασι χρώμενοι τοῖς ἐμοῖς καὶ ζῶν- c
τες ἐντεῦθεν τοσούτου δέουσι χάριν ἔχειν τούτων,
ὥστ' οὐδ' ἀμελεῖν ἡμῶν ἐθέλουσιν ἀλλ' ἀεί τι φλαῦ-
17 ρον περὶ ἐμοῦ λέγουσιν. (η'.) Ἕως μὲν οὖν τοὺς λό-
γους ἡμῶν ἐλυμαίνοντο, παραναγιγνώσκοντες ὡς δυ-
νατὸν κάκιστα τοῖς αὑτῶν καὶ διαιροῦντες οὐκ ὀρθῶς
καὶ κατακνίζοντες καὶ πάντα τρόπον διαφθείροντες,
οὐδὲν ἐφρόντιζον τῶν ἀπαγγελλομένων ἀλλὰ ῥαθύ-
μως εἶχον· μικρὸν δὲ πρὸ τῶν Παναθηναίων τῶν με-
18 γάλων ἠχθέσθην δι' αὐτούς. ἀπαντήσαντες γάρ τινές d
μοι τῶν ἐπιτηδείων ἔλεγον, ὡς ἐν τῷ Λυκείῳ συγ-
καθεζόμενοι τρεῖς ἢ τέτταρες τῶν ἀγελαίων σοφιστῶν,
τῶν καὶ πάντα φασκόντων εἰδέναι καὶ ταχέως πανταχοῦ γιγνομένων, διαλέγοιντο περί τε τῶν ἄλλων ποιη-
τῶν καὶ τῆς Ἡσιόδου καὶ τῆς Ὁμήρου ποιήσεως, οὐδὲν
μὲν παρ' αὑτῶν λέγοντες, τὰ δ' ἐκείνων ῥαψῳδοῦντες
καὶ τῶν πρότερον ἄλλοις τισὶν εἰρημένων τὰ χαριέ- e
19 στατα μνημονεύοντες· ἀποδεξαμένων δὲ τῶν περιε-
στώτων τὴν διατριβὴν αὐτῶν ἕνα τὸν τολμηρότατον
ἐπιχειρῆσαί με διαβάλλειν, λέγονθ' ὡς ἐγὼ πάντων
καταφρονῶ τῶν τοιούτων, καὶ τάς τε φιλοσοφίας τας 237
τῶν ἄλλων καὶ τὰς παιδείας ἁπάσας ἀναιρῶ, καὶ φημὶ

πάντας ληρεῖν πλὴν τοὺς μετεσχηκότας τῆς ἐμῆς δια-
τριβῆς· τούτων δὲ ῥηθέντων ἀηδῶς τινας τῶν παρόν-
20 των διατεθῆναι πρὸς ἡμᾶς. ὡς μὲν οὖν ἐλυπήθην καὶ
συνεταράχθην ἀκούσας ἀποδέξασθαί τινας τοὺς λό-
γους τούτους, οὐκ ἂν δυναίμην εἰπεῖν· ᾤμην γὰρ
οὕτως ἐπιφανὴς εἶναι τοῖς ἀλαζονευομένοις πολεμῶν
καὶ περὶ ἐμαυτοῦ μετρίως διειλεγμένος, μᾶλλον δὲ b
ταπεινῶς, ὥστε μηδέν' ἄν ποτε γενέσθαι πιστὸν τῶν
λεγόντων, ὡς ἐγὼ τοιαύταις ἀλαζονείαις ἐχρησάμην.
21 ἀλλὰ γὰρ οὐκ ἀλόγως ὠδυράμην ἐν ἀρχῇ τὴν ἀτυχίαν
τὴν παρακολουθοῦσάν μοι πάντα τὸν χρόνον ἐν τοῖς
τοιούτοις· αὕτη γάρ ἐστιν αἰτία καὶ τῆς ψευδολογίας
τῆς περί με γιγνομένης καὶ τῶν διαβολῶν καὶ τοῦ
φθόνου καὶ τοῦ μὴ δύνασθαί με τυχεῖν τῆς δόξης, ἧς
ἄξιός εἰμι, μηδὲ τῆς ὁμολογουμένης, μηδ' ἣν ἔχουσί c
τινες τῶν πεπλησιακότων μοι καὶ πανταχῇ τεθεωρηκό-
22 των ἡμᾶς. ταῦτα μὲν οὖν οὐχ οἷόν τ' ἄλλως ἔχειν, ἀλλ'
ἀνάγκη στέργειν τοῖς ἤδη συμβεβηκόσιν. (θ'.) Πολλῶν
δέ μοι λόγων ἐφεστώτων ἀπορῶ, πότερον ἀντικατη-
γορῶ τῶν εἰθισμένων ἀεί τι ψεύδεσθαι περί μου καὶ
λέγειν ἀνεπιτήδειον· ἀλλ' εἰ φανείην σπουδάζων καὶ
πολλοὺς λόγους ποιούμενος περὶ ἀνθρώπων, οὓς οὐ- d
δεὶς ὑπείληφεν ἀξίους εἶναι λόγου, δικαίως ἂν μωρὸς
23 εἶναι δοκοίην. ἀλλὰ τούτους ὑπεριδὼν ἀπολογῶμαι
πρὸς τοὺς ἀδίκως μοι τῶν ἰδιωτῶν φθονοῦντας, καὶ
πειρῶμαι διδάσκειν αὐτούς, ὡς οὐ δικαίως οὐδὲ προσ-
ηκόντως περί μου ταύτην ἔχουσι τὴν γνώμην· καὶ τίς
οὐκ ἂν καταγνοίη μου πολλὴν ἄνοιαν, εἰ τοὺς μηδὲν
δι' ἕτερον δυσκόλως πρός με διακειμένους ἢ διὰ τὸ
δοκεῖν χαριέντως εἰρηκέναι περί τινων, τούτους οἰη-
θείην ὁμοίως διαλεχθεὶς ὥσπερ πρότερον παύσειν ἐπὶ e
τοῖς λεγομένοις λυπουμένους ἀλλ' οὐ μᾶλλον ἀλγήσειν,

ἄλλως τε κἂν φανῶ μηδὲ νῦν πω τηλικοῦτος ὢν πε-
24 παυμένος παραληρῶν. ἀλλὰ μὴν οὐδ' ἐκεῖνο ποιεῖν
οὐδεὶς ἄν μοι συμβουλεύσειεν, ἀμελήσαντι τούτων 238
καὶ μεταξὺ καταβαλόντι περαίνειν τὸν λόγον, ὃν προ-
ῄρημαι βουλόμενος ἐπιδεῖξαι τὴν πόλιν ἡμῶν πλειό-
νων ἀγαθῶν αἰτίαν γεγενημένην τοῖς Ἕλλησιν ἢ τὴν
Λακεδαιμονίων· εἰ γὰρ τοῦτ' ἤδη ποιοίην, μήτε τέλος
ἐπιθεὶς τοῖς γεγραμμένοις μήτε συγκλείσας τὴν ἀρχὴν
τῶν ῥηθήσεσθαι μελλόντων τῇ τελευτῇ τῶν ἤδη προ-
ειρημένων, ὅμοιος ἂν εἶναι δόξαιμι τοῖς εἰκῇ καὶ φορ-
τικῶς καὶ χύδην, ὅ τι ἂν ἐπέλθῃ, λέγουσιν· ἃ φυλα- b
25 κτέον ἡμῖν ἐστίν. κράτιστον οὖν ἐξ ἁπάντων τούτων,
περὶ ὧν τὸ τελευταῖόν με διέβαλλον, ἀποφηνάμενον,
ἃ δοκεῖ μοι, τότ' ἤδη λέγειν, περὶ ὧν ἐξ ἀρχῆς διε-
νοήθην· οἶμαι γὰρ, ἢν ἐξενέγκω γράψας καὶ ποιήσω
φανερὰν, ἣν ἔχω γνώμην περί τε τῆς παιδείας καὶ τῶν
ποιητῶν, παύσειν αὐτοὺς ψευδεῖς πλάττοντας αἰτίας
καὶ λέγοντας, ὅ τι ἂν τύχωσιν.

26 Τῆς μὲν οὖν παιδείας τῆς ὑπὸ τῶν προγόνων
καταλειφθείσης τοσούτου δέω καταφρονεῖν, ὥστε καὶ
τὴν ἐφ' ἡμῶν κατασταθεῖσαν ἐπαινῶ, λέγω δὲ τήν τε
γεωμετρίαν καὶ τὴν ἀστρολογίαν καὶ τοὺς διαλόγους
τοὺς ἐριστικοὺς καλουμένους, οἷς οἱ μὲν νεώτεροι
μᾶλλον χαίρουσι τοῦ δέοντος, τῶν δὲ πρεσβυτέρων
οὐδεὶς ἔστιν, ὅστις ἂν ἀνεκτοὺς αὐτοὺς εἶναι φήσειεν.
27 (ι'.) Ἀλλ' ὅμως ἐγὼ τοῖς ὡρμημένοις ἐπὶ ταῦτα παρακε-
λεύομαι πονεῖν καὶ προσέχειν τὸν νοῦν ἅπασι τούτοις, c
λέγων, ὡς εἰ καὶ μηδὲν ἄλλο δύναται τὰ μαθήματα
ταῦτα ποιεῖν ἀγαθὸν, ἀλλ' οὖν ἀποτρέπει γε τοὺς
νεωτέρους πολλῶν ἄλλων ἁμαρτημάτων. τοῖς μὲν οὖν
τηλικούτοις οὐδέποτ' ἂν εὑρεθῆναι νομίζω διατριβὰς
28 ὠφελιμωτέρας τούτων οὐδὲ μᾶλλον πρεπούσας· τοῖς

δὲ πρεσβυτέροις καὶ τοῖς εἰς ἄνδρας δεδοκιμασμένοις
οὐκέτι φημὶ τὰς μελέτας ταύτας ἁρμόττειν. ὁρῶ γὰρ
ἐνίους τῶν ἐπὶ τοῖς μαθήμασι τούτοις οὕτως ἀπηκρι- d
βωμένων ὥστε καὶ τοὺς ἄλλους διδάσκειν, οὔτ᾽ εὐκαί-
ρως ταῖς ἐπιστήμαις αἷς ἔχουσι χρωμένους, ἔν τε ταῖς
ἄλλαις πραγματείαις ταῖς περὶ τὸν βίον ἀφρονεστέρους
ὄντας τῶν μαθητῶν· ὀκνῶ γὰρ εἰπεῖν τῶν οἰκετῶν.
29 τὴν αὐτὴν δὲ γνώμην ἔχω καὶ περὶ τῶν δημηγορεῖν
δυναμένων καὶ τῶν περὶ τὴν γραφὴν τὴν τῶν λόγων
εὐδοκιμούντων, ὅλως δὲ περὶ ἁπάντων τῶν περὶ τὰς
τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις διαφερόν-
των. οἶδα γὰρ καὶ τούτων τοὺς πολλοὺς οὔτε τὰ περὶ e
σφᾶς αὐτοὺς καλῶς διῳκηκότας οὔτ᾽ ἐν ταῖς ἰδίαις
συνουσίαις ἀνεκτοὺς ὄντας, τῆς τε δόξης τῆς τῶν συμ-
πολιτευομένων ὀλιγωροῦντας, ἄλλων τε πολλῶν καὶ
μεγάλων ἁμαρτημάτων γέμοντας· ὥστ᾽ οὐδὲ τούτους 239
ἡγοῦμαι μετέχειν τῆς ἕξεως, περὶ ἧς ἐγὼ τυγχάνω δια-
30 λεγόμενος. (ια΄.) Τίνας οὖν καλῶ πεπαιδευμένους,
ἐπειδὴ τὰς τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις
ἀποδοκιμάζω; πρῶτον μὲν τοὺς καλῶς χρωμένους τοῖς
πράγμασι τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην προσπίπτουσι,
καὶ τὴν δόξαν ἐπιτυχῆ τῶν καιρῶν ἔχοντας καὶ δυνα-
μένην ὡς ἐπὶ τὸ πολὺ στοχάζεσθαι τοῦ συμφέροντος·
31 ἔπειτα τοὺς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς b
ἀεὶ πλησιάζουσι, καὶ τὰς μὲν τῶν ἄλλων ἀηδίας καὶ
βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντας, σφᾶς δ᾽ αὐ-
τοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς
συνοῦσι παρέχοντας· ἔτι δὲ τοὺς τῶν μὲν ἡδονῶν ἀεὶ
κρατοῦντας, τῶν δὲ συμφορῶν μὴ λίαν ἡττωμένους,
ἀλλ᾽ ἀνδρωδῶς ἐν αὐταῖς διακειμένους καὶ τῆς φύσεως
32 ἀξίως, ἧς μετέχοντες τυγχάνομεν· τέταρτον, ὅπερ μέ-
γιστον, τοὺς μὴ διαφθειρομένους ὑπὸ τῶν εὐπραγιῶν c

*μηδ' ἐξισταμένους αὑτῶν μηδ' ὑπερηφάνους γιγνο-
μένους ἀλλ' ἐμμένοντας τῇ τάξει τῇ τῶν εὖ φρονούν-
των, καὶ μὴ μᾶλλον χαίροντας τοῖς διὰ τύχην ὑπάρξα-
σιν ἀγαθοῖς ἢ τοῖς διὰ τὴν αὑτῶν φύσιν καὶ φρόνησιν
ἐξ ἀρχῆς γιγνομένοις. τοὺς δὲ μὴ μόνον πρὸς ἓν τού-
των ἀλλὰ καὶ πρὸς ἅπαντα ταῦτα τὴν ἕξιν τῆς ψυχῆς
εὐάρμοστον ἔχοντας, τούτους φημὶ καὶ φρονίμους
εἶναι καὶ τελείους ἄνδρας καὶ πάσας ἔχειν τὰς ἀρετάς.
33 περὶ μὲν οὖν τῶν πεπαιδευμένων τυγχάνω ταῦτα γι- d
γνώσκων. (ιβ'.) Περὶ δὲ τῆς Ὁμήρου καὶ τῆς Ἡσιόδου
καὶ τῆς τῶν ἄλλων ποιήσεως ἐπιθυμῶ μὲν εἰπεῖν, οἶ-
μαι γὰρ ἂν παῦσαι τοὺς ἐν τῷ Λυκείῳ ῥαψῳδοῦντας
τἀκείνων καὶ ληροῦντας περὶ αὐτῶν, αἰσθάνομαι δ'
ἐμαυτὸν ἔξω φερόμενον τῆς συμμετρίας τῆς συντε-
34 ταγμένης τοῖς προοιμίοις. ἔστι δ' ἀνδρὸς νοῦν ἔχοντος
μὴ τὴν εὐπορίαν ἀγαπᾶν, ἣν ἔχῃ τις περὶ τῶν αὐτῶν
πλείω τῶν ἄλλων εἰπεῖν, ἀλλὰ τὴν εὐκαιρίαν διαφυ- e
λάττειν, ὑπὲρ ὧν ἂν ἀεὶ τυγχάνῃ διαλεγόμενος· ὅπερ
ἐμοὶ ποιητέον ἐστίν. περὶ μὲν οὖν τῶν ποιητῶν αὖθις
ἐροῦμεν, ἢν μή με προανέλῃ τὸ γῆρας, ἢ περὶ σπου-
δαιοτέρων πραγμάτων ἔχω τι λέγειν ἢ τούτων. 240
35 (ιγ'.) Περὶ δὲ τῶν τῆς πόλεως εὐεργεσιῶν τῶν
εἰς τοὺς Ἕλληνας ἤδη ποιήσομαι τοὺς λόγους, οὐχ ὡς
οὐ πλείους ἐπαίνους πεποιημένος περὶ αὐτῆς ἢ σύμ-
παντες οἱ περὶ τὴν ποίησιν καὶ τοὺς λόγους ὄντες·
οὐ μὴν ὁμοίως καὶ νῦν. τότε μὲν γὰρ ἐν λόγοις περὶ
ἑτέρων πραγμάτων ἐμεμνήμην αὐτῆς, νῦν δὲ περὶ
36 ταύτης τὴν ὑπόθεσιν ποιησάμενος. οὐκ ἀγνοῶ δ' ἡλί-
κος ὢν ὅσον ἔργον ἐνίσταμαι τὸ μέγεθος, ἀλλ' ἀκρι-
βῶς εἰδὼς καὶ πολλάκις εἰρηκὼς, ὅτι τὰ μὲν μικρὰ b
τῶν πραγμάτων ῥᾴδιον τοῖς λόγοις αὐξῆσαι, τοῖς δ'
ὑπερβάλλουσι τῶν ἔργων καὶ τῷ μεγέθει καὶ τῷ κάλλει*

37 χαλεπὸν ἐξισῶσαι τοὺς ἐπαίνους. ἀλλ' ὅμως οὐδὲν
μᾶλλον ἀποστατέον αὐτῶν ἐστὶν ἀλλ' ἐπιτελεστέον,
ἥν περ ἔτι ζῆν δυνηθῶμεν, ἄλλως τε καὶ πολλῶν με
παροξυνόντων γράφειν αὐτὸν, πρῶτον μὲν τῶν εἰθι-
σμένων ἀσελγῶς κατηγορεῖν τῆς πόλεως ἡμῶν, ἔπειτα
τῶν χαριέντως μὲν, ἀπειροτέρως δὲ καὶ καταδεεστέρως c
38 ἐπαινούντων αὐτὴν, ἔτι δὲ τῶν ἑτέρων μᾶλλον εὐλογεῖν
τολμώντων οὐκ ἀνθρωπίνως ἀλλ' οὕτως ὥστε πολλοὺς
ἀντιτάττεσθαι πρὸς αὐτοὺς, πάντων δὲ μάλιστα τῆς
ἡλικίας τῆς παρούσης, ἣ τοὺς ἄλλους πέφυκεν ἀπο-
τρέπειν· ἐλπίζω γὰρ, ἢν μὲν κατορθώσω, μείζω λήψε-
σθαι δόξαν τῆς ὑπαρχούσης, ἢν δ' ἐνδεέστερον τύχω
διαλεχθεὶς, πολλῆς συγγνώμης τεύξεσθαι παρὰ τῶν
ἀκουόντων.

39 (ιδ'.) Ἃ μὲν οὖν ἠβουλήθην καὶ περὶ ἐμαυτοῦ καὶ d
περὶ τῶν ἄλλων ὥσπερ χορὸς πρὸ ἀγῶνος προαναβα-
λέσθαι, ταῦτ' ἐστίν. ἡγοῦμαι δὲ χρῆναι τοὺς βουλο-
μένους ἐγκωμιάσαι τινὰ τῶν πόλεων ἀκριβῶς καὶ δι-
καίως μὴ μόνον περὶ αὐτῆς ποιεῖσθαι τοὺς λόγους ἧς
προῃρημένοι τυγχάνουσιν, ἀλλ' ὥσπερ τὴν πορφύραν
καὶ τὸν χρυσὸν θεωροῦμεν καὶ δοκιμάζομεν ἕτερα πα-
ραδεικνύοντες τῶν καὶ τὴν ὄψιν ὁμοίαν ἐχόντων καὶ e
40 τῆς τιμῆς τῆς αὐτῆς ἀξιουμένων, οὕτω καὶ ταῖς πόλεσι
παριστάναι μὴ τὰς μικρὰς ταῖς μεγάλαις, μηδὲ τὰς
πάντα τὸν χρόνον ὑφ' ἑτέραις οὔσας ταῖς ἄρχειν εἰθι-
σμέναις, μηδὲ τὰς σώζεσθαι δεομένας πρὸς τὰς σώζειν 241
δυναμένας ἀλλὰ τὰς παραπλησίαν καὶ τὴν δύναμιν
ἐχούσας καὶ περὶ τὰς αὐτὰς πράξεις γεγενημένας καὶ
ταῖς ἐξουσίαις ὁμοίαις κεχρημένας· οὕτω γὰρ ἂν μά-
41 λιστα τῆς ἀληθείας τύχοιεν. ἢν δή τις ἡμᾶς τὸν τρό-
πον τοῦτον σκοπῆται καὶ παραβάλλῃ μὴ πρὸς τὴν τυ-
χοῦσαν πόλιν ἀλλὰ πρὸς τὴν Σπαρτιατῶν, ἣν οἱ μὲν

πολλοὶ μετρίως ἐπαινοῦσιν, ἔνιοι δέ τινες ὥσπερ τῶν b
ἡμιθέων ἐκεῖ πεπολιτευμένων μέμνηνται περὶ αὐτῶν,
φανησόμεθα καὶ τῇ δυνάμει καὶ ταῖς πράξεσι καὶ ταῖς
εὐεργεσίαις ταῖς περὶ τοὺς Ἕλληνας πλέον ἀπολελοι-
πότες αὐτοὺς ἢ 'κεῖνοι τοὺς ἄλλους.
42 (ιε΄.) Τοὺς μὲν οὖν παλαιοὺς ἀγῶνας τοὺς ὑπὲρ
τῶν Ἑλλήνων γεγενημένους ὕστερον ἐροῦμεν, νῦν δὲ
ποιήσομαι περὶ ἐκείνων τοὺς λόγους ἀρξάμενος, ἐπει-
δὴ κατέσχον τὰς πόλεις τὰς Ἀχαιΐδας καὶ πρὸς Ἀργείους c
καὶ Μεσσηνίους διείλοντο τὴν χώραν· ἐντεῦθεν γὰρ
προσήκει διαλέγεσθαι περὶ αὐτῶν. οἱ μὲν τοίνυν ἡμέ-
τεροι πρόγονοι φανήσονται τήν τε πρὸς τοὺς Ἕλληνας
ὁμόνοιαν καὶ τὴν πρὸς τοὺς βαρβάρους ἔχθραν, ἣν
παρέλαβον ἐκ τῶν Τρωικῶν, διαφυλάττοντες καὶ μέ-
43 νοντες ἐν τοῖς αὐτοῖς. (ις΄.) Καὶ πρῶτον μὲν τὰς Κυ-
κλάδας νήσους, περὶ ἃς ἐγένοντο πολλαὶ πραγματεῖαι
κατὰ τὴν Μίνω τοῦ Κρητὸς δυναστείαν, ταύτας τὸ τε-
λευταῖον ὑπὸ Καρῶν κατεχομένας, ἐκβαλόντες ἐκεί- d
νους οὐκ ἐξιδιώσασθαι τὰς χώρας ἐτόλμησαν, ἀλλὰ
τοὺς μάλιστα βίου τῶν Ἑλλήνων δεομένους κατῴκισαν
44 εἰς αὐτάς· καὶ μετὰ ταῦτα πολλὰς πόλεις ἐφ' ἑκατέρᾳ
τῶν ἠπείρων καὶ μεγάλας ἔκτισαν, καὶ τοὺς μὲν βαρ-
βάρους ἀνέστειλαν ἀπὸ τῆς θαλάττης, τοὺς δ' Ἕλληνας
ἐδίδαξαν, ὃν τρόπον διοικοῦντες τὰς αὑτῶν πατρίδας
καὶ πρὸς οὓς πολεμοῦντες μεγάλην ἂν τὴν Ἑλλάδα
45 ποιήσειαν. Λακεδαιμόνιοι δὲ περὶ τὸν αὐτὸν χρόνον e
τοσοῦτον ἀπέσχον τοῦ πράττειν τι τῶν αὐτῶν τοῖς ἡμε-
τέροις καὶ τοῦ τοῖς μὲν βαρβάροις πολεμεῖν, τοὺς δ' Ἕλ-
ληνας εὐεργετεῖν, ὥστ' οὐδ' ἡσυχίαν ἄγειν ἠθέλησαν,
ἀλλ' ἔχοντες πόλιν ἀλλοτρίαν καὶ χώραν οὐ μόνον
ἱκανήν, ἀλλ' ὅσην οὐδεμία πόλις τῶν Ἑλληνίδων, οὐκ 242
46 ἔστερξαν ἐπὶ τούτοις, ἀλλὰ μαθόντες ἐξ αὐτῶν τῶν

*συμβεβηκότων κατὰ μὲν τοὺς νόμους τάς τε πόλεις
καὶ τὰς χώρας τούτων εἶναι δοκούσας τῶν ὀρθῶς καὶ
νομίμως κτησαμένων, κατὰ δὲ τὴν ἀλήθειαν τούτων
γιγνομένας τῶν τὰ περὶ τὸν πόλεμον μάλιστ' ἀσκούν-
των καὶ νικᾶν ἐν ταῖς μάχαις τοὺς πολεμίους δυναμέ-
νων, ταῦτα διανοηθέντες, ἀμελήσαντες γεωργιῶν καὶ
τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων, οὐδὲν ἐπαύοντο κατὰ* b
*μίαν ἑκάστην των πόλεων τῶν ἐν Πελοποννήσῳ πο-
λιορκοῦντες καὶ κακῶς ποιοῦντες, ἕως ἁπάσας κατε-*
47 *στρέψαντο πλὴν τῆς Ἀργείων. συνέβαινεν οὖν ἐξ ὧν
μὲν ἡμεῖς ἐπράττομεν, αὐξάνεσθαί τε τὴν Ἑλλάδα καὶ
τὴν Εὐρώπην κρείττω γίγνεσθαι τῆς Ἀσίας, καὶ προς
τούτοις τῶν μὲν Ἑλλήνων τοὺς ἀποροῦντας πόλεις
λαμβάνειν καὶ χώρας, τῶν δὲ βαρβάρων τοὺς εἰθι-
σμένους ὑβρίζειν ἐκπίπτειν ἐκ τῆς αὑτῶν καὶ φρονεῖν* c
*ἔλαττον ἢ πρότερον· ἐξ ὧν δὲ Σπαρτιᾶται, τὴν ἐκεί-
νων μόνην μεγάλην γίγνεσθαι, καὶ πασῶν μὲν τῶν
ἐν Πελοποννήσῳ πόλεων ἄρχειν, ταῖς δ' ἄλλαις φο-
βερὰν εἶναι καὶ πολλῆς θεραπείας τυγχάνειν παρ' αὐ-*
48 *τῶν. ἐπαινεῖν μὲν οὖν δίκαιόν ἐστι τὴν τοῖς ἄλλοις
πολλῶν ἀγαθῶν αἰτίαν γεγενημένην, δεινὴν δὲ νομί-
ζειν τὴν αὑτῇ τὰ συμφέροντα διαπραττομένην, καὶ
φίλους μὲν ποιεῖσθαι τοὺς ὁμοίως αὑτοῖς τε καὶ τοῖς* d
*ἄλλοις χρωμένους, φοβεῖσθαι δὲ καὶ δεδιέναι τοὺς
πρὸς σφᾶς μὲν αὐτοὺς ὡς δυνατὸν οἰκειότατα διακει-
μένους, πρὸς δὲ τοὺς ἄλλους ἀλλοτρίως καὶ πολεμικῶς
τὴν αὑτῶν διοικοῦντας. τὴν μὲν οὖν ἀρχὴν ἑκατέρα
τοῖν πολέοιν τοιαύτην ἐποιήσατο.*
49 (ιζ.) *Χρόνῳ δ' ὕστερον γενομένου τοῦ Περσικοῦ
πολέμου, καὶ Ξέρξου τοῦ τότε βασιλεύοντος τριήρεις
μὲν συναγαγόντος τριακοσίας καὶ χιλίας, τῆς δὲ πεζῆς
στρατιᾶς πεντακοσίας μὲν μυριάδας τῶν ἁπάντων,* e

ἑβδομήκοντα δὲ τῶν μαχίμων, τηλικαύτῃ δὲ δυνάμει
50 στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας, Σπαρτιᾶται μὲν
ἄρχοντες Πελοποννησίων εἰς τὴν ναυμαχίαν τὴν ποιή-
σασαν τροπὴν ἅπαντος τοῦ πολέμου δέκα μόνον συν-
εβάλοντο τριήρεις, οἱ δὲ πατέρες ἡμῶν ἀνάστατοι γε- 243
γενημένοι καὶ τὴν πόλιν ἐκλελοιπότες διὰ τὸ μὴ τε-
τειχίσθαι κατ' ἐκεῖνον τὸν χρόνον πλείους ναῦς παρ-
έσχοντο καὶ μείζω δύναμιν ἐχούσας ἢ σύμπαντες οἱ
51 συγκινδυνεύσαντες· καὶ στρατηγὸν οἱ μὲν Εὐρυβιά-
δην, ὃς εἰ τέλος ἐπέθηκεν οἷς διενοήθη πράττειν,
οὐδὲν ἂν ἐκώλυεν ἀπολωλέναι τοὺς Ἕλληνας, οἱ δ'
ἡμέτεροι Θεμιστοκλέα τὸν ὁμολογουμένως ἅπασιν
αἴτιον εἶναι δόξαντα καὶ τοῦ τὴν ναυμαχίαν γενέσθαι b
κατὰ τρόπον καὶ τῶν ἄλλων ἁπάντων τῶν ἐν ἐκείνῳ
52 τῷ χρόνῳ κατορθωθέντων. τεκμήριον δὲ μέγιστον·
ἀφελόμενοι γὰρ Λακεδαιμονίους τὴν ἡγεμονίαν οἱ
συγκινδυνεύσαντες τοῖς ἡμετέροις παρέδοσαν. καίτοι
τίνας ἄν τις κριτὰς ἱκανωτέρους ποιήσαιτο καὶ πιστο-
τέρους τῶν τότε πραχθέντων ἢ τοὺς ἐν αὐτοῖς τοῖς
ἀγῶσι παραγενομένους; τίς δ' ἂν εὐεργεσίαν εἰπεῖν
ἔχοι ταύτης μείζω τῆς ἅπασαν τὴν Ἑλλάδα σῶσαι δυ- c
νηθείσης;

53 (ιη'.) Μετὰ ταῦτα τοίνυν συνέβη κυρίαν ἑκατέραν
εἶναι τῆς ἀρχῆς τῆς κατὰ θάλατταν, ἣν ὁπότεροι ἂν
κατάσχωσιν, ὑπηκόους ἔχουσι τὰς πλείστας τῶν πό-
λεων. ὅλως μὲν οὖν οὐδετέραν ἐπαινῶ· πολλὰ γὰρ
ἄν τις αὐταῖς ἐπιτιμήσειεν· οὐ μὴν ἀλλὰ καὶ περὶ τὴν
ἐπιμέλειαν ταύτην οὐκ ἔλαττον αὐτῶν διηνέγκαμεν
54 ἢ περὶ τὰς πράξεις τὰς ὀλίγῳ πρότερον εἰρημένας. οἱ
μὲν γὰρ ἡμέτεροι πατέρες ἔπειθον τοὺς συμμάχους d
ποιεῖσθαι πολιτείαν ταύτην, ἥνπερ αὐτοὶ διετέλουν
ἀγαπῶντες· ὃ σημεῖόν ἐστιν εὐνοίας καὶ φιλίας, ὅταν

τινὲς παραινῶσι τοῖς ἄλλοις χρῆσθαι τούτοις, ἅπερ ἂν
σφίσιν αὐτοῖς συμφέρειν ὑπολάβωσιν· Λακεδαιμόνιοι
δὲ κατέστησαν οὐθ' ὁμοίαν τῇ παρ' αὐτοῖς οὔτε ταῖς
ἄλλοθί που γεγενημέναις, ἀλλὰ δέκα μόνους ἄνδρας
κυρίους ἑκάστης τῆς πόλεως ἐποίησαν, ὧν ἐπιχειρήσας e
ἄν τις κατηγορεῖν τρεῖς ἢ τέτταρας ἡμέρας συνεχῶς
οὐδὲν ἂν μέρος εἰρηκέναι δόξειε τῶν ἐκείνοις ἡμαρτη-
55 μένων. καθ' ἕκαστον μὲν οὖν διεξιέναι περὶ τῶν τοι-
ούτων καὶ τοσούτων τὸ πλῆθος ἀνόητόν ἐστιν· ὀλίγα
δὲ καθ' ἁπάντων εἰπεῖν, ἃ τοῖς ἀκούσασιν ὀργὴν 244
ἀξίαν ἐμποιήσειεν ἂν τῶν πεπραγμένων, νεώτερος
μὲν ὢν ἴσως ἂν ἐξεῦρον, νῦν δ' οὐδὲν ἐπέρχεταί μοι
τοιοῦτον, ἀλλ' ἅπερ ἅπασιν, ὅτι τοσοῦτον ἐκεῖνοι
διήνεγκαν ἀνομίᾳ καὶ πλεονεξίᾳ τῶν προγεγενημένων,
ὥστ' οὐ μόνον αὐτοὺς ἀπώλεσαν καὶ τοὺς φίλους καὶ
τὰς πατρίδας τὰς αὑτῶν, ἀλλὰ καὶ Λακεδαιμονίους
πρὸς τοὺς συμμάχους διαβαλόντες εἰς τοιαύτας καὶ
τοσαύτας συμφορὰς ἐνέβαλον, ὅσας οὐδεὶς πώποτ' b
αὐτοῖς γενήσεσθαι προσεδόκησεν.

56 (ιθ'.) Μάλιστα μὲν οὖν ἐντεῦθεν ἄν τις δυνη-
θείη κατιδεῖν, ὅσῳ μετριώτερον καὶ πρᾳότερον ἡμεῖς
τῶν πραγμάτων ἐπεμελήθημεν, δεύτερον δ' ἐκ τοῦ
ῥηθήσεσθαι μέλλοντος· Σπαρτιᾶται μὲν γὰρ ἔτη δέκα
μόλις ἐπεστάτησαν αὐτῶν, ἡμεῖς δὲ πέντε καὶ ἑξήκοντα
συνεχῶς κατέσχομεν τὴν ἀρχήν. καίτοι πάντες ἴσασι c
τὰς πόλεις τὰς ὑφ' ἑτέρων γιγνομένας, ὅτι πλεῖστον
χρόνον τούτοις παραμένουσιν, ὑφ' ὧν ἂν ἐλάχιστα
57 κακὰ πάσχουσαι τυγχάνωσιν. ἐκ τούτων τοίνυν ἀμ-
φότεραι μισηθεῖσαι κατέστησαν εἰς πόλεμον καὶ τα-
ραχήν, ἐν ᾗ τὴν μὲν ἡμετέραν εὕροι τις ἄν, ἁπάντων
αὐτῇ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐπιθεμέ-
νων, ἔτη δέκα τούτοις ἀντισχεῖν δυνηθεῖσαν, Λακε-

δαιμονίους δὲ κρατοῦντας ἔτι κατὰ γῆν, πρὸς Θηβαί- d
ους μόνους πολεμήσαντας καὶ μίαν μάχην ἡττηθέντας,
ἁπάντων ἀποστερηθέντας ὧν εἶχον, καὶ παραπλησίαις
ἀτυχίαις χρησαμένους καὶ συμφοραῖς αἷσπερ ἡμεῖς,
58 καὶ πρὸς τούτοις τὴν μὲν ἡμετέραν πόλιν ἐν ἐλάτ-
τοσιν ἔτεσιν ἀναλαβοῦσαν αὑτὴν ἢ κατεπολεμήθη,
Σπαρτιάτας δὲ μετὰ τὴν ἧτταν μηδ' ἐν πολλαπλασίῳ
χρόνῳ δυνηθέντας καταστῆσαι σφᾶς αὐτοὺς εἰς τὴν
αὐτὴν ἕξιν, ἐξ ἧσπερ ἐξέπεσον, ἀλλ' ὁμοίως ἔτι καὶ e
νῦν ἔχοντας.

59 (κ'.) Τὰ τοίνυν πρὸς τοὺς βαρβάρους ὡς ἑκάτεροι
προσηνέχθημεν, δηλωτέον· ἔτι γὰρ τοῦτο λοιπόν ἐστιν.
ἐπὶ μὲν γὰρ τῆς ἡμετέρας δυναστείας οὐκ ἐξῆν αὐτοῖς
οὔτ' ἐντὸς Ἅλυος πεζῷ στρατοπέδῳ καταβαίνειν οὔτε
μακροῖς πλοίοις ἐπὶ τάδε πλεῖν Φασήλιδος· ἐπὶ δὲ τῆς
Λακεδαιμονίων οὐ μόνον τοῦ πορεύεσθαι καὶ πλεῖν, 245
ὅποι βουληθεῖεν, ἐξουσίαν ἔλαβον, ἀλλὰ καὶ δεσπόται
60 πολλῶν Ἑλληνίδων πόλεων κατέστησαν. (κα'.) Τὴν
δὴ καὶ τὰς συνθήκας τὰς πρὸς βασιλέα γενναιοτέρας
καὶ μεγαλοφρονεστέρας ποιησαμένην, καὶ τῶν πλεί-
στων καὶ μεγίστων τοῖς μὲν βαρβάροις κακῶν, τοῖς δ'
Ἕλλησιν ἀγαθῶν αἰτίαν γεγενημένην, ἔτι δὲ τῆς Ἀσίας
τὴν παραλίαν καὶ πολλὴν ἄλλην χώραν τοὺς μὲν πο- b
λεμίους ἀφελομένην, τοῖς δὲ συμμάχοις κτησαμένην,
61 καὶ τοὺς μὲν ὑβρίζοντας, τοὺς δ' ἀποροῦντας παύσα-
σαν, πρὸς δὲ τούτοις ὑπὲρ αὑτῆς τε πολεμήσασαν
ἄμεινον τῆς εὐδοκιμούσης περὶ τὰ τοιαῦτα καὶ τὰς
συμφορὰς θᾶττον διαλυσαμένην τῶν αὐτῶν τούτων,
πῶς οὐ δίκαιον ἐπαινεῖν καὶ τιμᾶν μᾶλλον ἢ τὴν ἐν
ἅπασι τούτοις ἀπολελειμμένην; περὶ μὲν οὖν τῶν
πραχθέντων παρ' ἄλληλα καὶ τῶν κινδύνων τῶν ἅμα c

καὶ πρὸς τοὺς αὐτοὺς γενομένων ἐν τῷ παρόντι ταῦτ'
εἶχον εἰπεῖν.
62 (κβ'.) Οἶμαι δὲ τοὺς ἀηδῶς ἀκούοντας τῶν λόγων
τούτων τοῖς μὲν εἰρημένοις οὐδὲν ἀντερεῖν ὡς οὐκ
ἀληθέσιν οὖσιν, οὐδ' αὖ πράξεις ἑτέρας ἕξειν εἰπεῖν,
περὶ ἃς Λακεδαιμόνιοι γενόμενοι πολλῶν ἀγαθῶν
αἴτιοι τοῖς Ἕλλησι κατέστησαν, κατηγορεῖν δὲ τῆς πό-
63 λεως ἡμῶν ἐπιχειρήσειν, ὅπερ ἀεὶ ποιεῖν εἰώθασι,
καὶ διεξιέναι τὰς δυσχερεστάτας τῶν πράξεων τῶν d
ἐπὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν γεγενημένων, καὶ
τάς τε δίκας καὶ τὰς κρίσεις τὰς ἐνθάδε γιγνομένας
τοῖς συμμάχοις καὶ τὴν τῶν φόρων εἴσπραξιν διαβα-
λεῖν, καὶ μάλιστα διατρίψειν περὶ τὰ Μηλίων πάθη
καὶ Σκιωναίων καὶ Τορωναίων, οἰομένους ταῖς κατη-
γορίαις ταύταις καταρρυπανεῖν τὰς τῆς πόλεως εὐ-
64 εργεσίας τὰς ὀλίγῳ πρότερον εἰρημένας. (κγ'.) Ἐγὼ
δὲ πρὸς ἅπαντα μὲν τὰ δικαίως ἂν ῥηθέντα κατὰ τῆς
πόλεως οὔτ' ἂν δυναίμην ἀντειπεῖν οὔτ' ἂν ἐπιχειρή- e
σαιμι τοῦτο ποιεῖν· καὶ γὰρ ἂν αἰσχυνοίμην, ὅπερ
εἶπον ἤδη καὶ πρότερον, εἰ τῶν ἄλλων μηδὲ τοὺς
θεοὺς ἀναμαρτήτους εἶναι νομιζόντων ἐγὼ γλιχοίμην
καὶ πειρῴμην πείθειν, ὡς περὶ οὐδὲν πώποτε τὸ κοι-
65 νὸν ἡμῶν πεπλημμέληκεν· οὐ μὴν ἀλλ' ἐκεῖνό γ' οἶμαι 246
ποιήσειν, τήν τε πόλιν τὴν Σπαρτιατῶν ἐπιδείξειν
περὶ τὰς πράξεις τὰς προειρημένας πολὺ πικροτέραν
καὶ χαλεπωτέραν τῆς ἡμετέρας γεγενημένην, τούς θ'
ὑπὲρ ἐκείνων βλασφημοῦντας καθ' ἡμῶν ὡς δυνατὸν
ἀφρονέστατα διακειμένους καὶ τοῦ κακῶς ἀκούειν
66 ὑφ' ἡμῶν τοὺς φίλους αὐτῶν αἰτίους ὄντας· ἐπειδὰν
γὰρ τὰ τοιαῦτα κατηγορῶσιν, οἷς ἔνοχοι Λακεδαιμό-
νιοι μᾶλλον τυγχάνουσιν ὄντες, οὐκ ἀποροῦμεν τοῦ b
περὶ ἡμῶν ῥηθέντος μεῖζον ἁμάρτημα κατ' ἐκείνων

εἰπεῖν. (κδ΄.) Οἷον καὶ νῦν, ἣν μνησθῶσι τῶν ἀγώ-
νων τῶν τοῖς συμμάχοις ἐνθάδε γιγνομένων, τίς
ἐστιν οὕτως ἀφυὴς, ὅστις οὐχ εὑρήσει πρὸς τοῦτ'
ἀντειπεῖν, ὅτι πλείους Λακεδαιμόνιοι τῶν Ἑλλήνων
ἀκρίτους ἀπεκτόνασι τῶν παρ' ἡμῖν, ἐξ οὗ τὴν πό-
λιν οἰκοῦμεν, εἰς ἀγῶνα καὶ κρίσιν καταστάντων;
67 (κε΄.) Τοιαῦτα δὲ καὶ περὶ τῆς εἰσπράξεως τῶν
φόρων ἤν τι λέγωσιν, ἕξομεν εἰπεῖν· πολὺ γὰρ ἐπι- c
δείξομεν συμφορώτερα πράξαντας τοὺς ἡμετέρους
ἢ Λακεδαιμονίους ταῖς πόλεσι ταῖς τὸν φόρον ἐνεγκού-
σαις. πρῶτον μὲν γὰρ οὐ προσταχθὲν ὑφ' ἡμῶν τοῦτ'
ἐποίουν, ἀλλ' αὐτοὶ γνόντες, ὅτε περ τὴν ἡγεμονίαν
68 ἡμῖν τὴν κατὰ θάλατταν ἔδοσαν· ἔπειτ' οὐχ ὑπὲρ τῆς
σωτηρίας τῆς ἡμετέρας ἔφερον ἀλλ' ὑπὲρ τῆς δημο-
κρατίας καὶ τῆς ἐλευθερίας τῆς αὑτῶν καὶ τοῦ μὴ
περιπεσεῖν ὀλιγαρχίας γενομένης τηλικούτοις κακοῖς d
τὸ μέγεθος, ἡλίκοις ἐπὶ τῶν δεκαρχιῶν καὶ τῆς δυ-
ναστείας τῆς Λακεδαιμονίων. ἔτι δ' οὐκ ἐκ τούτων
ἔφερον, ἐξ ὧν αὐτοὶ διέσωσαν, ἀλλ' ἀφ' ὧν δι' ἡμᾶς
69 εἶχον· ὑπὲρ ὧν, εἰ καὶ μικρὸς λογισμὸς ἐνῆν αὐτοῖς,
δικαίως ἂν χάριν εἶχον ἡμῖν. παραλαβόντες γὰρ τὰς
πόλεις αὐτῶν τὰς μὲν παντάπασιν ἀναστάτους γεγε-
νημένας ὑπὸ τῶν βαρβάρων, τὰς δὲ πεπορθημένας,
εἰς τοῦτο προηγάγομεν ὥστε μικρὸν μέρος τῶν γι- e
γνομένων ἡμῖν διδόντας μηδὲν ἐλάττους ἔχειν τοὺς
οἴκους Πελοποννησίων τῶν οὐδένα φόρον ὑποτε-
λούντων.
70 (κϛ΄.) Περὶ τοίνυν τῶν ἀναστάτων γεγενημένων
ὑφ' ἑκατέρας τῶν πόλεων, ὃ μόνοις τινὲς ἡμῖν ὀνει-
δίζουσιν, ἐπιδείξομεν πολὺ δεινότερα πεποιηκότας, 247
οὓς ἐπαινοῦντες διατελοῦσιν. ἡμῖν μὲν γὰρ συνέπεσε
περὶ νησύδρια τοιαῦτα καὶ τηλικαῦτα τὸ μέγεθος ἐξα-

μαρτεῖν, ἃ πολλοὶ τῶν Ἑλλήνων οὐδ' ἴσασιν, ἐκεῖνοι
δὲ τὰς μεγίστας πόλεις τῶν ἐν Πελοποννήσῳ καὶ τὰς
πανταχῇ προεχούσας τῶν ἄλλων ἀναστάτους ποιήσαν-
71 τες αὐτοὶ τἀκείνων ἔχουσιν, ἃς ἄξιον ἦν, εἰ καὶ μηδὲν
αὐταῖς πρότερον ὑπῆρχεν ἀγαθὸν, τῆς μεγίστης δω-
ρεᾶς παρὰ τῶν Ἑλλήνων τυχεῖν διὰ τὴν στρατείαν b
τὴν ἐπὶ Τροίαν, ἐν ᾗ σφᾶς τ' αὐτὰς παρέσχον πρωτευ-
ούσας καὶ τοὺς ἡγεμόνας ἀρετὰς ἔχοντας οὐ μόνον
τὰς τοιαύτας, ὧν πολλοὶ καὶ τῶν φαύλων κοινωνοῦσιν,
ἀλλὰ κἀκείνας, ὧν οὐδεὶς ἂν πονηρὸς ὢν δυνηθείη
72 μετασχεῖν. Μεσσήνη μὲν γὰρ Νέστορα παρέσχε τὸν
φρονιμώτατον ἁπάντων τῶν κατ' ἐκεῖνον τὸν χρόνον
γενομένων, Λακεδαίμων δὲ Μενέλαον τὸν διὰ σωφρο-
σύνην καὶ δικαιοσύνην μόνον ἀξιωθέντα Διὸς γε- c
νέσθαι κηδεστὴν, ἡ δ' Ἀργείων πόλις Ἀγαμέμνονα
τὸν οὐ μίαν οὐδὲ δύο σχόντα μόνον ἀρετὰς ἀλλὰ πά-
σας, ὅσας ἂν ἔχοι τις εἰπεῖν, καὶ ταύτας οὐ μετρίως
73 ἀλλ' ὑπερβαλλόντως· οὐδένα γὰρ εὑρήσομεν τῶν
ἁπάντων οὔτ' ἰδιωτέρας πράξεις μεταχειρισάμενον
οὔτε καλλίους οὔτε μείζους οὔτε τοῖς Ἕλλησιν ὠφελι-
μωτέρας οὔτε πλειόνων ἐπαίνων ἀξίας. καὶ τούτοις
οὕτω μὲν ἀπηριθμημένοις εἰκότως ἄν τινες ἀπιστή-
σειαν, μικρῶν δὲ περὶ ἑκάστου ῥηθέντων ἅπαντες ἂν d
ἀληθῆ με λέγειν ὁμολογήσειαν.
74 (κζ΄.) Οὐ δύναμαι δὲ κατιδεῖν ἀλλ' ἀπορῶ, ποίοις
ἂν λόγοις μετὰ ταῦτα χρησάμενος ὀρθῶς εἴην βεβου-
λευμένος. αἰσχύνομαι μὲν γὰρ, εἰ τοσαῦτα περὶ τῆς
Ἀγαμέμνονος ἀρετῆς προειρηκὼς μηδενὸς μνησθήσο-
μαι τῶν ὑπ' ἐκείνου πεπραγμένων ἀλλὰ δόξω τοῖς
ἀκούουσιν ὅμοιος εἶναι τοῖς ἀλαζονευομένοις καὶ λέ-
γουσιν, ὅ τι ἂν τύχωσιν· ὁρῶ δὲ τὰς πράξεις τὰς ἔξω e
λεγομένας τῶν ὑποθέσεων οὐκ ἐπαινουμένας ἀλλὰ

ταραχώδεις εἶναι δοκούσας, καὶ πολλοὺς μὲν ὄντας τοὺς κακῶς χρωμένους αὐταῖς, πολὺ δὲ πλείους τοὺς
75 ἐπιτιμῶντας. διὸ δέδοικα, μὴ καὶ περὶ ἐμὲ συμβῇ τι 248
τοιοῦτον. οὐ μὴν ἀλλ' αἱροῦμαι βοηθῆσαι τῷ ταὐτὸν ἐμοί τε καὶ πολλοῖς πεπονθότι καὶ διημαρτηκότι τῆς δόξης, ἧς προσῆκε τυχεῖν αὐτὸν, καὶ μεγίστων μὲν ἀγαθῶν αἰτίῳ γεγενημένῳ περὶ ἐκεῖνον τὸν χρόνον, ἧττον δ' ἐπαινουμένῳ τῶν οὐδὲν ἄξιον λόγου διαπεπραγμένων.

76 (κη'.) Τί γὰρ ἐκεῖνος ἐνέλιπεν, ὅς τηλικαύτην μὲν ἔσχε τιμὴν, ἧς εἰ πάντες συνελθόντες μείζω ζητοῖεν,
οὐδέποτ' ἂν εὑρεῖν δυνηθεῖεν; μόνος γὰρ ἁπάσης τῆς b
Ἑλλάδος ἠξιώθη γενέσθαι στρατηγός. ὁπότερον δ' εἴθ' ὑπὸ πάντων αἱρεθεὶς εἴτ' αὐτὸς κτησάμενος, οὐκ ἔχω λέγειν. ὁποτέρως δ' οὖν συμβέβηκεν, οὐδεμίαν ὑπερβολὴν λέλοιπε τῆς περὶ αὐτὸν δόξης τοῖς ἄλλως
77 πως τιμηθεῖσιν. ταύτην δὲ λαβὼν τὴν δύναμιν οὐκ ἔστιν ἥντινα τῶν Ἑλληνίδων πόλεων ἐλύπησεν, ἀλλ' οὕτως ἦν πόρρω τοῦ περί τινας ἐξαμαρτεῖν, ὥστε παραλαβὼν τοὺς Ἕλληνας ἐν πολέμῳ καὶ ταραχαῖς καὶ
πολλοῖς κακοῖς ὄντας τούτων μὲν αὐτοὺς ἀπήλλαξεν, c
εἰς ὁμόνοιαν δὲ καταστήσας τὰ μὲν περιττὰ τῶν ἔργων καὶ τερατώδη καὶ μηδὲν ὠφελοῦντα τοὺς ἄλλους ὑπερεῖδε, στρατόπεδον δὲ συστήσας ἐπὶ τοὺς βαρβά-
78 ρους ἤγαγεν. τούτου δὲ κάλλιον στρατήγημα καὶ τοῖς Ἕλλησιν ὠφελιμώτερον οὐδεὶς φανήσεται πράξας οὔτε τῶν κατ' ἐκεῖνον τὸν χρόνον εὐδοκιμησάντων οὔτε τῶν ὕστερον ἐπιγενομένων. κἀκεῖνος πράξας καὶ τοῖς ἄλλοις ὑποδείξας οὐχ οὕτως εὐδοκίμησεν, ὡς προσῆκεν
αὐτὸν, διὰ τοὺς μᾶλλον ἀγαπῶντας τὰς θαυματο- d
ποιίας τῶν εὐεργεσιῶν καὶ τὰς ψευδολογίας τῆς ἀλη-

θείας, ἀλλὰ τοιοῦτος γενόμενος ἐλάττω δόξαν ἔχει
τῶν οὐδὲ μιμήσασθαι τολμησάντων αὐτόν.
79 (κθ'.) Οὐ μόνον δ' ἐπὶ τούτοις ἄν τις ἐπαινέσειεν
αὐτὸν, ἀλλὰ καὶ ἐφ' οἷς περὶ τὸν αὐτὸν χρόνον ἔπρα-
ξεν. εἰς τοῦτο γὰρ μεγαλοφροσύνης ἦλθεν, ὥστ' οὐκ
ἀπέχρησεν αὐτῷ λαβεῖν στρατιώτας τῶν ἰδιωτῶν
ὁπόσους ἐξ ἑκάστης ἠβουλήθη τῆς πόλεως, ἀλλὰ τοὺς
βασιλέας τοὺς ποιοῦντας ἐν ταῖς αὑτῶν, ὅ τι βουλη- e
θεῖεν, καὶ τοῖς ἄλλοις προστάττοντας, τούτους ἔπεισεν
ὑφ' αὑτῷ γενέσθαι, καὶ συνακολουθεῖν, ἐφ' οὓς ἂν
ἡγῆται, καὶ ποιεῖν τὸ προσταττόμενον καὶ βασιλικὸν
80 βίον ἀφέντας στρατιωτικῶς ζῆν, ἔτι δὲ κινδυνεύειν
καὶ πολεμεῖν οὐχ ὑπὲρ τῆς σφετέρας αὐτῶν πατρίδος 249
καὶ βασιλείας, ἀλλὰ λόγῳ μὲν ὑπὲρ Ἑλένης τῆς Με-
νελάου γυναικὸς, ἔργῳ δ' ὑπὲρ τοῦ μὴ τὴν Ἑλλάδα
πάσχειν ὑπὸ τῶν βαρβάρων μήτε τοιαῦτα μήθ' οἷα
πρότερον αὐτῇ συνέπεσε περὶ τὴν Πέλοπος μὲν ἁπά-
σης Πελοποννήσου κατάληψιν, Δαναοῦ δὲ τῆς πόλεως
τῆς Ἀργείων, Κάδμου δὲ Θηβῶν· ὧν τίς ἄλλος φανή-
σεται προνοηθεὶς, ἢ τίς ἐμποδὼν καταστὰς τοῦ μηδὲν b
ἔτι γενέσθαι τοιοῦτον, πλὴν τῆς ἐκείνου φύσεως καὶ
81 δυνάμεως; (λ'.) Τὸ τοίνυν ἐχόμενον, ὃ τῶν μὲν προ-
ειρημένων ἔλαττόν ἐστι, τῶν δὲ πολλάκις ἐγκεκω-
μιασμένων μεῖζον καὶ λόγου μᾶλλον ἄξιον· στρατό-
πεδον γὰρ συνεληλυθὸς ἐξ ἁπασῶν τῶν πόλεων,
τοσοῦτον τὸ πλῆθος, ὅσον εἰκὸς, ὃ πολλοὺς εἶχεν ἐν
αὑτῷ τοὺς μὲν ἀπὸ θεῶν, τοὺς δ' ἐξ αὐτῶν τῶν θεῶν
γεγονότας, οὐχ ὁμοίως διακειμένους τοῖς πολλοῖς οὐδ'
ἴσον φρονοῦντας τοῖς ἄλλοις ἀλλ' ὀργῆς καὶ θυμοῦ c
82 καὶ φθόνου καὶ φιλοτιμίας μεστούς· ἀλλ' ὅμως τὸ τοι-
οῦτον ἔτη δέκα κατέσχεν οὐ μισθοφοραῖς μεγάλαις
οὐδὲ χρημάτων δαπάναις, αἷς νῦν ἅπαντες δυνα-

στεύουσιν, ἀλλὰ τῷ καὶ τῇ φρονήσει διαφέρειν καὶ
δύνασθαι τροφὴν ἐκ τῶν πολεμίων τοῖς στρατιώταις
πορίζειν, καὶ μάλιστα τῷ δοκεῖν ἐκεῖνον ἄμεινον ὑπὲρ
τῆς τῶν ἄλλων βουλεύεσθαι σωτηρίας ἢ τοὺς ἄλλους
83 περὶ σφῶν αὐτῶν. τὸ τοίνυν τέλος, ὃ πᾶσι τούτοις d
ἐπέθηκεν, οὐδενὸς ἧττον προσήκει θαυμάζειν· οὐ
γὰρ ἀπρεπὲς οὐδ' ἀνάξιον τῶν προειρημένων φανή-
σεται ποιησάμενος, ἀλλὰ λόγῳ μὲν πρὸς μίαν πόλιν
πολεμήσας, ἔργῳ δ' οὐ μόνον πρὸς ἅπαντας τοὺς τὴν
Ἀσίαν κατοικοῦντας ἀλλὰ καὶ πρὸς ἄλλα γένη πολλὰ
τῶν βαρβάρων κινδυνεύων οὐκ ἀπεῖπεν οὐδ' ἀπῆλθε,
πρὶν τήν τε πόλιν τοῦ τολμήσαντος ἐξαμαρτεῖν ἐξην-
δραποδίσατο καὶ τοὺς βαρβάρους ἔπαυσεν ὑβρίζοντας. e
84 (λα'.) Οὐκ ἀγνοῶ δὲ τὸ πλῆθος τῶν εἰρημένων
περὶ τῆς Ἀγαμέμνονος ἀρετῆς, οὐδ' ὅτι τούτων καθ'
ἓν μὲν ἕκαστον, εἴ τινες σκοποῖντο, τί ἂν ἀποδοκιμά-
σειαν, οὐδεὶς ἂν οὐδὲν αὐτῶν ἀφελεῖν τολμήσειεν, 250
ἐφεξῆς δ' ἀναγιγνωσκομένων ἅπαντες ἂν ἐπιτιμήσειαν
85 ὡς πολὺ πλείοσιν εἰρημένοις τοῦ δέοντος. (λβ'.) Ἐγὼ
δ' εἰ μὲν ἔλαθον ἐμαυτὸν πλεονάζων, ᾐσχυνόμην ἂν,
εἰ γράφειν ἐπιχειρῶν, περὶ ὧν μηδεὶς ἂν ἄλλος ἐτόλ-
μησεν, οὕτως ἀναισθήτως διεκείμην· νῦν δ' ἀκριβέ-
στερον ᾔδειν τῶν ἐπιπλήττειν μοι τολμησόντων, ὅτι
πολλοὶ τούτοις ἐπιτιμήσουσιν· ἀλλὰ γὰρ ἡγησάμην
οὐχ οὕτως ἔσεσθαι δεινὸν, ἢν ἐπὶ τοῦ μέρους τούτου b
δόξω τισὶ τῶν καιρῶν ἀμελεῖν, ὡς ἢν περὶ ἀνδρὸς
τοιούτου διαλεγόμενος παραλίπω τι τῶν ἐκείνῳ τε
86 προσόντων ἀγαθῶν κἀμοὶ προσηκόντων εἰπεῖν. ᾤμην
δὲ καὶ παρὰ τοῖς χαριεστάτοις τῶν ἀκροατῶν εὐδοκι-
μήσειν, ἢν φαίνωμαι περὶ ἀρετῆς μὲν τοὺς λόγους
ποιούμενος, ὅπως δὲ ταύτης ἀξίως ἐρῶ μᾶλλον σπου-
δάζων ἢ περὶ τὴν τοῦ λόγου συμμετρίαν, καὶ ταῦτα

σαφῶς εἰδὼς τὴν μὲν περὶ τὸν λόγον ἀκαιρίαν ἀδοξότερον ἐμὲ ποιήσουσαν, τὴν δὲ περὶ τὰς πράξεις εὐβουλίαν αὐτοὺς τοὺς ἐπαινουμένους ὠφελήσουσαν· ἀλλ' ὅμως ἐγὼ τὸ λυσιτελὲς ἐάσας τὸ δίκαιον εἱλόμην. c
87 οὐ μόνον δ' ἂν εὑρεθείην ἐπὶ τοῖς νῦν λεγομένοις ταύτην ἔχων τὴν διάνοιαν ἀλλ' ὁμοίως ἐπὶ πάντων, ἐπεὶ καὶ τῶν πεπλησιακότων μοι φανείην ἂν μᾶλλον χαίρων τοῖς ἐπὶ τῷ βίῳ καὶ ταῖς πράξεσιν εὐδοκιμοῦσιν ἢ τοῖς περὶ τοὺς λόγους δεινοῖς εἶναι δοκοῦσιν. καίτοι d
τῶν μὲν εὖ ῥηθέντων εἰ καὶ μηδὲν συμβαλοίμην, ἅπαντες ἂν ἐμοὶ τὴν αἰτίαν ἀναθεῖεν, τῶν δ' ὀρθῶς πραττομένων εἰ καὶ πάντες εἰδεῖέν με σύμβουλον γεγενημένον, οὐδεὶς ὅστις οὐκ ἂν αὐτὸν τὸν μεταχειριζόμενον τὰς πράξεις ἐπαινέσειεν.
88 (λγ'.) Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅποι τυγχάνω φερόμενος· ἀεὶ γὰρ οἰόμενος δεῖν προστιθέναι τὸ τῶν προειρημένων ἐχόμενον, παντάπασι πόρρω γέγονα τῆς e
ὑποθέσεως. λοιπὸν οὖν ἐστὶν οὐδὲν ἄλλο πλὴν αἰτησάμενον τῷ γήρᾳ συγγνώμην ὑπὲρ τῆς λήθης καὶ τῆς μακρολογίας, τῶν εἰθισμένων παραγίγνεσθαι τοῖς τηλικούτοις, ἐπανελθεῖν εἰς τὸν τόπον ἐκεῖνον, ἐξ οὗπερ
89 εἰσέπεσον εἰς τὴν περιττολογίαν ταύτην. οἶμαι δ' ἤδη καθορᾶν, ὅθεν ἐπλανήθην. (λδ'.) Τοῖς γὰρ ὀνειδίζουσιν ἡμῶν τῇ πόλει τὰς Μηλίων καὶ τὰς τῶν τοιούτων πολιχνίων συμφορὰς ἀντέλεγον, οὐχ ὡς οὐχ ἡμαρτημένων τούτων, ἀλλ' ἐπιδεικνύων τοὺς ἀγαπωμένους ὑπ' αὐτῶν πολὺ πλείους πόλεις καὶ μείζους ἡμῶν ἀναστάτους πεποιηκότας, ἐν οἷς καὶ περὶ τῆς ἀρετῆς τῆς Ἀγαμέμνονος καὶ Μενελάου καὶ Νέστορος διελέχθην, ψεῦδος μὲν οὐδὲν λέγων, πλείω δ' ἴσως
90 τῶν μετρίων. τοῦτο δ' ἐποίουν, ὑπολαβὼν οὐδενὸς b
ἔλαττον ἁμάρτημα τοῦτο δόξειν εἶναι τῶν τολμησάν-

των ἀναστάτους ποιῆσαι τὰς πόλεις τὰς γεννησάσας
καὶ θρεψάσας τοιούτους ἄνδρας, περὶ ὧν καὶ νῦν ἔχοι
τις ἂν πολλοῖς καὶ καλοῖς χρήσασθαι λόγοις. ἀλλὰ γὰρ
ἀνόητόν ἐστι περὶ μίαν πρᾶξιν διατρίβειν, ὥσπερ ἀπο-
ρίας οὔσης, τί ἂν ἔχοι τις εἰπεῖν περὶ τῆς ὠμότητος
καὶ χαλεπότητος τῆς Λακεδαιμονίων, ἀλλ' οὐ πολλῆς c
91 ἀφθονίας ὑπαρχούσης. (λε'.) Οἷς οὐκ ἐξήρκεσε περὶ
τὰς πόλεις ταύτας καὶ τοὺς ἄνδρας τοὺς τοιούτους
ἐξαμαρτεῖν ἀλλὰ καὶ περὶ τοὺς ἐκ τῶν αὐτῶν ὁρμη-
θέντας καὶ κοινὴν τὴν στρατείαν ποιησαμένους καὶ
τῶν αὐτῶν κινδύνων μετασχόντας, λέγω δὲ περὶ Ἀρ-
γείων και Μεσσηνίων. καὶ γὰρ τούτους ἐπεθύμησαν
ταῖς αὐταῖς συμφοραῖς περιβαλεῖν αἷσπερ ἐκείνους·
καὶ Μεσσηνίους μὲν πολιορκοῦντες οὐ πρότερον ἐπαύ- d
σαντο, πρὶν ἐξέβαλον ἐκ τῆς χώρας, Ἀργείοις δ' ὑπὲρ
92 τῶν αὐτῶν τούτων ἔτι καὶ νῦν πολεμοῦσιν. ἃ τοίνυν
περὶ Πλαταιέας ἔπραξαν, ἄτοπος ἂν εἴην, εἰ ταῦτ'
εἰρηκὼς ἐκείνων μὴ μνησθείην· ὧν ἐν τῇ χώρᾳ στρα-
τοπεδευσάμενοι μεθ' ἡμῶν καὶ τῶν ἄλλων συμμάχων
καὶ παραταξάμενοι τοῖς πολεμίοις καὶ θυσάμενοι τοῖς
θεοῖς τοῖς ὑπ' ἐκείνων ἱδρυμένοις οὐ μόνον ἠλευθε-
93 ρώσαμεν τῶν Ἑλλήνων τοὺς μεθ' ἡμῶν ὄντας ἀλλὰ e
καὶ τοὺς ἀναγκασθέντας γενέσθαι μετ' ἐκείνων, καὶ
ταῦτ' ἐπράξαμεν Πλαταιέας λαβόντες μόνους Βοιω-
τῶν συναγωνιστάς· οὓς οὐ πολὺν χρόνον διαλιπόντες
Λακεδαιμόνιοι, χαριζόμενοι Θηβαίοις, ἐκπολιορκήσαν-
τες ἅπαντας ἀπέκτειναν πλὴν τῶν ἀποδρᾶναι δυνη- 252
θέντων. περὶ οὓς ἡ πόλις ἡμῶν οὐδὲν ὁμοία γέγονεν
94 ἐκείνοις· οἱ μὲν γὰρ περί τε τοὺς εὐεργέτας τῆς Ἑλ-
λάδος καὶ τοὺς συγγενεῖς τοὺς αὐτῶν τὰ τοιαῦτ' ἐξ-
αμαρτάνειν ἐτόλμησαν, οἱ δ' ἡμέτεροι Μεσσηνίων μὲν
τοὺς διασωθέντας εἰς Ναύπακτον κατῴκισαν, Πλα

ταιέων δὲ τοὺς περιγενομένους πολίτας ἐποιήσαντο καὶ τῶν ὑπαρχόντων αὐτοῖς ἁπάντων μετέδοσαν. ὥστ' εἰ μηδὲν ἔχοιμεν ἄλλο περὶ τοῖν πολέοιν εἰπεῖν, ἐκ b τούτων ῥᾴδιον εἶναι καταμαθεῖν τὸν τρόπον ἑκατέρας αὐτῶν, καὶ ποτέρα πλείους πόλεις καὶ μείζους ἀναστάτους πεποίηκεν.

95 (λϛ'.) Αἰσθάνομαι δὲ πάθος μοι συμβαῖνον ἐναντίον τοῖς ὀλίγῳ πρότερον εἰρημένοις· τότε μὲν γὰρ εἰς ἄγνοιαν καὶ πλάνον καὶ λήθην ἐνέπεσον, νῦν δ' οἶδα σαφῶς ἐμαυτὸν οὐκ ἐμμένοντα τῇ πραότητι τῇ περὶ τὸν λόγον, ἣν εἶχον, ὅτ' ἠρχόμην γράφειν αὐτὸν, ἀλλὰ λέγειν τ' ἐπιχειροῦντα, περὶ ὧν οὐκ ᾤμην ἐρεῖν, c θρασύτερόν τε διακείμενον ἢ κατ' ἐμαυτὸν, ἀκρατῆ τε γιγνόμενον ἐνίων ὧν λέγω διὰ τὸ πλῆθος τῶν
96 εἰπεῖν ἐπιρρεόντων. ἐπειδή περ οὖν ἐπελήλυθέ μοι τὸ παρρησιάζεσθαι, καὶ λέλυκα τὸ στόμα καὶ τοιαύτην τὴν ὑπόθεσιν ἐποιησάμην ὥστε μήτε καλὸν εἶναί μοι μήτε δυνατὸν παραλιπεῖν τὰς τοιαύτας πράξεις, ἐξ ὧν οἷόν τ' ἐστὶν ἐπιδεικνύναι πλείονος ἀξίαν τὴν πόλιν ἡμῶν γεγενημένην περὶ τοὺς Ἕλληνας τῆς Λακεδαιμονίων, οὐ κατασιωπητέον οὐδὲ περὶ τῶν ἄλλων κακῶν τῶν οὔπω μὲν εἰρημένων, ἐν δὲ τοῖς Ἕλλησι γεγενημένων, ἀλλ' ἐπιδεικτέον τοὺς μὲν ἡμετέρους ὀψιμαθεῖς αὐτῶν γεγενημένους, Λακεδαιμονίους δὲ τὰ μὲν πρώτους, τὰ δὲ μόνους ἐξαμαρτόντας. d

97 (λζ'.) Πλεῖστοι μὲν οὖν κατηγοροῦσιν ἀμφοῖν τοῖν πολέοιν, ὅτι προσποιούμεναι κινδυνεῦσαι πρὸς τοὺς βαρβάρους ὑπὲρ τῶν Ἑλλήνων οὐκ εἴασαν τὰς πόλεις αὐτονόμους εἶναι καὶ διοικῆσαι τὰ σφέτερ' αὐτῶν, ὅπως ἑκάστῃ συνέφερεν, ἀλλ' ὥσπερ αἰχμαλώτους e εἰληφυῖαι διελόμεναι κατεδουλώσαντο πάσας αὐτὰς, καὶ παραπλήσιον ἐποίησαν τοῖς παρὰ μὲν τῶν ἄλλων

τοὺς οἰκέτας εἰς ἐλευθερίαν ἀφαιρουμένοις, σφίσι δ'
98 αὐτοῖς δουλεύειν ἀναγκάζουσιν. (λη'.) Τοῦ δὲ λέ-
γεσθαι ταῦτα καὶ πολλῷ πλείω καὶ πικρότερα τούτων 253
οὐχ ἡμεῖς αἴτιοι γεγόναμεν, ἀλλ' οἱ νῦν μὲν ἐν τοῖς
λεγομένοις ἡμῖν ἀντιτεταγμένοι, τὸν δ' ἄλλον χρόνον
ἔνοχοι τοῖς πεπραγμένοις ἅπασιν. τοὺς μὲν γὰρ ἡμε-
τέρους προγόνους οὐδεὶς ἂν ἐπιδείξειεν ἐν τοῖς ἐπ-
έκεινα χρόνοις τοῖς ἀναριθμήτοις οὐδεμιᾶς πόλεως
οὔτε μείζονος οὔτ' ἐλάττονος ἄρχειν ἐπιχειρήσαντας·
Λακεδαιμονίους δὲ πάντες ἴσασιν, ἀφ' οὗπερ εἰς Πε-
λοπόννησον εἰσῆλθον, οὐδὲν ἄλλο πράττοντας οὐδὲ b
βουλευομένους, πλὴν ὅπως μάλιστα μὲν ἁπάντων
99 ἄρξουσιν, εἰ δὲ μή, Πελοποννησίων. ἀλλὰ μὴν καὶ
τὰς στάσεις καὶ τὰς σφαγὰς καὶ τὰς τῶν πολιτειῶν
μεταβολάς, ἃς ἀμφοτέροις τινὲς ἡμῖν ἐπιφέρουσιν,
ἐκεῖνοι μὲν ἂν φανεῖεν ἁπάσας τὰς πόλεις πλὴν ὀλί-
γων μεστὰς πεποιηκότες τῶν τοιούτων συμφορῶν καὶ
νοσημάτων, τὴν δ' ἡμετέραν πόλιν οὐδεὶς ἂν οὐδ'
εἰπεῖν τολμήσειε πρὸ τῆς ἀτυχίας τῆς ἐν Ἑλλησπόντῳ c
γενομένης ὡς τοιοῦτον ἐν τοῖς συμμάχοις τι διαπρα-
100 ξαμένην. ἀλλ' ἐπειδὴ Λακεδαιμόνιοι κύριοι καταστάν-
τες τῶν Ἑλλήνων πάλιν ἐξέπιπτον ἐκ τῶν πραγμάτων,
ἐν τούτοις τοῖς καιροῖς στασιαζουσῶν τῶν ἄλλων πό-
λεων δύ' ἢ τρεῖς τῶν στρατηγῶν τῶν ἡμετέρων, οὐ
γὰρ ἀποκρύψομαι τἀληθές, ἐξήμαρτον περί τινας
αὐτῶν ἐλπίζοντες, ἢν μιμήσωνται τὰς Σπαρτιατῶν
101 πράξεις, μᾶλλον αὐτὰς δυνήσεσθαι κατασχεῖν. ὥστε d
δικαίως ἂν ἐκείνοις μὲν ἅπαντες ἐγκαλέσειαν ὡς ἀρχη-
γοῖς γεγενημένοις καὶ διδασκάλοις τῶν τοιούτων γε-
γονόσιν ἔργων, τοῖς δ' ἡμετέροις ὥσπερ τῶν μαθητῶν
τοῖς ὑπὸ τῶν ὑπισχνουμένων ἐξηπατημένοις καὶ διη-
μαρτηκόσι τῶν ἐλπίδων εἰκότως ἂν συγγνώμην ἔχοιεν.

102 (λθ'.) Τὸ τοίνυν τελευταῖον, ὃ μόνοι καὶ καθ'
αὑτοὺς ἔπραξαν, τίς οὐκ οἶδεν, ὅτι κοινῆς ἡμῖν τῆς
ἔχθρας ὑπαρχούσης τῆς πρὸς τοὺς βαρβάρους καὶ τοὺς e
βασιλέας αὐτῶν, ἡμεῖς μὲν ἐν πολέμοις πολλοῖς γι-
γνόμενοι καὶ μεγάλαις συμφοραῖς ἐνίοτε περιπίπτον-
τες καὶ τῆς χώρας ἡμῶν θαμὰ πορθουμένης καὶ τε-
μνομένης οὐδεπώποτ' ἐβλέψαμεν πρὸς τὴν ἐκείνων
φιλίαν καὶ συμμαχίαν, ἀλλ' ὑπὲρ ὧν τοῖς Ἕλλησιν
ἐπεβούλευσαν μισοῦντες αὐτοὺς διετελέσαμεν μᾶλλον
103 ἢ τοὺς ἐν τῷ παρόντι κακῶς ἡμᾶς ποιοῦντας· Λακε- 254
δαιμόνιοι δ' οὔτε πάσχοντες κακὸν οὐδὲν οὔτε μέλ-
λοντες οὔτε δεδιότες εἰς τοῦτ' ἀπληστίας ἦλθον, ὥστ'
οὐκ ἐξήρκεσεν αὐτοῖς ἔχειν τὴν κατὰ γῆν ἀρχὴν, ἀλλὰ
καὶ τὴν κατὰ θάλατταν δύναμιν οὕτως ἐπεθύμησαν
λαβεῖν, ὥστε κατὰ τοὺς αὐτοὺς χρόνους τούς τε συμ-
μάχους τοὺς ἡμετέρους ἀφίστασαν ἐλευθερώσειν αὐ-
τοὺς ὑπισχνούμενοι, καὶ βασιλεῖ περὶ φιλίας διελέ-
γοντο καὶ συμμαχίας, παραδώσειν αὐτῷ φάσκοντες
104 ἅπαντας τοὺς ἐπὶ τῆς Ἀσίας κατοικοῦντας· πίστεις δὲ b
δόντες τούτοις ἀμφοτέροις καὶ καταπολεμήσαντες
ἡμᾶς, οὓς μὲν ἐλευθερώσειν ὤμοσαν, κατεδουλώσαντο
μᾶλλον ἢ τοὺς Εἵλωτας, βασιλεῖ δὲ τοιαύτην χάριν
ἀπέδοσαν, ὥστ' ἔπεισαν τὸν ἀδελφὸν αὐτοῦ Κῦρον
ὄντα νεώτερον ἀμφισβητεῖν τῆς βασιλείας, καὶ στρα-
τόπεδον αὐτῷ συναγαγόντες, στρατηγὸν Κλέαρχον
105 ἐπιστήσαντες, ἀνέπεμψαν ἐπ' ἐκεῖνον· ἀτυχήσαντες
δ' ἐν τούτοις καὶ γνωσθέντες, ὧν ἐπεθύμουν, καὶ c
μισηθέντες ὑπὸ πάντων εἰς πόλεμον καὶ ταραχὰς το-
σαύτας κατέστησαν, ὅσας εἰκὸς τοὺς καὶ περὶ τοὺς
Ἕλληνας καὶ τοὺς βαρβάρους ἐξημαρτηκότας. περὶ
ὧν οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγοντα διατρίβειν, πλὴν
ὅτι καταναυμαχηθέντες ὑπό τε τῆς βασιλέως δυνάμεως

καὶ τῆς Κόνωνος στρατηγίας τοιαύτην ἐποιήσαντο τὴν
106 εἰρήνην, ἧς οὐδεὶς ἂν ἐπιδείξειεν οὔτ' αἰσχίω πώποτε
γενομένην οὔτ' ἐπονειδιστοτέραν οὔτ' ὀλιγωροτέραν d
τῶν Ἑλλήνων οὔτ' ἐναντιωτέραν τοῖς λεγομένοις ὑπό
τινων περὶ τῆς ἀρετῆς τῆς Λακεδαιμονίων· οἵτινες,
ὅτε μὲν αὐτοὺς ὁ βασιλεὺς δεσπότας τῶν Ἑλλήνων
κατέστησεν, ἀφελέσθαι τὴν βασιλείαν αὐτοῦ καὶ τὴν
εὐδαιμονίαν ἅπασαν ἐπεχείρησαν, ἐπειδὴ δὲ καταναυ-
μαχήσας ταπεινοὺς ἐποίησεν, οὐ μικρὸν μέρος αὐτῷ
τῶν Ἑλλήνων παρέδωκαν ἀλλὰ πάντας τοὺς τὴν
107 Ἀσίαν οἰκοῦντας, διαρρήδην γράψαντες χρῆσθαι τοῦθ' e
ὅ τι ἂν αὐτὸς βούληται, καὶ οὐκ ᾐσχύνθησαν τοι-
αύτας ποιούμενοι τὰς ὁμολογίας περὶ ἀνδρῶν, οἷς
χρώμενοι συμμάχοις ἡμῶν τε περιεγένοντο καὶ τῶν
Ἑλλήνων κύριοι κατέστησαν καὶ τὴν Ἀσίαν ἅπασαν
ἤλπισαν κατασχήσειν, ἀλλὰ τὰς τοιαύτας συνθήκας 255
αὐτοί τ' ἐν τοῖς ἱεροῖς τοῖς σφετέροις αὐτῶν ἀνέγρα-
ψαν καὶ τοὺς συμμάχους ἠνάγκασαν.
108 (μ'.) Τοὺς μὲν οὖν ἄλλους οὐκ οἶμαι πράξεων
ἑτέρων ἐπιθυμήσειν ἀκούειν ἀλλ' ἐκ τῶν εἰρημένων
ἱκανῶς μεμαθηκέναι νομιεῖν, ὁποία τις τοῖν πολέοιν
ἑκατέρα περὶ τοὺς Ἕλληνας γέγονεν· ἐγὼ δ' οὐχ οὕτω
τυγχάνω διακείμενος, ἀλλ' ἡγοῦμαι τὴν ὑπόθεσιν, ἣν
ἐποιησάμην, ἄλλων τε πολλῶν προσδεῖσθαι λόγων b
καὶ μάλιστα τῶν ἐπιδειξόντων τὴν ἄνοιαν τῶν ἀντι-
λέγειν τοῖς εἰρημένοις ἐπιχειρησόντων· οὓς οἶμαι
109 ῥᾳδίως εὑρήσειν. (μα'.) Τῶν γὰρ ἀποδεχομένων
ἁπάσας τὰς Λακεδαιμονίων πράξεις τοὺς μὲν βελ-
τίστους αὐτῶν ἡγοῦμαι καὶ πλεῖστον νοῦν ἔχοντας
τὴν μὲν Σπαρτιατῶν πολιτείαν ἐπαινέσεσθαι καὶ τὴν
αὐτὴν γνώμην ἕξειν περὶ αὐτῆς, ἥνπερ πρότερον, περὶ
δὲ τῶν εἰς τοὺς Ἕλληνας πεπραγμένων ὁμονοήσειν c

110 *τοῖς ὑπ᾽ ἐμοῦ λεγομένοις, τοὺς δὲ φαυλοτέρους οὐ
μόνον τούτων ὄντας ἀλλὰ καὶ τῶν πολλῶν, καὶ περὶ
μὲν ἄλλου πράγματος οὐδενὸς ἂν οἵους τε γενομένους
ἀνεκτῶς εἰπεῖν, περὶ δὲ Λακεδαιμονίων οὐ δυναμένους
σιωπᾶν ἀλλὰ προσδοκῶντας, ἢν ὑπερβάλλοντας τοὺς
ἐπαίνους περὶ ἐκείνων ποιῶνται, τὴν αὐτὴν λήψεσθαι
δόξαν τοῖς ἁδροτέροις αὐτῶν καὶ πολὺ βελτίοσιν εἶναι
111 δοκοῦσι· τοὺς δὴ τοιούτους, ἐπειδὰν αἴσθωνται τοὺς d
τόπους ἅπαντας προκατειλημμένους καὶ μηδὲ πρὸς
ἓν ἀντειπεῖν ἔχωσι τῶν εἰρημένων, ἐπὶ τὸν λόγον
οἶμαι τρέψεσθαι τὸν περὶ τῶν πολιτειῶν, καὶ παρα-
βάλλοντας τἀκεῖ καθεστῶτα τοῖς ἐνθάδε, καὶ μάλιστα
τὴν σωφροσύνην καὶ πειθαρχίαν πρὸς τὰς παρ᾽ ἡμῖν
ὀλιγωρίας, ἐκ τούτων ἐγκωμιάσειν τὴν Σπάρτην.
112 (μβʹ.) Ἣν δὴ τοιοῦτον ἐπιχειρῶσί τι ποιεῖν, προσήκει e
τοὺς εὖ φρονοῦντας ληρεῖν νομίζειν αὐτούς. ἐγὼ γὰρ
ὑπεθέμην οὐχ ὡς περὶ τῶν πολιτειῶν διαλεξόμενος
ἀλλ᾽ ὡς ἐπιδείξων τὴν πόλιν ἡμῶν πολὺ πλείονος
ἀξίαν Λακεδαιμονίων περὶ τοὺς Ἕλληνας γεγενημέ-
νην. ἢν μὲν οὖν ἀναιρῶσί τι τούτων ἢ πράξεις ἑτέρας
κοινὰς λέγωσι, περὶ ἃς ἐκεῖνοι βελτίους ἡμῶν γεγό-
νασιν, εἰκότως ἂν ἐπαίνου τυγχάνοιεν· ἢν δὲ λέγειν 256
ἐπιχειρῶσι, περὶ ὧν ἐγὼ μηδεμίαν μνείαν ποιησαίμην,
δικαίως ἂν ἅπασιν ἀναισθήτως ἔχειν δοκοῖεν. (μγʹ.)
113 Οὐ μὴν ἀλλ᾽ ἐπειδή περ αὐτοὺς οἶμαι τὸν λόγον τὸν
περὶ τῶν πολιτειῶν εἰς τὸ μέσον ἐμβαλεῖν, οὐκ ὀ-
κνήσω διαλεχθῆναι περὶ αὐτῶν· οἶμαι γὰρ ἐν αὐτοῖς
τούτοις τὴν πόλιν ἡμῶν ἐπιδείξειν πλέον διενεγκοῦ-
σαν ἢ τοῖς ἤδη προειρημένοις.
114 (μδʹ.) Καὶ μηδεὶς ὑπολάβῃ με ταῦτ᾽ εἰρηκέναι
περὶ ταύτης τῆς πολιτείας, ἣν ἀναγκασθέντες μετ-
ελάβομεν, ἀλλὰ περὶ τῆς τῶν προγόνων, ἧς οὐ κατα- b*

φρονήσαντες οἱ πατέρες ἡμῶν ἐπὶ τὴν νῦν καθεστη-
κυῖαν ὥρμησαν, ἀλλὰ περὶ μὲν τὰς ἄλλας πράξεις πολὺ
σπουδαιοτέραν ἐκείνην προκρίναντες, περὶ δὲ τὴν δύ-
ναμιν τὴν κατὰ θάλατταν, ταύτην χρησιμωτέραν εἶναι
νομίζοντες, ἣν λαβόντες καὶ καλῶς ἐπιμεληθέντες οἷοί
τ' ἐγένοντο καὶ τὰς ἐπιβουλὰς τὰς Σπαρτιατῶν ἀμύ-
νασθαι καὶ τὴν Πελοποννησίων ἁπάντων ῥώμην, ὧν
κατήπειγε τὴν πόλιν περὶ ἐκεῖνον τὸν χρόνον μάλιστα c
115 περιγενέσθαι πολεμοῦσαν. ὥστ' οὐδεὶς ἂν δικαίως
ἐπιτιμήσειε τοῖς ἑλομένοις αὐτήν· οὐ γὰρ διήμαρτον
τῶν ἐλπίδων, οὐδ' ἠγνόησαν οὐδὲν οὔτε τῶν ἀγαθῶν
οὔτε τῶν κακῶν τῶν προσόντων ἑκατέρᾳ τῶν δυνά-
μεων, ἀλλ' ἀκριβῶς ᾔδεσαν τὴν μὲν κατὰ γῆν ἡγεμο-
νίαν ὑπ' εὐταξίας καὶ σωφροσύνης καὶ πειθαρχίας καὶ
τῶν ἄλλων τῶν τοιούτων μελετωμένην, τὴν δὲ κατὰ
116 θάλατταν δύναμιν οὐκ ἐκ τούτων αὐξανομένην ἀλλ' d
ἔκ τε τῶν τεχνῶν τῶν περὶ τὰς ναῦς καὶ τῶν ἐλαύνειν
αὐτὰς δυναμένων καὶ τῶν τὰ σφέτερα μὲν αὑτῶν ἀπο-
λωλεκότων, ἐκ δὲ τῶν ἀλλοτρίων πορίζεσθαι τὸν βίον
εἰθισμένων· ὧν εἰσπεσόντων εἰς τὴν πόλιν οὐκ ἄδη-
λος ἦν ὅ τε κόσμος ὁ τῆς πολιτείας τῆς πρότερον ὑπαρ-
χούσης λυθησόμενος, ἥ τε τῶν συμμάχων εὔνοια τα-
χέως ληψομένη μεταβολήν, ὅταν οἷς πρότερον χώρας
ἐδίδοσαν καὶ πόλεις, τούτους ἀναγκάζωσι συντάξεις e
καὶ φόρους ὑποτελεῖν, ἵν' ἔχωσι μισθὸν διδόναι τοῖς
117 τοιούτοις, οἵους ὀλίγῳ πρότερον εἶπον. ἀλλ' ὅμως
οὐδὲν ἀγνοοῦντες τῶν προειρημένων ἐνόμιζον τῇ πό-
λει, τῇ τηλικαύτῃ μὲν τὸ μέγεθος, τοιαύτην δ' ἐχού-
σῃ δόξαν, λυσιτελεῖν καὶ πρέπειν ἁπάσας ὑπομεῖναι
τὰς δυσχερείας μᾶλλον ἢ τὴν Λακεδαιμονίων ἀρχήν· 257
δυοῖν γὰρ πραγμάτοιν προτεινομένοιν μὴ σπουδαίοιν,
κρείττω τὴν αἵρεσιν εἶναι τοῦ δεινὰ ποιεῖν ἑτέρους ἢ

πάσχειν αὐτοὺς καὶ τοῦ μὴ δικαίως τῶν ἄλλων ἄρχειν
μᾶλλον ἢ φεύγοντας τὴν αἰτίαν ταύτην ἀδίκως Λακε–
118 δαιμονίοις δουλεύειν. ἅπερ ἅπαντες μὲν ἂν οἱ νοῦν
ἔχοντες ἕλοιντο καὶ βουληθεῖεν, ὀλίγοι δ' ἄν τινες τῶν
προσποιουμένων εἶναι σοφῶν ἐρωτηθέντες οὐκ ἂν
φήσειαν. αἱ μὲν οὖν αἰτίαι, δι' ἃς μετέλαβον τὴν πο– b
λιτείαν τὴν ὑπό τινων ψεγομένην ἀντὶ τῆς ὑπὸ πάν–
των ἐπαινουμένης, διὰ μακροτέρων μὲν αὐτὰς διῆλ–
θον, αὗται δ' οὖν ἦσαν.
119 (με'.) Ἤδη δὲ περὶ θ' ἧς ὑπεθέμην καὶ τῶν προγό–
νων ποιήσομαι τοὺς λόγους, ἐκείνων τῶν χρόνων ἐπι–
λαβόμενος, ὅτ' οὐκ ἦν οὔτ' ὀλιγαρχίας οὔτε δημοκρα–
τίας ὄνομά πω λεγόμενον, ἀλλὰ μοναρχίαι καὶ τὰ γένη c
τὰ τῶν βαρβάρων καὶ τὰς πόλεις τὰς Ἑλληνίδας ἁπά–
120 σας διῴκουν. διὰ τοῦτο δὲ προειλόμην πορρωτέρωθεν
ποιήσασθαι τὴν ἀρχήν, πρῶτον μὲν ἡγούμενος προσ–
ήκειν τοῖς ἀμφισβητοῦσιν ἀρετῆς εὐθὺς ἀπὸ γενεᾶς
διαφέροντας εἶναι τῶν ἄλλων, ἔπειτ' αἰσχυνόμενος,
εἰ περὶ ἀνδρῶν ἀγαθῶν μέν, οὐδὲν δέ μοι προσηκόν–
των πλείω διαλεχθεὶς τῶν μετρίων, περὶ τῶν προγόνων
τῶν τὴν πόλιν κάλλιστα διοικησάντων μηδὲ μικρὰν d
121 ποιήσομαι μνείαν, οἳ τοσοῦτον βελτίους ἐγένοντο τῶν
τοιαύτας δυναστείας ἐχόντων, ὅσον περ ἄνδρες οἱ
φρονιμώτατοι καὶ πραότατοι διενέγκοιεν ἂν θηρίων
τῶν ἀγριωτάτων καὶ πλείστης ὠμότητος μεστῶν.
(μς'.) Τί γὰρ οὐκ ἂν εὕροιμεν τῶν ὑπερβαλλόντων
ἀνοσιότητι καὶ δεινότητι πεπραγμένον ἐν ταῖς ἄλλαις
πόλεσι, καὶ μάλιστ' ἐν ταῖς μεγίσταις καὶ τότε νομι–
ζομέναις καὶ νῦν εἶναι δοκούσαις; οὐ φόνους ἀδελφῶν e
122 καὶ πατέρων καὶ ξένων παμπληθεῖς γεγενημένους; οὐ
σφαγὰς μητέρων καὶ μίξεις καὶ παιδοποιίας, ἐξ ὧν
ἐτύγχανον αὐτοὶ πεφυκότες; οὐ παίδων βρῶσιν ὑπὸ

τῶν οἰκειοτάτων ἐπιβεβουλευμένην; ουκ ἐκβολὰς ὧν ἐγέννησαν, καὶ καταποντισμοὺς καὶ τυφλώσεις καὶ 258
τοσαύτας τὸ πλῆθος κακοποιίας ὥστε μηδένα πώποτε ἀπορῆσαι τῶν εἰθισμένων καθ' ἕκαστον τὸν ἐνιαυτὸν εἰσφέρειν εἰς τὸ θέατρον τὰς τότε γεγενημένας συμφοράς;

123 *(μζ΄.) Ταῦτα δὲ διῆλθον, οὐκ ἐκείνους λοιδορῆσαι βουλόμενος ἀλλ' ἐπιδεῖξαι παρὰ τοῖς ἡμετέροις οὐ μόνον οὐδὲν τοιοῦτον γεγενημένον· τοῦτο μὲν γὰρ ἂν σημεῖον ἦν οὐκ ἀρετῆς, ἀλλ' ὡς οὐχ ὅμοιοι τὰς φύσεις ἦσαν τοῖς ἀνοσιωτάτοις γεγενημένοις· δεῖ δὲ τοὺς ἐπιχειροῦντας καθ' ὑπερβολήν τινας ἐπαινεῖν* b
μὴ τοῦτο μόνον ἐπιδεικνύναι, μὴ πονηροὺς ὄντας αὐτοὺς, ἀλλ' ὡς ἁπάσαις ταῖς ἀρεταῖς καὶ τῶν τότε καὶ τῶν νῦν διήνεγκαν. ἅπερ ἔχοι τις ἂν καὶ περὶ τῶν
124 *προγόνων τῶν ἡμετέρων εἰπεῖν. (μη΄.) Οὕτω γὰρ ὁσίως καὶ καλῶς καὶ τὰ περὶ τὴν πόλιν καὶ τὰ περὶ σφᾶς αὐτοὺς διῴκησαν, ὥσπερ προσῆκον ἦν τοὺς ἀπὸ θεῶν μὲν γεγονότας, πρώτους δὲ καὶ πόλιν οἰκήσαντας καὶ νόμοις χρησαμένους, ἅπαντα δὲ τὸν χρόνον ἠσκηκότας εὐσέβειαν μὲν περὶ τοὺς θεοὺς, δικαιοσύ-* c
νην δὲ περὶ τοὺς ἀνθρώπους, ὄντας δὲ μήτε μιγάδας μήτ' ἐπήλυδας ἀλλὰ μόνους αὐτόχθονας τῶν Ἑλλή-
125 *νων, καὶ ταύτην ἔχοντας τὴν χώραν τροφὸν, ἐξ ἧσπερ ἔφυσαν ἡμῖν, καὶ στέργοντας αὐτὴν ὁμοίως ὥσπερ οἱ βέλτιστοι τοὺς πατέρας καὶ τὰς μητέρας τὰς αὑτῶν, πρὸς δὲ τούτοις οὕτω θεοφιλεῖς ὄντας, ὥσθ' ὃ δοκεῖ χαλεπώτατον εἶναι καὶ σπανιώτατον, εὑρεῖν τινὰς τῶν οἴκων τῶν τυραννικῶν καὶ βασιλικῶν ἐπὶ τέτταρας ἢ* d
πέντε γενεὰς διαμείναντας, καὶ τοῦτο συμβῆναι μό-
126 *νοις ἐκείνοις. Ἐριχθόνιος μὲν γὰρ ὁ φὺς ἐξ Ἡφαίστου καὶ Γῆς παρὰ Κέκροπος ἄπαιδος ὄντος ἀρρένων παί-*

δων τὸν οἶκον καὶ τὴν βασιλείαν παρέλαβεν· ἐντεῦ-
θεν δ' ἀρξάμενοι πάντες οἱ γενόμενοι μετ' ἐκεῖνον,
ὄντες οὐκ ὀλίγοι, τὰς κτήσεις τὰς αὑτῶν καὶ τὰς δυ-
ναστείας τοῖς αὑτῶν παισὶ παρέδοσαν μέχρι Θησέως.
(μθ'.) Περὶ οὗ πρὸ πολλοῦ ἂν ἐποιησάμην μὴ διει- e
λέχθαι πρότερον περὶ τῆς ἀρετῆς καὶ τῶν πεπραγμέ-
νων αὐτῷ· πολὺ γὰρ ἂν μᾶλλον ἥρμοσεν ἐν τῷ λόγῳ
127 τῷ περὶ τῆς πόλεως διελθεῖν περὶ αὐτῶν. ἀλλὰ γὰρ
χαλεπὸν ἦν, μᾶλλον δ' ἀδύνατον, τὰ κατ' ἐκεῖνον
ἐπελθόντα τὸν χρόνον εἰς τοῦτον ἀποθέσθαι τὸν και- 259
ρὸν, ὃν οὐ προῄδειν ἐσόμενον· ἐκεῖνα μὲν οὖν ἐάσο-
μεν, ἐπειδὴ πρὸς τὸ παρὸν αὐτοῖς κατεχρησάμην, μιᾶς
δὲ μόνον μνησθήσομαι πράξεως, ἣ συμβέβηκε μήτ'
εἰρῆσθαι πρότερον μήτε πεπρᾶχθαι μηθ' ὑφ' ἑνὸς
ἄλλου πλὴν ὑπὸ Θησέως, σημεῖον δ' εἶναι μέγιστον
128 τῆς ἀρετῆς τῆς ἐκείνου καὶ φρονήσεως. (ν'.) Ἔχων γὰρ
βασιλείαν ἀσφαλεστάτην καὶ μεγίστην, ἐν ᾗ πολλὰ καὶ
καλὰ διαπεπραγμένος ἦν καὶ κατὰ πόλεμον καὶ περὶ b
διοίκησιν τῆς πόλεως, ἅπαντα ταῦθ' ὑπερεῖδεν, καὶ
μᾶλλον εἵλετο τὴν δόξαν τὴν ἀπὸ τῶν πόνων καὶ τῶν
ἀγώνων εἰς ἅπαντα τὸν χρόνον μνημονευθησομένην
ἢ τὴν ῥαθυμίαν καὶ τὴν εὐδαιμονίαν τὴν διὰ τὴν βα-
129 σιλείαν ἐν τῷ παρόντι γιγνομένην. καὶ ταῦτ' ἔπραξεν,
οὐκ ἐπειδὴ πρεσβύτερος γενόμενος ἀπολελαυκὼς ἦν
τῶν ἀγαθῶν τῶν παρόντων, ἀλλ' ἀκμάζων τὴν μὲν
πόλιν, ὡς λέγεται, διοικεῖν τῷ πλήθει παρέδωκεν, αὐ- c
τὸς δ' ὑπὲρ ταύτης τε καὶ τῶν ἄλλων Ἑλλήνων διετέ-
λει κινδυνεύων.

130 (να'.) Περὶ μὲν οὖν τῆς Θησέως ἀρετῆς νῦν μὲν
ὡς οἷόν τ' ἦν ἀνεμνήσαμεν, πρότερον δ' ἁπάσας αὐ-
τοῦ τὰς πράξεις οὐκ ἀμελῶς διήλθομεν· περὶ δὲ τῶν
παραλαβόντων τὴν τῆς πόλεως διοίκησιν, ἣν ἐκεῖνος

παρέδωκεν, οὐκ ἔχω, τίνας ἐπαίνους εἰπὼν ἀξίους ἂν
εἴην εἰρηκὼς τῆς ἐκείνων διανοίας. οἵτινες ἄπειροι
πολιτειῶν ὄντες, οὐ διήμαρτον αἱρούμενοι τῆς ὑπὸ d
πάντων ἂν ὁμολογηθείσης οὐ μόνον εἶναι κοινοτάτης
καὶ δικαιοτάτης ἀλλὰ καὶ συμφορωτάτης ἅπασι καὶ
131 τοῖς χρωμένοις ἡδίστης. κατεστήσαντο γὰρ δημοκρα-
τίαν οὐ τὴν εἰκῇ πολιτευομένην καὶ νομίζουσαν τὴν
μὲν ἀκολασίαν ἐλευθερίαν εἶναι, τὴν δ' ἐξουσίαν ὅ τι
βούλεταί τις ποιεῖν εὐδαιμονίαν, ἀλλὰ τὴν τοῖς τοι-
ούτοις μὲν ἐπιτιμῶσαν, ἀριστοκρατίᾳ δὲ χρωμένην· e
ἣν οἱ μὲν πολλοὶ χρησιμωτάτην οὖσαν ὥσπερ τὴν ἀπὸ
τῶν τιμημάτων ἐν ταῖς πολιτείαις ἀριθμοῦσιν, οὐ δι'
ἀμαθίαν ἀγνοοῦντες, ἀλλὰ διὰ τὸ μηδὲν πώποτ' αὐ-
132 τοῖς μελῆσαι τῶν δεόντων. (νβ'.) Ἐγὼ δὲ φημὶ τὰς
μὲν ἰδέας τῶν πολιτειῶν τρεῖς εἶναι μόνας, ὀλιγαρχίαν,
δημοκρατίαν, μοναρχίαν, τῶν δ' ἐν ταύταις οἰκούν- 260
των ὅσοι μὲν εἰώθασιν ἐπὶ τὰς ἀρχὰς καθιστάναι καὶ
τὰς ἄλλας πράξεις τοὺς ἱκανωτάτους τῶν πολιτῶν καὶ
τοὺς μέλλοντας ἄριστα καὶ δικαιότατα τῶν πραγμά-
των ἐπιστατήσειν, τούτους μὲν ἐν ἁπάσαις ταῖς πολι-
τείαις καλῶς οἰκήσειν καὶ πρὸς σφᾶς αὐτοὺς καὶ πρὸς
133 τοὺς ἄλλους· τοὺς δὲ τοῖς θρασυτάτοις καὶ πονηρο-
τάτοις ἐπὶ ταῦτα χρωμένους, καὶ τῶν μὲν τῇ πόλει b
συμφερόντων μηδὲν φροντίζουσιν, ὑπὲρ δὲ τῆς αὑτῶν
πλεονεξίας ἑτοίμοις οὖσιν ὁτιοῦν πάσχειν, τὰς δὲ τού-
των πόλεις ὁμοίως οἰκήσεσθαι ταῖς τῶν προεστώτων
πονηρίαις· τοὺς δὲ μήθ' οὕτω μήθ' ὡς πρότερον εἶ-
πον, ἀλλ' ὅταν μὲν θαρρῶσι, τούτους μάλιστα τιμῶν-
τας τοὺς πρὸς χάριν λέγοντας, ὅταν δὲ δείσωσιν, ἐπὶ
τοὺς βελτίστους καὶ φρονιμωτάτους καταφεύγοντας, c
τοὺς δὲ τοιούτους ἐναλλὰξ τοτὲ μὲν χεῖρον, τοτὲ δὲ
134 βέλτιον πράξειν. (νγ'.) Αἱ μὲν οὖν φύσεις καὶ δυνά-

μεις τῶν πολιτειῶν οὕτως ἔχουσιν, ἡγοῦμαι δὲ ταῦτα μὲν ἑτέροις πολὺ πλείους λόγους παρέξειν τῶν νῦν εἰρημένων, ἐμοὶ δ' οὐκέτι περὶ ἁπασῶν αὐτῶν εἶναι διαλεκτέον ἀλλὰ περὶ μόνης τῆς τῶν προγόνων· ταύτην γὰρ ὑπεσχόμην ἐπιδείξειν σπουδαιοτέραν καὶ πλειόνων ἀγαθῶν αἰτίαν οὖσαν τῆς ἐν Σπάρτῃ καθεστη- d
135 κυίας. (νδ'.)Ἔσται δ' ὁ λόγος τοῖς μὲν ἡδέως ἂν ἀκούσασι πολιτείαν χρηστὴν ἐμοῦ διεξιόντος οὔτ' ὀχληρὸς οὔτ' ἄκαιρος ἀλλὰ σύμμετρος καὶ προσήκων τοῖς πρότερον εἰρημένοις, τοῖς δὲ μὴ χαίρουσι τοῖς μετὰ πολλῆς σπουδῆς εἰρημένοις ἀλλὰ τοῖς ἐν ταῖς πανηγύρεσι μάλιστα μὲν λοιδορουμένοις, ἢν δ' ἀπόσχωνται τῆς μανίας ταύτης, ἐγκωμιάζουσιν ἢ τὰ φαυλότατα τῶν ὄντων ἢ τοὺς παρανομωτάτους τῶν γεγενημένων, τούτοις δ' αὐτὸν οἶμαι δόξειν πολὺ μακρότερον εἶναι τοῦ e
136 δέοντος. ἐμοὶ δὲ τῶν μὲν τοιούτων ἀκροατῶν οὐδὲν πώποτ' ἐμέλησεν, οὐδὲ τοῖς ἄλλοις τοῖς εὖ φρονοῦσιν, ἐκεῖνα δὲ τῶν ἅ τε προεῖπον πρὸ ἅπαντος τοῦ λόγου μνημονευσόντων, τῷ τε πλήθει τῶν λεγομένων οὐκ 261
ἐπιτιμησόντων, οὐδ' ἢν μυρίων ἐπῶν ᾖ τὸ μῆκος, ἀλλ' ἐφ' αὑτοῖς εἶναι νομιούντων τοσοῦτον ἀναγνῶναι μέρος καὶ διελθεῖν, ὁπόσον ἂν αὐτοὶ βουληθῶσιν, πάντων δὲ μάλιστα τῶν οὐδενὸς ἂν ἥδιον ἀκουόντων ἢ λόγου διεξιόντος ἀνδρῶν ἀρετὰς καὶ πόλεως τρόπον
137 καλῶς οἰκουμένης, ἅπερ εἰ μιμήσασθαί τινες βουληθεῖεν καὶ δυνηθεῖεν, αὐτοί τ' ἂν ἐν μεγάλῃ δόξῃ τὸν βίον διαγάγοιεν καὶ τὰς πόλεις τὰς αὑτῶν εὐδαίμονας ποιήσειαν. οἵους μὲν οὖν εὐξαίμην ἂν εἶναι τοὺς b
ἀκουσομένους τῶν ἐμῶν, εἴρηκα, δέδοικα δὲ μὴ τοιούτων γενομένων πολὺ καταδεέστερον εἴπω τῶν πραγμάτων, περὶ ὧν μέλλω ποιεῖσθαι τοὺς λόγους. ὅμως δ' οὕτως, ὅπως ἂν οἷός τ' ὦ, πειράσομαι δια-

138 λεχθῆναι περὶ αὐτῶν. (νε΄.) Τοῦ μὲν οὖν διαφερόν-
τως τῶν ἄλλων οἰκεῖσθαι τὴν πόλιν ἡμῶν κατ' ἐκεῖ-
νον τὸν χρόνον δικαίως ἂν ἐπενέγκοιμεν τὴν αἰτίαν
τοῖς βασιλεύσασιν αὐτῆς, περὶ ὧν ὀλίγῳ πρότερον c
διελέχθην. ἐκεῖνοι γὰρ ἦσαν οἱ παιδεύσαντες τὸ πλῆ-
θος ἐν ἀρετῇ καὶ πολλῇ σωφροσύνῃ, καὶ διδάξαντες
ἐξ ὧν διῴκουν, ἅπερ ἐγὼ φανείην ἂν ὕστερον εἰρηκὼς
ἢ 'κεῖνοι πράξαντες, ὅτι πᾶσα πολιτεία ψυχὴ πόλεώς
ἐστι, τοσαύτην ἔχουσα δύναμιν, ὅσην περ ἐν σώματι
φρόνησις· αὕτη γάρ ἐστιν ἡ βουλευομένη περὶ ἁπάν-
των, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττουσα, τὰς δὲ συμ-
φορὰς διαφεύγουσα, καὶ πάντων αἰτία τῶν ταῖς πόλεσι d
139 συμβαινόντων. (νς΄.) Ἃ μαθὼν ὁ δῆμος οὐκ ἐπελά-
θετο διὰ τὴν μεταβολήν, ἀλλὰ μᾶλλον τούτῳ προσ-
εῖχεν [τὸν νοῦν] ἢ τοῖς ἄλλοις, ὅπως λήψεται τοὺς ἡγε-
μόνας δημοκρατίας μὲν ἐπιθυμοῦντας, τὸ δ' ἦθος
τοιοῦτον ἔχοντας, οἷόν περ οἱ πρότερον ἐπιστατοῦντες
αὐτῶν, καὶ μὴ λήσουσι σφᾶς αὐτοὺς κυρίους ἁπάντων
τῶν κοινῶν καταστήσαντες, οἷς οὐδεὶς ἂν οὐδὲν τῶν
140 ἰδίων ἐπιτρέψειεν, μηδὲ περιόψονται πρὸς τὰ τῆς πό- e
λεως προσιόντας τοὺς ὁμολογουμένως ὄντας πονηρούς,
μηδ' ἀνέξονται τὴν φωνὴν τῶν τὰ μὲν σώματα τὰ
σφέτερ' αὐτῶν ἐπονειδίστως διατιθεμένων, συμβου-
λεύειν δὲ τοῖς ἄλλοις ἀξιούντων, ὃν τρόπον τὴν πόλιν
διοικοῦντες σωφρονοῖεν ἂν καὶ βέλτιον πράττοιεν, 262
μηδὲ τῶν ἃ μὲν παρὰ τῶν πατέρων παρέλαβον εἰς αἰ-
σχρὰς ἡδονὰς ἀνηλωκότων, ἐκ δὲ τῶν κοινῶν ταῖς
ἰδίαις ἀπορίαις βοηθεῖν ζητούντων, μηδὲ τῶν πρὸς
χάριν μὲν ἀεὶ λέγειν γλιχομένων, εἰς πολλὰς δ' ἀηδίας
141 καὶ λύπας τοὺς πειθομένους ἐμβαλλόντων, ἀλλὰ τούς
τε τοιούτους ἅπαντας ἀπείργειν ἀπὸ τοῦ συμβουλεύ-
ειν ἕκαστος οἰήσεται δεῖν, καὶ πρὸς τούτοις ἐκείνους

τοὺς τὰ μὲν τῶν ἄλλων κτήματα τῆς πόλεως εἶναι b
φάσκοντας, τὰ δὲ ταύτης ἴδια κλέπτειν καὶ διαρπά-
ζειν τολμῶντας, καὶ φιλεῖν μὲν τὸν δῆμον προσποι-
ουμένους, ὑπὸ δὲ τῶν ἄλλων ἁπάντων αὐτὸν μισεῖ-
142 σθαι ποιοῦντας, καὶ λόγῳ μὲν δεδιότας ὑπὲρ τῶν
Ἑλλήνων, ἔργῳ δὲ λυμαινομένους καὶ συκοφαντοῦν-
τας καὶ διατιθέντας αὐτοὺς οὕτω πρὸς ἡμᾶς ὥστε τῶν
πόλεων τὰς εἰς τὸν πόλεμον καθισταμένας ἥδιον ἂν
καὶ θᾶττον ἐνίας εἰσδέξασθαι τοὺς πολιορκοῦντας ἢ
τὴν παρ' ἡμῶν βοήθειαν. ἀπείποι δ' ἄν τις γράφων, c
εἰ πάσας τὰς κακοηθείας καὶ πονηρίας ἐξαριθμεῖν ἐπι-
143 χειρήσειεν. (νζ'.) Ἃς ἐκεῖνοι μισήσαντες καὶ τοὺς
ἔχοντας αὐτὰς ἐποιοῦντο συμβούλους καὶ προστάτας
οὐ τοὺς τυχόντας ἀλλὰ τοὺς βελτίστους καὶ φρονιμω-
τάτους καὶ κάλλιστα βεβιωκότας, καὶ τοὺς αὐτοὺς τού-
τους στρατηγοὺς ᾑροῦντο καὶ πρέσβεις, εἴ που δεή-
σειεν, ἔπεμπον, καὶ πάσας τὰς ἡγεμονίας τὰς τῆς πό-
λεως αὐτοῖς παρεδίδοσαν, νομίζοντες τοὺς ἐπὶ τοῦ
βήματος βουλομένους καὶ δυναμένους τὰ βέλτιστα d
συμβουλεύειν, τούτους καὶ καθ' αὑτοὺς γενομένους
ἐν ἅπασι τοῖς τόποις καὶ περὶ ἁπάσας τὰς πράξεις
τὴν αὐτὴν γνώμην ἕξειν· ἅπερ αὐτοῖς συνέβαινεν.
144 (νη'.) Διὰ γὰρ τὸ ταῦτα γιγνώσκειν ἐν ὀλίγαις ἡμέ-
ραις ἑώρων τούς τε νόμους ἀναγεγραμμένους, οὐχ
ὁμοίους τοῖς νῦν κειμένοις, οὐδὲ τοσαύτης ταραχῆς
καὶ τοσούτων ἐναντιώσεων μεστοὺς ὥστε μηδέν' ἂν
δυνηθῆναι συνιδεῖν μήτε τοὺς χρησίμους μήτε τοὺς e
ἀχρήστους αὐτῶν, ἀλλὰ πρῶτον μὲν ὀλίγους, ἱκανοὺς
δὲ τοῖς χρῆσθαι μέλλουσι καὶ ῥᾳδίους [συνιδεῖν], ἔπει-
τα δικαίους καὶ συμφέροντας καὶ σφίσιν αὐτοῖς ὁμο-
λογουμένους, καὶ μᾶλλον ἐσπουδασμένους τοὺς περὶ
τῶν κοινῶν ἐπιτηδευμάτων ἢ τοὺς περὶ τῶν ἰδίων 2

συμβολαίων, οἵους περ εἶναι χρὴ παρὰ τοῖς καλῶς
145 πολιτευομένοις. περὶ δὲ τοὺς αὐτοὺς χρόνους καθί-
στασαν ἐπὶ τὰς ἀρχὰς τοὺς προκριθέντας ὑπὸ τῶν φυ-
λετῶν καὶ δημοτῶν, οὐ περιμαχήτους αὐτὰς ποιήσαντες
οὐδ' ἐπιθυμίας ἀξίας, ἀλλὰ πολὺ μᾶλλον λειτουργίαις
ὁμοίας ταῖς ἐνοχλούσαις μὲν, οἷς ἂν προσταχθῶσι, τι-
μὴν δέ τινα περιτιθείσαις αὐτοῖς· ἔδει γὰρ τοὺς ἄρ-
χειν αἱρεθέντας τῶν τε κτημάτων τῶν ἰδίων ἀμελεῖν b
καὶ τῶν λημμάτων τῶν εἰθισμένων δίδοσθαι ταῖς
ἀρχαῖς ἀπέχεσθαι μηδὲν ἧττον ἢ τῶν ἱερῶν, ἃ τίς ἂν
146 ἐν τοῖς νῦν καθεστῶσιν ὑπομείνειεν; καὶ τοὺς μὲν
ἀκριβεῖς περὶ ταύτας γιγνομένους μετρίως ἐπαινεθέν-
τας ἐφ' ἑτέραν ἐπιμέλειαν τάττεσθαι τοιαύτην, τοὺς
δὲ καὶ μικρὸν παραβάντας ταῖς ἐσχάταις αἰσχύναις
καὶ μεγίσταις ζημίαις περιπίπτειν· ὥστε μηδένα τῶν
πολιτῶν ὥσπερ νῦν διακεῖσθαι πρὸς τὰς ἀρχὰς ἀλλὰ c
147 μᾶλλον τότε ταύτας φεύγειν ἢ νῦν διώκειν, καὶ πάν-
τας νομίζειν μηδέποτ' ἂν γενέσθαι δημοκρατίαν ἀλη-
θεστέραν μηδὲ βεβαιοτέραν μηδὲ μᾶλλον τῷ πλήθει
συμφέρουσαν τῆς τῶν μὲν τοιούτων πραγματειῶν
ἀτέλειαν τῷ δήμῳ διδούσης, τοῦ δὲ τὰς ἀρχὰς κατα-
στῆσαι καὶ λαβεῖν δίκην παρὰ τῶν ἐξαμαρτόντων κύ-
ριον ποιούσης, ἅπερ ὑπάρχει καὶ τῶν τυράννων τοῖς
148 εὐδαιμονεστάτοις. (νθ'.) Σημεῖον δὲ μέγιστον, ὅτι d
ταῦτ' ἠγάπων μᾶλλον ἠγὼ λέγω· φαίνεται γὰρ ὁ δῆ-
μος ταῖς μὲν ἄλλαις πολιτείαις ταῖς οὐκ ἀρεσκούσαις
μαχόμενος καὶ καταλύων καὶ τοὺς προεστῶτας αὐτῶν
ἀποκτείνων, ταύτῃ δὲ χρώμενος οὐκ ἐλάττω χιλίων
ἐτῶν, ἀλλ' ἐμμείνας, ἀφ' οὗπερ ἔλαβε, μέχρι τῆς Σό-
λωνος μὲν ἡλικίας, Πεισιστράτου δὲ δυναστείας, ὃς
δημαγωγὸς γενόμενος καὶ πολλὰ τὴν πόλιν λυμηνά-
μενος καὶ τοὺς βελτίστους τῶν πολιτῶν ὡς ὀλιγαρχι-

κοὺς ὄντας ἐκβαλὼν, τελευτῶν τόν τε δῆμον κατέλυσε e
καὶ τύραννον αὑτὸν κατέστησεν.

149 (ξ΄.) Τάχ᾽ οὖν ἄν τινες ἄτοπον εἶναί με φήσειαν,
οὐδὲν γὰρ κωλύει διαλαβεῖν τὸν λόγον, ὅτι τολμῶ
λέγειν ὡς ἀκριβῶς εἰδὼς περὶ πραγμάτων, οἷς οὐ παρ- 26
ῆν πραττομένοις. ἐγὼ δ᾽ οὐδὲν τούτων ἄλογον οἶμαι
ποιεῖν. εἰ μὲν γὰρ μόνος ἐπίστευον τοῖς τε λεγομένοις
περὶ τῶν παλαιῶν καὶ τοῖς γράμμασι τοῖς ἐξ ἐκείνου
τοῦ χρόνου παραδεδομένοις ἡμῖν, εἰκότως ἂν ἐπιτι-
μῴμην· νῦν δὲ πολλοὶ καὶ νοῦν ἔχοντες ταὐτὸν ἐμοὶ
150 φανεῖεν ἂν πεπονθότες. χωρὶς δὲ τούτων, εἰ κατα-
σταίην εἰς ἔλεγχον καὶ λόγον, δυνηθείην ἂν ἐπιδεῖξαι
πάντας ἀνθρώπους πλείους ἐπιστήμας ἔχοντας διὰ b
τῆς ἀκοῆς ἢ τῆς ὄψεως, καὶ μείζους πράξεις καὶ καλ-
λίους εἰδότας, ἃς παρ᾽ ἑτέρων ἀκηκόασιν, ἢ 'κείνας,
αἷς αὐτοὶ παραγεγενημένοι τυγχάνουσιν. ἀλλὰ γὰρ
οὔτ᾽ ἀμελεῖν καλῶς ἔχει τῶν τοιούτων ὑπολήψεων,
τυχὸν γὰρ μηδενὸς ἀντειπόντος λυμήναιντ᾽ ἂν τὴν
ἀλήθειαν, οὔτ᾽ αὖ πολὺν χρόνον ἀντιλέγοντα δια-
τρίβειν ἐν αὐταῖς, ἀλλ᾽ ὅσον ὑποδείξαντας μόνον τοῖς
ἄλλοις, ἐξ ὧν ληροῦντας ἂν αὐτοὺς ἐπιδείξαιμεν, πά-
λιν ἐπανελθόντας περαίνειν καὶ λέγειν, ὅθεν ἀπέλι- c
πον· ὅπερ ἐγὼ ποιήσω.

151 (ξα΄.) Τὸ μὲν οὖν σύνταγμα τῆς τότε πολιτείας
καὶ τὸν χρόνον, ὅσον αὐτῇ χρώμενοι διετέλεσαν, ἐξ-
αρκούντως δεδηλώκαμεν· λοιπὸν δ᾽ ἡμῖν τὰς πράξεις
τὰς ἐκ τοῦ καλῶς πολιτεύεσθαι γεγενημένας διελθεῖν.
ἐκ τούτων γὰρ ἔτι μᾶλλον ἔσται καταμαθεῖν, ὅτι καὶ
τὴν πολιτείαν εἶχον ἡμῶν οἱ πρόγονοι βελτίω τῶν ἄλ-
λων καὶ σωφρονεστέραν, καὶ προστάταις καὶ συμβού- d
λοις ἐχρῶντο τοιούτοις, οἵοις χρὴ τοὺς εὖ φρονοῦντας.

152 (ξβ΄.) Οὐ μὴν οὐδὲ ταῦτά μοι πρότερον λεκτέον ἐστὶ,

πρὶν ἂν μικρὰ προείπω περὶ αὐτῶν. ἢν γὰρ ὑπερ-
ιδὼν τὰς ἐπιτιμήσεις τὰς τῶν οὐδὲν ἄλλο ποιεῖν ἢ
τοῦτο δυναμένων ἐφεξῆς διηγῶμαι περί τε τῶν ἄλλων
τῶν πεπραγμένων καὶ τῶν ἐπιτηδευμάτων τῶν περὶ
τὸν πόλεμον, οἷς οἱ πρόγονοι χρώμενοι τῶν τε βαρ-
βάρων περιεγένοντο καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκί-
μησαν, οὐκ ἔστιν ὅπως οὐ φήσουσί τινές με διεξιέναι e
τοὺς νόμους, οὓς *Λυκοῦργος* μὲν ἔθηκε, *Σπαρτιᾶται*
δ' αὐτοῖς χρώμενοι τυγχάνουσιν.

153 (ξγʹ.) Ἐγὼ δ' ὁμολογῶ μὲν ἐρεῖν πολλὰ τῶν ἐκεῖ
καθεστώτων, οὐχ ὡς *Λυκούργου* τι τούτων εὑρόντος
ἢ διανοηθέντος, ἀλλ' ὡς μιμησαμένου τὴν διοίκησιν 265
ὡς δυνατὸν ἄριστα τὴν τῶν προγόνων τῶν ἡμετέρων,
καὶ τήν τε δημοκρατίαν καταστήσαντος παρ' αὐτοῖς
τὴν ἀριστοκρατίᾳ μεμιγμένην, ἥπερ ἦν παρ' ἡμῖν, καὶ
154 τὰς ἀρχὰς οὐ κληρωτὰς ἀλλ' αἱρετὰς ποιήσαντος, καὶ
τὴν τῶν γερόντων αἵρεσιν τῶν ἐπιστατούντων ἅπασι
τοῖς πράγμασι μετὰ τοσαύτης σπουδῆς ποιεῖσθαι νο-
μοθετήσαντος, μεθ' ὅσης πέρ φασι καὶ τοὺς ἡμετέ-
ρους περὶ τῶν εἰς Ἄρειον πάγον ἀναβήσεσθαι μελ- b
λόντων, ἔτι δὲ καὶ τὴν δύναμιν αὐτοῖς περιθέντος
τὴν αὐτὴν, ἥνπερ ᾔδει καὶ τὴν βουλὴν ἔχουσαν τὴν
155 παρ' ἡμῖν. (ξδʹ.) Ὅτι μὲν οὖν τὸν αὐτὸν τρόπον
τἀκεῖ καθέστηκεν, ὥσπερ εἶχε τὸ παλαιὸν καὶ τὰ παρ'
ἡμῖν, παρὰ πολλῶν ἔσται πυθέσθαι τοῖς εἰδέναι βου-
λομένοις· ὡς δὲ καὶ τὴν ἐμπειρίαν τὴν περὶ τὸν πό-
λεμον οὐ πρότερον ἤσκησαν, οὐδ' ἄμεινον ἐχρήσαντο
Σπαρτιᾶται τῶν ἡμετέρων, ἐκ τῶν ἀγώνων καὶ τῶν c
πολέμων τῶν ὁμολογουμένων γενέσθαι κατ' ἐκεῖνον
τὸν χρόνον οὕτως οἶμαι σαφῶς ἐπιδείξειν ὥστε μήτε
τοὺς ἀνοήτως λακωνίζοντας ἀντειπεῖν δυνήσεσθαι
τοῖς ῥηθεῖσι μήτε τοὺς τἀμά τε θαυμάζοντας καὶ βα-

156 σκαίνοντας καὶ μιμεῖσθαι γλιχομένους. (ξε΄.) Ποιή-
σομαι δὲ τὴν ἀρχὴν τῶν λεχθησομένων ἀκοῦσαι μὲν
ἴσως τισὶν ἀηδῆ, ῥηθῆναι δ' οὐκ ἀσύμφορον. εἰ γάρ
τις φαίη τὼ πόλεε τούτω πλείστων ἀγαθῶν αἰτίας γε- d
γενῆσθαι τοῖς Ἕλλησι καὶ μεγίστων κακῶν μετὰ τὴν
Ξέρξου στρατείαν, οὐκ ἔστιν ὅπως οὐκ ἀληθῆ δόξειεν
ἂν λέγειν τοῖς εἰδόσι τι περὶ τῶν τότε γεγενημένων.
157 ἠγωνίσαντό τε γὰρ ὡς δυνατὸν ἄριστα πρὸς τὴν ἐκεί-
νου δύναμιν, ταῦτά τε πράξασαι, προσῆκον αὐταῖς
καὶ περὶ τῶν ἐχομένων βουλεύσασθαι καλῶς, εἰς τοῦτ' e
ἦλθον οὐκ ἀνοίας ἀλλὰ μανίας, ὥστε πρὸς μὲν τὸν
ἐπιστρατεύσαντα καὶ βουληθέντα τὼ μὲν πόλεε τούτω
παντάπασιν ἀνελεῖν, τοὺς δ' ἄλλους Ἕλληνας κατα-
158 δουλώσασθαι, πρὸς μὲν τὸν τοιοῦτον, κρατήσασαι
ῥᾳδίως ἂν αὐτοῦ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν,
εἰρήνην εἰς ἅπαντα συνεγράψαντο τὸν χρόνον ὥσπερ
πρὸς εὐεργέτην γεγενημένον, φθονήσασαι δὲ ταῖς 266
ἀρεταῖς ταῖς αὐτῶν, εἰς πόλεμον καταστᾶσαι πρὸς ἀλ-
λήλας καὶ φιλονεικίαν, οὐ πρότερον ἐπαύσαντο σφᾶς
τ' αὐτὰς ἀπολλύουσαι καὶ τοὺς ἄλλους Ἕλληνας, πρὶν
κύριον ἐποίησαν τὸν κοινὸν ἐχθρὸν τήν τε πόλιν τὴν
ἡμετέραν εἰς τοὺς ἐσχάτους καταστῆσαι κινδύνους διὰ
τῆς δυνάμεως τῆς Λακεδαιμονίων, καὶ πάλιν τὴν ἐκεί-
159 νων διὰ τῆς πόλεως τῆς ἡμετέρας. καὶ τοσοῦτον ἀπο-
λειφθέντες τῆς τοῦ βαρβάρου φρονήσεως, οὔτ' ἐν b
ἐκείνοις τοῖς χρόνοις ἤλγησαν ἀξίως ὧν ἔπαθον οὐδ'
ὡς προσῆκεν αὐτοὺς, οὔτε νῦν αἱ μέγισται τῶν Ἑλ-
ληνίδων πόλεων αἰσχύνονται διακολακευόμεναι πρὸς
τὸν ἐκείνου πλοῦτον, ἀλλ' ἡ μὲν Ἀργείων καὶ Θη-
βαίων Αἴγυπτον αὐτῷ συγκατεπολέμησεν, ἵν' ὡς με-
γίστην ἔχων δύναμιν ἐπιβουλεύῃ τοῖς Ἕλλησιν, ἡμεῖς
δὲ καὶ Σπαρτιᾶται συμμαχίας ἡμῖν ὑπαρχούσης ἀλ-

λοτριώτερον ἔχομεν πρὸς ἡμᾶς αὐτοὺς ἢ πρὸς οὓς c
160 ἑκάτεροι πολεμοῦντες τυγχάνομεν. σημεῖον δ' οὐ μι-
κρόν· κοινῇ μὲν γὰρ οὐδὲ περὶ ἑνὸς πράγματος βου-
λευόμεθα, χωρὶς δ' ἑκάτεροι πρέσβεις πέμπομεν ὡς
ἐκεῖνον, ἐλπίζοντες, ὁποτέροις ἂν οἰκειότερον διατεθῇ,
κυρίους τούτους γενήσεσθαι τῆς ἐν τοῖς Ἕλλησι πλεο-
νεξίας, κακῶς εἰδότες, ὡς τοὺς μὲν θεραπεύοντας
αὐτὸν ὑβρίζειν εἴθισται, πρὸς δὲ τοὺς ἀντιταττομένους
καὶ καταφρονοῦντας τῆς ἐκείνου δυνάμεως ἐκ παντὸς
τρόπου διαλύεσθαι πειρᾶται τὰς διαφοράς. d
161 (ξϛ'.) Ταῦτα δὲ διῆλθον οὐκ ἀγνοῶν, ὅτι λέγειν
τινὲς τολμήσουσιν, ὡς ἔξω τῆς ὑποθέσεως τοῖς λόγοις
τούτοις ἐχρησάμην. ἐγὼ δ' οὐδέποτ' ἂν οἶμαι τοῖς
προειρημένοις οἰκειοτέρους λόγους ῥηθῆναι τούτων,
οὐδ' ἐξ ὧν ἄν τις σαφέστερον ἐπιδείξειε τοὺς προ-
γόνους ἡμῶν φρονιμωτέρους ὄντας περὶ τὰ μέγιστα
τῶν τήν τε πόλιν τὴν ἡμετέραν καὶ τὴν Σπαρτιατῶν
μετὰ τὸν πόλεμον τὸν πρὸς Ξέρξην διοικησάντων.
162 αὗται μὲν γὰρ ἂν φανεῖεν ἐν ἐκείνοις τοῖς χρόνοις e
πρὸς μὲν τοὺς βαρβάρους εἰρήνην ποιησάμεναι, σφᾶς
αὐτὰς καὶ τοὺς ἄλλους Ἕλληνας ἀπολλύουσαι, νῦν δὲ 267
τῶν μὲν Ἑλλήνων ἄρχειν ἀξιοῦσαι, πρὸς δὲ τὸν βα-
σιλέα πρέσβεις πέμπουσαι περὶ φιλίας καὶ συμμαχίας·
οἱ δὲ τότε τὴν πόλιν οἰκοῦντες οὐδὲν τούτων ἔπρατ-
163 τον ἀλλὰ πᾶν τοὐναντίον· τῶν μὲν γὰρ Ἑλληνίδων
πόλεων οὕτως αὐτοῖς ἀπέχεσθαι σφόδρα δεδογμένον
ἦν, ὥσπερ τοῖς εὐσεβεστάτοις τῶν ἐν τοῖς ἱεροῖς ἀνα-
κειμένων, τῶν δὲ πολέμων ὑπελάμβανον ἀναγκαιότα-
τον μὲν εἶναι καὶ δικαιότατον τὸν μετὰ πάντων ἀν-
θρώπων πρὸς τὴν ἀγριότητα τὴν τῶν θηρίων γιγνό- b
μενον, δεύτερον δὲ τὸν μετὰ τῶν Ἑλλήνων πρὸς τοὺς
βαρβάρους τοὺς καὶ φύσει πολεμίους ὄντας καὶ πάντα

164 τὸν χρόνον ἐπιβουλεύοντας ἡμῖν. τοῦτον δ' εἴρηκα τὸν
λόγον οὐκ αὐτὸς εὑρὼν ἀλλ' ἐκ τῶν ἐκείνοις πεπραγ-
μένων συλλογισάμενος. (ξζ´.) Ὁρῶντες γὰρ τὰς μὲν
ἄλλας πόλεις ἐν πολλοῖς κακοῖς καὶ πολέμοις καὶ τα-
ραχαῖς οὔσας, τὴν δ' αὑτῶν μόνην καλῶς διοικουμέ- c
νην, οὐχ ἡγήσαντο δεῖν τοὺς ἄμεινον τῶν ἄλλων φρο-
νοῦντας καὶ πράττοντας ἀμελεῖν, οὐδὲ περιορᾶν τὰς
τῆς αὐτῆς συγγενείας μετεχούσας ἀπολλυμένας ἀλλὰ
σκεπτέον εἶναι καὶ πρακτέον, ὅπως ἁπάσας ἀπαλλά-
165 ξουσι τῶν κακῶν τῶν παρόντων. ταῦτα δὲ διανοη-
θέντες τῶν μὲν ἧττον νοσουσῶν πρεσβείαις καὶ λόγοις
ἐξαιρεῖν ἐπειρῶντο τὰς διαφοράς, εἰς δὲ τὰς μᾶλλον
στασιαζούσας ἐξέπεμπον τῶν πολιτῶν τοὺς μεγίστην d
παρ' αὐτοῖς δόξαν ἔχοντας, οἳ περί τε τῶν παρόντων
πραγμάτων αὐταῖς συνεβούλευον, καὶ συγγιγνόμενοι
τοῖς τε μὴ δυναμένοις ἐν ταῖς αὑτῶν ζῆν καὶ τοῖς χεῖ-
ρον γεγονόσιν ὧν οἱ νόμοι προστάττουσιν, οἵπερ ὡς
ἐπὶ τὸ πολὺ λυμαίνονται τὰς πόλεις, ἔπειθον μεθ' αὑ-
τῶν στρατεύεσθαι καὶ βίον ζητεῖν βελτίω τοῦ παρόν-
166 τος. πολλῶν δὲ γιγνομένων τῶν ταῦτα βουλομένων
καὶ πειθομένων, στρατόπεδα συνιστάντες ἐξ αὐτῶν, e
τούς τε τὰς νήσους κατέχοντας τῶν βαρβάρων καὶ
τοὺς ἐφ' ἑκατέρας τῆς ἠπείρου τὴν παραλίαν κατοι-
κοῦντας καταστρεφόμενοι, καὶ πάντας ἐκβαλόντες,
τοὺς μάλιστα βίου δεομένους τῶν Ἑλλήνων κατῴκιζον.
καὶ ταῦτα πράττοντες καὶ τοῖς ἄλλοις ὑποδεικνύοντες 268
διετέλουν, ἕως ἤκουσαν Σπαρτιάτας τὰς πόλεις τὰς
ἐν Πελοποννήσῳ κατοικούσας, ὥσπερ εἶπον, ὑφ' αὑ-
τοῖς πεποιημένους· μετὰ δὲ ταῦτα τοῖς ἰδίοις ἠναγκά
ζοντο προσέχειν τὸν νοῦν.

167 (ξη´.) Τί οὖν ἐστι τὸ συμβεβηκὸς ἀγαθὸν ἐκ τοῦ
πολέμου τοῦ περὶ τὰς ἀποικίας καὶ πραγματείας;

τοῦτο γὰρ οἶμαι μάλιστα ποθεῖν ἀκοῦσαι τοὺς πολ-
λούς. τοῖς μὲν Ἕλλησιν εὐπορωτέροις γενέσθαι τὰ
περὶ τὸν βίον καὶ μᾶλλον ὁμονοεῖν τοσούτων τὸ πλῆ- b
θος καὶ τοιούτων ἀνθρώπων ἀπαλλαγεῖσι, τοῖς δὲ
βαρβάροις ἐκπίπτειν ἐκ τῆς αὑτῶν καὶ φρονεῖν ἔλατ-
τον ἢ πρότερον, τοῖς δ' αἰτίοις τούτων γεγενημένοις
εὐδοκιμεῖν καὶ δοκεῖν διπλασίαν πεποιηκέναι τὴν Ἑλ-
168 λάδα τῆς ἐξ ἀρχῆς συστάσης. (ξθ'.) Μεῖζον μὲν οὖν
εὐεργέτημα τούτου καὶ κοινότερον τοῖς Ἕλλησι γεγε-
νημένον παρὰ τῶν προγόνων τῶν ἡμετέρων οὐκ ἂν
δυναίμην ἐξευρεῖν· οἰκειότερον δὲ τῇ περὶ τὸν πόλε- c
μον ἐπιμελείᾳ καὶ δόξης οὐκ ἐλάττονος ἄξιον καὶ πᾶσι
φανερώτερον ἴσως ἕξομεν εἰπεῖν. (ο'.) Τίς γὰρ οὐκ
οἶδεν ἢ τίς οὐκ ἀκήκοε τῶν τραγῳδοδιδασκάλων Διο-
νυσίοις τὰς Ἀδράστῳ γενομένας ἐν Θήβαις συμφοράς,
169 ὅτι κατάγειν βουληθεὶς τὸν Οἰδίπου μὲν υἱόν, αὑτοῦ
δὲ κηδεστήν, παμπληθεῖς μὲν Ἀργείων ἀπώλεσεν,
ἅπαντας δὲ τοὺς λοχαγοὺς ἐπεῖδε διαφθαρέντας, αὐ-
τὸς δ' ἐπονειδίστως σωθείς, ἐπειδὴ σπονδῶν οὐχ οἷός d
τ' ἦν τυχεῖν οὐδ' ἀνελέσθαι τοὺς τετελευτηκότας,
ἱκέτης γενόμενος τῆς πόλεως ἔτι Θησέως αὐτὴν διοι-
κοῦντος ἐδεῖτο μὴ περιιδεῖν τοιούτους ἄνδρας ἀτά-
φους γενομένους μηδὲ παλαιὸν ἔθος καὶ πάτριον νό-
μον καταλυόμενον, ᾧ πάντες ἄνθρωποι χρώμενοι
διατελοῦσιν οὐχ ὡς ὑπ' ἀνθρωπίνης κειμένῳ φύσεως
170 ἀλλ' ὡς ὑπὸ δαιμονίας προστεταγμένῳ δυνάμεως. ὧν
ἀκούσας οὐδένα χρόνον ἐπισχὼν ὁ δῆμος ἔπεμψε
πρεσβείαν εἰς Θήβας, περί τε τῆς ἀναιρέσεως συμβου- e
λεύσοντας αὐτοῖς ὁσιώτερον βουλεύσασθαι καὶ τὴν
ἀπόκρισιν νομιμωτέραν ποιήσασθαι τῆς πρότερον γε-
νομένης, κἀκεῖν' ὑποδείξοντας, ὡς ἡ πόλις αὐτοῖς
οὐκ ἐπιτρέψει παραβαίνουσι τὸν νόμον τὸν κοινὸν

171 ἁπάντων τῶν Ἑλλήνων. ὧν ἀκούσαντες οἱ κύριοι 269
τότε Θηβαίων ὄντες οὐχ ὁμοίως ἔγνωσαν οὔτε ταῖς
δόξαις αἷς ἔχουσί τινες περὶ αὐτῶν, οὔθ᾽ οἷς ἐβουλεύ-
σαντο πρότερον, ἀλλὰ μετρίως περὶ αὐτῶν τε διαλε-
χθέντες καὶ τῶν ἐπιστρατευσάντων κατηγορήσαντες
172 ἔδοσαν τῇ πόλει τὴν ἀναίρεσιν. (οα΄.) Καὶ μηδεὶς οἰ-
έσθω μ᾽ ἀγνοεῖν, ὅτι τἀναντία τυγχάνω λέγων οἷς ἐν
τῷ Πανηγυρικῷ λόγῳ φανείην ἂν περὶ τῶν αὐτῶν
τούτων γεγραφώς· ἀλλὰ γὰρ οὐδένα νομίζω τῶν b
ταῦτα συνιδεῖν ἂν δυνηθέντων τοσαύτης ἀμαθίας
εἶναι καὶ φθόνου μεστὸν, ὅστις οὐκ ἂν ἐπαινέσειέ με
καὶ σωφρονεῖν ἡγήσαιτο τότε μὲν ἐκείνως, νῦν δ᾽
173 οὕτω διαλεχθέντα περὶ αὐτῶν. περὶ μὲν οὖν τούτων
οἶδ᾽ ὅτι καλῶς γέγραφα καὶ συμφερόντως· ὅσον δ᾽ ἡ
πόλις ἡμῶν διέφερε τὰ περὶ τὸν πόλεμον κατ᾽ ἐκεῖνον
τὸν χρόνον, τοῦτο γὰρ ἀποδεῖξαι βουλόμενος διῆλθον
τὰ γενόμενα Θήβησιν, ἡγοῦμαι τὴν πρᾶξιν ἐκείνην c
ἅπασι σαφῶς δηλοῦν τὴν τὸν μὲν βασιλέα τὸν Ἀργεί-
ων ἀναγκάσασαν ἱκέτην γενέσθαι τῆς πόλεως τῆς ἡ-
174 μετέρας, τοὺς δὲ κυρίους ὄντας Θηβαίων οὕτω δια-
θεῖσαν ὥσθ᾽ ἑλέσθαι μᾶλλον αὐτοὺς ἐμμεῖναι τοῖς
λόγοις τοῖς ὑπὸ τῆς πόλεως πεμφθεῖσιν ἢ τοῖς νόμοις
τοῖς ὑπὸ τοῦ δαιμονίου κατασταθεῖσιν· ὧν οὐδὲν ἂν
οἷά τ᾽ ἐγένετο διοικῆσαι κατὰ τρόπον ἡ πόλις ἡμῶν,
εἰ μὴ καὶ τῇ δόξῃ καὶ τῇ δυνάμει πολὺ διήνεγκε d
τῶν ἄλλων.

175 (οβ΄.) Ἔχων δὲ πολλὰς καὶ καλὰς πράξεις περὶ
τῶν προγόνων εἰπεῖν, σκοποῦμαι, τίνα τρόπον δια-
λεχθῶ περὶ αὐτῶν. μέλει γάρ μοι τούτων μᾶλλον ἢ
τῶν ἄλλων· τυγχάνω γὰρ ὢν περὶ τὴν ὑπόθεσιν, ἣν
ἐποιησάμην τελευταίαν, ἐν ᾗ προεῖπον, ὡς ἐπιδείξω
τοὺς προγόνους ἡμῶν ἐν τοῖς πολέμοις καὶ ταῖς μάχαις

πλέον διενεγκόντας Σπαρτιατῶν ἢ τοῖς ἄλλοις ἅπασιν.
176 ἔσται δ' ὁ λόγος παράδοξος μὲν τοῖς πολλοῖς, ὁμοίως e
δ' ἀληθὴς τοῖς ἄλλοις. ἄρτι μὲν οὖν ἠπόρουν, ποτέ-
ρων διεξίω πρότερον τοὺς κινδύνους καὶ τὰς μάχας
τὰς Σπαρτιατῶν ἢ τὰς τῶν ἡμετέρων· νῦν δὲ προαι-
ροῦμαι λέγειν τὰς ἐκείνων, ἵν' ἐν ταῖς καλλίοσι καὶ δι-
καιοτέραις καταλύω τὸν λόγον τὸν περὶ τούτων.
177 (ογ'.) Ἐπειδὴ γὰρ Δωριέων οἱ στρατεύσαντες εἰς 270
Πελοπόννησον τριχῇ διείλοντο τὰς πόλεις καὶ τὰς χώ-
ρας ἀφείλοντο τοὺς δικαίως κεκτημένους, οἱ μὲν Ἄρ-
γος λαχόντες καὶ Μεσσήνην παραπλησίως διῴκουν τὰ
σφέτερ' αὐτῶν τοῖς ἄλλοις Ἕλλησι, τὸ δὲ τρίτον μέρος
αὐτῶν, οὓς καλοῦμεν νῦν Λακεδαιμονίους, στασιάσαι
μέν φασιν αὐτοὺς οἱ τἀκείνων ἀκριβοῦντες ὡς οὐδέ-
νας ἄλλους τῶν Ἑλλήνων, περιγενομένους δὲ τοὺς μεῖ-
ζον τοῦ πλήθους φρονοῦντας οὐδὲν τῶν αὐτῶν βου- b
λεύσασθαι περὶ τῶν συμβεβηκότων τοῖς τοιαῦτα δια-
178 πεπραγμένοις· τοὺς μὲν γὰρ ἄλλους συνοίκους ἔχειν
ἐν τῇ πόλει τοὺς στασιάσαντας καὶ κοινωνοὺς ἁπάν-
των πλὴν τῶν ἀρχῶν καὶ τῶν τιμῶν· οὓς οὐκ εὖ φρο-
νεῖν ἡγεῖσθαι Σπαρτιατῶν τοὺς νοῦν ἔχοντας, εἰ νομί-
ζουσιν ἀσφαλῶς πολιτεύεσθαι μετὰ τούτων οἰκοῦντες,
περὶ οὓς τὰ μέγιστα τυγχάνουσιν ἐξημαρτηκότες· αὐ- c
τοὺς δ' οὐδὲν τούτων ποιεῖν, ἀλλὰ παρὰ σφίσι μὲν
αὐτοῖς ἰσονομίαν καταστῆσαι καὶ δημοκρατίαν τοιαύ-
την, οἵαν περ χρὴ τοὺς μέλλοντας ἅπαντα τὸν χρόνον
ὁμονοήσειν, τὸν δὲ δῆμον περιοίκους ποιήσασθαι,
καταδουλωσαμένους αὐτῶν τὰς ψυχὰς οὐδὲν ἧττον ἢ
179 τὰς τῶν οἰκετῶν· ταῦτα δὲ πράξαντας τῆς χώρας, ἧς
προσῆκεν ἴσον ἔχειν ἕκαστον, αὐτοὺς μὲν λαβεῖν ὀλί-
γους ὄντας οὐ μόνον τὴν ἀρίστην ἀλλὰ καὶ τοσαύτην,
ὅσην οὐδένες τῶν Ἑλλήνων ἔχουσι, τῷ δὲ πλήθει τη- d

λικοῦτον ἀπονεῖμαι μέρος τῆς χειρίστης ὥστ' ἐπιπόνως
ἐργαζομένους μόλις ἔχειν τὸ καθ' ἡμέραν· μετὰ δὲ
ταῦτα διελόντας τὸ πλῆθος αὐτῶν ὡς οἷόν τ' ἦν εἰς
ἐλαχίστους εἰς τόπους κατοικίσαι μικροὺς καὶ πολλούς,
ὀνόμασι μὲν προσαγορευομένους ὡς πόλεις οἰκοῦντας,
τὴν δὲ δύναμιν ἔχοντας ἐλάττω τῶν δήμων τῶν παρ'
180 ἡμῖν· ἁπάντων δ' ἀποστερήσαντας αὐτούς, ὧν προσ-
ήκει μετέχειν τοὺς ἐλευθέρους, τοὺς πλείστους ἐπι- e
θεῖναι τῶν κινδύνων αὐτοῖς· ἔν τε γὰρ ταῖς στρατείαις
αἷς ἡγεῖται βασιλεύς, κατ' ἄνδρα συμπαρατάττεσθαι 27
σφίσιν αὐτοῖς, ἐνίους δὲ καὶ τῆς πρώτης τάττειν, ἄν
τέ που δεήσαν αὐτοὺς ἐκπέμψαι βοήθειαν φοβηθῶσιν
ἢ τοὺς πόνους ἢ τοὺς κινδύνους ἢ τὸ πλῆθος τοῦ χρό-
νου, τούτους ἀποστέλλειν προκινδυνεύσοντας τῶν
181 ἄλλων. καὶ τί δεῖ μακρολογεῖν ἁπάσας διεξιόντα τὰς
ὕβρεις τὰς περὶ τὸ πλῆθος γιγνομένας ἀλλὰ μὴ τὸ b
μέγιστον εἰπόντα τῶν κακῶν ἀπαλλαγῆναι τῶν ἄλλων;
τῶν γὰρ οὕτω μὲν ἐξ ἀρχῆς δεινὰ πεπονθότων, ἐν δὲ
τοῖς παροῦσι καιροῖς χρησίμων ὄντων, ἔξεστι τοῖς ἐφό-
ροις ἀκρίτους ἀποκτεῖναι τοσούτους, ὁπόσους ἂν βου-
ληθῶσιν· ἃ τοῖς ἄλλοις Ἕλλησιν οὐδὲ τοὺς πονηρο-
τάτους τῶν οἰκετῶν ὅσιόν ἐστι μιαιφονεῖν.
182 (οδ'.) Τούτου δ' ἕνεκα περὶ τῆς οἰκειότητος καὶ
τῶν ἡμαρτημένων εἰς αὐτοὺς διὰ πλειόνων διῆλθον,
ἵν' ἔρωμαι τοὺς ἀποδεχομένους ἁπάσας τὰς Σπαρτια- c
τῶν πράξεις, εἰ καὶ ταύτας ἀποδέχονται, καὶ τὰς μάχας
εὐσεβεῖς εἶναι νομίζουσι καὶ καλὰς τὰς πρὸς τούτους
183 γεγενημένας. ἐγὼ μὲν γὰρ ἡγοῦμαι μεγάλας μὲν αὐ-
τὰς γεγενῆσθαι καὶ δεινὰς καὶ πολλῶν αἰτίας τοῖς μὲν
ἡττηθεῖσι κακῶν, τοῖς δὲ κατορθώσασι λημμάτων, ὧν-
περ ἕνεκα πολεμοῦντες ἅπαντα τὸν χρόνον διατελοῦ-
σιν, οὐ μὴν ὁσίας οὐδὲ καλὰς οὐδὲ πρεπούσας τοῖς ἀρε-

τῆς ἀντιποιουμένοις, μὴ τῆς ἐπὶ τῶν τεχνῶν ὀνομα-
ζομένης καὶ πολλῶν ἄλλων ἀλλὰ τῆς τοῖς καλοῖς κἀγα- d
θοῖς τῶν ἀνδρῶν ἐν ταῖς ψυχαῖς μετ' εὐσεβείας καὶ
δικαιοσύνης ἐγγιγνομένης, περὶ ἧς ἅπας ὁ λόγος ἐστίν.
184 *ἧς ὀλιγωροῦντές τινες ἐγκωμιάζουσι τοὺς πλείω τῶν*
ἄλλων ἡμαρτηκότας, καὶ οὐκ αἰσθάνονται τὰς δια-
νοίας ἐπιδεικνύοντες τὰς σφετέρας αὐτῶν, ὅτι κἀκεί-
νους ἂν ἐπαινέσειαν τοὺς πλείω μὲν κεκτημένους τῶν
ἱκανῶν, ἀποκτεῖναι δ' ἂν τολμήσαντας τοὺς ἀδελφοὺς
τοὺς αὑτῶν καὶ τοὺς ἑταίρους καὶ τοὺς κοινωνοὺς ὥστε e
καὶ τἀκείνων λαβεῖν· ὅμοια γὰρ τὰ τοιαῦτα τῶν ἔργων
ἐστὶ τοῖς ὑπὸ Σπαρτιατῶν πεπραγμένοις, ἃ τοὺς ἀπο-
δεχομένους ἀναγκαῖόν ἐστι καὶ περὶ τῶν εἰρημένων
185 *ἄρτι τὴν αὐτὴν ἔχειν γνώμην.* (οε'.) *Θαυμάζω δ' εἴ* 272
τινες τὰς μάχας καὶ τὰς νίκας τὰς παρὰ τὸ δίκαιον
γιγνομένας μὴ νομίζουσιν αἰσχίους εἶναι καὶ πλειόνων
ὀνειδῶν μεστὰς ἢ τὰς ἥττας τὰς ἄνευ κακίας συμβαι-
νούσας, καὶ ταῦτ' εἰδότες, ὅτι μεγάλαι δυνάμεις, πο-
νηραὶ δὲ, πολλάκις γίγνονται κρείττους ἀνδρῶν σπου-
δαίων καὶ κινδυνεύειν ὑπὲρ τῆς πατρίδος αἱρουμένων.
186 *οὓς πολὺ ἂν δικαιότερον ἐπαινοῖμεν ἢ τοὺς περὶ τῶν*
ἀλλοτρίων ἑτοίμως ἀποθνήσκειν ἐθέλοντας καὶ τοῖς b
ξενικοῖς στρατεύμασιν ὁμοίους ὄντας· ταῦτα μὲν γάρ
ἐστιν ἔργα πονηρῶν ἀνθρώπων, τὸ δὲ τοὺς χρηστοὺς
ἐνίοτε χεῖρον ἀγωνίζεσθαι τῶν ἀδικεῖν βουλομένων
187 *θεῶν ἄν τις ἀμέλειαν εἶναι φήσειεν. ἔχοιμι δ' ἂν τῷ*
λόγῳ τούτῳ χρήσασθαι καὶ περὶ τῆς συμφορᾶς τῆς
Σπαρτιάταις ἐν Θερμοπύλαις γενομένης, ἣν ἅπαντες
ὅσοι περ ἀκηκόασιν ἐπαινοῦσι καὶ θαυμάζουσι μᾶλλον
ἢ τὰς μάχας καὶ τὰς νίκας τὰς κρατησάσας μὲν τῶν c
ἐναντίων, πρὸς οὓς δ' οὐκ ἐχρῆν γεγενημένας· ἃς εὐ-
λογεῖν τινὲς τολμῶσι, κακῶς εἰδότες, ὡς οὐδὲν οὔθ'

ὅσιον οὔτε καλόν ἐστι τῶν μὴ μετὰ δικαιοσύνης καὶ
188 λεγομένων καὶ πραττομένων. ὧν Σπαρτιάταις μὲν
οὐδὲν πώποτ' ἐμέλησεν· βλέπουσι γὰρ εἰς οὐδὲν ἄλλο
πλὴν ὅπως ὡς πλεῖστα τῶν ἀλλοτρίων κατασχήσουσιν.
(ος'.) Οἱ δ' ἡμέτεροι περὶ οὐδὲν οὕτω τῶν ὄντων ἐσπού-
δαζον ὡς τὸ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν· ἡγοῦντο d
γὰρ οὐδεμίαν ἂν γενέσθαι κρίσιν οὔτ' ἀληθεστέραν
οὔτε δικαιοτέραν τῆς ὑπὸ παντὸς τοῦ γένους γνω-
189 σθείσης. δῆλοι δ' ἦσαν οὕτως ἔχοντες ἔν τε τοῖς ἄλλοις
οἷς διῴκουν τὴν πόλιν καὶ τοῖς μεγίστοις τῶν πραγμά-
των. τριῶν γὰρ πολέμων γενομένων ἄνευ τοῦ Τρωϊ-
κοῦ τοῖς Ἕλλησι πρὸς τοὺς βαρβάρους, ἐν ἅπασι τού-
τοις πρωτεύουσαν αὐτὴν παρέσχον. ὧν εἷς μὲν ἦν ὁ
πρὸς Ξέρξην, ἐν ᾧ πλέον διήνεγκαν Λακεδαιμονίων e
190 ἐν ἅπασι τοῖς κινδύνοις ἢ 'κεῖνοι τῶν ἄλλων, δεύτε-
ρος δ' ὁ περὶ τὴν κτίσιν τῶν ἀποικιῶν, εἰς ὃν Δωριέ-
ων μὲν οὐδεὶς ἦλθεν ἡμῖν συμπολεμήσων, ἡ δὲ πόλις
ἡμῶν ἡγεμὼν καταστᾶσα τῶν οὐκ εὐπορούντων καὶ 27
τῶν ἄλλων τῶν βουλομένων τοσοῦτον τὰ πράγματα
μετέστησεν, ὥστ' εἰθισμένων τῶν βαρβάρων τὸν ἄλλον
χρόνον τὰς μεγίστας πόλεις τῶν Ἑλληνίδων καταλαμ-
βάνειν ἐποίησε τοὺς Ἕλληνας, ἃ πρότερον ἔπασχον,
ταῦτα δύνασθαι ποιεῖν.

191 (οζ'.) Περὶ μὲν οὖν τοῖν δυοῖν πολέμοιν ἐν τοῖς
ἔμπροσθεν ἱκανῶς εἰρήκαμεν, περὶ δὲ τοῦ τρίτου ποι-
ήσομαι τοὺς λόγους, ὃς ἐγένετο τῶν μὲν Ἑλληνίδων
πόλεων ἄρτι κατῳκισμένων, τῆς δ' ἡμετέρας ἔτι βασι-
λευομένης. ἐφ' ὧν καὶ πόλεμοι πλεῖστοι καὶ κίνδυνοι b
μέγιστοι συνέπεσον, οὓς ἅπαντας μὲν οὔθ' εὑρεῖν οὔτ'
192 εἰπεῖν ἂν δυνηθείην, παραλιπὼν δὲ τὸν πλεῖστον ὄχλον
τῶν ἐν ἐκείνῳ μὲν τῷ χρόνῳ πραχθέντων, ῥηθῆναι δὲ
νῦν οὐ κατεπειγόντων, ὡς ἂν δύνωμαι συντομώτατα

πειράσομαι δηλῶσαι τούς τ' ἐπιστρατεύσαντας τῇ πό-
λει καὶ τὰς μάχας τὰς ἀξίας μνημονευθῆναι [καὶ ῥη-
θῆναι] καὶ τοὺς ἡγεμόνας αὐτῶν, ἔτι δὲ τὰς προφάσεις,
ἃς ἔλεγον, καὶ τὴν δύναμιν τῶν γενῶν τῶν συνακο- c
λουθησάντων αὐτοῖς· ἱκανὰ γὰρ ἔσται ταῦτ' εἰπεῖν
193 *πρὸς οἷς περὶ τῶν ἐναντίων εἰρήκαμεν.* (οη'.) *Θρᾷκες*
μὲν γὰρ μετ' Εὐμόλπου τοῦ Ποσειδῶνος εἰσέβαλον εἰς
τὴν χώραν ἡμῶν, ὃς ἠμφισβήτησεν Ἐρεχθεῖ τῆς πό-
λεως, φάσκων Ποσειδῶ πρότερον Ἀθηνᾶς καταλαβεῖν
αὐτήν· Σκύθαι δὲ μετ' Ἀμαζόνων τῶν ἐξ Ἄρεως γε-
νομένων, αἳ τὴν στρατείαν ἐφ' Ἱππολύτην ἐποιήσαντο d
τὴν τούς τε νόμους παραβᾶσαν τοὺς παρ' αὐταῖς κει-
μένους, ἐρασθεῖσάν τε Θησέως καὶ συνακολουθήσα-
194 *σαν ἐκεῖθεν καὶ συνοικήσασαν αὐτῷ· Πελοποννήσιοι*
δὲ μετ' Εὐρυσθέως, ὃς Ἡρακλεῖ μὲν οὐκ ἔδωκε δίκην
ὧν ἡμάρτανεν εἰς αὐτὸν, στρατεύσας δ' ἐπὶ τοὺς ἡμε-
τέρους προγόνους ὡς ἐκληψόμενος βίᾳ τοὺς ἐκείνου
παῖδας, παρ' ἡμῖν γὰρ ἦσαν καταπεφευγότες, ἔπαθεν, e
ἃ προσῆκεν αὐτόν· τοσούτου γὰρ ἐδέησε κύριος γε-
νέσθαι τῶν ἱκετῶν, ὥσθ' ἡττηθεὶς μάχῃ καὶ ζωγρηθεὶς
ὑπὸ τῶν ἡμετέρων, αὐτὸς ἱκέτης γενόμενος τούτων,
195 *οὓς ἐξαιτῶν ἦλθε, τὸν βίον ἐτελεύτησεν. μετὰ δὲ τοῦ-*
τον οἱ πεμφθέντες ὑπὸ Δαρείου τὴν Ἑλλάδα πορθή-
σοντες, ἀποβάντες εἰς Μαραθῶνα, πλείοσι κακοῖς καὶ 274
μείζοσι συμφοραῖς περιπεσόντες ὧν ἤλπισαν τὴν πό-
λιν ἡμῶν ποιήσειν, ᾤχοντο φεύγοντες ἐξ ἁπάσης τῆς
196 *Ἑλλάδος.* (οθ'.) *Τούτους δ' ἅπαντας, οὓς διῆλθον,*
οὐ μετ' ἀλλήλων εἰσβαλόντας οὐδὲ κατὰ τοὺς αὐτοὺς
χρόνους, ἀλλ' ὡς οἵ τε καιροὶ καὶ τὸ συμφέρον ἑκά-
στοις καὶ τὸ βούλεσθαι συνέπιπτε, μάχῃ νικήσαντες
καὶ τῆς ὕβρεως παύσαντες οὐκ ἐξέστησαν αὐτῶν, τη- b
λικαῦτα διαπραξάμενοι τὸ μέγεθος, οὐδ' ἔπαθον ταὐ-

τὸν τοῖς διὰ μὲν τὸ καλῶς καὶ φρονίμως βουλεύσασθαι
καὶ πλούτους μεγάλους καὶ δόξας καλὰς κτησαμένοις,
διὰ δὲ τὰς ὑπερβολὰς τὰς τούτων ὑπερηφάνοις γενο-
μένοις καὶ τὴν φρόνησιν διαφθαρεῖσι καὶ κατενεχθεῖ-
σιν εἰς χείρω πράγματα καὶ ταπεινότερα τῶν πρότερον
197 αὐτοῖς ὑπαρχόντων, ἀλλὰ πάντα τὰ τοιαῦτα διαφυ-
γόντες ἐνέμειναν τοῖς ἤθεσιν οἷς εἶχον διὰ τὸ πολι- c
τεύεσθαι καλῶς, μεῖζον φρονοῦντες ἐπὶ τῇ τῆς ψυχῆς
ἕξει καὶ ταῖς διανοίαις ταῖς αὑτῶν ἢ ταῖς μάχαις ταῖς
γεγενημέναις, καὶ μᾶλλον ὑπὸ τῶν ἄλλων θαυμαζό-
μενοι διὰ τὴν καρτερίαν ταύτην καὶ σωφροσύνην ἢ
διὰ τὴν ἀνδρίαν τὴν ἐν τοῖς κινδύνοις αὐτοῖς παρα-
198 γενομένην· ἑώρων γὰρ πάντες τὴν μὲν εὐψυχίαν τὴν
πολεμικὴν πολλοὺς ἔχοντας καὶ τῶν ταῖς κακουργίαις
ὑπερβαλλόντων, τῆς δὲ χρησίμης ἐπὶ πᾶσι καὶ πάντας d
δυναμένης ὠφελεῖν οὐ κοινωνοῦντας τοὺς πονηρούς,
ἀλλὰ μόνοις ἐγγιγνομένην τοῖς καλῶς γεγονόσι καὶ τε-
θραμμένοις καὶ πεπαιδευμένοις, ἅπερ προσῆν τοῖς τότε
τὴν πόλιν διοικοῦσι καὶ τῶν εἰρημένων ἀγαθῶν ἁπάν-
των αἰτίοις καταστᾶσιν.

199 (π΄.) Τοὺς μὲν οὖν ἄλλους ὁρῶ περὶ τὰ μέγιστα
τῶν ἔργων καὶ μάλιστα μνημονευθησόμενα τοὺς λό-
γους καταλύοντας, ἐγὼ δὲ σωφρονεῖν μὲν νομίζω τοὺς
ταῦτα γιγνώσκοντας καὶ πράττοντας, οὐ μὴν συμβαί- e
νει μοι ταὐτὸν ποιεῖν ἐκείνοις, ἀλλ' ἔτι λέγειν ἀναγ-
κάζομαι. τὴν δ' αἰτίαν, δι' ἥν, ὀλίγον ὕστερον ἐρῶ,
μικρὰ τῶν πάνυ προδιαλεχθείς.

200 (πα΄.) Ἐπηνώρθουν μὲν γὰρ τὸν λόγον τὸν μέχρι
τῶν ἀναγνωσθέντων γεγραμμένον μετὰ μειρακίων
τριῶν ἢ τεττάρων τῶν εἰθισμένων μοι συνδιατρίβειν· 27
ἐπειδὴ δὲ διεξιοῦσιν ἡμῖν ἐδόκει καλῶς ἔχειν καὶ προσ-
δεῖσθαι τελευτῆς μόνον, ἔδοξέ μοι μεταπέμψασθαί τι-

να τῶν ἐμοὶ μὲν πεπλησιακότων, ἐν ὀλιγαρχίᾳ δὲ πε-
πολιτευμένου προῃρημένου Λακεδαιμονίους ἐπαινεῖν,
ἵν' εἴ τι παρέλαθεν ἡμᾶς ψεῦδος εἰρημένον, ἐκεῖνος
201 κατιδὼν δηλώσειεν ἡμῖν. ἐλθὼν δ' ὁ κληθεὶς καὶ δι-
αναγνοὺς τὸν λόγον, τὰ γὰρ μεταξὺ τί δεῖ λέγοντα δια-
τρίβειν; ἐδυσχέρανε μὲν ἐπ' οὐδενὶ τῶν γεγραμμένων, b
ἐπῄνεσε δ' ὡς δυνατὸν μάλιστα, καὶ διελέχθη περὶ
ἑκάστου τῶν μερῶν παραπλησίως οἷς ἡμεῖς ἐγιγνώ-
σκομεν· οὐ μὴν ἀλλὰ φανερὸς ἦν οὐχ ἡδέως ἔχων ἐπὶ
202 τοῖς περὶ Λακεδαιμονίων εἰρημένοις. ἐδήλωσε δὲ διὰ
ταχέων· ἐτόλμησε γὰρ εἰπεῖν, ὡς εἰ καὶ μηδὲν ἄλλο
πεποιήκασι τοὺς Ἕλληνας ἀγαθόν, ἀλλ' οὖν δι' ἐκεῖνό
γε δικαίως ἂν αὐτοῖς ἅπαντες χάριν ἔχοιεν, ὅτι τὰ
κάλλιστα τῶν ἐπιτηδευμάτων εὑρόντες αὐτοί τε χρῶν- c
ται καὶ τοῖς ἄλλοις κατέδειξαν.

203 (πβ'.) Τοῦτο δὲ ῥηθὲν οὕτω βραχὺ καὶ μικρὸν
αἴτιον ἐγένετο τοῦ μήτε καταλῦσαί με τὸν λόγον ἐφ'
ὧν ἠβουλήθην, ὑπολαβεῖν θ' ὡς αἰσχρὸν ποιήσω καὶ
δεινόν, εἰ παρὼν περιόψομαί τινα τῶν ἐμοὶ πεπλησια-
κότων πονηροῖς λόγοις χρώμενον. ταῦτα δὲ διανοη-
θεὶς ἠρόμην αὐτόν, εἰ μηδὲν φροντίζει τῶν παρόντων,
μηδ' αἰσχύνεται λόγον εἰρηκὼς ἀσεβῆ καὶ ψευδῆ καὶ
204 πολλῶν ἐναντιώσεων μεστόν. „γνώσει δ' ὡς ἔστι τοι- d
οῦτος, ἢν ἐρωτήσῃς τινὰς τῶν εὖ φρονούντων, ποῖα
τῶν ἐπιτηδευμάτων κάλλιστα νομίζουσιν εἶναι, καὶ
μετὰ ταῦτα πόσος χρόνος ἐστίν, ἐξ οὗ Σπαρτιᾶται
τυγχάνουσιν ἐν Πελοποννήσῳ κατοικοῦντες. οὐδεὶς
γὰρ ὅστις οὐ τῶν μὲν ἐπιτηδευμάτων προκρίνει τὴν
εὐσέβειαν τὴν περὶ τοὺς θεοὺς καὶ τὴν δικαιοσύνην
τὴν περὶ τοὺς ἀνθρώπους καὶ τὴν φρόνησιν τὴν περὶ
τὰς ἄλλας πράξεις, Σπαρτιάτας δ' ἐνταῦθα κατοικεῖν
205 οὐ πλείω φήσουσιν ἐτῶν ἑπτακοσίων. τούτων δ' οὖ- e

τως ἐχόντων εἰ μὲν τυγχάνεις ἀληθῆ λέγων, τούτους φάσκων εὑρετὰς γεγενῆσθαι τῶν καλλίστων ἐπιτηδευμάτων, ἀναγκαῖόν ἐστι τοὺς πολλαῖς γενεαῖς πρότερον γεγονότας πρὶν Σπαρτιάτας ἐνταῦθα κατοική- 270
σαι, μὴ μετέχειν αὐτῶν, μήτε τοὺς ἐπὶ Τροίαν στρατευσαμένους μήτε τοὺς περὶ Ἡρακλέα καὶ Θησέα γεγονότας μήτε Μίνω τὸν Διὸς μήτε Ῥαδάμανθυν μήτ' Αἰακὸν μήτε τῶν ἄλλων μηδένα τῶν ὑμνουμένων ἐπὶ ταῖς ἀρεταῖς ταύταις, ἀλλὰ ψευδῆ τὴν δόξαν ταύτην
206 *ἅπαντας ἔχειν· εἰ δὲ σὺ μὲν φλυαρῶν τυγχάνεις, προσήκει δὲ τοὺς ἀπὸ θεῶν γεγονότας καὶ χρῆσθαι ταύταις μᾶλλον τῶν ἄλλων καὶ καταδεῖξαι τοῖς ἐπιγιγνομένοις,* b
οὐκ ἔστιν ὅπως οὐ μαίνεσθαι δόξεις ἅπασι τοῖς ἀκούσασιν, οὕτως εἰκῇ καὶ παρανόμως οὓς ἂν τύχῃς ἐπαινῶν.“

„Ἔπειτ' εἰ μὲν εὐλόγεις αὐτοὺς οὐδὲν ἀκηκοὼς τῶν ἐμῶν, ἐλήρεις μὲν ἄν, οὐ μὴν ἐναντία γε λέγων ἐφαί-
207 *νου σαυτῷ· νῦν δ' ἐπῃνεκότι σοι τὸν ἐμὸν λόγον, τὸν ἐπιδεικνύοντα πολλὰ καὶ δεινὰ Λακεδαιμονίους περί τε τοὺς συγγενεῖς τοὺς αὐτῶν καὶ περὶ τοὺς ἄλλους Ἕλληνας διαπεπραγμένους, πῶς οἷόν τ' ἦν ἔτι σοὶ λέγειν τοὺς ἐνόχους ὄντας τούτοις, ὡς τῶν καλλίστων* c
208 *ἐπιτηδευμάτων ἡγεμόνες γεγόνασιν; (πγ'.) Πρὸς δὲ τούτοις κἀκεῖνό σε λέληθεν, ὅτι τὰ παραλελειμμένα τῶν ἐπιτηδευμάτων καὶ τῶν τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων οὐχ οἱ τυχόντες εὑρίσκουσιν, ἀλλ' οἵ τάς τε φύσεις διαφέροντες καὶ μαθεῖν πλεῖστα τῶν πρότερον εὑρημένων δυνηθέντες καὶ προσέχειν τὸν νοῦν τῷ ζητεῖν μᾶλλον τῶν ἄλλων ἐθελήσαντες. ὧν Λακε-* d
209 *δαιμόνιοι πλέον ἀπέχουσι τῶν βαρβάρων· οἱ μὲν γὰρ ἂν φανεῖεν πολλῶν εὑρημάτων καὶ μαθηταὶ καὶ διδάσκαλοι γεγονότες, οὗτοι δὲ τοσοῦτον ἀπολελειμμένοι τῆς κοινῆς παιδείας καὶ φιλοσοφίας εἰσίν, ὥστ' οὐδὲ*

γράμματα μανθάνουσιν, ἃ τηλικαύτην ἔχει δύναμιν
ὥστε τοὺς ἐπισταμένους καὶ χρωμένους αὐτοῖς μὴ
μόνον ἐμπείρους γίγνεσθαι τῶν ἐπὶ τῆς ἡλικίας τῆς e
αὐτῶν πραχθέντων ἀλλὰ καὶ τῶν πώποτε γενομένων.
210 *ἀλλ᾽ ὅμως σὺ καὶ τοὺς τῶν τοιούτων ἀμαθεῖς ὄντας*
ἐτόλμησας εἰπεῖν, ὡς εὑρεταὶ τῶν καλλίστων ἐπιτη-
δευμάτων γεγόνασι, καὶ ταῦτ᾽ εἰδὼς, ὅτι τοὺς παῖδας
τοὺς αὐτῶν ἐθίζουσι περὶ τοιαύτας πραγματείας δια-
τρίβειν, ἐξ ὧν ἐλπίζουσιν αὐτοὺς οὐκ εὐεργέτας γε- 277
νήσεσθαι τῶν ἄλλων ἀλλὰ κακῶς ποιεῖν μάλιστα δυ-
211 *νήσεσθαι τοὺς Ἕλληνας. (πδʹ.) Ἃς πάσας μὲν διεξιὼν*
πολὺν ὄχλον ἐμαυτῷ τ᾽ ἂν παράσχοιμι καὶ τοῖς ἀκού-
ουσιν, μίαν δὲ μόνον εἰπὼν, ἣν ἀγαπῶσι καὶ περὶ ἣν
μάλιστα σπουδάζουσιν, οἶμαι δηλώσειν ἅπαντα τὸν
τρόπον αὐτῶν. ἐκεῖνοι γὰρ καθ᾽ ἑκάστην τὴν ἡμέραν
εὐθὺς ἐξ εὐνῆς ἐκπέμπουσι τοὺς παῖδας, μεθ᾽ ὧν ἂν
ἕκαστοι βουληθῶσι, λόγῳ μὲν ἐπὶ θήραν, ἔργῳ δ᾽ ἐπὶ b
212 *κλωπείαν τῶν ἐν τοῖς ἀγροῖς κατοικούντων· ἐν ᾗ*
συμβαίνει τοὺς μὲν ληφθέντας ἀργύριον ἀποτίνειν
καὶ πληγὰς λαμβάνειν, τοὺς δὲ πλεῖστα κακουργή-
σαντας καὶ λαθεῖν δυνηθέντας ἔν τε τοῖς παισὶν εὐ-
δοκιμεῖν μᾶλλον τῶν ἄλλων, ἐπειδὰν δ᾽ εἰς ἄνδρας
συντελῶσιν, ἢν ἐμμείνωσι τοῖς ἤθεσιν οἷς παῖδες ὄν-
τες ἐμελέτησαν, ἐγγὺς εἶναι τῶν μεγίστων ἀρχῶν.
213 *καὶ ταύτης ἥν τις ἐπιδείξῃ παιδείαν μᾶλλον ἀγαπω-* c
μένην ἢ σπουδαιοτέραν παρ᾽ αὐτοῖς εἶναι νομιζομέ-
νην, ὁμολογῶ μηδὲν ἀληθὲς εἰρηκέναι μηδὲ περὶ ἑνὸς
πώποτε πράγματος. καίτοι τί τῶν τοιούτων ἔργων
καλόν ἐστιν ἢ σεμνὸν ἀλλ᾽ οὐκ αἰσχύνης ἄξιον; πῶς
δ᾽ οὐκ ἀνοήτους χρὴ νομίζειν τοὺς ἐπαινοῦντας τοὺς
τοσοῦτον τῶν νόμων τῶν κοινῶν ἐξεστῶτας καὶ μη-
δὲν τῶν αὐτῶν μήτε τοῖς Ἕλλησι μήτε τοῖς βαρβάροις

214 γιγνώσκοντας· οἱ μὲν γὰρ ἄλλοι τοὺς κακουργοῦντας καὶ κλέπτοντας πονηροτάτους τῶν οἰκετῶν νομίζουσιν, ἐκεῖνοι δὲ τοὺς ἐν τοῖς τοιούτοις τῶν ἔργων πρω- d
τεύοντας βελτίστους εἶναι τῶν παίδων ὑπολαμβάνουσι καὶ μάλιστα τιμῶσιν. καίτοι τίς ἂν τῶν εὖ φρονούντων οὐκ ἂν τρὶς ἀποθανεῖν ἕλοιτο μᾶλλον ἢ διὰ τοιούτων ἐπιτηδευμάτων γνωσθῆναι τὴν ἄσκησιν τῆς ἀρετῆς ποιούμενος;"

215 (πε'.) Ταῦτ' ἀκούσας θρασέως μὲν οὐδὲ πρὸς ἓν ἀντεῖπε τῶν εἰρημένων, οὐδ' αὖ παντάπασιν ἀπεσιώπησεν ἀλλ' ἔλεγεν, ὅτι „σὺ μὲν πεποίησαι τοὺς λόγους" ἐμὲ λέγων „ὡς ἅπαντ' ἀποδεχομένου μου τἀκεῖ e
καὶ καλῶς ἔχειν νομίζοντος· ἐμοὶ δὲ δοκεῖς περὶ μὲν τῆς τῶν παίδων αὐτονομίας καὶ περὶ ἄλλων πολλῶν εἰκότως ἐπιτιμᾶν ἐκείνοις, ἐμοῦ δ' οὐ δικαίως κατηγο-
216 ρεῖν. ἐγὼ γὰρ ἐλυπήθην μὲν τὸν λόγον ἀναγιγνώσκων ἐπὶ τοῖς περὶ Λακεδαιμονίων εἰρημένοις, οὐ μὴν 278
οὕτως ὡς ἐπὶ τῷ μηδὲν ἀντειπεῖν ὑπὲρ αὐτῶν δύνασθαι τοῖς γεγραμμένοις, εἰθισμένος τὸν ἄλλον χρόνον ἐπαινεῖν. εἰς τοιαύτην δ' ἀπορίαν καταστὰς εἶπον, ὅπερ ἦν λοιπὸν, ὡς εἰ καὶ μηδὲν δι' ἄλλο, διά γ' ἐκεῖνο δικαίως ἂν αὐτοῖς ἅπαντες χάριν ἔχοιμεν, ὅτι τοῖς καλλίστοις τῶν ἐπιτηδευμάτων χρώμενοι τυγχά-
217 νουσιν. ταῦτα δ' εἶπον οὐ πρὸς τὴν εὐσέβειαν οὐδὲ b
πρὸς τὴν δικαιοσύνην οὐδὲ πρὸς τὴν φρόνησιν ἀποβλέψας, ἃ σὺ διῆλθες, ἀλλὰ πρὸς τὰ γυμνάσια τἀκεῖ καθεστῶτα καὶ πρὸς τὴν ἄσκησιν τῆς ἀνδρίας καὶ τὴν ὁμόνοιαν καὶ συνόλως τὴν περὶ τὸν πόλεμον ἐπιμέλειαν, ἅπερ ἅπαντες ἂν εἴποιεν, καὶ μάλιστ' ἂν αὐτοῖς ἐκείνους χρῆσθαι φήσειαν."

218 (πϛ'.) Ταῦτα δ' αὐτοῦ διαλεχθέντος ἀπεδεξάμην μὲν οὐχ ὡς διαλυόμενόν τι τῶν κατηγορημένων, ἀλλ'

ὡς ἀποκρυπτόμενον τὸ πικρότατον τῶν τότε ῥηθέν- c
των, οὐκ ἀπαιδεύτως ἀλλὰ νοῦν ἐχόντως, καὶ περὶ
τῶν ἄλλων ἀπολελογημένον σωφρονέστερον ἢ τότε
παρρησιασάμενον. (πζ.) Οὐ μὴν ἀλλ' ἐκεῖν' ἐάσας
περὶ αὐτῶν ἔφασκον κατηγορίαν ἔχειν πολὺ δεινοτέ-
219 ραν ἢ περὶ τῆς τῶν παίδων κλωπείας. „ἐκείνοις μὲν
γὰρ τοῖς ἐπιτηδεύμασιν ἐλυμαίνοντο τοὺς αὑτῶν παῖ-
δας, οἷς δ' ὀλίγῳ πρότερον σὺ διῆλθες, τοὺς Ἕλληνας
ἀπώλλυσαν. ῥᾴδιον δ' ὡς οὕτως εἶχε ταῦτα, συνιδεῖν. d
οἶμαι γὰρ ἅπαντας ἂν ὁμολογῆσαι κακίστους ἄνδρας
εἶναι καὶ μεγίστης ζημίας ἀξίους, ὅσοι τοῖς πράγμασι
τοῖς εὑρημένοις ἐπ' ὠφελείᾳ, τούτοις ἐπὶ βλάβῃ χρώ-
220 μενοι τυγχάνουσι, μὴ πρὸς τοὺς βαρβάρους μηδὲ πρὸς
τοὺς ἁμαρτάνοντας μηδὲ πρὸς τοὺς εἰς τὴν αὑτῶν
χώραν εἰσβάλλοντας ἀλλὰ πρὸς τοὺς οἰκειοτάτους καὶ
τῆς αὐτῆς συγγενείας μετέχοντας· ἅπερ ἐποίουν
Σπαρτιᾶται. καίτοι πῶς ὅσιόν ἐστι φάσκειν καλῶς
χρῆσθαι τοῖς περὶ τὸν πόλεμον ἐπιτηδεύμασιν, οἵτινες e
οὓς προσῆκε σῴζειν, τούτους ἀπολλύοντες ἅπαντα
221 τὸν χρόνον διετέλεσαν; (πη'.) Ἀλλὰ γὰρ οὐ σὺ μό-
νος ἀγνοεῖς τοὺς κακῶς χρωμένους τοῖς πράγμασιν,
ἀλλὰ σχεδὸν οἱ πλεῖστοι τῶν Ἑλλήνων. ἐπειδὰν γάρ
τινας ἴδωσιν ἢ πύθωνται παρά τινων ἐπιμελῶς δια- 279
τρίβοντας περὶ τὰ δοκοῦντ' εἶναι καλὰ τῶν ἐπιτηδευ-
μάτων, ἐπαινοῦσι καὶ πολλοὺς λόγους ποιοῦνται περὶ
222 αὐτῶν, οὐκ εἰδότες τὸ συμβησόμενον. χρὴ δὲ τοὺς
ὀρθῶς δοκιμάζειν βουλομένους περὶ τῶν τοιούτων ἐν
ἀρχῇ μὲν ἡσυχίαν ἄγειν καὶ μηδεμίαν δόξαν ἔχειν
περὶ αὐτῶν, ἐπειδὰν δ' εἰς τὸν χρόνον ἐκεῖνον ἔλθω-
σιν, ἐν ᾧ καὶ λέγοντας καὶ πράττοντας αὐτοὺς ὄψον-
ται καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν, τότε b
223 θεωρεῖν ἀκριβῶς ἕκαστον αὐτῶν, καὶ τοὺς μὲν νομί-

*μως καὶ καλῶς χρωμένους οἷς ἐμελέτησαν ἐπαινεῖν καὶ
τιμᾶν, τοὺς δὲ πλημμελοῦντας καὶ κακουργοῦντας
ψέγειν καὶ μισεῖν καὶ φυλάττεσθαι τὸν τρόπον αὐτῶν,
ἐνθυμουμένους, ὡς οὐχ αἱ φύσεις αἱ τῶν πραγμάτων
οὔτ' ὠφελοῦσιν οὔτε βλάπτουσιν ἡμᾶς, ἀλλ' ὡς αἱ
τῶν ἀνθρώπων χρήσεις καὶ πράξεις ἁπάντων ἡμῖν
224 αἴτιαι τῶν συμβαινόντων εἰσίν. γνοίη δ' ἄν τις ἐκεῖ-
θεν· τὰ γὰρ αὐτὰ πανταχῇ καὶ μηδαμῇ διαφέροντα* c
*τοῖς μὲν ὠφέλιμα, τοῖς δὲ βλαβερὰ γίγνεται. καίτοι
τὴν μὲν φύσιν ἔχειν ἕκαστον τῶν ὄντων τὴν ἐναντίαν
αὐτὴν αὑτῇ καὶ μὴ τὴν αὐτὴν οὐκ εὔκολόν ἐστιν· τὸ
δὲ μηδὲν τῶν αὐτῶν συμβαίνειν τοῖς ὀρθῶς καὶ δι-
καίως πράττουσι καὶ τοῖς ἀσελγῶς τε καὶ κακῶς, τίνι
τῶν ὀρθῶς λογιζομένων οὐκ ἂν εἰκότως ταῦτα γίγνε-
225 σθαι δόξειεν; (πθ'.) Ὁ δ' αὐτὸς οὗτος λόγος καὶ περὶ
τὰς ὁμονοίας ἂν ἁρμόσειεν· καὶ γὰρ ἐκεῖναι τὴν φύσιν* d
*εἰσὶν οὐκ ἀνόμοιαι τοῖς εἰρημένοις, ἀλλὰ τὰς μὲν αὐ-
τῶν εὕροιμεν ἂν πλείστων ἀγαθῶν αἰτίας γιγνομένας,
τὰς δὲ τῶν μεγίστων κακῶν καὶ συμφορῶν."*

*„Ὧν μίαν εἶναί φημι καὶ τὴν Σπαρτιατῶν· εἰρή-
σεται γὰρ τἀληθές, εἰ καί τισι δόξω λίαν παρά-
226 δοξα λέγειν. οὗτοι γὰρ τῷ ταὐτὰ γιγνώσκειν περὶ
τῶν ἔξω πραγμάτων ἀλλήλοις στασιάζειν τοὺς Ἕλλη-
νας ὥσπερ τέχνην ἔχοντες ἐποίουν, καὶ τὸ χαλεπώτα-* e
*τον ταῖς ἄλλαις πόλεσι τῶν κακῶν γιγνόμενον, τοῦθ'
αὑτοῖς ἁπάντων συμφορώτατον ἐνόμιζον εἶναι· τὰς
γὰρ οὕτω διακειμένας ἐξῆν αὐτοῖς, ὅπως ἠβούλοντο,
διοικεῖν. ὥστ' οὐδεὶς ἂν αὐτοὺς διά γε τὴν ὁμόνοιαν
δικαίως ἐπαινέσειεν, οὐδὲν μᾶλλον ἢ τοὺς καταπον-* 280
*τιστὰς καὶ λῃστὰς καὶ τοὺς περὶ τὰς ἄλλας ἀδικίας
ὄντας· καὶ γὰρ ἐκεῖνοι σφίσιν αὐτοῖς ὁμονοοῦντες
227 τοὺς ἄλλους ἀπολλύουσιν. εἰ δέ τισι δοκῶ τὴν παρα-*

βολὴν ἀπρεπῆ πεποιῆσθαι πρὸς τὴν ἐκείνων δόξαν,
ταύτην μὲν ἐῶ, λέγω δὲ Τριβαλλοὺς, οὓς ἅπαντές
φασιν ὁμονοεῖν μὲν ὡς οὐδένας ἄλλους ἀνθρώπους,
ἀπολλύναι δ' οὐ μόνον τοὺς ὁμόρους καὶ τοὺς πλη-
σίον οἰκοῦντας ἀλλὰ καὶ τοὺς ἄλλους, ὅσων ἂν ἐφι-
228 κέσθαι δυνηθῶσιν. οὓς οὐ χρὴ μιμεῖσθαι τοὺς ἀρε- b
τῆς ἀντιποιουμένους ἀλλὰ πολὺ μᾶλλον τὴν τῆς
σοφίας καὶ τῆς δικαιοσύνης καὶ τῶν ἄλλων ἀρετῶν
δύναμιν. αὗται μὲν γὰρ οὐ τὰς σφετέρας αὐτῶν φύ-
σεις εὐεργετοῦσιν, ἀλλ' οἷς ἂν παραγενόμεναι παρα-
μείνωσιν, εὐδαίμονας καὶ μακαρίους ποιοῦσιν· Λα-
κεδαιμόνιοι δὲ τοὐναντίον, οἷς μὲν ἂν πλησιάσωσιν,
ἀπολλύουσι, τὰ δὲ τῶν ἄλλων ἀγαθὰ πάντα περὶ
σφᾶς αὐτοὺς ποιοῦνται.“
229 (ϛʹ.) Ταῦτ' εἰπὼν κατέσχον, πρὸς ὃν τοὺς λόγους c
ἐποιούμην, ἄνδρα δεινὸν καὶ πολλῶν ἔμπειρον καὶ
περὶ τὸ λέγειν γεγυμνασμένον οὐδενὸς ἧττον τῶν
ἐμοὶ πεπλησιακότων. οὐ μὴν τὰ μειράκια τὰ πᾶσι πα-
ραγεγενημένα τούτοις τὴν αὐτὴν ἐμοὶ γνώμην ἔσχεν,
ἀλλ' ἐμὲ μὲν ἐπῄνεσαν ὡς διειλεγμένον τε νεαρωτέ-
ρως ἢ προσεδόκησαν, ἠγωνισμένον τε καλῶς, ἐκείνου
δὲ κατεφρόνησαν, οὐκ ὀρθῶς γιγνώσκοντες ἀλλὰ
230 διημαρτηκότες ἀμφοτέρων ἡμῶν. ὁ μὲν γὰρ ἀπῄει d
φρονιμώτερος γεγενημένος καὶ συνεσταλμένην ἔχων
τὴν διάνοιαν, ὥσπερ χρὴ τοὺς εὖ φρονοῦντας, καὶ
πεπονθὼς τὸ γεγραμμένον ἐν Δελφοῖς, αὐτόν τ'
ἐγνωκὼς καὶ τὴν Λακεδαιμονίων φύσιν μᾶλλον ἢ
πρότερον· ἐγὼ δ' ὑπελειπόμην ἐπιτυχῶς μὲν ἴσως
διειλεγμένος, ἀνοητότερος δὲ δι' αὐτὸ τοῦτο γεγενη-
μένος, καὶ φρονῶν μεῖζον ἢ προσῆκε τοὺς τηλικούτους,
231 καὶ ταραχῆς μειρακιώδους μεστὸς ὤν. (ξαʹ.) Δῆλος δ' e
ἦν οὕτω διακείμενος· ἐπειδὴ γὰρ ἡσυχίας ἐπελαβόμην,

οὐ πρότερον ἐπαυσάμην, πρὶν ὑπέβαλον τῷ παιδὶ
τὸν λόγον, ὃν ὀλίγῳ μὲν πρότερον μεθ' ἡδονῆς διῆλ-
θον, μικρῷ δ' ὕστερον ἤμελλέ με λυπήσειν. τριῶν 231
γὰρ ἢ τεττάρων ἡμερῶν διαλειφθεισῶν ἀναγιγνώ-
σκων αὐτὰ καὶ διεξιὼν, ἐπὶ μὲν οἷς περὶ τῆς πόλεως
ἦν εἰρηκὼς, οὐκ ἠχθόμην, καλῶς γὰρ καὶ δικαίως ἦν
232 ἅπαντα περὶ αὐτῆς γεγραφὼς, ἐπὶ δὲ τοῖς περὶ Λακε-
δαιμονίων ἐλυπήθην καὶ βαρέως ἔφερον· οὐ γὰρ με-
τρίως ἐδόκουν μοι διειλέχθαι περὶ αὐτῶν οὐδ' ὁμοί-
ως τοῖς ἄλλοις ἀλλ' ὀλιγώρως καὶ λίαν πικρῶς καὶ
παντάπασιν ἀνοήτως· ὥστε πολλάκις ὁρμήσας ἐξ- b
αλείφειν αὐτὸν ἢ κατακάειν μετεγίγνωσκον, ἐλεῶν
τὸ γῆρας τοὐμαυτοῦ καὶ τὸν πόνον τὸν περὶ τὸν λό-
γον γεγενημένον.

233 (ϛβ'.) Ἐν τοιαύτῃ δέ μοι ταραχῇ καθεστῶτι καὶ
μεταβολὰς ποιουμένῳ πολλὰς ἔδοξε μὲν κράτιστον
εἶναι παρακαλέσαντι τῶν πεπλησιακότων τοὺς ἐπι-
δημοῦντας βουλεύσασθαι μετ' αὐτῶν, πότερον ἀφα-
νιστέος παντάπασίν ἐστιν ἢ διαδοτέος τοῖς βουλο-
μένοις λαμβάνειν, ὁπότερα δ' ἂν ἐκείνοις δόξῃ, ταῦτα c
ποιεῖν. τούτων γνωσθέντων οὐδεμίαν διατριβὴν
ἐποιησάμην, ἀλλ' εὐθὺς παρεκέκληντο μὲν, οὓς εἶπον,
προειρηκὼς δ' ἦν αὐτοῖς, ἐφ' ἃ συνεληλυθότες ἦσαν,
ἀνέγνωστο δ' ὁ λόγος, ἐπῃνημένος δ' ἦν καὶ τεθορυ-
βημένος καὶ τετυχηκὼς ὧνπερ οἱ κατορθοῦντες ἐν
234 ταῖς ἐπιδείξεσιν. (ϛγ'.) Ἁπάντων δὲ τούτων ἐπιτετε-
λεσμένων οἱ μὲν ἄλλοι διελέγοντο πρὸς σφᾶς αὐτοὺς,
δῆλον, ὅτι περὶ τῶν ἀναγνωσθέντων· ὃν δ' ἐξ ἀρχῆς
μετεπεμψάμεθα σύμβουλον, τὸν Λακεδαιμονίων ἐπαι- d
νέτην, πρὸς ὃν πλείω διελέχθην τοῦ δέοντος, σιωπὴν
ποιησάμενος καὶ πρὸς ἐμὲ βλέψας ἀπορεῖν ἔφασκεν,

ὅ τι χρήσηται τοῖς παροῦσιν· οὔτε γὰρ ἀπιστεῖν βού-
λεσθαι τοῖς ὑπ' ἐμοῦ λεγομένοις οὔτε πιστεύειν δύ-
235 νασθαι παντάπασιν αὐτοῖς. „θαυμάζω γάρ, εἴθ' οὕ-
τως ἐλυπήθης καὶ βαρέως ἔσχες, ὥσπερ φῄς, ἐπὶ τοῖς
περὶ Λακεδαιμονίων εἰρημένοις, οὐδὲν γὰρ ἐν αὐτοῖς
ὁρῶ τοιοῦτον γεγραμμένον, εἴτε συμβούλοις περὶ τοῦ
λόγου χρήσασθαι βουλόμενος ἡμᾶς συνήγαγες, οὓς c
οἶσθ' ἀκριβῶς ἅπαν, ὅ τι ἂν σὺ λέγῃς ἢ πράττῃς,
ἐπαινοῦντας. εἰθισμένοι δ' εἰσὶν οἱ νοῦν ἔχοντες ἀνα-
κοινοῦσθαι, περὶ ὧν ἂν σπουδάζωσι, μάλιστα μὲν τοῖς
ἄμεινον αὐτῶν φρονοῦσιν, εἰ δὲ μή, τοῖς μέλλουσιν 282
ἀποφαίνεσθαι τὴν αὐτῶν γνώμην· ὧν τἀναντία σὺ
236 πεποίηκας. τούτων μὲν οὖν οὐδέτερον ἀποδέχομαι
τῶν λόγων, δοκεῖς δέ μοι ποιήσασθαι τήν τε παρά-
κλησιν τὴν ἡμετέραν καὶ τὸν ἔπαινον τὸν τῆς πόλεως
οὐχ ἁπλῶς, οὐδ' ὡς διείλεξαι πρὸς ἡμᾶς, ἀλλ' ἡμῶν
μὲν πεῖραν λαβεῖν βουλόμενος, εἰ φιλοσοφοῦμεν καὶ
μεμνήμεθα τῶν ἐν ταῖς διατριβαῖς λεγομένων καὶ
συνιδεῖν δυνηθεῖμεν ἄν, ὃν τρόπον ὁ λόγος τυγχάνει b
237 γεγραμμένος, τὴν δὲ πόλιν ἐπαινεῖν προσελέσθαι τὴν
σαυτοῦ σωφρονῶν, ἵνα τῷ τε πλήθει τῷ τῶν πολι-
τῶν χαρίσῃ καὶ παρὰ τοῖς εὐνοϊκῶς πρὸς ὑμᾶς διακει-
μένοις εὐδοκιμήσῃς. (ϛδ'.) Ταῦτα δὲ γνοὺς ὑπέλαβες,
ὡς εἰ μὲν περὶ μόνης αὐτῆς ποιήσει τοὺς λόγους καὶ
τὰ μυθώδη περὶ αὐτῆς ἐρεῖς, ἃ πάντες θρυλοῦσιν,
ὅμοια φανεῖται τὰ λεγόμενα τοῖς ὑπὸ τῶν ἄλλων γε-
γραμμένοις, ἐφ' ᾧ σὺ μάλιστ' ἂν αἰσχυνθείης καὶ λυ- c
238 πηθείης· ἂν δ' ἐάσας ἐκεῖνα λέγῃς τὰς πράξεις τὰς
ὁμολογουμένας καὶ πολλῶν ἀγαθῶν αἰτίας τοῖς Ἕλ-
λησι γεγενημένας, καὶ παραβάλλῃς αὐτὰς πρὸς τὰς
Λακεδαιμονίων, καὶ τὰς μὲν τῶν προγόνων ἐπαινῇς,
τῶν δ' ἐκείνοις πεπραγμένων κατηγορῇς, ὅ τε λόγος

ἐναργέστερος εἶναι δόξει τοῖς ἀκούουσι καὶ σὺ μενεῖς
ἐν τοῖς αὐτοῖς, ὃ μᾶλλον ἄν τινες θαυμάσειαν τῶν τοῖς
239 ἄλλοις γεγραμμένων. ἐν ἀρχῇ μὲν οὖν οὕτω μοι φαί-
νει τάξασθαι καὶ βουλεύσασθαι περὶ αὐτῶν. (ϛε΄.) Εἰ- d
δὼς δὲ σαυτὸν ἐπῃνεκότα τὴν Σπαρτιατῶν διοίκησιν
ὡς οὐδεὶς ἄλλος, φοβεῖσθαι τοὺς ἀκηκοότας, μὴ δό-
ξῃς ὅμοιος εἶναι τοῖς λέγουσιν, ὅ τι ἂν τύχωσι, καὶ
τούτους νῦν ψέγειν, οὓς πρότερον ἐπῄνεις μᾶλλον
τῶν ἄλλων· ταῦτ᾽ ἐνθυμηθεὶς σκοπεῖσθαι, ποίους
τινὰς ἂν ἑκατέρους εἶναι φήσας ἀληθῆ τε λέγειν δό-
ξειας περὶ ἀμφοτέρων, ἔχοις τ᾽ ἂν τοὺς μὲν προγό-
νους ἐπαινεῖν, οὕσπερ βούλει, Σπαρτιατῶν δὲ δοκεῖν e
μὲν κατηγορεῖν τοῖς ἀηδῶς πρὸς αὐτοὺς διακειμένοις,
μηδὲν δὲ ποιεῖν τοιοῦτον ἀλλὰ λανθάνειν ἐπαινῶν
240 αὐτούς· ζητῶν δὲ τὰ τοιαῦτα ῥᾳδίως εὑρεῖν λόγους
ἀμφιβόλους καὶ μηδὲν μᾶλλον μετὰ τῶν ἐπαινούντων
ἢ τῶν ψεγόντων ὄντας ἀλλ᾽ ἐπαμφοτερίζειν δυναμέ- 283
νους καὶ πολλὰς ἀμφισβητήσεις ἔχοντας, οἷς χρῆσθαι
περὶ μὲν συμβολαίων καὶ περὶ πλεονεξίας ἀγωνιζό-
μενον αἰσχρὸν καὶ πονηρίας οὐ μικρὸν σημεῖον, περὶ
δὲ φύσεως ἀνθρώπων διαλεγόμενον καὶ πραγμάτων
241 καλὸν καὶ φιλόσοφον. οἷός περ ο λόγος ὁ διαναγνω-
σθείς ἐστιν, ἐν ᾧ πεποίηκας τοὺς μὲν σοὺς προγόνους
εἰρηνικοὺς καὶ φιλέλληνας καὶ τῆς ἰσότητος τῆς ἐν
ταῖς πολιτείαις ἡγεμόνας, Σπαρτιάτας δ᾽ ὑπεροπτι- b
κοὺς καὶ πολεμικοὺς καὶ πλεονέκτας, οἵους περ αὐ-
τοὺς εἶναι πάντες ὑπειλήφασιν. (ϛϛ΄.) Τοιαύτην δ᾽
ἑκατέρων ἐχόντων τὴν φύσιν τοὺς μὲν ὑπὸ πάντων
ἐπαινεῖσθαι καὶ δοκεῖν εὔνους εἶναι τῷ πλήθει, τοῖς
δὲ τοὺς μὲν πολλοὺς φθονεῖν καὶ δυσμενῶς ἔχειν,
242 ἔστι δ᾽ οὓς καὶ ἐπαινεῖν αὐτοὺς καὶ θαυμάζειν, καὶ
τολμᾶν λέγειν, ὡς ἀγαθὰ μείζω τυγχάνουσιν ἔχοντες

τῶν τοῖς προγόνοις τοῖς σοῖς προσόντων· τήν τε γὰρ c
ὑπεροψίαν σεμνότητος μετέχειν, εὐδοκίμου πράγμα-
τος, καὶ δοκεῖν ἅπαντας μεγαλοφρονεστέρους εἶναι
τοὺς τοιούτους ἢ τοὺς τῆς ἰσότητος προεστῶτας, τούς
τε πολεμικοὺς πολὺ διαφέρειν τῶν εἰρηνικῶν· τοὺς
μὲν γὰρ οὔτε κτητικοὺς εἶναι τῶν οὐκ ὄντων οὔτε φύ-
λακας δεινοὺς τῶν ὑπαρχόντων, τοὺς δ' ἀμφότερα
δύνασθαι καὶ λαμβάνειν, ὧν ἂν ἐπιθυμῶσι, καὶ σώ-
ζειν, ἅπερ ἂν ἅπαξ κατάσχωσιν· ἃ ποιοῦσιν οἱ τέλειοι d
243 δοκοῦντες εἶναι τῶν ἀνδρῶν. ἀλλὰ μὴν καὶ περὶ τῆς
πλεονεξίας καλλίους ἔχειν οἴονται λόγους τῶν εἰρη-
μένων· τοὺς μὲν γὰρ ἀποστεροῦντας τὰ συμβόλαια
καὶ τοὺς παρακρουομένους καὶ παραλογιζομένους οὐχ
ἡγοῦνται δικαίως καλεῖσθαι πλεονεκτικοὺς, διὰ γὰρ
τὸ πονηρὰν ἔχειν τὴν δόξαν ἐν ἅπασιν αὐτοὺς ἐλατ-
τοῦσθαι τοῖς πράγμασι, τὰς δὲ Σπαρτιατῶν πλεονε-
ξίας καὶ τὰς τῶν βασιλέων καὶ τὰς τῶν τυράννων εὐ- e
244 κτὰς μὲν εἶναι, καὶ πάντας αὐτῶν ἐπιθυμεῖν, οὐ μὴν
ἀλλὰ λοιδορεῖσθαι καὶ καταρᾶσθαι τοῖς τὰς τηλικαύτας
ἔχουσι δυναστείας· οὐδένα δὲ τοιοῦτον εἶναι τὴν φύ-
σιν, ὅστις οὐκ ἂν εὔξαιτο τοῖς θεοῖς μάλιστα μὲν αὐ-
τὸς τυχεῖν τῆς ἐξουσίας ταύτης, εἰ δὲ μὴ, τοὺς οἰκειο- 284
τάτους· ᾧ καὶ φανερόν ἐστιν, ὅτι μέγιστον τῶν ἀγα-
θῶν ἅπαντες εἶναι νομίζομεν τὸ πλέον ἔχειν τῶν ἄλλων.
τὴν μὲν οὖν περιβολὴν τοῦ λόγου δοκεῖς μοι ποιήσα-
245 σθαι μετὰ τοιαύτης διανοίας. (ϛζ'.) Εἰ μὲν οὖν ἡγούμην
ἀφέξεσθαί σε τῶν εἰρημένων καὶ παραλείψειν ἀνεπι-
τίμητον τὸν λόγον τοῦτον, οὐδ' ἂν αὐτὸς ἔτι λέγειν
ἐπεχείρουν· νῦν δ' ὅτι μὲν οὐκ ἀπεφηνάμην, περὶ ὧν b
παρεκλήθην σύμβουλος, οὐδὲν οἶμαί σοι μελήσειν,
οὐδὲ γὰρ ὅτε συνῆγες ἡμᾶς, ἐδόκεις μοι σπουδάζειν
246 περὶ αὐτῶν, ὅτι δὲ προελόμενος συνθεῖναι λόγον μη-

δὲν ὅμοιον τοῖς ἄλλοις, ἀλλὰ τοῖς μὲν ῥᾳθύμως ἀνα-
γιγνώσκουσιν ἁπλοῦν εἶναι δόξοντα καὶ ῥᾴδιον κατα-
μαθεῖν, τοῖς δ' ἀκριβῶς διεξιοῦσιν αὐτὸν, καὶ πειρω-
μένοις κατιδεῖν, ὃ τοὺς ἄλλους λέληθεν, χαλεπὸν φα-
νούμενον καὶ δυσκαταμάθητον, καὶ πολλῆς μὲν ἱστο- c
ρίας γέμοντα καὶ φιλοσοφίας, παντοδαπῆς δὲ μεστὸν
ποικιλίας καὶ ψευδολογίας, οὐ τῆς εἰθισμένης μετὰ
κακίας βλάπτειν τοὺς συμπολιτευομένους ἀλλὰ τῆς
δυναμένης μετὰ παιδείας ὠφελεῖν ἢ τέρπειν τοὺς
247 ἀκούοντας· ὧν οὐδὲν ἐάσαντά με φήσεις τὸν τρόπον
τοῦτον ἔχειν, ὡς ἐβουλεύσω σὺ περὶ αὐτῶν, ἀλλὰ τήν
τε δύναμιν τῶν λεγομένων διδάσκοντα καὶ τὴν σὴν
διάνοιαν ἐξηγούμενον οὐκ αἰσθάνεσθαι τοσούτῳ τὸν
λόγον ἀδοξότερον δι' ἐμὲ γιγνόμενον, ὅσῳ περ αὐτὸν d
φανερώτερον ἐποίουν καὶ γνωριμώτερον τοῖς ἀναγι-
γνώσκουσιν· ἐπιστήμην γὰρ τοῖς οὐκ εἰδόσιν ἐνεργα-
ζόμενον ἔρημον τὸν λόγον με ποιεῖν καὶ τῆς τιμῆς
ἀποστερεῖν τῆς γιγνομένης ἂν αὐτῷ διὰ τοὺς πονοῦν-
248 τας καὶ πράγματα σφίσιν αὐτοῖς παρέχοντας. (ϛη'.) Ἐγὼ
δ' ὁμολογῶ μὲν ἀπολελεῖφθαι τὴν ἐμὴν φρόνησιν τῆς e
σῆς ὡς δυνατὸν πλεῖστον, οὐ μὴν ἀλλ' ὥσπερ τοῦτ'
οἶδα, κἀκεῖνο τυγχάνω γιγνώσκων, ὅτι τῆς πόλεως
τῆς ὑμετέρας βουλευομένης περὶ τῶν μεγίστων οἱ μὲν
ἄριστα φρονεῖν δοκοῦντες ἐνίοτε διαμαρτάνουσι τοῦ
συμφέροντος, τῶν δὲ φαύλων νομιζομένων εἶναι καὶ
καταφρονουμένων ἔστιν ὅτε κατώρθωσεν ὁ τυχὼν καὶ 285
249 βέλτιστα λέγειν ἔδοξεν· ὥστ' οὐδὲν θαυμαστὸν, εἰ καὶ
περὶ τοῦ νῦν ἐνεστῶτος τοιοῦτόν τι συμβέβηκεν, ὅπου
σὺ μὲν οἴει μάλιστ' εὐδοκιμήσειν, ἢν ὡς πλεῖστον χρό-
νον διαλάθῃς, ἣν ἔχων γνώμην τὰ περὶ τὸν λόγον
ἐπραγματεύθης, ἐγὼ δ' ἡγοῦμαι βέλτιστά σε πράξειν,
ἢν δυνηθῇς τὴν διάνοιαν, ᾗ χρώμενος αὐτὸν συνέθη-

κας, ὡς τάχιστα φανερὰν ποιῆσαι τοῖς τ' ἄλλοις ἅπασι b
καὶ Λακεδαιμονίοις, περὶ ὧν πεποίησαι πολλοὺς
λόγους, τοὺς μὲν δικαίους καὶ σεμνούς, τοὺς δ'
250 ἀσελγεῖς καὶ λίαν φιλαπεχθήμονας· οὓς εἴ τις ἐπέ-
δειξεν αὐτοῖς πρὶν ἐμὲ διαλεχθῆναι περὶ αὐτῶν, οὐκ
ἔστιν ὅπως οὐκ ἂν ἐμίσησαν καὶ δυσκόλως πρὸς σὲ
διετέθησαν ὡς κατηγορίαν γεγραφότα καθ' αὐτῶν.
νῦν δ' οἶμαι τοὺς μὲν πλείστους Σπαρτιατῶν ἐμμενεῖν
τοῖς ἤθεσιν οἷσπερ καὶ τὸν ἄλλον χρόνον, τοῖς δὲ λό- c
γοις τοῖς ἐνθάδε γραφομένοις οὐδὲν μᾶλλον προσέξειν
τὸν νοῦν ἢ τοῖς ἔξω τῶν Ἡρακλέους στηλῶν λεγομένοις,
251 τοὺς δὲ φρονιμωτάτους αὐτῶν καὶ τῶν λόγων τινὰς
ἔχοντας τῶν σῶν καὶ θαυμάζοντας, τούτους, ἢν λάβωσι
τὸν ἀναγνωσόμενον καὶ χρόνον ὥστε συνδιατρῖψαι
σφίσιν αὐτοῖς, οὐδὲν ἀγνοήσειν τῶν λεγομένων ἀλλὰ
καὶ τῶν ἐπαίνων αἰσθήσεσθαι τῶν μετ' ἀποδείξεως
εἰρημένων περὶ τῆς πόλεως τῆς αὐτῶν, καὶ τῶν λοι-
δοριῶν καταφρονήσειν τῶν εἰκῇ μὲν τοῖς πράγμασι d
λεγομένων, πικρῶς δὲ τοῖς ὀνόμασι κεχρημένων, καὶ
νομιεῖν τὰς μὲν βλασφημίας τὰς ἐνούσας ἐν τῷ βιβλίῳ
252 τὸν φθόνον ὑποβαλεῖν, τὰς δὲ πράξεις καὶ τὰς μάχας,
ἐφ' αἷς αὐτοί τε μέγα φρονοῦσι καὶ παρὰ τοῖς ἄλλοις
εὐδοκιμοῦσι, σὲ γεγραφέναι καὶ μνημονεύεσθαι πε-
ποιηκέναι, συναγαγόντα πάσας αὐτὰς καὶ θέντα παρ'
ἀλλήλας, αἴτιον δ' εἶναι καὶ τοῦ πολλοὺς ποθεῖν ἀνα-
γνῶναι καὶ διελθεῖν αὐτάς, οὐ τὰς ἐκείνων ἐπιθυ- e
μοῦντας ἀκοῦσαι πράξεις, ἀλλὰ πῶς σὺ διείλεξαι περὶ
253 αὐτῶν μαθεῖν βουλομένους. (ϛθ'.) Ταῦτ' ἐνθυμουμέ-
νους καὶ διεξιόντας οὐδὲ τῶν παλαιῶν ἔργων ἀμνη-
μονήσειν, δι' ὧν ἐγκεκωμίακας τοὺς προγόνους αὐ- 286
τῶν, ἀλλὰ καὶ πολλάκις διαλέξεσθαι πρὸς σφᾶς αὐτούς,
πρῶτον μέν, ὅτι Δωριεῖς ὄντες, ἐπειδὴ κατεῖδον τας

πόλεις τὰς αὑτῶν ἀδόξους καὶ μικρὰς καὶ πολλῶν ἐν-
δεεῖς οὔσας, ὑπεριδόντες ταύτας ἐστράτευσαν ἐπὶ τὰς
ἐν Πελοποννήσῳ πρωτευούσας, ἐπ' Ἄργος καὶ Λακεδαί-
254 μονα καὶ Μεσσήνην, μάχῃ δὲ νικήσαντες τοὺς μὲν ἡτ-
τηθέντας ἔκ τε τῶν πόλεων καὶ τῆς χώρας ἐξέβαλον,
αὐτοὶ δὲ τὰς κτήσεις ἁπάσας τὰς ἐκείνων τότε κατα- b
σχόντες ἔτι καὶ νῦν ἔχουσιν, οὗ μεῖζον ἔργον καὶ
θαυμαστότερον οὐδεὶς ἐπιδείξει κατ' ἐκεῖνον τὸν χρό-
νον γενόμενον, οὐδὲ πρᾶξιν εὐτυχεστέραν καὶ θεοφι-
λεστέραν τῆς τοὺς χρησαμένους τῆς μὲν οἰκείας ἀπο-
ρίας ἀπαλλαξάσης, τῆς δ' ἀλλοτρίας εὐδαιμονίας κυ-
255 ρίους ποιησάσης. καὶ ταῦτα μὲν μετὰ πάντων συστρα-
τευσαμένων ἔπραξαν. (ρ'.) Ἐπειδὴ δὲ πρὸς Ἀργείους
καὶ Μεσσηνίους τὴν χώραν διείλοντο καὶ καθ' αὑτοὺς c
ἐν Σπάρτῃ κατῴκησαν, ἐν τούτοις τοῖς καιροῖς τοσοῦ-
τον φρονῆσαι φὴς αὐτοὺς ὥστ' ὄντας οὐ πλείους τότε
δισχιλίων οὐχ ἡγήσασθαι σφᾶς αὐτοὺς ἀξίους εἶναι
ζῆν, εἰ μὴ δεσπόται πασῶν τῶν ἐν Πελοποννήσῳ πό-
256 λεων γενέσθαι δυνηθεῖεν, ταῦτα δὲ διανοηθέντας καὶ
πολεμεῖν ἐπιχειρήσαντας οὐκ ἀπειπεῖν, ἐν πολλοῖς
κακοῖς καὶ κινδύνοις γιγνομένους, πρὶν ἁπάσας ταύ-
τας ὑφ' αὑτοῖς ἐποιήσαντο πλὴν τῆς πόλεως τῆς Ἀρ- d
γείων, ἔχοντας δ' ἤδη καὶ χώραν πλείστην καὶ δύναμιν
μεγίστην καὶ δόξαν τοσαύτην, ὅσην προσήκει τοὺς
τηλικαῦτα διαπεπραγμένους, οὐχ ἧττον διακεῖσθαι
φιλοτίμως, ὅτι λόγος ὑπῆρχεν αὐτοῖς ἴδιος καὶ καλὸς
257 μόνοις τῶν Ἑλλήνων· ἐξεῖναι γὰρ εἰπεῖν αὐτοῖς, ὅτι
σφεῖς μὲν ὄντες οὕτως ὀλίγοι τὸν ἀριθμὸν οὐδεμιᾷ
πώποτε τῶν μυριάνδρων πόλεων ἠκολούθησαν οὐδ' e
ἐποίησαν τὸ προσταττόμενον ἀλλ' αὐτόνομοι διετέλε-
σαν ὄντες, αὐτοὶ δ' ἐν τῷ πολέμῳ τῷ πρὸς τοὺς βαρ-
βάρους πάντων τῶν Ἑλλήνων ἡγεμόνες κατέστησαν,

καὶ τῆς τιμῆς ταύτης ἔτυχον οὐκ ἀλόγως ἀλλὰ διὰ τὸ
μάχας ποιησάμενοι πλείστας ἀνθρώπων κατ' ἐκεῖνον
τὸν χρόνον μηδεμίαν ἡττηθῆναι τούτων ἡγουμένου
258 βασιλέως ἀλλὰ νενικηκέναι πάσας· οὗ τεκμήριον οὐ- 287
δεὶς ἂν δύναιτο μεῖζον εἰπεῖν ἀνδρίας καὶ καρτερίας
καὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας, πλὴν ἢ τὸ ῥηθήσε-
σθαι μέλλον· τοσούτων γὰρ τὸ πλῆθος τῶν πόλεων
τῶν Ἑλληνίδων οὐσῶν, τῶν μὲν ἄλλων οὐδέν' ἂν εἰ-
πεῖν οὐδ' εὑρεῖν ἥτις οὐ περιπέπτωκε ταῖς συμφοραῖς
259 ταῖς εἰθισμέναις γίγνεσθαι ταῖς πόλεσιν, ἐν δὲ τῇ
Σπαρτιατῶν οὐδεὶς ἂν ἐπιδείξειεν οὔτε στάσιν οὔτε
σφαγὰς οὔτε φυγὰς ἀνόμους γεγενημένας, οὐδ' ἁρ-
παγὰς χρημάτων οὐδ' αἰσχύνας γυναικῶν καὶ παίδων, b
ἀλλ' οὐδὲ πολιτείας μεταβολὴν οὐδὲ χρεῶν ἀποκοπὰς
οὐδὲ γῆς ἀναδασμὸν οὐδ' ἄλλ' οὐδὲν τῶν ἀνηκέστων
κακῶν. περὶ ὧν διεξιόντας οὐκ ἔστιν ὅπως οὐ καὶ σοῦ,
τοῦ τ' ἀθροίσαντος καὶ διαλεχθέντος οὕτω καλῶς περὶ
260 αὐτῶν, μεμνήσεσθαι καὶ πολλὴν χάριν ἕξειν. (ρα'.)
Οὐ τὴν αὐτὴν δὲ γνώμην ἔχω περὶ σοῦ νῦν καὶ πρό-
τερον. ἐν μὲν γὰρ τοῖς παρελθοῦσι χρόνοις ἐθαύμα-
ζόν σου τήν τε φύσιν καὶ τὴν τοῦ βίου τάξιν καὶ φι- c
λοπονίαν καὶ μάλιστα τὴν ἀλήθειαν τῆς φιλοσοφίας,
νῦν δὲ ζηλῶ σε καὶ μακαρίζω τῆς εὐδαιμονίας· δοκεῖς
γάρ μοι ζῶν μὲν λήψεσθαι δόξαν οὐ μείζω μὲν, ἧς
ἄξιος εἶ, χαλεπὸν γὰρ, παρὰ πλείοσι δὲ καὶ μᾶλλον
ὁμολογουμένην τῆς νῦν ὑπαρχούσης, τελευτήσας δὲ
τὸν βίον μεθέξειν ἀθανασίας, οὐ τῆς τοῖς θεοῖς παρ-
ούσης ἀλλὰ τῆς τοῖς ἐπιγιγνομένοις περὶ τῶν διενεγ-
κόντων ἐπί τινι τῶν καλῶν ἔργων μνήμην ἐμποιούσης. d
261 καὶ δικαίως τεύξει τούτων· ἐπῄνεκας γὰρ τὰς πόλεις
ἀμφοτέρας καλῶς καὶ προσηκόντως, τὴν μὲν κατὰ τὴν
δόξαν τὴν τῶν πολλῶν, ἧς οὐδεὶς τῶν ὀνομαστῶν ἀν-

δρῶν καταπεφρόνηκεν, ἀλλ' ἐπιθυμοῦντες τυχεῖν αὐ-
τῆς οὐκ ἔστιν ὅντινα κίνδυνον οὐχ ὑπομένουσι, τὴν
δὲ κατὰ τὸν λογισμὸν τῶν πειρωμένων στοχάζεσθαι
τῆς ἀληθείας, παρ' οἷς εὐδοκιμεῖν ἂν τινες ἕλοιντο
μᾶλλον ἢ παρὰ τοῖς ἄλλοις διπλασίοις γενομένοις ἢ e
νῦν εἰσίν."
262 (ρβ'.) „Ἀπλήστως δὲ διακείμενος ἐν τῷ παρόντι
πρὸς τὸ λέγειν καὶ πόλλ' ἂν εἰπεῖν ἔχων ἔτι καὶ περὶ
σοῦ καὶ περὶ τοῖν πολέοιν καὶ περὶ τοῦ λόγου ταῦτα
μὲν ἐάσω, περὶ ὧν δὲ παρακληθῆναί με σὺ φῄς, περὶ 281
τούτων ἀποφανοῦμαι. συμβουλεύω γάρ σοι μήτε κα-
τακάειν τὸν λόγον μήτ' ἀφανίζειν, ἀλλ' εἴ τινος ἐν-
δεής ἐστι, διορθώσαντα καὶ προσγράψαντα πάσας τὰς
διατριβὰς τὰς περὶ αὐτὸν γεγενημένας διδόναι τοῖς
263 βουλομένοις λαμβάνειν, εἴπερ βούλει χαρίζεσθαι μὲν
τοῖς ἐπιεικεστάτοις τῶν Ἑλλήνων καὶ τοῖς ὡς ἀληθῶς
φιλοσοφοῦσιν ἀλλὰ μὴ προσποιουμένοις, λυπῆσαι δὲ b
τοὺς θαυμάζοντας μὲν τὰ σὰ μᾶλλον τῶν ἄλλων, λοι-
δορουμένους δὲ τοῖς λόγοις τοῖς σοῖς ἐν τοῖς ὄχλοις τοῖς
πανηγυρικοῖς, ἐν οἷς πλείους εἰσὶν οἱ καθεύδοντες
τῶν ἀκροωμένων, καὶ προσδοκῶντας, ἢν παρακρού-
σωνται τοὺς τοιούτους, ἐναμίλλους τοὺς αὑτῶν γενή-
σεσθαι τοῖς ὑπὸ σοῦ γεγραμμένοις, κακῶς εἰδότας, ὅτι
πλέον ἀπολελειμμένοι τῶν σῶν εἰσὶν ἢ τῆς Ὁμήρου
δόξης οἱ περὶ τὴν αὐτὴν ἐκείνῳ ποίησιν γεγονότες." c
264 (ργ'.) Ταῦτ' εἰπόντος αὐτοῦ καὶ τοὺς παρόντας ἀξιώ-
σαντος ἀποφήνασθαι, περὶ ὧν παρεκλήθησαν, οὐκ
ἐθορύβησαν, ὃ ποιεῖν εἰώθασιν ἐπὶ τοῖς χαριέντως
διειλεγμένοις, ἀλλ' ἀνεβόησαν ὡς ὑπερβαλλόντως εἰ-
ρηκότος, καὶ περιστάντες αὐτὸν ἐπῄνουν, ἐζήλουν,
ἐμακάριζον, καὶ προσθεῖναι μὲν οὐδὲν εἶχον τοῖς εἰ-
ρημένοις οὐδ' ἀφελεῖν, συναπεφαίνοντο δὲ καὶ συνε-

265 βουλευόν μοι ποιεῖν, ἅπερ ἐκεῖνος παρῄνεσεν. οὐ μὴν
οὐδ' ἐγὼ παρεστὼς ἐσιώπων, ἀλλ' ἐπῄνεσα τήν τε
φύσιν αὐτοῦ καὶ τὴν ἐπιμέλειαν, περὶ δὲ τῶν ἄλλων d
οὐδὲν ἐφθεγξάμην ὧν εἶπεν, οὔθ' ὡς ἔτυχε ταῖς ὑπο-
νοίαις τῆς ἐμῆς διανοίας, οὔθ' ὡς διήμαρτεν, ἀλλ' εἴων
αὐτὸν οὕτως ἔχειν, ὥσπερ αὐτὸς αὑτὸν διέθηκεν.
266 (ρδ'.) Περὶ μὲν οὖν ὧν ὑπεθέμην, ἱκανῶς εἰρῆ-
σθαι νομίζω· τὸ γὰρ ἀναμιμνήσκειν καθ' ἕκαστον
τῶν εἰρημένων οὐ πρέπει τοῖς λόγοις τοῖς τοιούτοις·
βούλομαι δὲ διαλεχθῆναι περὶ τῶν ἰδίᾳ μοι περὶ τὸν e
λόγον συμβεβηκότων. ἐγὼ γὰρ ἐνεστησάμην μὲν αὐ-
267 τὸν ἔτη γεγονὼς, ὅσα περ ἐν ἀρχῇ προεῖπον· ἤδη δὲ 289
τῶν ἡμισέων γεγραμμένων, ἐγγενομένου μοι νοσήμα-
τος ῥηθῆναι μὲν οὐκ εὐπρεποῦς, δυναμένου δ' ἀναι-
ρεῖν οὐ μόνον τοὺς πρεσβυτέρους ἐν τρισὶν ἢ τέτταρσιν
ἡμέραις ἀλλὰ καὶ τῶν ἀκμαζόντων πολλοὺς, τούτῳ
διατελῶ τρί' ἔτη μαχόμενος, οὕτω φιλοπόνως ἑκάστην
τὴν ἡμέραν διάγων ὥστε τοὺς εἰδότας καὶ τοὺς παρὰ
τούτων πυνθανομένους μᾶλλόν με θαυμάζειν διὰ τὴν
268 καρτερίαν ταύτην ἢ δι' ἃ πρότερον ἐπῃνούμην. ἤδη
δ' ἀπειρηκότος καὶ διὰ τὴν νόσον καὶ διὰ τὸ γῆρας b
τῶν ἐπισκοπούντων τινὲς μὲν καὶ πολλάκις ἀνεγνω-
κότων τὸ μέρος τοῦ λόγου τὸ γεγραμμένον ἐδέοντό
μου καὶ συνεβούλευον μὴ καταλιπεῖν αὐτὸν ἡμιτελῆ
μηδ' ἀδιέργαστον ἀλλὰ πονῆσαι μικρὸν χρόνον καὶ
269 προσέχειν τοῖς λοιποῖς τὸν νοῦν, οὐχ ὁμοίως δὲ διελέ-
γοντο περὶ τούτων τοῖς ἀφοσιουμένοις, ἀλλ' ὑπερεπαι-
νοῦντες μὲν τὰ γεγραμμένα, τοιαῦτα δὲ λέγοντες, ὧν e
εἴ τινες ἤκουον μήτε συνήθεις ἡμῖν ὄντες μήτ' εὔνοιαν
μηδεμίαν ἔχοντες, οὐκ ἔστιν ὅπως οὐκ ἂν ὑπέλαβον
τοὺς μὲν φενακίζειν, ἐμὲ δὲ διεφθάρθαι καὶ παντά-
270 πασιν εἶναι μωρὸν, εἰ πείσομαι τοῖς λεγομένοις. οὕτω

δ᾽ ἔχων, ἐφ᾽ οἷς εἰπεῖν ἐτόλμησαν, ἐπείσθην, τί γὰρ
δεῖ μακρολογεῖν; γενέσθαι πρὸς τῇ τῶν λοιπῶν πραγ-
ματείᾳ, γεγονὼς μὲν ἔτη τρία μόνον ἀπολείποντα τῶν
ἑκατὸν, οὕτω δὲ διακείμενος, ὡς ἕτερος ἔχων οὐχ ὅπως d
λόγον ἂν γράφειν ἐπεχείρησεν ἀλλ᾽ οὐδ᾽ ἄλλου δει-
κνύοντος καὶ πονήσαντος ἠθέλησεν ἀκροατὴς γενέ-
σθαι.

271 (ρε΄.) Τίνος οὖν ἕνεκα ταῦτα διῆλθον; ου συγ-
γνώμης τυχεῖν ἀξιῶν ὑπὲρ τῶν εἰρημένων, οὐ γὰρ
οὕτως οἶμαι διειλέχθαι περὶ αὐτῶν, ἀλλὰ δηλῶσαι
βουλόμενος τά τε περὶ ἐμὲ γεγενημένα, καὶ τῶν ἀκρο-
ατῶν ἐπαινέσαι μὲν τοὺς τόν τε λόγον ἀποδεχομένους
τοῦτον καὶ τῶν ἄλλων σπουδαιοτέρους καὶ φιλοσοφω- e
τέρους εἶναι νομίζοντας τοὺς διδασκαλικοὺς καὶ τεχνι-
κοὺς τῶν πρὸς τὰς ἐπιδείξεις καὶ τοὺς ἀγῶνας γεγραμ-
μένων, καὶ τοὺς τῆς ἀληθείας στοχαζομένους τῶν τὰς
δόξας τῶν ἀκροωμένων παρακρούεσθαι ζητούντων,
καὶ τοὺς ἐπιπλήττοντας τοῖς ἁμαρτανομένοις καὶ νου- 290
θετοῦντας τῶν πρὸς ἡδονὴν καὶ χάριν λεγομένων,
272 συμβουλεῦσαι δὲ τοῖς τἀναντία τούτων γιγνώσκουσι
πρῶτον μὲν μὴ πιστεύειν ταῖς αὑτῶν γνώμαις, μηδὲ
νομίζειν ἀληθεῖς εἶναι τὰς κρίσεις τὰς ὑπὸ τῶν ῥαθυ-
μούντων γιγνομένας, ἔπειτα μὴ προπετῶς ἀποφαίνε-
σθαι περὶ ὧν οὐκ ἴσασιν, ἀλλὰ περιμένειν, ἕως ἂν
ὁμονοῆσαι δυνηθῶσι τοῖς τῶν ἐπιδεικνυμένων πολλὴν
ἐμπειρίαν ἔχουσιν· τῶν γὰρ οὕτω διοικούντων τὰς
αὑτῶν διανοίας οὐκ ἔστιν ὅστις ἂν τοὺς τοιούτους
ἀνοήτους εἶναι νομίσειεν.

13.
ΚΑΤΑ ΤΩΝ ΣΟΦΙΣΤΩΝ.

(α'.) *Εἰ πάντες ἤθελον οἱ παιδεύειν ἐπιχειροῦν-* 291
τες ἀληθῆ λέγειν καὶ μὴ μείζους ποιεῖσθαι τὰς ὑπο-
σχέσεις ὧν ἤμελλον ἐπιτελεῖν, οὐκ ἂν κακῶς ἤκουον
ὑπὸ τῶν ἰδιωτῶν· νῦν δ' οἱ τολμῶντες λίαν ἀπερι-
σκέπτως ἀλαζονεύεσθαι πεποιήκασιν ὥστε δοκεῖν
ἄμεινον βουλεύεσθαι τοὺς ῥᾳθυμεῖν αἱρουμένους τῶν
περὶ τὴν φιλοσοφίαν διατριβόντων. b
(β'.) *Τίς γὰρ οὐκ ἂν μισήσειεν ἅμα καὶ καταφρο-*
νήσειε πρῶτον μὲν τῶν περὶ τὰς ἔριδας διατριβόντων,
οἳ προσποιοῦνται μὲν τὴν ἀλήθειαν ζητεῖν, εὐθὺς δ' ἐν
ἀρχῇ τῶν ἐπαγγελμάτων ψευδῆ λέγειν ἐπιχειροῦσιν;
2 *οἶμαι γὰρ ἅπασιν εἶναι φανερὸν, ὅτι τὰ μέλλοντα προ-*
γιγνώσκειν οὐ τῆς ἡμετέρας φύσεώς ἐστιν, ἀλλὰ τοσοῦ-
τον ἀπέχομεν ταύτης τῆς φρονήσεως, ὥσθ' Ὅμηρος ὁ
μεγίστην ἐπὶ σοφίᾳ δόξαν εἰληφὼς καὶ τοὺς θεοὺς πε-
ποίηκεν ἔστιν ὅτε βουλευομένους ὑπὲρ αὐτῶν, οὐ τὴν c
ἐκείνων γνώμην εἰδὼς ἀλλ' ἡμῖν ἐνδείξασθαι βουλόμε-
νος, ὅτι τοῖς ἀνθρώποις ἓν τοῦτο τῶν ἀδυνάτων ἐστίν.
3 (γ'.) *Οὗτοι τοίνυν εἰς τοῦτο τόλμης ἐληλύθασιν, ὥστε*
πειρῶνται πείθειν τοὺς νεωτέρους, ὡς ἢν αὐτοῖς πλη-
σιάζωσιν, ἅ τε πρακτέον ἐστὶν εἴσονται καὶ διὰ ταύτης
τῆς ἐπιστήμης εὐδαίμονες γενήσονται. καὶ τηλικούτων
ἀγαθῶν αὑτοὺς διδασκάλους καὶ κυρίους καταστήσαν-
τες οὐκ αἰσχύνονται τρεῖς ἢ τέτταρας μνᾶς ὑπὲρ τούτων d
4 *αἰτοῦντες. ἀλλ' εἰ μέν τι τῶν ἄλλων κτημάτων πολ-*
λοστοῦ μέρους τῆς ἀξίας ἐπώλουν, οὐκ ἂν ἠμφισβή-
τησαν, ὡς οὐκ εὖ φρονοῦντες τυγχάνουσι, σύμπασαν
δὲ τὴν ἀρετὴν καὶ τὴν εὐδαιμονίαν οὕτως ὀλίγου τι-

μῶντες, ὡς νοῦν ἔχοντες διδάσκαλοι τῶν ἄλλων ἀξι-
οῦσι γίγνεσθαι. καὶ λέγουσι μὲν, ὡς οὐδὲν δέονται
χρημάτων, ἀργυρίδιον καὶ χρυσίδιον τὸν πλοῦτον e
ἀποκαλοῦντες, μικροῦ δὲ κέρδους ὀρεγόμενοι μόνον
οὐκ ἀθανάτους ὑπισχνοῦνται τοὺς συνόντας ποιήσειν.
5 ὃ δὲ πάντων καταγελαστότατον, ὅτι παρ' ὧν δεῖ λαβεῖν
αὐτοὺς, τούτοις μὲν ἀπιστοῦσιν, οἷς μέλλουσι τὴν δι- 29
καιοσύνην παραδώσειν, ὧν δ' οὐδεπώποτε διδάσκαλοι
γεγόνασι, παρὰ τούτοις τὰ παρὰ τῶν μαθητῶν μεσεγ-
γυοῦνται, πρὸς μὲν τὴν ἀσφάλειαν εὖ βουλευόμενοι,
6 τῷ δ' ἐπαγγέλματι τἀναντία πράττοντες. τοὺς μὲν γὰρ
ἄλλο τι παιδεύοντας προσήκει διακριβοῦσθαι περὶ τῶν
διαφερόντων· οὐδὲν γὰρ κωλύει τοὺς περὶ ἕτερα δει-
νοὺς γενομένους μὴ χρηστοὺς εἶναι περὶ τὰ συμβόλαια·
τοὺς δὲ τὴν ἀρετὴν καὶ τὴν σωφροσύνην ἐνεργαζομέ- b
νους πῶς οὐκ ἄλογόν ἐστι μὴ τοῖς μαθηταῖς μάλιστα
πιστεύειν; οὐ γὰρ δή που περὶ τοὺς ἄλλους ὄντες κα-
λοὶ κἀγαθοὶ καὶ δίκαιοι περὶ τούτους ἐξαμαρτήσονται,
7 δι' οὓς τοιοῦτοι γεγόνασιν. (δ'.) Ἐπειδὰν οὖν τῶν
ἰδιωτῶν τινὲς ἅπαντα ταῦτα συλλογισάμενοι κατίδωσι
τοὺς τὴν σοφίαν διδάσκοντας καὶ τὴν εὐδαιμονίαν
παραδιδόντας αὐτούς τε πολλῶν δεομένους καὶ τοὺς
μαθητὰς μικρὸν πραττομένους, καὶ τὰς ἐναντιώσεις c
ἐπὶ μὲν τῶν λόγων τηροῦντας, ἐπὶ δὲ τῶν ἔργων μὴ
καθορῶντας, ἔτι δὲ περὶ μὲν τῶν μελλόντων εἰδέναι
8 προσποιουμένους, περὶ δὲ τῶν παρόντων μηδὲν τῶν
δεόντων μήτ' εἰπεῖν μήτε συμβουλεῦσαι δυναμένους,
ἀλλὰ μᾶλλον ὁμονοοῦντας καὶ πλείω κατορθοῦντας
τοὺς ταῖς δόξαις χρωμένους ἢ τοὺς τὴν ἐπιστήμην ἔχειν
ἐπαγγελλομένους, εἰκότως, οἶμαι, καταφρονοῦσι καὶ
νομίζουσιν ἀδολεσχίαν καὶ μικρολογίαν ἀλλ' οὐ τῆς d
ψυχῆς ἐπιμέλειαν εἶναι τὰς τοιαύτας διατριβάς.

9 (ε΄.) Οὐ μόνον δὲ τούτοις ἀλλὰ καὶ τοῖς τοὺς πο-
λιτικοὺς λόγους ὑπισχνουμένοις ἄξιον ἐπιτιμῆσαι·
καὶ γὰρ ἐκεῖνοι τῆς μὲν ἀληθείας οὐδὲν φροντίζουσιν,
ἡγοῦνται δὲ τοῦτ' εἶναι τὴν τέχνην, ἣν ὡς πλείστους
τῇ μικρότητι τῶν μισθῶν καὶ τῷ μεγέθει τῶν ἐπαγ-
γελμάτων προσαγάγωνται καὶ λαβεῖν τι παρ' αὐτῶν
δυνηθῶσιν· οὕτω δ' ἀναισθήτως αὐτοί τε διάκεινται e
καὶ τοὺς ἄλλους ἔχειν ὑπειλήφασιν, ὥστε χεῖρον γρά-
φοντες τοὺς λόγους ἢ τῶν ἰδιωτῶν τινὲς αὐτοσχεδιά-
ζουσιν, ὅμως ὑπισχνοῦνται τοιούτους ῥήτορας τοὺς
συνόντας ποιήσειν ὥστε μηδὲν τῶν ἐνόντων ἐν τοῖς
10 πράγμασι παραλιπεῖν. καὶ ταύτης τῆς δυνάμεως οὐ- 293
δὲν οὔτε ταῖς ἐμπειρίαις οὔτε τῇ φύσει τῇ τοῦ μαθη-
τοῦ μεταδιδόασιν ἀλλά φασιν ὁμοίως τὴν τῶν λόγων
ἐπιστήμην ὥσπερ τὴν τῶν γραμμάτων παραδώσειν,
ὡς μὲν ἔχει τούτων ἑκάτερον οὐκ ἐξετάσαντες, οἰόμε-
νοι δὲ διὰ τὰς ὑπερβολὰς τῶν ἐπαγγελμάτων αὐτοί τε
θαυμασθήσεσθαι καὶ τὴν παίδευσιν τὴν τῶν λόγων
πλείονος ἀξίαν δόξειν εἶναι, κακῶς εἰδότες, ὅτι με-
γάλας ποιοῦσι τὰς τέχνας οὐχ οἱ τολμῶντες ἀλαζονεύ- b
εσθαι περὶ αὐτῶν, ἀλλ' οἵτινες ἂν, ὅσον ἔνεστιν ἐν
ἑκάστῃ, τοῦτ' ἐξευρεῖν δυνηθῶσιν.

11 (ϛ΄.) Ἐγὼ δὲ πρὸ πολλῶν μὲν ἂν χρημάτων ἐτι-
μησάμην τηλικοῦτον δύνασθαι τὴν φιλοσοφίαν, ὅσον
οὗτοι λέγουσιν, ἴσως γὰρ οὐκ ἂν ἡμεῖς πλεῖστον ἀπε-
λείφθημεν, οὐδ' ἂν ἐλάχιστον μέρος ἀπελαύσαμεν
αὐτῆς· ἐπειδὴ δ' οὐχ οὕτως ἔχει, βουλοίμην ἂν παύ-
σασθαι τοὺς φλυαροῦντας· ὁρῶ γὰρ οὐ μόνον περὶ
τοὺς ἐξαμαρτάνοντας τὰς βλασφημίας γιγνομένας ἀλ- c
λὰ καὶ τοὺς ἄλλους ἅπαντας συνδιαβαλλομένους τοὺς
περὶ τὴν αὐτὴν διατριβὴν ὄντας.

12 (ζ΄.) Θαυμάζω δ' ὅταν ἴδω τούτους μαθητῶν ἀξι-

ουμένους, οἳ ποιητικοῦ πράγματος τεταγμένην τέχνην
παράδειγμα φέροντες λελήθασι σφᾶς αὐτούς. τίς γὰρ
οὐκ οἶδε πλὴν τούτων, ὅτι τὸ μὲν τῶν γραμμάτων ἀκι-
νήτως ἔχει καὶ μένει κατὰ ταὐτὸν, ὥστε τοῖς αὐτοῖς
ἀεὶ περὶ τῶν αὐτῶν χρώμενοι διατελοῦμεν, τὸ δὲ τῶν
λόγων πᾶν τοὐναντίον πέπονθεν· τὸ γὰρ ὑφ' ἑτέρου d
ῥηθὲν τῷ λέγοντι μετ' ἐκεῖνον οὐχ ὁμοίως χρήσιμόν
ἐστιν, ἀλλ' οὗτος εἶναι δοκεῖ τεχνικώτατος, ὅστις ἂν
ἀξίως μὲν λέγῃ τῶν πραγμάτων, μηδὲν δὲ τῶν αὐτῶν
13 τοῖς ἄλλοις εὑρίσκειν δύνηται. μέγιστον δὲ σημεῖον
τῆς ἀνομοιότητος αὐτῶν· τοὺς μὲν γὰρ λόγους οὐχ
οἷόν τε καλῶς ἔχειν, ἢν μὴ τῶν καιρῶν καὶ τοῦ πρεπόν-
τως καὶ καινῶς ἔχειν μετάσχωσιν, τοῖς δὲ γράμμασιν
οὐδενὸς τούτων προσεδέησεν. ὥσθ' οἱ χρώμενοι τοῖς e
τοιούτοις παραδείγμασι πολὺ ἂν δικαιότερον ἀποτί-
νοιεν ἢ λαμβάνοιεν ἀργύριον, ὅτι πολλῆς ἐπιμελείας
αὐτοὶ δεόμενοι παιδεύειν τοὺς ἄλλους ἐπιχειροῦσιν.
14 (η'.) Εἰ δὲ δεῖ μὴ μόνον κατηγορεῖν τῶν ἄλλων
ἀλλὰ καὶ τὴν ἐμαυτοῦ δηλῶσαι διάνοιαν, ἡγοῦμαι 294
πάντας ἂν μοι τοὺς εὖ φρονοῦντας συνειπεῖν, ὅτι
πολλοὶ μὲν τῶν φιλοσοφησάντων ἰδιῶται διετέλεσαν
ὄντες, ἄλλοι δέ τινες οὐδενὶ πώποτε συγγενόμενοι
τῶν σοφιστῶν καὶ λέγειν καὶ πολιτεύεσθαι δεινοὶ γε-
γόνασιν. αἱ μὲν γὰρ δυνάμεις καὶ τῶν λόγων καὶ τῶν
ἄλλων ἔργων ἁπάντων ἐν τοῖς εὐφυέσιν ἐγγίγνονται
15 καὶ τοῖς περὶ τὰς ἐμπειρίας γεγυμνασμένοις· ἡ δὲ
παίδευσις τοὺς μὲν τοιούτους τεχνικωτέρους καὶ πρὸς
τὸ ζητεῖν εὐπορωτέρους ἐποίησεν· οἷς γὰρ νῦν ἐντυγ- b
χάνουσι πλανώμενοι, ταῦτ' ἐξ ἑτοιμοτέρου λαμβάνειν
αὐτοὺς ἐδίδαξεν, τοὺς δὲ καταδεεστέραν τὴν φύσιν
ἔχοντας ἀγωνιστὰς μὲν ἀγαθοὺς ἢ λόγων ποιητὰς οὐκ
ἂν ἀποτελέσειεν, αὐτοὺς δ' ἂν αὐτῶν προαγάγοι καὶ

πρὸς πολλὰ φρονιμωτέρως διακεῖσθαι ποιήσειεν.
16 (θ΄.) Βούλομαι δ' ἐπειδή περ εἰς τοῦτο προῆλ-
θον, ἔτι σαφέστερον εἰπεῖν περὶ αὐτῶν. φημὶ γὰρ e
ἐγὼ τῶν μὲν ἰδεῶν, ἐξ ὧν τοὺς λόγους ἅπαντας καὶ
λέγομεν καὶ συντίθεμεν, λαβεῖν τὴν ἐπιστήμην οὐκ
εἶναι τῶν πάνυ χαλεπῶν, ἤν τις αὑτὸν παραδῷ μὴ
τοῖς ῥᾳδίως ὑπισχνουμένοις ἀλλὰ τοῖς εἰδόσι τι περὶ
αὐτῶν· τὸ δὲ τούτων ἐφ' ἑκάστῳ τῶν πραγμάτων ἃς
δεῖ προελέσθαι καὶ μίξασθαι πρὸς ἀλλήλας καὶ τάξα-
σθαι κατὰ τρόπον, ἔτι δὲ τῶν καιρῶν μὴ διαμαρτεῖν
ἀλλὰ καὶ τοῖς ἐνθυμήμασι πρεπόντως ὅλον τὸν λόγον d
καταποικῖλαι καὶ τοῖς ὀνόμασιν εὐρύθμως καὶ μουσι-
17 κῶς εἰπεῖν, ταῦτα δὲ πολλῆς ἐπιμελείας δεῖσθαι καὶ
ψυχῆς ἀνδρικῆς καὶ δοξαστικῆς ἔργον εἶναι, καὶ δεῖν
τὸν μὲν μαθητὴν πρὸς τῷ τὴν φύσιν ἔχειν οἵαν χρὴ,
τὰ μὲν εἴδη τὰ τῶν λόγων μαθεῖν, περὶ δὲ τὰς χρήσεις
αὐτῶν γυμνασθῆναι, τὸν δὲ διδάσκαλον τὰ μὲν οὕ-
τως ἀκριβῶς οἷόν τ' εἶναι διελθεῖν ὥστε μηδὲν τῶν
διδακτῶν παραλιπεῖν, περὶ δὲ τῶν λοιπῶν τοιοῦτον e
18 αὑτὸν παράδειγμα παρασχεῖν ὥστε τοὺς ἐκτυπωθέν-
τας καὶ μιμήσασθαι δυναμένους εὐθὺς ἀνθηρότερον
καὶ χαριέστερον τῶν ἄλλων φαίνεσθαι λέγοντας. καὶ
τούτων μὲν ἁπάντων συμπεσόντων τελείως ἕξουσιν
οἱ φιλοσοφοῦντες· καθ' ὃ δ' ἂν ἐλλειφθῇ τι τῶν εἰ- 295
ρημένων, ἀνάγκη ταύτῃ χεῖρον διακεῖσθαι τοὺς πλη-
σιάζοντας.

19 (ι΄.) Οἱ μὲν οὖν ἄρτι τῶν σοφιστῶν ἀναφυόμενοι
καὶ νεωστὶ προσπεπτωκότες ταῖς ἀλαζονείαις, εἰ καὶ νῦν
πλεονάζουσιν, εὖ οἶδ' ὅτι πάντες ἐπὶ ταύτην κατενε-
χθήσονται τὴν ὑπόθεσιν. (ια΄.) Λοιποὶ δ' ἡμῖν εἰσὶν
οἱ πρὸ ἡμῶν γενόμενοι καὶ τὰς καλουμένας τέχνας
γράψαι τολμήσαντες, οὓς οὐκ ἀφετέον ἀνεπιτιμήτους·

οἵτινες ὑπέσχοντο δικάζεσθαι διδάξειν, ἐκλεξάμενοι b
τὸ δυσχερέστατον τῶν ὀνομάτων, ὃ τῶν φθονούν-
των ἔργον ἦν λέγειν ἀλλ' οὐ τῶν προεστώτων τῆς
20 *τοιαύτης παιδεύσεως, καὶ ταῦτα τοῦ πράγματος, καθ'*
ὅσον ἐστὶ διδακτὸν, οὐδὲν μᾶλλον πρὸς τοὺς δικανι-
κοὺς λόγους ἢ πρὸς τοὺς ἄλλους ἅπαντας ὠφελεῖν
δυναμένου. τοσούτῳ δὲ χείρους ἐγένοντο τῶν περὶ
τὰς ἔριδας καλινδουμένων, ὅσον οὗτοι μὲν τοιαῦτα
λογίδια διεξιόντες, οἷς εἴ τις ἐπὶ τῶν πράξεων ἐμμεί- c
νειεν, εὐθὺς ἂν ἐν πᾶσιν εἴη κακοῖς, ὅμως ἀρετὴν
ἐπηγγείλαντο καὶ σωφροσύνην περὶ αὐτῶν, ἐκεῖνοι δ'
ἐπὶ τοὺς πολιτικοὺς λόγους παρακαλοῦντες, ἀμελή-
σαντες τῶν ἄλλων τῶν προσόντων αὐτοῖς ἀγαθῶν,
πολυπραγμοσύνης καὶ πλεονεξίας ὑπέστησαν εἶναι
διδάσκαλοι.

21 *Καίτοι τοὺς βουλομένους πειθαρχεῖν τοῖς ὑπὸ*
τῆς φιλοσοφίας ταύτης προσταττομένοις πολὺ ἂν θᾶτ-
τον πρὸς ἐπιείκειαν ἢ πρὸς ῥητορείαν ὠφελήσειεν. d
καὶ μηδεὶς οἰέσθω με λέγειν, ὡς ἔστι δικαιοσύνη δι-
δακτόν· ὅλως μὲν γὰρ οὐδεμίαν ἡγοῦμαι τοιαύτην
εἶναι τέχνην, ἥτις τοῖς κακῶς πεφυκόσιν ἀρετὴν ἂν
καὶ δικαιοσύνην ἐμποιήσειεν· οὐ μὴν ἀλλὰ συμπαρα-
κελεύσασθαί γε καὶ συνασκῆσαι μάλιστ' ἂν οἶμαι τὴν
τῶν λόγων τῶν πολιτικῶν ἐπιμέλειαν.

22 *(ιβ'.) Ἵνα δὲ μὴ δοκῶ τὰς μὲν τῶν ἄλλων ὑπο-*
σχέσεις διαλύειν, αὐτὸς δὲ μείζω λέγειν τῶν ἐνόν- e
των, ἐξ ὧνπερ αὐτὸς ἐπείσθην οὕτω ταῦτ' ἔχειν,
ῥᾳδίως οἶμαι καὶ τοῖς ἄλλοις φανερὸν καταστήσειν.

. . . .

Λείπει πολλά.

14.

ΠΛΑΤΑΙΚΟΣ.

(α'.) Εἰδότες ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῖς 296
ἀδικουμένοις προθύμως βοηθεῖν εἰθισμένους καὶ τοῖς
εὐεργέταις μεγίστην χάριν ἀποδιδόντας, ἥκομεν ἱκε- 297
τεύσοντες μὴ περιιδεῖν ἡμᾶς εἰρήνης οὔσης ἀναστά-
τους ὑπὸ Θηβαίων γεγενημένους. πολλῶν δ' ἤδη
πρὸς ὑμᾶς καταφυγόντων καὶ διαπραξαμένων ἅπανθ'
ὅσων ἐδεήθησαν, ἡγούμεθα μάλισθ' ὑμῖν προσήκειν
περὶ τῆς ἡμετέρας πόλεως ποιήσασθαι πρόνοιαν·
2 οὔτε γὰρ ἂν ἀδικώτερον οὐδένας ἡμῶν εὕροιτε τηλι-
καύταις συμφοραῖς περιπεπτωκότας, οὔτ' ἐκ πλείονος b
χρόνου πρὸς τὴν ὑμετέραν πόλιν οἰκειότερον διακει-
μένους. ἐπὶ δὲ τοιούτων καὶ τοιάδε δεησόμενοι πάρ-
εσμεν, ἐν οἷς κίνδυνος μὲν οὐδεὶς ἔνεστιν, ἅπαντες
δ' ἄνθρωποι νομιοῦσιν ὑμᾶς πειθομένους ὁσιωτάτους
καὶ δικαιοτάτους εἶναι τῶν Ἑλλήνων.

3 (β'.) Εἰ μὲν οὖν μὴ Θηβαίους ἑωρῶμεν ἐκ παν-
τὸς τρόπου παρεσκευασμένους πείθειν ὑμᾶς, ὡς οὐ-
δὲν εἰς ἡμᾶς ἐξημαρτήκασι, διὰ βραχέων ἂν ἐποιησά-
μεθα τοὺς λόγους· ἐπειδὴ δ' εἰς τοῦθ' ἥκομεν ἀτυ- c
χίας ὥστε μὴ μόνον ἡμῖν εἶναι τὸν ἀγῶνα πρὸς
τούτους ἀλλὰ καὶ τῶν ῥητόρων πρὸς τοὺς δυνατω-
τάτους, οὓς ἀπὸ τῶν ἡμετέρων αὐτοῖς οὗτοι παρε-
σκευάσαντο συνηγόρους, ἀναγκαῖον διὰ μακροτέρων
δηλῶσαι περὶ αὐτῶν.

4 (γ'.) Χαλεπὸν μὲν οὖν μηδὲν καταδεέστερον εἰ-
πεῖν ὧν πεπόνθαμεν· ποῖος γὰρ ἂν λόγος ἐξισωθείη
ταῖς ἡμετέραις δυσπραξίαις ἢ τίς ἂν ῥήτωρ ἱκα-
νὸς γένοιτο κατηγορῆσαι τῶν Θηβαίοις ἡμαρτη-

μένων; ὅμως δὲ πειρατέον οὕτως ὅπως ἂν δυνώμεθα
φανερὰν καταστῆσαι τὴν τούτων παρανομίαν. πολὺ d
δὲ μάλιστ' ἀγανακτοῦμεν, ὅτι τοσούτου δέομεν τῶν
ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις Ἕλλησιν, ὥστ' εἰρήνης
οὔσης καὶ συνθηκῶν γεγενημένων οὐχ ὅπως τῆς κοι-
νῆς ἐλευθερίας μετέχομεν ἀλλ' οὐδὲ δουλείας μετρίας
τυχεῖν ἠξιώθημεν.

6 (δ'.) Δεόμεθ' οὖν ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι,
μετ' εὐνοίας ἀκροάσασθαι τῶν λεγομένων, ἐνθυμη-
θέντας, ὅτι πάντων ἂν ἡμῖν ἀλογώτατον εἴη συμβε-
βηκός, εἰ τοῖς μὲν ἅπαντα τὸν χρόνον δυσμενῶς πρὸς e
τὴν πόλιν ὑμῶν διακειμένοις αἴτιοι γεγένησθε τῆς
ἐλευθερίας, ἡμεῖς δὲ μηδ' ἱκετεύοντες ὑμᾶς τῶν αὐ-
τῶν τοῖς ἐχθίστοις τύχοιμεν.

7 (ε'.) Περὶ μὲν οὖν τῶν γεγενημένων οὐκ οἶδ' ὅ 298
τι δεῖ μακρολογεῖν· τίς γὰρ οὐκ οἶδεν, ὅτι καὶ τὴν
χώραν ἡμῶν κατανενέμηνται καὶ τὴν πόλιν κατεσκά-
φασιν; ἃ δὲ λέγοντες ἐλπίζουσιν ἐξαπατήσειν ὑμᾶς,
περὶ τούτων πειρασόμεθα διδάσκειν.

8 (ς'.) Ἐνίοτε γὰρ ἐπιχειροῦσι λέγειν, ὡς διὰ τοῦτο
πρὸς ἡμᾶς οὕτω προσηνέχθησαν, ὅτι συντελεῖν αὐ-
τοῖς οὐκ ἠθέλομεν. ὑμεῖς δ' ἐνθυμεῖσθε πρῶτον μέν,
εἰ δίκαιόν ἐστιν ὑπὲρ τηλικούτων ἐγκλημάτων οὕτως b
ἀνόμους καὶ δεινὰς ποιεῖσθαι τὰς τιμωρίας, ἔπειτ' εἰ
προσήκειν ὑμῖν δοκεῖ μὴ πεισθεῖσαν τὴν Πλαταιέων
πόλιν ἀλλὰ βιασθεῖσαν Θηβαίοις συντελεῖν. ἐγὼ μὲν
γὰρ οὐδένας ἡγοῦμαι τολμηροτέρους εἶναι τούτων,
οἵτινες τὰς μὲν ἰδίας ἡμῶν ἑκάστων πόλεις ἀφανί-
ζουσι, τῆς δὲ σφετέρας αὐτῶν πολιτείας οὐδὲν δεο-
9 μένους κοινωνεῖν ἀναγκάζουσιν. πρὸς δὲ τούτοις
οὐδ' ὁμολογούμενα φαίνονται διαπραττόμενοι πρός c
τε τοὺς ἄλλους καὶ πρὸς ἡμᾶς. ἐχρῆν γὰρ αὐτούς,

ἐπειδὴ πείθειν ἡμῶν τὴν πόλιν οὐχ οἷοί τ' ἦσαν,
ὥσπερ τοὺς Θεσπιέας καὶ τοὺς Ταναγραίους, συντε-
λεῖν μόνον εἰς τὰς Θήβας ἀναγκάζειν· οὐδὲν γὰρ ἂν
τῶν ἀνηκέστων κακῶν ἦμεν πεπονθότες. νῦν δὲ φα-
νεροὶ γεγόνασιν οὐ τοῦτο διαπράξασθαι βουληθέντες
10 ἀλλὰ τῆς χώρας ἡμῶν ἐπιθυμήσαντες. θαυμάζω δὲ,
πρὸς τί τῶν γεγενημένων ἀναφέροντες καὶ πῶς ποτὲ d
τὸ δίκαιον κρίνοντες ταῦτα φήσουσι προστάττειν ἡμῖν.
εἰ μὲν γὰρ τὰ πάτρια σκοποῦσιν, οὐ τῶν ἄλλων αὐ-
τοῖς ἀρκτέον ἀλλὰ πολὺ μᾶλλον Ὀρχομενίοις φόρον
οἰστέον· οὕτω γὰρ εἶχε τὸ παλαιόν· εἰ δὲ τὰς συνθή-
κας ἀξιοῦσιν εἶναι κυρίας, ὅπερ ἐστὶ δίκαιον, πῶς οὐχ
ὁμολογήσουσιν ἀδικεῖν καὶ παραβαίνειν αὐτάς; ὁ-
μοίως γὰρ τάς τε μικρὰς τῶν πόλεων καὶ τὰς μεγάλας
αὐτονόμους εἶναι κελεύουσιν.
11 (ζ.) Οἶμαι δὲ περὶ μὲν τούτων οὐ τολμήσειν e
αὐτοὺς ἀναισχυντεῖν, ἐπ' ἐκεῖνον δὲ τρέψεσθαι τὸν
λόγον, ὡς μετὰ Λακεδαιμονίων ἐπολεμοῦμεν, καὶ
πάσῃ τῇ συμμαχίᾳ διαφθείραντες ἡμᾶς τὰ συμφέ-
12 ροντα πεποιήκασιν. (η'.) Ἐγὼ δ' ἡγοῦμαι μὲν χρῆναι
μηδεμίαν μήτ' αἰτίαν μήτε κατηγορίαν μεῖζον δύνα- 299
σθαι τῶν ὅρκων καὶ τῶν συνθηκῶν· οὐ μὴν ἀλλ' εἰ
δεῖ τινὰς κακῶς παθεῖν διὰ τὴν Λακεδαιμονίων συμ-
μαχίαν, οὐκ ἂν Πλαταιεῖς ἐξ ἁπάντων τῶν Ἑλλήνων
προὐκρίθησαν δικαίως· οὐ γὰρ ἑκόντες ἀλλ' ἀναγ-
13 κασθέντες αὐτοῖς ἐδουλεύομεν. τίς γὰρ ἂν πιστεύ-
σειεν εἰς τοῦθ' ἡμᾶς ἀνοίας ἐλθεῖν ὥστε περὶ πλεί-
ονος ποιήσασθαι τοὺς ἐξανδραποδισαμένους ἡμῶν
τὴν πατρίδα μᾶλλον ἢ τοὺς τῆς πόλεως τῆς αὑτῶν b
μεταδόντας; ἀλλὰ γὰρ, οἶμαι, χαλεπὸν ἦν νεωτερίζειν
αὐτοὺς μὲν μικρὰν πόλιν οἰκοῦντας, ἐκείνων δ' οὕτω
μεγάλην δύναμιν κεκτημένων, ἔτι δὲ πρὸς τούτοις

ἁρμοστοῦ καθεστῶτος καὶ φρουρᾶς ἐνούσης καὶ τηλι-
14 κούτου στρατεύματος ὄντος Θεσπιᾶσιν, ὑφ' ὧν οὐ
μόνον ἂν θᾶττον ἢ Θηβαίων διεφθάρημεν ἀλλὰ καὶ
δικαιότερον· τούτους μὲν γὰρ εἰρήνης οὔσης οὐ
προσῆκε μνησικακεῖν περὶ τῶν τότε γεγενημένων, c
ἐκεῖνοι δ' ἐν τῷ πολέμῳ προδοθέντες εἰκότως ἂν παρ'
15 ἡμῶν τὴν μεγίστην δίκην ἐλάμβανον. ἡγοῦμαι δ'
ὑμᾶς οὐκ ἀγνοεῖν, ὅτι πολλοὶ καὶ τῶν ἄλλων Ἑλλή-
νων τοῖς μὲν σώμασι μετ' ἐκείνων ἀκολουθεῖν ἠναγ-
κάζοντο, ταῖς δ' εὐνοίαις μεθ' ὑμῶν ἦσαν. οὓς τίνα
χρὴ προσδοκᾶν γνώμην ἕξειν, ἢν ἀκούσωσιν, ὅτι
Θηβαῖοι τὸν δῆμον τὸν Ἀθηναίων πεπείκασιν, ὡς
οὐδενός ἐστι φειστέον τῶν ὑπὸ Λακεδαιμονίοις γενο-
16 μένων; ὁ γὰρ τούτων λόγος οὐδὲν ἄλλ' ἢ τοῦτο φα- d
νήσεται δυνάμενος· οὐ γὰρ ἰδίαν κατηγορίαν ποιού-
μενοι κατὰ τῆς πόλεως τῆς ἡμετέρας ἀπολωλέκασιν
αὐτήν, ἀλλ' ἣν ὁμοίως καὶ κατ' ἐκείνων ἕξουσιν εἰ-
πεῖν. ὑπὲρ ὧν βουλεύεσθαι χρὴ καὶ σκοπεῖν, ὅπως
μὴ τοὺς πρότερον μισοῦντας τὴν ἀρχὴν τὴν Λακε-
δαιμονίων ἡ τούτων ὕβρις διαλλάξει καὶ ποιήσει τὴν
ἐκείνων συμμαχίαν αὑτῶν νομίζειν εἶναι σωτηρίαν.
17 (θ'.) Ἐνθυμεῖσθε δ' ὅτι τὸν πόλεμον ἀνείλεσθε
τὸν ὑπογυιότατον οὐχ ὑπὲρ τῆς ὑμετέρας σωτηρίας e
οὐδ' ὑπὲρ τῆς τῶν συμμάχων ἐλευθερίας, ἅπασι γὰρ
ὑπῆρχεν ὑμῖν, ἀλλ' ὑπὲρ τῶν παρὰ τοὺς ὅρκους καὶ
τὰς συνθήκας τῆς αὐτονομίας ἀποστερουμένων. ὃ
δὴ καὶ πάντων σχετλιώτατον, εἰ τὰς πόλεις, ἃς οὐκ
ᾤεσθε δεῖν Λακεδαιμονίοις δουλεύειν, ταύτας περι- 300
όψεσθε νῦν ὑπὸ Θηβαίων ἀπολλυμένας, οἳ τοσούτου
18 δέουσι μιμεῖσθαι τὴν πρᾳότητα τὴν ὑμετέραν, ὥσθ'
ὃ δοκεῖ πάντων δεινότατον εἶναι, δοριαλώτους γενέ-
σθαι, τοῦτο κρεῖττον ἦν ἡμῖν παθεῖν ὑπὸ ταύτης τῆς

πόλεως ἢ τούτων τυχεῖν ὁμόρους ὄντας· οἱ μὲν γὰρ
ὑφ' ὑμῶν κατὰ κράτος ἁλόντες εὐθὺς μὲν ἁρμοστοῦ
καὶ δουλείας ἀπηλλάγησαν, νῦν δὲ τοῦ συνεδρίου
καὶ τῆς ἐλευθερίας μετέχουσιν· οἱ δὲ τούτων πλησίον b
οἰκοῦντες οἱ μὲν οὐδὲν ἧττον τῶν ἀργυρωνήτων δου-
λεύουσι, τοὺς δ' οὐ πρότερον παύσονται πρὶν ἂν
19 οὕτως ὥσπερ ἡμᾶς διαθῶσιν. καὶ Λακεδαιμονίων μὲν
κατηγοροῦσιν, ὅτι τὴν Καδμείαν κατέλαβον καὶ
φρουρὰς εἰς τὰς πόλεις καθίστασαν, αὐτοὶ δ' οὐ φύ-
λακας εἰσπέμποντες, ἀλλὰ τῶν μὲν τὰ τείχη κατασκά-
πτοντες, τοὺς δ' ἄρδην ἀπολλύοντες οὐδὲν οἴονται
δεινὸν ποιεῖν, ἀλλ' εἰς τοῦτ' ἀναισχυντίας ἐληλύθα- c
σιν, ὥστε τῆς μὲν αὑτῶν σωτηρίας τοὺς συμμάχους
ἅπαντας ἀξιοῦσιν ἐπιμελεῖσθαι, τῆς δὲ τῶν ἄλλων
20 δουλείας αὑτοὺς κυρίους καθιστᾶσιν. καίτοι τίς οὐκ
ἂν μισήσειε τὴν τούτων πλεονεξίαν, οἳ τῶν μὲν ἀσθε-
νεστέρων ἄρχειν ζητοῦσι, τοῖς δὲ κρείττοσιν ἴσον ἔχειν
οἴονται δεῖν, καὶ τῇ μὲν ὑμετέρᾳ πόλει τῆς γῆς τῆς
ὑπ' Ὠρωπίων δεδομένης φθονοῦσιν, αὐτοὶ δὲ βίᾳ
τὴν ἀλλοτρίαν χώραν κατανέμονται;

21 (ι΄.) Καὶ πρὸς τοῖς ἄλλοις κακοῖς λέγουσιν, ὡς d
ὑπὲρ τοῦ κοινοῦ τῶν συμμάχων ταῦτ' ἔπραξαν. καί-
τοι χρῆν αὐτοὺς, ὄντος ἐνθάδε συνεδρίου καὶ τῆς
ὑμετέρας πόλεως ἄμεινον βουλεύεσθαι δυναμένης ἢ
τῆς Θηβαίων, οὐχ ὑπὲρ τῶν πεπραγμένων ἥκειν ἀπο-
λογησομένους, ἀλλὰ πρὶν ποιῆσαί τι τούτων ἐλθεῖν
22 ὡς ὑμᾶς βουλευσομένους. νῦν δὲ τὰς μὲν οὐσίας τὰς
ἡμετέρας ἰδίᾳ διηρπάκασι, τῆς δὲ διαβολῆς ἅπασι τοῖς
συμμάχοις ἥκουσι μεταδώσοντες. ἣν ὑμεῖς, ἢν σω- e
φρονῆτε, φυλάξεσθε· πολὺ γὰρ κάλλιον τούτους
ἀναγκάσαι μιμήσασθαι τὴν ὁσιότητα τὴν ὑμετέραν ἢ
τῆς τούτων παρανομίας αὐτοὺς πεισθῆναι μετασχεῖν;

23 οἳ μηδὲν τῶν αὐτῶν τοῖς ἄλλοις γιγνώσκουσιν. οἶμαι
γὰρ ἅπασι φανερὸν εἶναι, διότι προσήκει τοὺς εὖ 301
φρονοῦντας ἐν μὲν τῷ πολέμῳ σκοπεῖν, ὅπως ἐκ παν-
τὸς τρόπου πλέον ἕξουσι τῶν ἐχθρῶν, ἐπειδὰν δ' εἰ-
ρήνη γένηται, μηδὲν περὶ πλείονος ποιεῖσθαι τῶν ὅρ-
24 κων καὶ τῶν συνθηκῶν. οὗτοι δὲ τότε μὲν ἐν ἁπάσαις
ταῖς πρεσβείαις ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς αὐτονο-
μίας ἐποιοῦντο τοὺς λόγους· ἐπειδὴ δὲ νομίζουσιν
αὑτοῖς ἄδειαν γεγενῆσθαι, πάντων τῶν ἄλλων ἀμε- b
λήσαντες ὑπὲρ τῶν ἰδίων κερδῶν καὶ τῆς αὑτῶν βίας
25 λέγειν τολμῶσι, καὶ φασὶ τὸ Θηβαίους ἔχειν τὴν ἡμε-
τέραν, τοῦτο συμφέρον εἶναι τοῖς συμμάχοις, κακῶς
εἰδότες, ὡς οὐδὲν τοῖς παρὰ τὸ δίκαιον πλεονεκτοῦ-
σιν οὐδὲ πώποτε συνήνεγκεν, ἀλλὰ πολλοὶ δὴ τῆς ἀλ-
λοτρίας ἀδίκως ἐπιθυμήσαντες περὶ τῆς αὑτῶν δι-
καίως εἰς τοὺς μεγίστους κινδύνους κατέστησαν.
26 (ια΄.) Ἀλλὰ μὴν οὐδ' ἐκεῖνό γ' ἕξουσι λέγειν, ὡς
αὐτοὶ μέν, μεθ' ὧν ἂν γένωνται, πιστοὶ διατελοῦσιν c
ὄντες, ἡμᾶς δ' ἄξιον φοβεῖσθαι, μὴ κομισάμενοι τὴν
χώραν πρὸς Λακεδαιμονίους ἀποστῶμεν· εὑρήσετε
γὰρ ἡμᾶς μὲν δὶς ἐκπεπολιορκημένους ὑπὲρ τῆς φι-
λίας τῆς ὑμετέρας, τούτους δὲ πολλάκις εἰς ταύτην
27 τὴν πόλιν ἐξημαρτηκότας. (ιβ΄.) Καὶ τὰς μὲν παλαιὰς
προδοσίας πολὺ ἂν ἔργον εἴη λέγειν· γενομένου δὲ
τοῦ Κορινθιακοῦ πολέμου διὰ τὴν ὕβριν τὴν τούτων,
καὶ Λακεδαιμονίων μὲν ἐπ' αὐτοὺς στρατευσάντων,
δι' ὑμᾶς δὲ σωθέντες οὐχ ὅπως τούτων χάριν ἀπέδο- d
σαν, ἀλλ' ἐπειδὴ διελέλυσθε τὸν πόλεμον, ἀπολιπόν-
τες ὑμᾶς εἰς τὴν Λακεδαιμονίων συμμαχίαν εἰσῆλθον.
28 καὶ Χῖοι μὲν καὶ Μυτιληναῖοι καὶ Βυζάντιοι συμπαρ-
έμειναν, οὗτοι δὲ τηλικαύτην πόλιν οἰκοῦντες οὐδὲ
κοινοὺς σφᾶς αὐτοὺς παρασχεῖν ἐτόλμησαν ἀλλ' εἰς

τοῦτ' ἀνανδρίας καὶ πονηρίας ἦλθον, ὥστ' ὤμοσαν
ἦ μὴν ἀκολουθήσειν μετ' ἐκείνων ἐφ' ὑμᾶς τοὺς δια-
σώσαντας τὴν πόλιν αὐτῶν· ὑπὲρ ὧν δόντες τοῖς e
θεοῖς δίκην καὶ τῆς Καδμείας καταληφθείσης ἠναγ-
κάσθησαν ἐνθάδε καταφυγεῖν. ὅθεν καὶ μάλιστ'
29 ἐπεδείξαντο τὴν αὐτῶν ἀπιστίαν· σωθέντες γὰρ πά-
λιν διὰ τῆς ὑμετέρας δυνάμεως καὶ κατελθόντες εἰς
τὴν αὑτῶν οὐδένα χρόνον ἐνέμειναν ἀλλ' εὐθὺς εἰς 302
Λακεδαίμονα πρέσβεις ἀπέστελλον, ἕτοιμοι δουλεύειν
ὄντες καὶ μηδὲν κινεῖν τῶν πρότερον πρὸς αὐτοὺς
ὡμολογημένων. καὶ τί δεῖ μακρολογεῖν; εἰ γὰρ μὴ
προσέταττον ἐκεῖνοι τούς τε φεύγοντας καταδέχεσθαι
καὶ τοὺς αὐτόχειρας ἐξείργειν, οὐδὲν ἂν ἐκώλυεν αὐ-
τοὺς μετὰ τῶν ἠδικηκότων ἐφ' ὑμᾶς τοὺς εὐεργέτας
στρατεύεσθαι.

30 (ιγ'.) Καὶ τοιοῦτοι μὲν νεωστὶ περὶ τὴν πόλιν
τήνδε γεγενημένοι, τὸ δὲ παλαιὸν ἁπάσης τῆς Ἑλλά- b
δος προδόται καταστάντες, αὐτοὶ μὲν ὑπὲρ οὕτως
ἑκουσίων καὶ μεγάλων ἀδικημάτων συγγνώμης τυχεῖν
ἠξιώθησαν, ἡμῖν δ' ὑπὲρ ὧν ἠναγκάσθημεν, οὐδε-
μίαν ἔχειν οἴονται δεῖν, ἀλλὰ τολμῶσιν ὄντες Θηβαῖοι
λακωνισμὸν ἑτέροις ὀνειδίζειν, οὓς πάντες ἴσμεν πλεῖ-
στον χρόνον Λακεδαιμονίοις δεδουλευκότας καὶ προ-
θυμότερον ὑπὲρ τῆς ἐκείνων ἀρχῆς ἢ τῆς αὑτῶν σω-
31 τηρίας πεπολεμηκότας. ποίας γὰρ εἰσβολῆς ἀπελεί-
φθησαν τῶν εἰς ταύτην τὴν χώραν γεγενημένων; ἢ c
τίνων οὐκ ἐχθίους ὑμῖν καὶ δυσμενέστεροι διετέλεσαν
ὄντες; οὐκ ἐν τῷ Δεκελεικῷ πολέμῳ πλειόνων αἴτιοι
κακῶν ἐγένοντο τῶν ἄλλων τῶν συνεισβαλόντων; οὐ
δυστυχησάντων ὑμῶν μόνοι τῶν συμμάχων ἔθεντο
τὴν ψῆφον, ὡς χρὴ τήν τε πόλιν ἐξανδραποδίσασθαι
καὶ τὴν χώραν ἀνεῖναι μηλόβοτον ὥσπερ τὸ Κρισαῖον

32 πεδίον; ὥστ᾽ εἰ Λακεδαιμόνιοι τὴν αὐτὴν γνώμην
ἔσχον Θηβαίοις, οὐδὲν ἂν ἐκώλυε τοὺς ἅπασι τοῖς d
Ἕλλησιν αἰτίους τῆς σωτηρίας γενομένους αὐτοὺς
ὑπὸ τῶν Ἑλλήνων ἐξανδραποδισθῆναι καὶ ταῖς μεγί-
σταις συμφοραῖς περιπεσεῖν. καίτοι τίνα τηλικαύτην
εὐεργεσίαν ἔχοιεν ἂν εἰπεῖν, ἥτις ἱκανὴ γενήσεται δια-
λῦσαι τὴν ἔχθραν τὴν ἐκ τούτων δικαίως ἂν ὑπάρ-
χουσαν πρὸς αὐτούς;

33 (ιδ΄.) Τούτοις μὲν οὖν οὐδεὶς λόγος ὑπολείπεται
τηλικαῦτα τὸ μέγεθος ἐξημαρτηκόσι, τοῖς δὲ συναγο-
ρεύειν βουλομένοις ἐκεῖνος μόνος, ὡς νῦν μὲν ἡ Βοι- e
ωτία προπολεμεῖ τῆς ὑμετέρας χώρας, ἢν δὲ διαλύ-
σησθε τὴν πρὸς τούτους φιλίαν, ἀσύμφορα τοῖς συμ-
μάχοις διαπράξεσθε· μεγάλην γὰρ ἔσεσθαι τὴν ῥοπήν,
εἰ μετὰ Λακεδαιμονίων ἡ τούτων γενήσεται πόλις.

34 (ιε΄.) Ἐγὼ δ᾽ οὔτε τοῖς συμμάχοις ἡγοῦμαι λυσιτελεῖν 30
τοὺς ἀσθενεστέρους τοῖς κρείττοσι δουλεύειν, καὶ γὰρ
τὸν παρελθόντα χρόνον ὑπὲρ τούτων ἐπολεμήσαμεν,
οὔτε Θηβαίους εἰς τοῦτο μανίας ἥξειν ὥστ᾽ ἀποστάν-
τας τῆς συμμαχίας Λακεδαιμονίοις ἐνδώσειν τὴν πό-
λιν, οὐχ ὡς πιστεύων τοῖς τούτων ἤθεσιν, ἀλλ᾽ οἶδ᾽
ὅτι γιγνώσκουσιν, ὡς δυοῖν θάτερον ἀναγκαῖόν ἐστιν
αὐτοῖς, ἢ μένοντας ἀποθνήσκειν καὶ πάσχειν, οἷά περ b
ἐποίησαν, ἢ φεύγοντας ἀπορεῖν καὶ τῶν ἐλπίδων ἁ-
35 πασῶν ἐστερῆσθαι. πότερα γὰρ τὰ πρὸς τοὺς πολίτας
αὐτοῖς ἔχει καλῶς, ὧν τοὺς μὲν ἀποκτείναντες, τοὺς
δ᾽ ἐκ τῆς πόλεως ἐκβαλόντες διηρπάκασι τὰς οὐσίας,
ἢ τὰ πρὸς τοὺς ἄλλους Βοιωτούς, ὧν οὐκ ἄρχειν μό-
νον ἀδίκως ἐπιχειροῦσιν, ἀλλὰ τῶν μὲν τὰ τείχη κατ-
36 εσκάφασι, τῶν δὲ καὶ τὴν χώραν ἀπεστερήκασιν; ἀλλὰ
μὴν οὐδ᾽ ἐπὶ τὴν ὑμετέραν πόλιν οἷόν τ᾽ αὐτοῖς ἐπ-
ανελθεῖν ἐστίν, ἣν οὕτω συνεχῶς φανήσονται προ- c

διδόντες. ὥστ' οὐκ ἔστιν ὅπως βουλήσονται πρὸς ὑμᾶς ὑπὲρ τῆς ἀλλοτρίας διενεχθέντες τὴν αὑτῶν πόλιν οὕτως εἰκῇ καὶ προδήλως ἀποβαλεῖν, ἀλλὰ πολὺ κοσμιώτερον διακείσονται πρὸς ἁπάσας τὰς πράξεις, καὶ τοσούτῳ πλείω ποιήσονται θεραπείαν ὑμῶν, ὅσῳ
37 περ ἂν μᾶλλον περὶ σφῶν αὐτῶν δεδίωσιν. ἐπεδείξαντο δ' ὑμῖν, ὡς χρὴ τῇ φύσει χρῆσθαι τῇ τούτων, ἐξ ὧν ἔπραξαν περὶ Ὠρωπόν· ὅτε μὲν γὰρ ἐξουσίαν d ἤλπισαν αὐτοῖς ἔσεσθαι ποιεῖν, ὅ τι ἂν βουληθῶσιν, οὐχ ὡς συμμάχοις ὑμῖν προσηνέχθησαν, ἀλλ' ἅπερ ἂν εἰς τοὺς πολεμιωτάτους ἐξαμαρτεῖν ἐτόλμησαν· ἐπειδὴ δ' ἐκσπόνδους αὐτοὺς ἀντὶ τούτων ἐψηφίσασθε ποιῆσαι, παυσάμενοι τῶν φρονημάτων ἦλθον ὡς ὑμᾶς, ταπεινότερον διατεθέντες ἢ νῦν ἡμεῖς τυγχά-
38 νομεν ἔχοντες. ὥστ' ἤν τινες ὑμᾶς ἐκφοβῶσι τῶν ῥη- e
τόρων, ὡς κίνδυνός ἐστι, μὴ μεταβάλωνται καὶ γένωνται μετὰ τῶν πολεμίων, οὐ χρὴ πιστεύειν· τοιαῦται γὰρ αὐτοὺς ἀνάγκαι κατειλήφασιν, ὥστε πολὺ ἂν θᾶττον τὴν ὑμετέραν ἀρχὴν ἢ τὴν Λακεδαιμονίων συμμαχίαν ὑπομείνειαν.

39 (ις'.) Εἰ δ' οὖν καὶ τἀναντία μέλλοιεν ἅπαντα 304
πράξειν, οὐδ' οὕτως ἡγοῦμαι προσήκειν ὑμῖν τῆς Θηβαίων πόλεως πλείω ποιήσασθαι λόγον ἢ τῶν ὅρκων καὶ τῶν συνθηκῶν, ἐνθυμουμένους πρῶτον μέν, ὡς οὐ τοὺς κινδύνους ἀλλὰ τὰς ἀδοξίας καὶ τὰς αἰσχύνας φοβεῖσθαι πάτριον ὑμῖν ἐστιν, ἔπειθ' ὅτι συμβαίνει κρατεῖν ἐν τοῖς πολέμοις οὐ τοὺς βίᾳ τὰς πόλεις καταστρεφομένους ἀλλὰ τοὺς ὁσιώτερον καὶ
40 πρᾳότερον τὴν Ἑλλάδα διοικοῦντας. (ιζ'.) Καὶ ταῦτ' b
ἐπὶ πλειόνων μὲν ἄν τις παραδειγμάτων ἔχοι διελθεῖν· τὰ δ' οὖν ἐφ' ἡμῶν γενόμενα τίς οὐκ οἶδεν, ὅτι Λακεδαιμόνιοι τὴν δύναμιν τὴν ὑμετέραν ἀνυ-

*πόστατον δοκοῦσαν εἶναι κατέλυσαν, μικρὰς μὲν ἀφ-
ορμὰς εἰς τὸν πόλεμον τὸν κατὰ θάλατταν τὸ πρῶτον
ἔχοντες, διὰ δὲ τὴν δόξαν ταύτην προσαγόμενοι τοὺς
Ἕλληνας, καὶ πάλιν ὑμεῖς τὴν ἀρχὴν ἀφείλεσθε τὴν
ἐκείνων, ἐξ ἀτειχίστου μὲν τῆς πόλεως ὁρμηθέντες* c
καὶ κακῶς πραττούσης, τὸ δὲ δίκαιον ἔχοντες σύμμα-
41 *χον; καὶ τούτων ὡς οὐ βασιλεὺς αἴτιος ἦν ὁ τελευ-
ταῖος χρόνος σαφῶς ἐπέδειξεν· ἔξω γὰρ αὐτοῦ τῶν
πραγμάτων γεγενημένου, καὶ τῶν μὲν ὑμετέρων ἀν-
ελπίστως ἐχόντων, Λακεδαιμονίοις δὲ σχεδὸν ἁπασῶν
τῶν πόλεων δουλευουσῶν, ὅμως αὐτῶν τοσοῦτον
περιεγένεσθε πολεμοῦντες ὥστ᾽ ἐκείνους ἀγαπητῶς
ἰδεῖν τὴν εἰρήνην γενομένην.* d
42 (ιη'.) *Μηδεὶς οὖν ὑμῶν ὀρρωδείτω μετὰ τοῦ δι-
καίου ποιούμενος τοὺς κινδύνους, μηδ᾽ οἰέσθω συμ-
μάχων ἀπορήσειν, ἂν τοῖς ἀδικουμένοις ἐθέλητε βοη-
θεῖν ἀλλὰ μὴ Θηβαίοις μόνοις· οἷς νῦν τἀναντία
ψηφισάμενοι πολλοὺς ἐπιθυμεῖν ποιήσετε τῆς ὑμετέ-
ρας φιλίας. ἢν γὰρ ἐνδείξησθ᾽ ὡς ὁμοίως ἅπασιν*
43 *ὑπὲρ τῶν συνθηκῶν παρεσκεύασθε πολεμεῖν, τίνες
εἰς τοῦτ᾽ ἀνοίας ἥξουσιν ὥστε μετὰ τῶν καταδουλου-
μένων εἶναι μᾶλλον ἢ μεθ᾽ ὑμῶν τῶν ὑπὲρ τῆς αὐ-* e
*τῶν ἐλευθερίας ἀγωνιζομένων; εἰ δὲ μή, τί λέγοντες,
ἢν πάλιν γένηται πόλεμος, ἀξιώσετε προσάγεσθαι
τοὺς Ἕλληνας, εἰ τὴν αὐτονομίαν προτείνοντες ἐνδώ-
σετε πορθεῖν Θηβαίοις, ἥντιν᾽ ἂν βούλωνται τῶν πό-*
44 *λεων; πῶς δ᾽ οὐ τἀναντία φανήσεσθε πράττοντες* 305
*ὑμῖν αὐτοῖς, εἰ Θηβαίους μὲν μὴ διακωλύσετε παρα-
βαίνοντας τοὺς ὅρκους καὶ τὰς συνθήκας, πρὸς δὲ
Λακεδαιμονίους ὑπὲρ τῶν αὐτῶν τούτων προσποιή-
σεσθε πολεμεῖν; καὶ τῶν μὲν κτημάτων τῶν ὑμετέ-
ρων αὐτῶν ἀπέστητε, βουλόμενοι τὴν συμμαχίαν ὡς*

μεγίστην ποιῆσαι, τούτους δὲ τὴν ἀλλοτρίαν ἔχειν
ἐάσετε καὶ τοιαῦτα ποιεῖν, ἐξ ὧν ἅπαντες χείρους b
45 εἶναι νομιοῦσιν ὑμᾶς; ὃ δὲ πάντων δεινότατον, εἰ
τοῖς μὲν συνεχῶς μετὰ Λακεδαιμονίων γεγενημένοις
δεδογμένον ὑμῖν ἐστὶ βοηθεῖν, ἤν τι παράσπονδον αὐ-
τοῖς ἐκεῖνοι προστάττωσιν, ἡμᾶς δ' οἳ τὸν μὲν πλεῖ-
στον χρόνον μεθ' ὑμῶν ὄντες διατετελέκαμεν, τὸν δὲ
τελευταῖον μόνον πόλεμον ὑπὸ Λακεδαιμονίοις ἠναγ-
κάσθημεν γενέσθαι, διὰ ταύτην τὴν πρόφασιν ἀθλιώ-
τατα πάντων ἀνθρώπων περιόψεσθε διακειμένους. c
46 (ιθ'.) Τίνας γὰρ ἂν ἡμῶν εὕροι τις δυστυχεστέρους, οἵ-
τινες καὶ πόλεως καὶ χώρας καὶ χρημάτων ἐν μιᾷ στερη-
θέντες ἡμέρᾳ, πάντων τῶν ἀναγκαίων ὁμοίως ἐνδεεῖς
ὄντες ἀλῆται καὶ πτωχοὶ καθέσταμεν, ἀποροῦντες,
ὅποι τραπώμεθα, καὶ πάσας δυσχεραίνοντες τὰς οἰκή-
σεις· ἤν τε γὰρ δυστυχοῦντας καταλάβωμεν, ἀλγοῦ-
μεν ἀναγκαζόμενοι πρὸς τοῖς οἰκείοις κακοῖς καὶ τῶν d
47 ἀλλοτρίων κοινωνεῖν· ἤν θ' ὡς εὖ πράττοντας ἔλθω-
μεν, ἔτι χαλεπώτερον ἔχομεν, οὐ ταῖς ἐκείνων φθο-
νοῦντες εὐπορίαις ἀλλὰ μᾶλλον ἐν τοῖς τῶν πέλας
ἀγαθοῖς τὰς ἡμετέρας αὐτῶν συμφορὰς καθορῶντες,
ἐφ' αἷς ἡμεῖς οὐδεμίαν ἡμέραν ἀδακρυτὶ διάγομεν
ἀλλὰ πενθοῦντες τὴν πατρίδα καὶ θρηνοῦντες τὴν
μεταβολὴν τὴν γεγενημένην ἅπαντα τὸν χρόνον δια-
48 τελοῦμεν. τίνα γὰρ ἡμᾶς οἴεσθε γνώμην ἔχειν ὁρῶν- e
τας καὶ τοὺς γονέας αὐτῶν ἀναξίως γηροτροφουμένους
καὶ τοὺς παῖδας οὐκ ἐπὶ ταῖς ἐλπίσιν αἷς ἐποιησάμεθα
παιδευομένους, ἀλλὰ πολλοὺς μὲν μικρῶν ἕνεκα συμ-
βολαίων δουλεύοντας, ἄλλους δ' ἐπὶ θητείαν ἰόντας,
τοὺς δ' ὅπως ἕκαστοι δύνανται τὸ καθ' ἡμέραν πο- 306
ριζομένους, ἀπρεπῶς καὶ τοῖς τῶν προγόνων ἔργοις
καὶ ταῖς αὐτῶν ἡλικίαις καὶ τοῖς φρονήμασι τοῖς ἡμε-

49 τέροις; ὃ δὲ πάντων ἄλγιστον, ὅταν τις ἴδῃ χωριζο-
μένους ἀπ' ἀλλήλων μὴ μόνον πολίτας ἀπὸ πολιτῶν
ἀλλὰ καὶ γυναῖκας ἀπ' ἀνδρῶν καὶ θυγατέρας ἀπὸ
μητέρων καὶ πᾶσαν τὴν συγγένειαν διαλυομενην, ὃ
πολλοῖς τῶν ἡμετέρων [πολιτῶν] διὰ τὴν ἀπορίαν
συμβέβηκεν· ὁ γὰρ κοινὸς βίος ἀπολωλὼς ἰδίας τὰς b
50 ἐλπίδας ἕκαστον ἡμῶν ἔχειν πεποίηκεν. οἶμαι δ'
ὑμᾶς οὐδὲ τὰς ἄλλας αἰσχύνας ἀγνοεῖν τὰς διὰ πε-
νίαν καὶ φυγὴν γιγνομένας, ἃς ἡμεῖς τῇ μὲν διανοίᾳ
χαλεπώτερον τῶν ἄλλων φέρομεν, τῷ δὲ λόγῳ παρα-
λείπομεν, αἰσχυνόμενοι λίαν ἀκριβῶς τὰς ἡμετέρας
αὐτῶν ἀτυχίας ἐξετάζειν.
51 (κ'.) Ὧν αὐτοὺς ὑμᾶς ἀξιοῦμεν ἐνθυμουμένους
ἐπιμέλειάν τινα ποιήσασθαι περὶ ἡμῶν. καὶ γὰρ οὐδ' c
ἀλλότριοι τυγχάνομεν ὑμῖν ὄντες, ἀλλὰ ταῖς μὲν εὐ-
νοίαις ἅπαντες οἰκεῖοι, τῇ δὲ συγγενείᾳ τὸ πλῆθος
ἡμῶν· διὰ γὰρ τὰς ἐπιγαμίας τὰς δοθείσας ἐκ πολι-
τίδων ὑμετέρων γεγόναμεν· ὥστ' οὐχ οἷόν θ' ὑμῖν
52 ἀμελῆσαι, περὶ ὧν ἐληλύθαμεν δεησόμενοι. καὶ γὰρ
ἂν πάντων εἴη δεινότατον, εἰ πρότερον μὲν ἡμῖν μετέ-
δοτε τῆς πατρίδος τῆς ὑμετέρας αὐτῶν, νῦν δὲ μηδὲ
τὴν ἡμετέραν ἀποδοῦναι δόξειεν ὑμῖν. ἔπειτ' οὐδ'
εἰκὸς ἕνα μὲν ἕκαστον ἐλεεῖσθαι τῶν παρὰ τὸ δίκαιον d
δυστυχούντων, ὅλην δὲ πόλιν οὕτως ἀνόμως διε-
φθαρμένην μηδὲ κατὰ μικρὸν οἴκτου δυνηθῆναι τυ-
χεῖν, ἄλλως τε καὶ παρ' ὑμᾶς καταφυγοῦσαν, οἷς οὐδὲ
τὸ πρότερον αἰσχρῶς οὐδ' ἀκλεῶς ἀπέβη τοὺς ἱκέτας
53 ἐλεήσασιν. (κα'.) Ἐλθόντων γὰρ Ἀργείων ὡς τοὺς
προγόνους ὑμῶν καὶ δεηθέντων ἀνελέσθαι τοὺς ὑπὸ
τῇ Καδμείᾳ τελευτήσαντας, πεισθέντες ὑπ' ἐκείνων
καὶ Θηβαίους ἀναγκάσαντες βουλεύσασθαι νομιμώ- e
τερον οὐ μόνον αὐτοὶ κατ' ἐκείνους τοὺς καιροὺς εὐ-

δοκίμησαν, ἀλλὰ καὶ τῇ πόλει δόξαν ἀείμνηστον εἰς
ἅπαντα τὸν χρόνον κατέλιπον, ἧς οὐκ ἄξιον προδότας
γενέσθαι. καὶ γὰρ αἰσχρὸν φιλοτιμεῖσθαι μὲν ἐπὶ τοῖς 307
τῶν προγόνων ἔργοις, φαίνεσθαι δ' ἐκείνοις τἀναν-
54 τία περὶ τῶν ἱκετῶν πράττοντας. (κβ'.) Καίτοι πολὺ
περὶ μειζόνων καὶ δικαιοτέρων ἥκομεν ποιησόμενοι
τὰς δεήσεις· οἱ μὲν γὰρ ἐπὶ τὴν ἀλλοτρίαν στρατεύ-
σαντες ἱκέτευον ὑμᾶς, ἡμεῖς δὲ τὴν ἡμετέραν αὐτῶν
ἀπολωλεκότες, κἀκεῖνοι μὲν παρεκάλουν ἐπὶ τὴν τῶν
νεκρῶν ἀναίρεσιν, ἡμεῖς δ' ἐπὶ τὴν τῶν λοιπῶν σωτη-
55 ρίαν. ἔστι δ' οὐκ ἴσον κακὸν οὐδ' ὅμοιον τοὺς τε- b
θνεῶτας ταφῆς εἴργεσθαι καὶ τοὺς ζῶντας πατρίδος
ἀποστερεῖσθαι καὶ τῶν ἄλλων ἀγαθῶν ἁπάντων,
ἀλλὰ τὸ μὲν δεινότερον τοῖς κωλύουσιν ἢ τοῖς ἀτυ-
χοῦσι, τὸ δὲ μηδεμίαν ἔχοντα καταφυγὴν ἀλλ' ἄπο-
λιν γενόμενον καθ' ἑκάστην τὴν ἡμέραν κακοπαθεῖν
καὶ τοὺς αὑτοῦ περιορᾶν μὴ δυνάμενον ἐπαρκεῖν, τί
δεῖ λέγειν , ὅσον τὰς ἄλλας συμφορὰς ὑπερβέβληκεν;
56 (κγ'.) Ὑπὲρ ὧν ἅπαντας ὑμᾶς ἱκετεύομεν ἀπο-
δοῦναι τὴν χώραν ἡμῖν καὶ τὴν πόλιν, τοὺς μὲν πρε- c
σβυτέρους ὑπομιμνήσκοντες, ὡς οἰκτρὸν τοὺς τηλικού-
τους ὁρᾶσθαι δυστυχοῦντας καὶ τῶν καθ' ἡμέραν
ἀποροῦντας, τοὺς δὲ νεωτέρους ἀντιβολοῦντες καὶ
δεόμενοι βοηθῆσαι τοῖς ἡλικιώταις καὶ μὴ περιιδεῖν
57 ἔτι πλείω κακὰ τῶν εἰρημένων παθόντας. ὀφείλετε δὲ
μόνοι τῶν Ἑλλήνων τοῦτον τὸν ἔρανον, ἀναστάτοις
ἡμῖν γεγενημένοις ἐπαμῦναι. καὶ γὰρ τοὺς ἡμετέρους
προγόνους φασὶν ἐκλιπόντων τῶν ὑμετέρων πατέρων d
ἐν τῷ Περσικῷ πολέμῳ ταύτην τὴν χώραν μόνους
τῶν ἔξω Πελοποννήσου κοινωνοὺς ἐκείνοις τῶν κιν-
δύνων γενομένους συνανασῶσαι τὴν πόλιν αὐτοῖς·
ὥστε δικαίως ἂν τὴν αὐτὴν εὐεργεσίαν ἀπολάβοιμεν,

ἥνπερ αὐτοὶ τυγχάνομεν εἰς ὑμᾶς ὑπάρξαντες. (κδ΄.)
58 Εἰ δ' οὖν καὶ μηδὲν ὑμῖν τῶν σωμάτων τῶν ἡμετέ-
ρων δέδοκται φροντίζειν, ἀλλὰ τήν γε χώραν οὐ πρὸς e
ὑμῶν ἐστὶν ἀνέχεσθαι πεπορθημένην, ἐν ᾗ μέγιστα
σημεῖα τῆς ἀρετῆς τῆς ὑμετέρας καὶ τῶν ἄλλων τῶν
59 συναγωνισαμένων καταλείπεται· τὰ μὲν γὰρ ἄλλα
τρόπαια πόλει πρὸς πόλιν γέγονεν, ἐκεῖνα δ' ὑπὲρ
ἁπάσης τῆς Ἑλλάδος πρὸς ὅλην τὴν ἐκ τῆς Ἀσίας δύ-
ναμιν ἕστηκεν. ἃ Θηβαῖοι μὲν εἰκότως ἀφανίζουσι, 300
τὰ γὰρ μνημεῖα τῶν τότε γενομένων αἰσχύνη τούτοις
ἐστίν, ὑμῖν δὲ προσήκει διασώζειν· ἐξ ἐκείνων γὰρ
60 τῶν ἔργων ἡγεμόνες κατέστητε τῶν Ἑλλήνων. ἄξιον
δὲ καὶ τῶν θεῶν καὶ τῶν ἡρώων μνησθῆναι τῶν ἐκεῖ-
νον τὸν τόπον κατεχόντων καὶ μὴ περιορᾶν τὰς τι-
μὰς αὐτῶν καταλυομένας, οἷς ὑμεῖς καλλιερησάμενοι
τοιοῦτον ὑπέστητε κίνδυνον, ὃς καὶ τούτους καὶ τοὺς
ἄλλους ἅπαντας Ἕλληνας ἠλευθέρωσεν. χρὴ δὲ καὶ
τῶν προγόνων ποιήσασθαί τινα πρόνοιαν καὶ μὴ b
παραμελῆσαι μηδὲ τῆς περὶ ἐκείνους εὐσεβείας, οἳ
61 πῶς ἂν διατεθεῖεν, εἴ τις ἄρα τοῖς ἐκεῖ φρόνησίς ἐστι
περὶ τῶν ἐνθάδε γιγνομένων, εἰ κυρίων ὑμῶν ὄντων
αἴσθοιντο τοὺς μὲν δουλεύειν τοῖς βαρβάροις ἀξιώ-
σαντας δεσπότας τῶν ἄλλων καθισταμένους, ἡμᾶς δὲ
τοὺς ὑπὲρ τῆς ἐλευθερίας συναγωνισαμένους μόνους
τῶν Ἑλλήνων ἀναστάτους γεγενημένους, καὶ τοὺς μὲν c
τῶν συγκινδυνευσάντων τάφους μὴ τυγχάνοντας τῶν
νομιζομένων σπάνει τῶν ἐποισόντων, Θηβαίους δὲ
τοὺς τἀναντία παραταξαμένους κρατοῦντας τῆς χώ-
62 ρας ἐκείνης; ἐνθυμεῖσθε δ' ὅτι Λακεδαιμονίων με-
γίστην ἐποιεῖσθε κατηγορίαν, ὅτι Θηβαίοις χαριζόμε-
νοι τοῖς τῶν Ἑλλήνων προδόταις ἡμᾶς τοὺς εὐεργέτας
διέφθειραν. μὴ τοίνυν ἐάσητε ταύτας τὰς βλασφημίας

περὶ τὴν ὑμετέραν γενέσθαι πόλιν, μηδὲ τὴν ὕβριν d
τὴν τούτων ἀντὶ τῆς παρούσης ἕλησθε δόξης.
63 (κε΄.) Πολλῶν δ' ὄντων εἰπεῖν, ἐξ ὧν ἄν τις ὑμᾶς
ἐπαγάγοι μᾶλλον φροντίσαι τῆς ἡμετέρας σωτηρίας,
οὐ δύναμαι πάντα περιλαβεῖν, ἀλλ' αὐτοὺς χρὴ καὶ
τὰ παραλελειμμένα συνιδόντας καὶ μνησθέντας μά-
λιστα μὲν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, ἔπειτα δὲ
καὶ τῆς ἡμετέρας εὐνοίας καὶ τῆς τούτων ἔχθρας, ψη-
φίσασθαί τι περὶ ἡμῶν δίκαιον. e

15.
ΠΕΡΙ ΑΝΤΙΔΟΣΕΩΣ.

(α΄.) Εἰ μὲν ὅμοιος ἦν ὁ λόγος ὁ μέλλων ἀνα- 310
γνωσθήσεσθαι τοῖς ἢ πρὸς τοὺς ἀγῶνας ἢ πρὸς τὰς
ἐπιδείξεις γιγνομένοις, οὐδὲν ἂν οἶμαι προδιαλεχθῆ-
ναι περὶ αὐτοῦ· νῦν δὲ διὰ τὴν καινότητα καὶ τὴν
διαφορὰν ἀναγκαῖόν ἐστι προειπεῖν τὰς αἰτίας, δι'
ἃς οὕτως ἀνόμοιον αὐτὸν ὄντα τοῖς ἄλλοις γράφειν
προειλόμην· μὴ γὰρ τούτων δηλωθεισῶν πολλοῖς ἂν b
2 ἴσως ἄτοπος εἶναι δόξειεν. (β΄.) Ἐγὼ γὰρ εἰδὼς
ἐνίους τῶν σοφιστῶν βλασφημοῦντας περὶ τῆς ἐμῆς
διατριβῆς καὶ λέγοντας, ὡς ἔστι περὶ δικογραφίαν, καὶ
παραπλήσιον ποιοῦντας, ὥσπερ ἂν εἴ τις Φειδίαν τὸν
τὸ τῆς Ἀθηνᾶς ἕδος ἐργασάμενον τολμῴη καλεῖν κο-
ροπλάθον, ἢ Ζεῦξιν καὶ Παρράσιον τὴν αὐτὴν ἔχειν
φαίη τέχνην τοῖς τὰ πινάκια γράφουσιν, ὅμως οὐδὲ
πώποτε τὴν μικρολογίαν ταύτην ἠμυνάμην αὐτῶν,
3 ἡγούμενος τὰς μὲν ἐκείνων φλυαρίας οὐδεμίαν δύ- c
ναμιν ἔχειν, αὐτὸς δὲ πᾶσι τοῦτο πεποιηκέναι φανε-

ρόν, ὅτι προήρημαι καὶ λέγειν καὶ γράφειν οὐ περὶ
τῶν ἰδίων συμβολαίων ἀλλ' ὑπὲρ τηλικούτων τὸ μέ-
γεθος καὶ τοιούτων πραγμάτων, ὑπὲρ ὧν οὐδεὶς ἂν
ἄλλος ἐπιχειρήσειε πλὴν τῶν ἐμοὶ πεπλησιακότων ἢ
τῶν τούτους μιμεῖσθαι βουλομένων. d

4 Μέχρι μὲν οὖν πόρρω τῆς ἡλικίας ᾤμην καὶ διὰ
τὴν προαίρεσιν ταύτην καὶ διὰ τὴν ἄλλην ἀπραγμο-
σύνην ἐπιεικῶς ἔχειν πρὸς ἅπαντας τοὺς ἰδιώτας·
ἤδη δ' ὑπογυίου μοι τῆς τοῦ βίου τελευτῆς οὔσης,
ἀντιδόσεως γενομένης περὶ τριηραρχίας καὶ περὶ ταύ-
της ἀγῶνος, ἔγνων καὶ τούτων τινὰς οὐχ οὕτω πρός 311
με διακειμένους, ὥσπερ ἤλπιζον, ἀλλὰ τοὺς μὲν πολὺ
διεψευσμένους τῶν ἐμῶν ἐπιτηδευμάτων καὶ ῥέπον-
τας ἐπὶ τὸ πείθεσθαι τοῖς ἀνεπιτήδειόν τι λέγουσι,
τοὺς δὲ σαφῶς μὲν εἰδότας, περὶ ἃ τυγχάνω διατρί-
βων, φθονοῦντας δὲ καὶ ταὐτὸν πεπονθότας τοῖς σο-
φισταῖς καὶ χαίροντας ἐπὶ τοῖς ψευδῆ περί μου δό-
5 ξαν ἔχουσιν. ἐδήλωσαν δ' οὕτω διακείμενοι· τοῦ γὰρ
ἀντιδίκου, περὶ μὲν ὧν ἡ κρίσις ἦν, οὐδὲν λέγοντος b
δίκαιον, διαβάλλοντος δὲ τὴν τῶν λόγων τῶν ἐμῶν
δύναμιν καὶ καταλαζονευομένου περί τε τοῦ πλούτου
καὶ τοῦ πλήθους τῶν μαθητῶν, ἔγνωσαν ἐμὴν εἶναι
τὴν λειτουργίαν. τὴν μὲν οὖν δαπάνην οὕτως ἠνέγ-
καμεν, ὥσπερ προσήκει τοὺς μήτε λίαν ὑπὸ τῶν τοι-
ούτων ἐκταραττομένους μήτε παντάπασιν ἀσώτως
μηδ' ὀλιγώρως πρὸς χρήματα διακειμένους. c

6 (γ'.) Ἠισθημένος δ' ὥσπερ εἶπον, πλείους ὄντας
ὧν ᾤμην τοὺς οὐκ ὀρθῶς περί μου γιγνώσκοντας,
ἐνεθυμούμην, πῶς ἂν δηλώσαιμι καὶ τούτοις καὶ τοῖς
ἐπιγιγνομένοις καὶ τὸν τρόπον, ὃν ἔχω, καὶ τὸν βίον,
ὃν ζῶ, καὶ τὴν παιδείαν, περὶ ἣν διατρίβω, καὶ μὴ πε-
ριίδοιμι περὶ τῶν τοιούτων ἄκριτον ἐμαυτὸν ὄντα,

μηδ' ἐπὶ τοῖς βλασφημεῖν εἰθισμένοις ὥσπερ νῦν γε-
7 *νόμενον· σκοπούμενος οὖν εὕρισκον οὐδαμῶς ἂν*
ἄλλως τοῦτο διαπραξόμενος, πλὴν εἰ γραφείη λόγος d
ὥσπερ εἰκὼν τῆς ἐμῆς διανοίας καὶ τῶν ἄλλων τῶν
βεβιωμένων· διὰ τούτου γὰρ ἤλπιζον καὶ τὰ περὶ ἐμὲ
μάλιστα γνωσθήσεσθαι καὶ τὸν αὐτὸν τοῦτον μνη-
μεῖόν μου καταλειφθήσεσθαι πολὺ κάλλιον τῶν χαλ-
8 *κῶν ἀναθημάτων.* (δ'.) *Εἰ μὲν οὖν ἐπαινεῖν ἐμαυ-*
τὸν ἐπιχειροίην, ἑώρων οὔτε περιλαβεῖν ἅπαντα, περὶ
ὧν διελθεῖν προῃρούμην, οἷός τε γενησόμενος, οὔτ'
ἐπιχαρίτως οὐδ' ἀνεπιφθόνως εἰπεῖν περὶ αὐτῶν δυ- e
νησόμενος· εἰ δ' ὑποθείμην ἀγῶνα μὲν καὶ κίνδυνόν
τινα περὶ ἐμὲ γιγνόμενον, συκοφάντην δ' ὄντα τὸν γε-
γραμμένον καὶ πράγματά μοι παρέχοντα, κἀκεῖνον
μὲν ταῖς διαβολαῖς χρώμενον ταῖς ἐπὶ τῆς ἀντιδόσεως
ῥηθείσαις, ἐμαυτὸν δ' ἐν ἀπολογίας σχήματι τοὺς λό-
γους ποιούμενον, οὕτως ἂν ἐκγενέσθαι μοι μάλιστα 312
διαλεχθῆναι περὶ ἁπάντων ὧν τυγχάνω βουλόμενος.
9 (ε'.) *Ταῦτα δὲ διανοηθεὶς ἔγραφον τὸν λόγον*
τοῦτον, οὐκ ἀκμάζων ἀλλ' ἔτη γεγονὼς δύο καὶ ὀγδο-
ήκοντα. διόπερ χρὴ συγγνώμην ἔχειν, ἢν μαλακώτε-
ρος ὢν φανῆται τῶν παρ' ἐμοῦ πρότερον ἐκδεδομέ-
νων. καὶ γὰρ οὐδὲ ῥᾴδιος ἦν οὐδ' ἁπλοῦς ἀλλὰ πολ-
10 *λὴν ἔχων πραγματείαν. ἔστι γὰρ τῶν γεγραμμένων*
ἔνια μὲν ἐν δικαστηρίῳ πρέποντα ῥηθῆναι, τὰ δὲ
πρὸς μὲν τοὺς τοιούτους ἀγῶνας οὐχ ἁρμόττοντα, b
περὶ δὲ φιλοσοφίας πεπαρρησιασμένα καὶ δεδηλωκότα
τὴν δύναμιν αὐτῆς· ἔστι δέ τι καὶ τοιοῦτον, ὃ τῶν
νεωτέρων τοῖς ἐπὶ τὰ μαθήματα καὶ τὴν παιδείαν
ὁρμῶσιν ἀκούσασιν ἂν συνενέγκοι, πολλὰ δὲ καὶ τῶν
ὑπ' ἐμοῦ πάλαι γεγραμμένων ἐγκαταμεμιγμένα τοῖς
νῦν λεγομένοις οὐκ ἀλόγως οὐδ' ἀκαίρως ἀλλὰ προσ-

11 ηκόντως τοῖς ὑποκειμένοις. τοσοῦτον οὖν μῆκος λό- c
γου συνιδεῖν καὶ τοσαύτας ἰδέας καὶ τοσοῦτον ἀλλή-
λων ἀφεστώσας συναρμόσαι καὶ συναγαγεῖν καὶ τὰς
ἐπιφερομένας οἰκειῶσαι ταῖς προειρημέναις καὶ πάσας
ποιῆσαι σφίσιν αὐταῖς ὁμολογουμένας οὐ πάνυ μι-
κρὸν ἦν ἔργον. ὅμως δ' οὐκ ἀπέστην, καίπερ τηλι-
κοῦτος ὤν, πρὶν αὐτὸν ἀπετέλεσα μετὰ πολλῆς μὲν
ἀληθείας εἰρημένον, τὰ δ' ἄλλα τοιοῦτον, οἷος ἂν
12 εἶναι δόξῃ τοῖς ἀκροωμένοις. (ϛ'.) Χρὴ δὲ τοὺς διεξ-
ιόντας αὐτὸν πρῶτον μὲν ὡς ὄντος μικτοῦ τοῦ λό- d
γου καὶ πρὸς ἁπάσας τὰς ὑποθέσεις ταύτας γεγραμ-
μένου ποιεῖσθαι τὴν ἀκρόασιν, ἔπειτα προσέχειν τὸν
νοῦν ἔτι μᾶλλον τοῖς λέγεσθαι μέλλουσιν ἢ τοῖς ἤδη
προειρημένοις, πρὸς δὲ τούτοις μὴ ζητεῖν εὐθὺς ἐπ-
ελθόντας ὅλον αὐτὸν διελθεῖν ἀλλὰ τοσοῦτον μέρος,
ὅσον μὴ λυπήσει τοὺς παρόντας. ἢν γὰρ ἐμμείνητε
τούτοις, μᾶλλον δυνήσεσθε κατιδεῖν, εἴ τι τυγχάνο-
μεν λέγοντες ἄξιον ἡμῶν αὐτῶν.

13 (ζ'.) Ἃ μὲν οὖν ἀναγκαῖον ἦν προειπεῖν, ταῦτ' e
ἐστίν· ἤδη δ' ἀναγιγνώσκετε τὴν ἀπολογίαν τὴν
προσποιουμένην μὲν περὶ κρίσεως γεγράφθαι, βου-
λομένην δὲ περὶ ἐμοῦ δηλῶσαι τὴν ἀλήθειαν, καὶ
τοὺς μὲν ἀγνοοῦντας εἰδέναι ποιῆσαι, τοὺς δὲ φθο-
νοῦντας ἔτι μᾶλλον ὑπὸ τῆς νόσου ταύτης λυπεῖσθαι· 313
μείζω γὰρ δίκην οὐκ ἂν δυναίμην λαβεῖν παρ' αὐτῶν.

14 (η'.) Πάντων ἡγοῦμαι πονηροτάτους εἶναι καὶ
μεγίστης ζημίας ἀξίους, οἵτινες οἷς αὐτοὶ τυγχάνου-
σιν ὄντες ἔνοχοι, ταῦτα τῶν ἄλλων τολμῶσι κατηγο-
ρεῖν, ὅπερ Λυσίμαχος πεποίηκεν. οὗτος γὰρ αὐτὸς
συγγεγραμμένα λέγων περὶ τῶν ἐμῶν συγγραμμάτων
πλείω πεποίηται λόγον ἢ περὶ τῶν ἄλλων ἁπάν-
των, ὅμοιον ἐργαζόμενος, ὥσπερ ἂν εἴ τις ἱεροσυλίας

ἕτερον διώκων αὐτὸς τὰ τῶν θεῶν ἐν τοῖν χεροῖν b
15 *ἔχων φανείη. πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην οὕτως*
αὐτὸν νομίζειν εἶναί με δεινὸν, ὥσπερ ἐν ὑμῖν εἴρη-
κεν· οὐ γὰρ ἄν ποτέ μοι πράγματα ποιεῖν ἐπεχείρη-
σεν. νῦν δὲ λέγει μὲν, ὡς ἐγὼ τοὺς ἥττους λόγους
κρείττους δύναμαι ποιεῖν, τοσοῦτον δέ μου καταπε-
φρόνηκεν, ὥστ' αὐτὸς ψευδόμενος ἐμοῦ τἀληθῆ λέ-
16 *γοντος ἐλπίζει ῥᾳδίως ἐπικρατήσειν. οὕτω δέ μοι δυσ-*
κόλως ἅπαντα συμβέβηκεν, ὥσθ' οἱ μὲν ἄλλοι τοῖς c
λόγοις διαλύονται τὰς διαβολὰς, ἐμοῦ δὲ Λυσίμαχος
αὐτοὺς τοὺς λόγους μάλιστα διαβέβληκεν, ἵν' ἢν μὲν
ἱκανῶς δόξω λέγειν, ἔνοχος ὢν φανῶ τοῖς ὑπὸ τού-
του περὶ τῆς δεινότητος τῆς ἐμῆς προειρημένοις, ἢν
δ' ἐνδεέστερον τύχω διαλεχθεὶς ὧν οὗτος ὑμᾶς προσ-
δοκᾶν πεποίηκε, τὰς πράξεις ἡγήσησθέ μου χείρους
εἶναι.

17 *Δέομαι δ' οὖν ὑμῶν μήτε πιστεύειν πω μήτ'*
ἀπιστεῖν τοῖς εἰρημένοις, πρὶν ἂν διὰ τέλους ἀκού- d
σητε καὶ τὰ παρ' ἡμῶν, ἐνθυμουμένους, ὅτι μηδὲν
ἂν ἔδει δίδοσθαι τοῖς φεύγουσιν ἀπολογίαν, εἴπερ
οἷόν τ' ἦν ἐκ τῶν τοῦ διώκοντος λόγων ἐψηφίσθαι
τὰ δίκαια. νῦν δ' εἰ μὲν εὖ τυγχάνει κατηγορηκὼς
ἢ κακῶς, οὐδεὶς ἂν τῶν παρόντων ἀγνοήσειεν· εἰ δ'
ἀληθέσι κέχρηται τοῖς λόγοις, οὐκέτι τοῦτο τοῖς κρί-
νουσι γνῶναι ῥᾴδιον, ἐξ ὧν ὁ πρότερος εἴρηκεν, ἀλλ'
ἀγαπητὸν ἢν ἐξ ἀμφοτέρων τῶν λόγων ἐκλαβεῖν δυ- e
18 *νηθῶσι τὸ δίκαιον.* (θ'.) *Οὐ θαυμάζω δὲ τῶν πλείω*
χρόνον διατριβόντων ἐπὶ ταῖς τῶν ἐξαπατώντων κα-
τηγορίαις ἢ ταῖς ὑπὲρ αὐτῶν ἀπολογίαις, οὐδὲ τῶν
λεγόντων, ὡς ἔστι μέγιστον κακὸν διαβολή· τί γὰρ
ἂν γένοιτο ταύτης κακουργότερον, ἣ ποιεῖ τοὺς μὲν 314
ψευδομένους εὐδοκιμεῖν, τοὺς δὲ μηδὲν ἡμαρτηκότας

*δοκεῖν ἀδικεῖν, τοὺς δὲ δικάζοντας ἐπιορκεῖν, ὅλως
δὲ τὴν μὲν ἀλήθειαν ἀφανίζει, ψευδῆ δὲ δόξαν παρα-
στήσασα τοῖς ἀκούουσιν ὃν ἂν τύχῃ τῶν πολιτῶν ἀδί-
19 κως ἀπόλλυσιν; ἃ φυλακτέον ἐστὶν, ὅπως μηδὲν ὑμῖν
συμβήσεται τοιοῦτον, μηδ' ἃ τοῖς ἄλλοις ἂν ἐπιτι-
μήσαιτε, τούτοις αὐτοὶ φανήσεσθε περιπίπτοντες. οἶ-
μαι δ' ὑμᾶς οὐκ ἀγνοεῖν, ὅτι τῇ πόλει πολλάκις οὕ-
τως ἤδη μετεμέλησε τῶν κρίσεων τῶν μετ' ὀργῆς καὶ* b
*μὴ μετ' ἐλέγχου γενομένων, ὥστ' οὐ πολὺν χρόνον
διαλιποῦσα παρὰ μὲν τῶν ἐξαπατησάντων δίκην λα-
βεῖν ἐπεθύμησε, τοὺς δὲ διαβληθέντας ἡδέως ἂν εἶ-
20 δεν ἄμεινον ἢ πρότερον πράττοντας. (ι'.) Ὧν χρὴ
μεμνημένους μὴ προπετῶς πιστεύειν τοῖς τῶν κατη-
γόρων λόγοις, μηδὲ μετὰ θορύβου καὶ χαλεπότητος
ἀκροᾶσθαι τῶν ἀπολογουμένων. καὶ γὰρ αἰσχρὸν ἐπὶ
μὲν τῶν ἄλλων πραγμάτων ἐλεημονεστάτους ὁμολο-* c
*γεῖσθαι καὶ πρᾳοτάτους ἁπάντων εἶναι τῶν Ἑλλήνων,
ἐπὶ δὲ τοῖς ἀγῶσι τοῖς ἐνθάδε γιγνομένοις τἀναντία
21 τῇ δόξῃ ταύτῃ φαίνεσθαι πράττοντας· καὶ παρ' ἑτέ-
ροις μὲν, ἐπειδὰν περὶ ψυχῆς ἀνθρώπου δικάζωσι,
μέρος τι τῶν ψήφων ὑποβάλλεσθαι τοῖς φεύγουσι,
παρ' ὑμῖν δὲ μηδὲ τῶν ἴσων τυγχάνειν τοὺς κινδυ-
νεύοντας τοῖς συκοφαντοῦσιν, ἀλλ' ὀμνύναι μὲν καθ'
ἕκαστον τὸν ἐνιαυτὸν ἦ μὴν ὁμοίως ἀκροάσεσθαι τῶν* d
*22 κατηγορούντων καὶ τῶν ἀπολογουμένων, τοσοῦτον
δὲ τὸ μεταξὺ ποιεῖν ὥστε τῶν μὲν αἰτιωμένων ὅ τι
ἂν λέγωσιν ἀποδέχεσθαι, τῶν δὲ τούτους ἐξελέγχειν
πειρωμένων ἐνίοτε μηδὲ τὴν φωνὴν ἀκούοντας ἀνέ-
χεσθαι, καὶ νομίζειν μὲν ἀοικήτους εἶναι ταύτας τῶν
πόλεων, ἐν αἷς ἄκριτοί τινες ἀπόλλυνται τῶν πολι-
τῶν, ἀγνοεῖν δ' ὅτι τοῦτο ποιοῦσιν οἱ μὴ κοινὴν τὴν* e
23 εὔνοιαν τοῖς ἀγωνιζομένοις παρέχοντες. ὃ δὲ πάντων

δεινότατον, ὅταν τις αὐτὸς μὲν κινδυνεύων κατη-
γορῇ τῶν διαβαλλόντων, ἑτέρῳ δὲ δικάζων μὴ τὴν
αὐτὴν ἔχῃ γνώμην περὶ αὐτῶν.

Καίτοι χρὴ τοὺς νοῦν ἔχοντας τοιούτους εἶναι
κριτὰς τοῖς ἄλλοις, οἵων περ ἂν αὐτοὶ τυγχάνειν ἀξι-
ώσειαν, λογιζομένους, ὅτι διὰ τοὺς συκοφαντεῖν τολ- 315
μῶντας ἄδηλον ὅστις εἰς κίνδυνον καταστὰς ἀναγκα-
σθήσεται λέγειν, ἅπερ ἐγὼ νῦν, πρὸς τοὺς μέλλοντας
24 περὶ αὐτοῦ τὴν ψῆφον διοίσειν. (ια΄.) Οὐ γὰρ δὴ τῷ
γε κοσμίως ζῆν ἄξιον πιστεύειν, ὡς ἀδεῶς ἐξέσται
τὴν πόλιν οἰκεῖν· οἱ γὰρ προῃρημένοι τῶν μὲν ἰδίων
ἀμελεῖν, τοῖς δ' ἀλλοτρίοις ἐπιβουλεύειν, οὐ τῶν μὲν
σωφρόνως πολιτευομένων ἀπέχονται, τοὺς δὲ κακόν
τι δρῶντας εἰς ὑμᾶς εἰσάγουσιν, ἀλλ' ἐν τοῖς μηδὲν b
ἀδικοῦσιν ἐπιδειξάμενοι τὰς αὐτῶν δυνάμεις παρὰ
τῶν φανερῶς ἐξημαρτηκότων πλέον λαμβάνουσιν ἀρ-
25 γύριον. (ιβ΄.) Ἅπερ Λυσίμαχος διανοηθεὶς εἰς του-
τονὶ τὸν κίνδυνόν με κατέστησεν, ἡγούμενος τὸν ἀγῶ-
να τὸν πρὸς ἐμὲ παρ' ἑτέρων αὐτῷ χρηματισμὸν ποιή-
σειν, καὶ προσδοκῶν, ἢν ἐμοῦ περιγένηται τοῖς λόγοις,
ὃν φησι διδάσκαλον εἶναι τῶν ἄλλων, ἀνυπόστατον
26 τὴν αὐτοῦ δύναμιν ἅπασιν εἶναι δόξειν. ἐλπίζει δὲ
ῥᾳδίως τοῦτο ποιήσειν· ὁρᾷ γὰρ ὑμᾶς μὲν λίαν τα- c
χέως ἀποδεχομένους τὰς αἰτίας καὶ τὰς διαβολάς, ἐμὲ
δ' ὑπὲρ αὐτῶν οὐ δυνησόμενον ἀξίως τῆς δόξης ἀπο-
λογήσασθαι καὶ διὰ τὸ γῆρας καὶ διὰ τὴν ἀπειρίαν
27 τῶν τοιούτων ἀγώνων. οὕτω γὰρ βεβίωκα τὸν παρελ-
θόντα χρόνον ὥστε μηδένα μοι πώποτε μήτ' ἐν ὀλι-
γαρχίᾳ μήτ' ἐν δημοκρατίᾳ μήθ' ὕβριν μήτ' ἀδικίαν
ἐγκαλέσαι, μηδ' εἶναι μήτε διαιτητὴν μήτε δικαστήν,
ὅστις περὶ τῶν ἐμοὶ πεπραγμένων φανήσεται γεγε- d
νημένος· ἠπιστάμην γὰρ αὐτὸς μὲν εἰς τοὺς ἄλλους

μηδὲν ἐξαμαρτάνειν, ἀδικούμενος δὲ μὴ μετὰ δικα-
στηρίου ποιεῖσθαι τὰς τιμωρίας ἀλλ' ἐν τοῖς φίλοις
τοῖς ἐκείνων διαλύεσθαι περὶ τῶν ἀμφισβητουμένων.
28 ὧν οὐδέν μοι πλέον γέγονεν, ἀλλ' ἀνεγκλητεὶ μέχρι
ταυτησὶ τῆς ἡλικίας βεβιωκὼς εἰς τὸν αὐτὸν καθέ-
στηκα κίνδυνον, εἰς ὅνπερ ἂν εἰ πάντας ἐτύγχανον
ἠδικηκώς. e

Οὐ μὴν παντάπασιν ἀθυμῶ διὰ τὸ μέγεθος τοῦ
τιμήματος, ἀλλ' ἄν περ ἐθελήσητε μετ' εὐνοίας ἀκρο-
άσασθαι, πολλὰς ἐλπίδας ἔχω τοὺς μὲν διεψευσμέ- 316
νους τῶν ἐμῶν ἐπιτηδευμάτων καὶ πεπεισμένους ὑπὸ
τῶν βουλομένων βλασφημεῖν ταχέως μεταπεισθήσε-
σθαι περὶ αὐτῶν, τοὺς δὲ τοιοῦτον εἶναί με νομίζον-
τας, οἷός περ εἰμί, βεβαιότερον ἔτι ταύτην ἕξειν τὴν
29 διάνοιαν. ἵνα δὲ μὴ λίαν ἐνοχλῶ πολλὰ πρὸ τοῦ
πράγματος λέγων, ἀφέμενος τούτων, περὶ ὧν οἴσετε
τὴν ψῆφον, ἤδη πειράσομαι διδάσκειν ὑμᾶς. καί μοι
τὴν γραφὴν ἀνάγνωθι.

ΓΡΑΦΗ. b

30 (ιγ'.) Ἐκ μὲν τοίνυν τῆς γραφῆς πειρᾶταί με δια-
βάλλειν ὁ κατήγορος, ὡς διαφθείρω τοὺς νεωτέρους
λέγειν διδάσκων καὶ παρὰ τὸ δίκαιον ἐν τοῖς ἀγῶσι
πλεονεκτεῖν, ἐκ δὲ τῶν ἄλλων λόγων ποιεῖ με τηλι-
κοῦτον, ὅσος οὐδεὶς πώποτε γέγονεν οὔτε τῶν περὶ
τὰ δικαστήρια καλινδουμένων οὔτε τῶν περὶ τὴν φι-
λοσοφίαν διατριψάντων· οὐ γὰρ μόνον ἰδιώτας φησί c
μου γεγενῆσθαι μαθητὰς ἀλλὰ καὶ ῥήτορας καὶ στρα-
τηγοὺς καὶ βασιλέας καὶ τυράννους, καὶ χρήματα παρ'
αὐτῶν παμπληθῆ τὰ μὲν εἰληφέναι, τὰ δ' ἔτι καὶ νῦν
31 λαμβάνειν. τοῦτον δὲ τὸν τρόπον πεποίηται τὴν κα-
τηγορίαν, ἡγούμενος ἐκ μὲν ὧν καταλαζονεύεται περί

μου καὶ τοῦ πλούτου καὶ τοῦ πλήθους τῶν μαθητῶν
φθόνον ἅπασι τοῖς ἀκούουσιν ἐμποιήσειν, ἐκ δὲ τῆς
περὶ τὰ δικαστήρια πραγματείας εἰς ὀργὴν καὶ μῖσος d
ὑμᾶς καταστήσειν· ἅπερ ὅταν πάθωσιν οἱ κρίνοντες,
χαλεπώτατοι τοῖς ἀγωνιζομένοις εἰσίν.

(ιδ΄.) Ὡς οὖν τὰ μὲν μείζω τοῦ προσήκοντος εἴ-
ρηκε, τὰ δ' ὅλως ψεύδεται, ῥᾳδίως οἶμαι φανερὸν
32 ποιήσειν. ἀξιῶ δ' ὑμᾶς τοῖς μὲν λόγοις οἷς πρότερον
ἀκηκόατε περί μου τῶν βλασφημεῖν καὶ διαβάλλειν
βουλομένων μὴ προσέχειν τὸν νοῦν, μηδὲ πιστεύ-
ειν τοῖς μήτε μετ' ἐλέγχου μήτε μετὰ κρίσεως εἰρη- e
μένοις, μηδὲ ταῖς δόξαις χρῆσθαι ταῖς ἀδίκως ὑπ'
ἐκείνων ὑμῖν ἐγγεγενημέναις, ἀλλ' ὁποῖός τις ἂν ἐκ
τῆς κατηγορίας τῆς νῦν καὶ τῆς ἀπολογίας φαίνωμαι,
τοιοῦτον εἶναί με νομίζειν· οὕτω γὰρ γιγνώσκοντες
αὐτοί τε δόξετε καλῶς κρίνειν καὶ νομίμως, ἐγώ τε 317
τεύξομαι πάντων τῶν δικαίων.

33 (ιε΄.) Ὅτι μὲν οὖν οὐδεὶς οὔθ' ὑπὸ τῆς δεινότη-
τος τῆς ἐμῆς οὔθ' ὑπὸ τῶν συγγραμμάτων βέβλαπται
τῶν πολιτῶν, τὸν ἐνεστῶτα κίνδυνον ἡγοῦμαι μέγι-
στον εἶναι τεκμήριον. εἰ γάρ τις ἦν ἠδικημένος, εἰ καὶ
τὸν ἄλλον χρόνον ἡσυχίαν εἶχεν, οὐκ ἂν ἠμέλησε τοῦ
καιροῦ τοῦ παρόντος, ἀλλ' ἦλθεν ἂν ἤτοι κατηγο-
ρήσων ἢ καταμαρτυρήσων. ὅπου γὰρ ὁ μηδ' ἀκηκοὼς b
μηδὲν πώποτε φλαῦρον εἰς ἀγῶνά με τηλικουτονὶ κατ-
έστησεν, ἦ που σφόδρ' ἂν οἱ κακῶς πεπονθότες ἐπει-
34 ρῶντ' ἂν δίκην παρ' ἐμοῦ λαμβάνειν. οὐ γὰρ δὴ
τοῦτό γ' ἐστὶν οὔτ' εἰκὸς οὔτε δυνατὸν, ἐμὲ μὲν περὶ
πολλοὺς ἡμαρτηκέναι, τοὺς δὲ ταῖς συμφοραῖς δι' ἐμὲ
περιπεπτωκότας ἡσυχίαν ἔχειν καὶ μὴ τολμᾶν ἐγκα-
λεῖν ἀλλὰ πραοτέρους ἐν τοῖς ἐμοῖς εἶναι κινδύνοις
τῶν μηδὲν ἠδικημένων, ἐξὸν αὐτοῖς δηλώσασιν, ἃ c

πεπόνθασι, τὴν μεγίστην παρ' ἐμοῦ λαβεῖν τιμωρίαν.
35 ἀλλὰ γὰρ οὔτε πρότερον οὔτε νῦν οὐδείς μοι φανή-
σεται τοιοῦτον οὐδὲν ἐγκαλέσας. ὥστ' εἰ συγχωρή-
σαιμι τῷ κατηγόρῳ καὶ προσομολογήσαιμι πάντων
ἀνθρώπων εἶναι δεινότατος καὶ συγγραφεὺς τῶν λό-
γων τῶν λυπούντων ὑμᾶς τοιοῦτος, οἷος οὐδεὶς ἄλλος
γέγονε, πολὺ ἂν δικαιότερον ἐπιεικὴς εἶναι δοκοίην ἢ
36 ζημιωθείην. τοῦ μὲν γὰρ γενέσθαι προέχοντα τῶν
ἄλλων ἢ περὶ τοὺς λόγους ἢ περὶ τὰς πράξεις εἰκό- d
τως ἄν τις τὴν τύχην αἰτιάσαιτο, τοῦ δὲ καλῶς καὶ
μετρίως κεχρῆσθαι τῇ φύσει δικαίως ἂν ἅπαντες τὸν
τρόπον τὸν ἐμὸν ἐπαινέσειαν.

(ιϛ'.) Οὐ μὴν οὐδ' εἰ ταῦτ' ἔχων περὶ ἐμαυτοῦ λέ-
γειν, οὐδ' οὕτω φανήσομαι περὶ τοὺς λόγους τοὺς τοι-
37 ούτους γεγενημένος. γνώσεσθε δ' ἐκ τῶν ἐπιτηδευμά-
των τῶν ἐμῶν, ἐξ ὧνπερ οἷόν τ' ἐστὶν εἰδέναι τὴν ἀλή-
θειαν πολὺ μᾶλλον ἢ παρὰ τῶν διαβαλλόντων. οἶμαι
γὰρ οὐδένα τοῦτ' ἀγνοεῖν, ὅτι πάντες ἄνθρωποι περὶ e
τὸν τόπον τοῦτον εἰώθασι διατρίβειν, ὅθεν ἂν προέ-
38 λωνται τὸν βίον πορίζεσθαι. τοὺς μὲν τοίνυν ἀπὸ τῶν
συμβολαίων τῶν ὑμετέρων ζῶντας καὶ τῆς περὶ ταῦτα
πραγματείας ἴδοιτ' ἂν μόνον οὐκ ἐν τοῖς δικαστηρίοις
οἰκοῦντας, ἐμὲ δ' οὐδεὶς πώποθ' ἑώρακεν οὔτ' ἐν τοῖς 318
συνεδρίοις οὔτε περὶ τὰς ἀνακρίσεις οὔτ' ἐπὶ τοῖς δι-
καστηρίοις οὔτε πρὸς τοῖς διαιτηταῖς, ἀλλ' οὕτως ἀπέ-
χομαι τούτων ἁπάντων, ὡς οὐδεὶς ἄλλος τῶν πολι-
39 τῶν. ἔπειτ' ἐκείνους μὲν ἂν εὕροιτε παρ' ὑμῖν μό-
νοις χρηματίζεσθαι δυναμένους, εἰ δ' ἄλλοσέ ποι
πλεύσειαν, ἐνδεεῖς ἂν ὄντας τῶν καθ' ἡμέραν, ἐμοὶ
δὲ τὰς εὐπορίας, περὶ ὧν οὗτος μειζόνως εἴρηκεν,
ἔξωθεν ἁπάσας γεγενημένας· ἔτι δὲ τοῖς μὲν πλησιά- b
ζοντας ἢ τοὺς ἐν κακοῖς αὐτοὺς ὄντας ἢ τοὺς ἑτέροις

πράγματα παρέχειν βουλομένους, ἐμοὶ δὲ τοὺς πλεί-
40 στην σχολὴν τῶν Ἑλλήνων ἄγοντας. ἠκούσατε δὲ καὶ
τοῦ κατηγόρου λέγοντος, ὅτι παρὰ Νικοκλέους τοῦ
Σαλαμινίων βασιλέως πολλὰς ἔλαβον καὶ μεγάλας δω-
ρεάς. καίτοι τίνι πιστὸν ὑμῶν ἐστιν, ὡς Νικοκλῆς
ἔδωκέ μοι ταύτας, ἵνα δίκας μανθάνῃ λέγειν, ὃς καὶ
τοῖς ἄλλοις περὶ τῶν ἀμφισβητουμένων ὥσπερ δεσπό- c
της ἐδίκαζεν; ὥστ' ἐξ ὧν αὐτὸς οὗτος εἴρηκεν, ῥᾴδιον
καταμαθεῖν, ὅτι πόρρω τῶν πραγματειῶν εἰμι τῶν
41 περὶ τὰ συμβόλαια γιγνομένων. ἀλλὰ μὴν κἀκεῖνο
πᾶσι φανερόν ἐστιν, ὅτι παμπληθεῖς εἰσὶν οἱ παρα-
σκευάζοντες τοὺς λόγους τοῖς ἐν τοῖς δικαστηρίοις
ἀγωνιζομένοις. τούτων μὲν τοίνυν τοσούτων ὄντων
οὐδεὶς πώποτε φανήσεται μαθητῶν ἠξιωμένος, ἐγὼ
δὲ πλείους εἰληφώς, ὥς φησιν ὁ κατήγορος, ἢ σύμ-
παντες οἱ περὶ τὴν φιλοσοφίαν διατρίβοντες. καίτοι d
πῶς εἰκὸς τοὺς τοσοῦτον τοῖς ἐπιτηδεύμασιν ἀλλή-
λων ἀφεστῶτας περὶ τὰς αὐτὰς πράξεις ἡγεῖσθαι δια-
τρίβειν;
42 (ιζ΄.) Ἔχων δὲ πολλὰς εἰπεῖν διαφορὰς περὶ τοῦ
βίου τοῦ τ' ἐμοῦ καὶ τῶν περὶ τὰς δίκας, ἐκείνως
ὑμᾶς ἡγοῦμαι τάχιστ' ἂν ἀφέσθαι τῆς δόξης ταύτης,
εἴ τις ὑμῖν ἐπιδείξειε μὴ τούτων τῶν πραγμάτων μα-
θητάς μου γιγνομένους ὧν ὁ κατήγορος εἴρηκε, μηδὲ e
περὶ τοὺς λόγους ὄντα με δεινὸν τοὺς περὶ τῶν ἰδίων
43 συμβολαίων. οἶμαι γὰρ ὑμᾶς, ἐξελεγχομένης τῆς αἰ-
τίας ἧς εἶχον πρότερον, ζητεῖν ἑτέραν μεταλαβεῖν
διάνοιαν, καὶ ποθεῖν ἀκοῦσαι, περὶ ποίους ἄλλους
λόγους γεγενημένος τηλικαύτην δόξαν ἔλαβον. εἰ μὲν 319
οὖν μοι συνοίσει κατειπόντι τὴν ἀλήθειαν, οὐκ οἶδα·
χαλεπὸν γὰρ στοχάζεσθαι τῆς ὑμετέρας διανοίας· οὐ
44 μὴν ἀλλὰ παρρησιάσομαί γε πρὸς ὑμᾶς. καὶ γὰρ ἂν

αἰσχυνθείην τοὺς πλησιάσαντας, εἰ πολλάκις εἰρη-
κὼς, ὅτι δεξαίμην ἂν ἅπαντας εἰδέναι τοὺς πολίτας
καὶ τὸν βίον, ὃν ζῶ, καὶ τοὺς λόγους, οὓς λέγω, νῦν
μὴ δηλοίην ὑμῖν αὐτοὺς ἀλλ' ἀποκρυπτόμενος φα-
νείην. ὡς οὖν ἀκουσόμενοι τὴν ἀλήθειαν, οὕτω προσ- b
έχετε τὸν νοῦν.
45 (*ιη'.*) *Πρῶτον μὲν οὖν ἐκεῖνο δεῖ μαθεῖν ὑμᾶς,*
ὅτι τρόποι τῶν λόγων εἰσὶν οὐκ ἐλάττους ἢ τῶν μετὰ
μέτρου ποιημάτων. οἱ μὲν γὰρ τὰ γένη τὰ τῶν ἡμι-
θέων ἀναζητοῦντες τὸν βίον τὸν αὑτῶν κατέτριψαν, οἱ
δὲ περὶ τοὺς ποιητὰς ἐφιλοσόφησαν, ἕτεροι δὲ τὰς πρά-
ξεις τὰς ἐν τοῖς πολέμοις συναγαγεῖν ἠβουλήθησαν,
ἄλλοι δέ τινες περὶ τὰς ἐρωτήσεις καὶ τὰς ἀποκρίσεις
46 *γεγόνασιν, οὓς ἀντιλογικοὺς καλοῦσιν. εἴη δ' ἂν οὐ* c
μικρὸν ἔργον, εἰ πάσας τις τὰς ἰδέας τὰς τῶν λόγων
ἐξαριθμεῖν ἐπιχειρήσειεν· ἧς δ' οὖν ἐμοὶ προσήκει,
ταύτης μνησθεὶς ἐάσω τὰς ἄλλας. εἰσὶ γάρ τινες, οἳ
τῶν μὲν προειρημένων οὐκ ἀπείρως ἔχουσι, γράφειν
δὲ προῄρηνται λόγους οὐ περὶ τῶν ὑμετέρων συμβο-
λαίων ἀλλ' Ἑλληνικοὺς καὶ πολιτικοὺς καὶ πανηγυ-
ρικοὺς, οὓς ἅπαντες ἂν φήσειαν ὁμοιοτέρους εἶναι
τοῖς μετὰ μουσικῆς καὶ ῥυθμῶν πεποιημένοις ἢ τοῖς
47 *ἐν δικαστηρίῳ λεγομένοις. καὶ γὰρ τῇ λέξει ποιητι-* d
κωτέρᾳ καὶ ποικιλωτέρᾳ τὰς πράξεις δηλοῦσι καὶ τοῖς
ἐνθυμήμασιν ὀγκωδεστέροις καὶ καινοτέροις χρῆσθαι
ζητοῦσιν, ἔτι δὲ ταῖς ἄλλαις ἰδέαις ἐπιφανεστέραις καὶ
πλείοσιν ὅλον τὸν λόγον διοικοῦσιν. ὧν ἅπαντες μὲν
ἀκούοντες χαίρουσιν οὐδὲν ἧττον ἢ τῶν ἐν τοῖς μέτροις
πεποιημένων, πολλοὶ δὲ καὶ μαθηταὶ γίγνεσθαι βού-
λονται, νομίζοντες τοὺς ἐν τούτοις πρωτεύοντας πολὺ
σοφωτέρους καὶ βελτίους καὶ μᾶλλον ὠφελεῖν δυνα- e
48 *μένους εἶναι τῶν τὰς δίκας εὖ λεγόντων. συνίσασι*

γαρ τοὺς μὲν διὰ πολυπραγμοσύνην ἐμπείρους τῶν
ἀγώνων γεγενημένους, τοὺς δ' ἐκ φιλοσοφίας ἐκεί-
νων τῶν λόγων ὧν ἄρτι προεῖπον τὴν δύναμιν εἰλη- 320
φότας, καὶ τοὺς μὲν δικανικοὺς δοκοῦντας εἶναι ταύ-
την τὴν ἡμέραν μόνην ἀνεκτοὺς ὄντας, ἐν ᾗπερ ἂν
ἀγωνιζόμενοι τυγχάνωσι, τοὺς δ' ἐν ἁπάσαις ταῖς ὁ-
μιλίαις καὶ παρὰ πάντα τὸν χρόνον ἐντίμους ὄντας
49 καὶ δόξης ἐπιεικοῦς τυγχάνοντας· ἔτι δὲ τοὺς μὲν,
ἢν ὀφθῶσι δὶς ἢ τρὶς ἐπὶ τῶν δικαστηρίων, μισουμέ-
νους καὶ διαβαλλομένους, τοὺς δ' ὅσῳ περ ἂν πλείοσι
καὶ πλεονάκις συγγίγνωνται, τοσούτῳ μᾶλλον θαυ- b
μαζομένους· πρὸς δὲ τούτοις τοὺς μὲν περὶ τὰς δίκας
δεινοὺς πόρρω τῶν λόγων ἐκείνων ὄντας, τοὺς δ' εἰ
βουληθεῖεν ταχέως ἂν ἑλεῖν καὶ τούτους δυνηθέντας.
50 ταῦτα λογιζόμενοι καὶ πολὺ κρείττω νομίζοντες εἶναι
τὴν αἵρεσιν, βούλονται μετασχεῖν τῆς παιδείας ταύ-
της, ἧς οὐδ' ἂν ἐγὼ φανείην ἀπεληλαμένος ἀλλὰ πολ-
λῶν χαριεστέραν δόξαν εἰληφώς. (ιθ'.) Περὶ μὲν
οὖν τῆς ἐμῆς εἴτε βούλεσθε καλεῖν δυνάμεως εἴτε
φιλοσοφίας εἴτε διατριβῆς, ἀκηκόατε πᾶσαν τὴν ἀλή- c
θειαν.

51 **Βούλομαι** δὲ περὶ ἐμαυτοῦ καὶ νόμον θεῖναι χα-
λεπώτερον ἢ περὶ τῶν ἄλλων καὶ λόγον εἰπεῖν θρα-
σύτερον ἢ κατὰ τὴν ἐμὴν ἡλικίαν· ἀξιῶ γὰρ οὐ μό-
νον, εἰ βλαβεροῖς χρῶμαι τοῖς λόγοις, μηδεμιᾶς συγ-
γνώμης τυγχάνειν παρ' ὑμῶν, ἀλλ' εἰ μὴ τοιούτοις,
οἵοις οὐδεὶς ἄλλος, τὴν μεγίστην ὑποσχεῖν τιμωρίαν.
οὐχ οὕτω δ' ἂν τολμηρὰν ἐποιησάμην τὴν ὑπόσχεσιν,
εἰ μὴ καὶ δείξειν ἤμελλον ὑμῖν καὶ ῥᾳδίαν ποιήσειν d
52 τὴν διάγνωσιν αὐτῶν. (κ'.) Ἔχει γὰρ οὕτως· ἐγὼ
καλλίστην ἡγοῦμαι καὶ δικαιοτάτην εἶναι τὴν τοιαύ-
την ἀπολογίαν, ἥτις εἰδέναι ποιεῖ τοὺς δικάζοντας ὡς

δυνατὸν μάλιστα, περὶ ὧν τὴν ψῆφον οἴσουσι, καὶ
μὴ πλανᾶσθαι τῇ διανοίᾳ μηδ' ἀμφιγνοεῖν τοὺς τά-
53 ληθῆ λέγοντας. εἰ μὲν τοίνυν ἠγωνιζόμην ὡς περὶ
πράξεις τινὰς ἡμαρτηκὼς, οὐκ ἂν οἷός τ' ἦν ἰδεῖν
ὑμῖν αὐτὰς παρασχεῖν, ἀλλ' ἀναγκαίως εἶχεν εἰκάζον-
τας ὑμᾶς ἐκ τῶν εἰρημένων διαγιγνώσκειν, ὅπως e
ἐτύχετε, περὶ τῶν πεπραγμένων· ἐπειδὴ δὲ περὶ τοὺς
λόγους ἔχω τὴν αἰτίαν, οἶμαι μᾶλλον ὑμῖν ἐμφανιεῖν
54 τὴν ἀλήθειαν. αὐτοὺς γὰρ ὑμῖν δείξω τοὺς εἰρημέ-
νους ὑπ' ἐμοῦ καὶ γεγραμμένους, ὥστ' οὐ δοξάσαν-
τες ἀλλὰ σαφῶς εἰδότες, ὁποῖοί τινές εἰσι, τὴν ψῆφον
οἴσετε περὶ αὐτῶν. ἅπαντας μὲν οὖν διὰ τέλους 321
εἰπεῖν οὐκ ἂν δυναίμην· ὁ γὰρ χρόνος ὁ δεδομένος
ἡμῖν ὀλίγος ἐστίν· ὥσπερ δὲ τῶν καρπῶν, ἐξενεγκεῖν
ἑκάστου δεῖγμα πειράσομαι. μικρὸν γὰρ μέρος ἀκού-
σαντες ῥᾳδίως τό τ' ἐμὸν ἦθος γνωριεῖτε καὶ τῶν λό-
55 γων τὴν δύναμιν ἁπάντων μαθήσεσθε. δέομαι δὲ
τῶν πολλάκις ἀνεγνωκότων τὰ μέλλοντα ῥηθήσεσθαι
μὴ ζητεῖν ἐν τῷ παρόντι παρ' ἐμοῦ καινοὺς λόγους,
μηδ' ὀχληρόν με νομίζειν, ὅτι λέγω τοὺς πάλαι παρ' b
ὑμῖν διατεθρυλημένους. εἰ μὲν γὰρ ἐπίδειξιν ποιού-
μενος ἔλεγον αὐτοὺς, εἰκότως ἂν εἶχον τὴν αἰτίαν
ταύτην· νῦν δὲ κρινόμενος καὶ κινδυνεύων ἀναγκά-
56 ζομαι χρῆσθαι τοῦτον τὸν τρόπον αὐτοῖς. καὶ γὰρ ἂν
πάντων εἴην καταγελαστότατος, εἰ τοῦ κατηγόρου
διαβάλλοντος, ὅτι τοιούτους γράφω λόγους, οἳ καὶ
τὴν πόλιν βλάπτουσι καὶ τοὺς νεωτέρους διαφθεί-
ρουσι, δι' ἑτέρων ποιοίμην τὴν ἀπολογίαν, ἐξὸν αὐ-
τοὺς δείξαντι τούτους ἀπολύσασθαι τὴν διαβολὴν c
τὴν λεγομένην περὶ ἡμῶν.

Ὑμᾶς μὲν οὖν ἀξιῶ μοι διὰ ταῦτα συγγνώμην
ἔχειν καὶ συναγωνιστὰς γίγνεσθαι τοῖς ἄλλοις, τοὺς δὲ

*λόγους ἤδη περαίνειν ἐπιχειρήσω, μικρὸν ἔτι προ-
ειπὼν, ἵνα ῥᾷον ἐπακολουθῶσι τοῖς λεγομένοις. (κα'.)
57 Ὁ μὲν γὰρ λόγος ὁ μέλλων πρῶτος ὑμῖν δειχθήσεσθαι
κατ' ἐκείνους ἐγράφη τοὺς χρόνους, ὅτε Λακεδαιμό-
νιοι μὲν ἦρχον τῶν Ἑλλήνων, ἡμεῖς δὲ ταπεινῶς
ἐπράττομεν. ἔστι δὲ τοὺς μὲν Ἕλληνας παρακαλῶν* d
*ἐπὶ τὴν τῶν βαρβάρων στρατείαν, Λακεδαιμονίοις δὲ
58 περὶ τῆς ἡγεμονίας ἀμφισβητῶν. τοιαύτην δὲ τὴν
ὑπόθεσιν ποιησάμενος ἀποφαίνω τὴν πόλιν ἁπάντων
τῶν ὑπαρχόντων τοῖς Ἕλλησιν ἀγαθῶν αἰτίαν γεγε-
νημένην. ἀφορισάμενος δὲ τὸν λόγον τὸν περὶ τῶν
τοιούτων εὐεργεσιῶν καὶ βουλόμενος τὴν ἡγεμονίαν
ἔτι σαφέστερον ἀποφαίνειν, ὡς ἔστι τῆς πόλεως, ἐν-* e
*θένδε ποθὲν ἐπιχειρῶ διδάσκειν περὶ τούτων, ὡς τῇ
πόλει τιμᾶσθαι προσήκει πολὺ μᾶλλον ἐκ τῶν περὶ
59 τὸν πόλεμον κινδύνων ἢ τῶν ἄλλων εὐεργεσιῶν. ᾤμην
μὲν οὖν αὐτὸς δυνήσεσθαι διελθεῖν περὶ αὐτῶν· νῦν
δέ με τὸ γῆρας ἐμποδίζει καὶ ποιεῖ προαπαγορεύειν.
ἵν' οὖν μὴ παντάπασιν ἐκλυθῶ πολλῶν ἔτι μοι λε-* 322
*κτέων ὄντων, ἀρξάμενος ἀπὸ τῆς παραγραφῆς ἀνά-
γνωθι τὰ περὶ τῆς ἡγεμονίας αὐτοῖς.*

ΕΚ ΤΟΥ ΠΑΝΗΓΥΡΙΚΟΥ.

*Ἡγοῦμαι δὲ τοῖς προγόνοις ἡμῶν οὐχ ἧττον ἐκ
τῶν κινδύνων τιμᾶσθαι προσήκειν ἢ τῶν ἄλλων εὐ-
εργεσιῶν* (p. 51, §. 51)
μέχρι τοῦ
καὶ τότε προταχθέντες ὑπὲρ ἁπάντων νῦν ἑτέ- 332
ροις ἀκολουθεῖν ἀναγκασθεῖμεν (p. 61, §. 99).
60 (*κβ'.*) *Περὶ μὲν οὖν τῆς ἡγεμονίας, ὡς δικαίως
ἂν εἴη τῆς πόλεως, ῥᾴδιον ἐκ τῶν εἰρημένων κατα-
μαθεῖν. ἐνθυμήθητε δὲ πρὸς ὑμᾶς αὐτούς, εἰ δοκῶ
τοῖς λόγοις διαφθείρειν τοὺς νεωτέρους ἀλλὰ μὴ προ-*

τρέπειν ἐπ' ἀρετὴν καὶ τοὺς ὑπὲρ τῆς πόλεως κινδύ-
νους, ἢ δικαίως ἂν δοῦναι δίκην ὑπὲρ τῶν εἰρημένων d
ἀλλ' οὐκ ἂν χάριν κομίσασθαι παρ' ὑμῶν τὴν μεγί-
61 στην, ὃς οὕτως ἐγκεκωμίακα τὴν πόλιν καὶ τοὺς προ-
γόνους καὶ τοὺς κινδύνους τοὺς ἐν ἐκείνοις τοῖς χρό-
νοις γεγενημένους, ὥστε τούς τε πρότερον γράψαντας
περὶ τὴν ὑπόθεσιν ταύτην ἅπαντας ἠφανικέναι τοὺς
λόγους, αἰσχυνομένους ὑπὲρ τῶν εἰρημένων αὐτοῖς,
τούς τε νῦν δοκοῦντας εἶναι δεινοὺς μὴ τολμᾶν ἔτι e
λέγειν περὶ τούτων ἀλλὰ καταμέμφεσθαι τὴν δύναμιν
τὴν σφετέραν αὐτῶν.

62 (κγ'.) Ἀλλ' ὅμως, τούτων οὕτως ἐχόντων, φα-
νήσονταί τινες τῶν εὑρεῖν μὲν οὐδὲν οὐδ' εἰπεῖν
ἄξιον λόγου δυναμένων, ἐπιτιμᾶν δὲ καὶ βασκαίνειν
τὰ τῶν ἄλλων μεμελετηκότων, οἳ χαριέντως μὲν εἰ- 333
ρῆσθαι ταῦτα φήσουσι, τὸ γὰρ εὖ φθονήσουσιν εἰ-
πεῖν, πολὺ μέντοι χρησιμωτέρους εἶναι τῶν λόγων
καὶ κρείττους τοὺς ἐπιπλήττοντας τοῖς νῦν ἁμαρτα-
νομένοις ἢ τοὺς τὰ πεπραγμένα πρότερον ἐπαινοῦν-
τας, καὶ τοὺς ὑπὲρ ὧν δεῖ πράττειν συμβουλεύοντας
63 ἢ τοὺς τὰ παλαιὰ τῶν ἔργων διεξιόντας. (κδ'.) Ἵν'
οὖν μηδὲ ταῦτ' ἔχωσιν εἰπεῖν, ἀφέμενος τοῦ βοηθεῖν
τοῖς εἰρημένοις πειράσομαι μέρος ἑτέρου λόγου τοσοῦ- b
τον, ὅσον περ ἄρτι, διελθεῖν ὑμῖν, ἐν ᾧ φανήσομαι
περὶ τούτων ἁπάντων πολλὴν ἐπιμέλειαν πεποιημέ-
νος. ἔστι δὲ τὰ μὲν ἐν ἀρχῇ λεγόμενα περὶ τῆς εἰρήνης
64 τῆς πρὸς Χίους καὶ Ῥοδίους καὶ Βυζαντίους, ἐπιδείξας
δ' ὡς συμφέρει τῇ πόλει διαλύσασθαι τὸν πόλεμον,
κατηγορῶ τῆς δυναστείας τῆς ἐν τοῖς Ἕλλησι καὶ τῆς
ἀρχῆς τῆς κατὰ θάλατταν, ἀποφαίνων αὐτὴν οὐδὲν δια-
φέρουσαν οὔτε ταῖς πράξεσιν οὔτε τοῖς πάθεσι τῶν μο- c
ναρχιῶν· ἀναμιμνήσκω δὲ καὶ τὰ συμβάντα δι' αὐτὴν

τῇ πόλει καὶ Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ἅπασιν.
65 διαλεχθεὶς δὲ περὶ τούτων καὶ τὰς τῆς Ἑλλάδος συμφορὰς ὀδυράμενος καὶ τῇ πόλει παραινέσας, ὡς χρὴ μὴ περιορᾶν αὐτὴν οὕτω πράττουσαν, ἐπὶ τελευτῆς ἐπί τε τὴν δικαιοσύνην παρακαλῶ καὶ τοῖς ἁμαρτανομένοις ἐπιπλήττω καὶ περὶ τῶν μελλόντων συμβου- d
λεύω. λαβὼν οὖν ἀρχὴν ταύτην, ὅθεν διαλέγομαι περὶ αὐτῶν, ἀνάγνωθι καὶ τοῦτο τὸ μέρος αὐτοῖς.

66 ΕΚ ΤΟΥ ΠΕΡΙ ΕΙΡΗΝΗΣ.

Ἡγοῦμαι δὲ δεῖν ἡμᾶς οὐ μόνον ψηφισαμένους τὴν εἰρήνην ἐκ τῆς ἐκκλησίας ἀπελθεῖν, ἀλλὰ καὶ βουλευσαμένους, ὅπως ἄξομεν αὐτήν (p. 164, §. 25)

μέχρι τοῦ

ἐπιλίποι δ' ἄν με τὸ λοιπὸν μέρος τῆς ἡμέρας, 339
εἰ πάσας τὰς πλημμελείας τὰς ἐν τοῖς πράγμασιν ἐγγεγενημένας ἐξετάζειν ἐπιχειρήσαιμεν (p. 170, §. 56).

εἶτ' ἐξελὼν τὰ μέσα συνῆψεν οὕτως·

τίς οὖν ἀπαλλαγὴ γενήσεται τῆς ταραχῆς ταύτης; 340
καὶ πῶς ἐπανορθωσόμεθα τὰ τῆς πόλεως καὶ βελτίω ποιήσομεν; πρῶτον μὲν, ἢν παυσώμεθα δημοτικοὺς μὲν εἶναι νομίζοντες τοὺς συκοφάντας, ὀλιγαρχικοὺς δὲ τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν (p. 186, §. 133),

καὶ τὰ λοιπὰ τοῦ βιβλίου.

67 (κε'.) Δυοῖν μὲν τοίνυν λόγοιν ἀκηκόατε· βού- 342
λομαι δὲ καὶ τοῦ τρίτου μικρὰ διελθεῖν, ἵν' ὑμῖν ἔτι c
μᾶλλον γένηται καταφανὲς, ὅτι πάντες οἱ λόγοι πρὸς ἀρετὴν καὶ δικαιοσύνην συντείνουσιν. ἔστι δ' ὁ μέλλων δειχθήσεσθαι Νικοκλεῖ τῷ Κυπρίῳ, τῷ κατ' ἐκεῖνον τὸν χρόνον βασιλεῖ, συμβουλεύων, ὡς δεῖ τῶν πολιτῶν ἄρχειν· οὐχ ὁμοίως δὲ γέγραπται τοῖς ἀνε-

68 *γνωσμένοις. οὗτοι μὲν γὰρ τὸ λεγόμενον ὁμολογού-
μενον ἀεὶ τῷ προειρημένῳ καὶ συγκεκλειμένον ἔχου-* d
*σιν, ἐν δὲ τούτῳ τοὐναντίον· ἀπολύσας γὰρ ἀπὸ τοῦ
προτέρου καὶ χωρὶς ὥσπερ τὰ καλούμενα κεφάλαια
ποιήσας πειρῶμαι διὰ βραχέων ἕκαστον ὧν συμβου-*
69 *λεύω φράζειν. τούτου δ' ἕνεκα ταύτην ἐποιησάμην
τὴν ὑπόθεσιν, ἡγούμενος ἐκ τοῦ παραινεῖν τήν τε
διάνοιαν τὴν ἐκείνου μάλιστ' ὠφελήσειν καὶ τὸν
τρόπον τὸν ἐμαυτοῦ τάχιστα δηλώσειν. διὰ τὴν αὐ-
τὴν δὲ ταύτην πρόφασιν καὶ νῦν αὐτὸν ὑμῖν δεῖξαι* e
*προειλόμην, οὐχ ὡς ἄριστα τῶν λοιπῶν γεγραμμένον,
ἀλλ' ὡς ἐκ τούτου μάλιστα φανερὸς γενησόμενος, ὃν
τρόπον εἴθισμαι καὶ τοῖς ἰδιώταις καὶ τοῖς δυνάσταις*
70 *πλησιάζειν· φανήσομαι γὰρ πρὸς αὐτὸν ἐλευθέρως
καὶ τῆς πόλεως ἀξίως διειλεγμένος, καὶ οὐ τὸν ἐκεί-* 343
*νου πλοῦτον οὐδὲ τὴν δύναμιν θεραπεύων ἀλλὰ τοῖς
ἀρχομένοις ἐπαμύνων, καὶ παρασκευάζων καθ' ὅσον
ἠδυνάμην τὴν πολιτείαν αὐτοῖς ὡς οἷόν τε πραοτά-
την. ὅπου δὲ βασιλεῖ διαλεγόμενος ὑπὲρ τοῦ δήμου
τοὺς λόγους ἐποιούμην, ἦπου τοῖς ἐν δημοκρατίᾳ πο-
λιτευομένοις σφόδρ' ἂν παρακελευσαίμην τὸ πλῆ-*
71 *θος θεραπεύειν.* (κϛ'.) *Ἐν μὲν οὖν τῷ προοιμίῳ καὶ
τοῖς πρώτοις λεγομένοις ἐπιτιμῶ ταῖς μοναρχίαις, ὅτι* b
*δέον αὐτοὺς τὴν φρόνησιν ἀσκεῖν μᾶλλον τῶν ἄλλων,
χεῖρον παιδεύονται τῶν ἰδιωτῶν. διαλεχθεὶς δὲ περὶ
τούτων παραινῶ τῷ Νικοκλεῖ μὴ ῥαθυμεῖν μηδ' ὥσ-
περ ἱερωσύνην εἰληφότα τὴν βασιλείαν, οὕτω τὴν
γνώμην ἔχειν, ἀλλὰ τῶν ἡδονῶν ἀμελήσαντα προσ-*
72 *έχειν τὸν νοῦν τοῖς πράγμασιν. ἐπιχειρῶ δὲ καὶ τοῦτο
πείθειν αὐτὸν, ὡς χρὴ δεινὸν νομίζειν, ὅταν ὁρᾷ τοὺς* c
*μὲν χείρους τῶν βελτιόνων ἄρχοντας καὶ τοὺς ἀνοη-
τοτέρους τοῖς φρονιμωτέροις προστάττοντας, λέγων,*

ὡς ὅσῳ περ ἂν ἐρρωμενέστερον τὴν τῶν ἄλλων ἄγνοιαν ἀτιμάσῃ, τοσούτῳ μᾶλλον τὴν αὑτοῦ διάνοιαν ἀσκήσει. ποιησάμενος οὖν ἀρχὴν, ἣν ἐγὼ τελευτὴν, ἀνάγνωθι καὶ τούτου τοῦ λόγου τὸ λοιπὸν μέρος αὐτοῖς.

73 ## ΕΚ ΤΟΥ ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ.

Μάλιστα δ' ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων ἄρχειν καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν (p. 17, §. 14)

μέχρι τοῦ

σοφοὺς νόμιζε μὴ τοὺς περὶ μικρῶν ἀκριβῶς ἐρίζοντας ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγάλων λέγοντας. χρῶ τοῖς εἰρημένοις, ἢ ζήτει βελτίω τούτων (p. 37, §. 39).

74 (κϛ΄. *α΄.) Τῶν μὲν τοίνυν λόγων ἅλις ἡμῖν ἔστω Pag. Orell. 58
τῶν ἀναγιγνωσκομένων καὶ τηλικοῦτο μῆκος ἐχόντων· ἐπεὶ μικροῦ γε μέρους τῶν πάλαι γεγραμμένων οὐκ ἂν ἀποσχοίμην ἀλλ' εἴποιμ' ἄν, εἴ τί μοι δόξειε πρέπον εἶναι τῷ παρόντι καιρῷ· καὶ γὰρ ἂν ἄτοπος εἴην, εἰ τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους ἐγὼ μόνος ἀπεχοίμην τῶν ὑπ' ἐμοῦ πρότερον εἰρημένων, ἄλλως τε καὶ νῦν, ὅτ' οὐ μόνον μικροῖς μέρεσιν ἀλλ' ὅλοις εἴδεσι προειλόμην χρῆσθαι πρὸς ὑμᾶς. ταῦτα μὲν οὖν, ὅπως ἂν ἡμῖν συμπίπτῃ, ποιήσομεν.

75 Εἶπον δέ που πρὶν ἀναγιγνώσκεσθαι τούτους, ὡς ἄξιος εἴην οὐ μόνον, εἰ βλαβεροῖς χρῶμαι τοῖς λόγοις, δοῦναι δίκην ὑμῖν τὴν μεγίστην, ἀλλ' εἰ μὴ τοιούτοις, οἵοις οὐδεὶς ἄλλος, τῆς μεγίστης τυχεῖν τιμωρίας. εἴ τινες οὖν ὑμῶν ὑπέλαβον τότε λίαν ἀλαζονικὸν εἶναι καὶ μέγα τὸ ῥηθὲν, οὐκ ἂν δικαίως ἔτι τὴν γνώμην ταύτην ἔχοιεν· οἶμαι γὰρ ἀποδεδωκέναι

τὴν ὑπόσχεσιν καὶ τοιούτους εἶναι τοὺς λόγους τοὺς
76 ἀναγνωσθέντας, οἵους περ ἐξ ἀρχῆς ὑπεθέμην. βού-
λομαι δ' ὑμῖν διὰ βραχέων ἀπολογήσασθαι περὶ
ἑκάστου καὶ ποιῆσαι μᾶλλον ἔτι καταφανές, ὡς ἀληθῆ
καὶ τότε προεῖπον καὶ νῦν λέγω περὶ αὐτῶν. (κϛ΄.* β΄.)
Καὶ πρῶτον μὲν ποῖος γένοιτ' ἂν λόγος ὁσιώτερος ἢ 59
δικαιότερος τοῦ τοὺς προγόνους ἐγκωμιάζοντος ἀξίως
τῆς ἀρετῆς τῆς ἐκείνων καὶ τῶν ἔργων τῶν πεπραγ-
77 μένων αὐτοῖς; ἔπειτα τίς ἂν πολιτικώτερος καὶ μᾶλ-
λον πρέπων τῇ πόλει τοῦ τὴν ἡγεμονίαν ἀποφαίνον-
τος ἔκ τε τῶν ἄλλων εὐεργεσιῶν καὶ τῶν κινδύνων
ἡμετέραν οὖσαν μᾶλλον ἢ Λακεδαιμονίων; ἔτι δὲ τίς
ἂν περὶ καλλιόνων καὶ μειζόνων πραγμάτων τοῦ τοὺς
Ἕλληνας ἐπί τε τὴν τῶν βαρβάρων στρατείαν παρα-
καλοῦντος καὶ περὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας συμ-
78 βουλεύοντος; ἐν μὲν τοίνυν τῷ πρώτῳ λόγῳ περὶ
τούτων τυγχάνω διειλεγμένος, ἐν δὲ τοῖς ὑστέροις περὶ
ἐλαττόνων μὲν ἢ τηλικούτων, οὐ μὴν περὶ ἀχρηστο-
τέρων οὐδ' ἧττον τῇ πόλει συμφερόντων. γνώσεσθε
δὲ τὴν δύναμιν αὐτῶν, ἢν παραβάλλητε πρὸς ἕτερα
τῶν εὐδοκιμούντων καὶ τῶν ὠφελίμων εἶναι δο-
κούντων.

79 Οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι τοὺς νόμους
πλείστων καὶ μεγίστων ἀγαθῶν αἰτίους εἶναι τῷ βίῳ
τῷ τῶν ἀνθρώπων· ἀλλ' ἡ μὲν τούτων χρῆσις τοὖτ'
ὠφελεῖν μόνον πέφυκε, τὰ κατὰ τὴν πόλιν καὶ τὰ
συμβόλαια τὰ γιγνόμενα πρὸς ἡμᾶς αὐτούς· εἰ δὲ
τοῖς λόγοις πείθοισθε τοῖς ἐμοῖς, ὅλην τὴν Ἑλλάδα
καλῶς ἂν διοικοῖτε καὶ δικαίως καὶ τῇ πόλει συμφε-
80 ρόντως· χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ ἀμφότερα
μὲν ταῦτα σπουδάζειν, αὐτοῖν δὲ τούτοιν τὸ μεῖζον 60
καὶ τὸ πλείονος ἄξιον προτιμᾶν, ἔπειτα κἀκεῖνο γι-

γιγνώσκειν, ὅτι νόμους μὲν θεῖναι μυρίοι καὶ τῶν ἄλ-
λων Ἑλλήνων καὶ τῶν βαρβάρων ἱκανοὶ γεγόνασιν,
εἰπεῖν δὲ περὶ τῶν συμφερόντων ἀξίως τῆς πόλεως
81 καὶ τῆς Ἑλλάδος οὐκ ἂν πολλοὶ δυνηθεῖεν· ὧν ἕνεκα
τοὺς ἔργον ποιουμένους τοὺς τοιούτους λόγους εὑρί-
σκειν τοσούτῳ χρὴ περὶ πλείονος ποιεῖσθαι τῶν τοὺς
νόμους τιθέντων καὶ γραφόντων, ὅσῳ πέρ εἰσι σπανι-
ώτεροι καὶ χαλεπώτεροι καὶ ψυχῆς φρονιμωτέρας δεό-
82 μενοι τυγχάνουσιν, ἄλλως τε δὴ καὶ νῦν. ὅτε μὲν γὰρ
ἤρχετο τὸ γένος τὸ τῶν ἀνθρώπων γίγνεσθαι καὶ συν-
οικίζεσθαι κατὰ πόλεις, εἰκὸς ἦν παραπλησίαν εἶναι
τὴν ζήτησιν αὐτῶν· ἐπειδὴ δ' ἐνταῦθα προεληλύθα-
μεν ὥστε καὶ τοὺς λόγους τοὺς εἰρημένους καὶ τοὺς
νόμους τοὺς κειμένους ἀναριθμήτους εἶναι, καὶ τῶν
μὲν νόμων ἐπαινεῖσθαι τοὺς ἀρχαιοτάτους, τῶν δὲ
λόγων τοὺς καινοτάτους, οὐκέτι τῆς αὐτῆς διανοίας
83 ἔργον ἐστὶν, ἀλλὰ τοῖς μὲν τοὺς νόμους τιθέναι προ-
αιρουμένοις προὔργου γέγονε τὸ πλῆθος τῶν κειμέ-
νων, οὐδὲν γὰρ αὐτοὺς δεῖ ζητεῖν ἑτέρους, ἀλλὰ τοὺς
παρὰ τοῖς ἄλλοις εὐδοκιμοῦντας πειραθῆναι συναγα-
γεῖν, ὃ ῥᾳδίως ὅστις ἂν οὖν βουληθεὶς ποιήσειε, τοῖς
δὲ περὶ τοὺς λόγους πραγματευομένοις διὰ τὸ προκατ- 61
ειλῆφθαι τὰ πλεῖστα τοὐναντίον συμβέβηκε· λέγον-
τες μὲν γὰρ ταὐτὰ τοῖς πρότερον εἰρημένοις ἀναι-
σχυντεῖν καὶ ληρεῖν δόξουσι, καινὰ δὲ ζητοῦντες ἐπι-
πόνως εὑρήσουσιν. διόπερ ἔφασκον ἀμφοτέροις μὲν
ἐπαινεῖσθαι προσήκειν, πολὺ δὲ μᾶλλον τοῖς τὸ χαλε-
πώτερον ἐξεργάζεσθαι δυναμένοις.

84 Ἀλλὰ μὴν καὶ τῶν ἐπὶ τὴν σωφροσύνην καὶ τὴν
δικαιοσύνην προσποιουμένων προτρέπειν ἡμεῖς ἂν
ἀληθέστεροι καὶ χρησιμώτεροι φανεῖμεν ὄντες. οἱ μὲν
γὰρ παρακαλοῦσιν ἐπὶ τὴν ἀρετὴν καὶ τὴν φρόνησιν

τὴν ὑπὸ τῶν ἄλλων μὲν ἀγνοουμένην, ὑπ᾽ αὐτῶν δὲ
τούτων ἀντιλεγομένην, ἐγὼ δ᾽ ἐπὶ τὴν ὑπὸ πάντων
85 ὁμολογουμένην· κἀκείνοις μὲν ἀπόχρη τοσοῦτον, ἢν
ἐπαγαγέσθαι τινὰς τῇ δόξῃ τῇ τῶν ὀνομάτων δυνη-
θῶσιν εἰς τὴν αὑτῶν ὁμιλίαν, ἐγὼ δὲ τῶν μὲν ἰδιω-
τῶν οὐδένα πώποτε φανήσομαι παρακαλέσας ἐπ᾽ ἐμαυ-
τὸν, τὴν δὲ πόλιν ὅλην πειρῶμαι πείθειν τοιούτοις
πράγμασιν ἐπιχειρεῖν, ἐξ ὧν αὐτοί τ᾽ εὐδαιμονήσουσι
καὶ τοὺς ἄλλους Ἕλληνας τῶν παρόντων κακῶν ἀπαλ-
86 λάξουσιν. καίτοι τὸν πάντας τοὺς πολίτας προτρέ-
πειν προθυμούμενον πρὸς τὸ βέλτιον καὶ δικαιότε-
ρον προστῆναι τῶν Ἑλλήνων, πῶς εἰκὸς τοῦτον τοὺς
συνόντας διαφθείρειν; τίς δὲ τοιούτους λόγους εὑρί-
σκειν δυνάμενος πονηροὺς ἂν καὶ περὶ πονηρῶν
πραγμάτων ζητεῖν ἐπιχειρήσειεν, ἄλλως τε καὶ διαπε- 62
πραγμένος ἀπ᾽ αὐτῶν ἅπερ ἐγώ;
87 (κς΄.*γ΄.) Τούτων γὰρ γραφέντων καὶ διαδοθέν-
των καὶ δόξαν ἔσχον παρὰ πολλοῖς καὶ μαθητὰς πολ-
λοὺς ἔλαβον, ὧν οὐδεὶς ἂν παρέμεινεν, εἰ μὴ τοιοῦ-
τον ὄντα με κατέλαβον, οἷόν περ προσεδόκησαν· νῦν
δὲ τοσούτων γεγενημένων, καὶ τῶν μὲν ἔτη τρία, τῶν
δὲ τέτταρα συνδιαιτηθέντων, οὐδεὶς οὐδὲν φανήσεται
88 τῶν παρ᾽ ἐμοὶ μεμψάμενος, ἀλλ᾽ ἐπὶ τελευτῆς, ὅτ᾽ ἤδη
μέλλοιεν ἀποπλεῖν ὡς τοὺς γονέας καὶ τοὺς φίλους
τοὺς αὑτῶν, οὕτως ἠγάπων τὴν διατριβὴν ὥστε μετὰ
πόθου καὶ δακρύων ποιεῖσθαι τὴν ἀπαλλαγήν. καίτοι
πότερα χρὴ πιστεύειν ὑμᾶς τοῖς σαφῶς ἐπισταμένοις
καὶ τοὺς λόγους καὶ τὸν τρόπον τὸν ἐμὸν, ἢ τῷ μη-
δὲν μὲν εἰδότι τῶν ἐμῶν, προῃρημένῳ δὲ συκοφαν-
89 τεῖν; ὃς εἰς τοσοῦτον πονηρίας καὶ τόλμης ἐλήλυθεν,
ὥστε γραψάμενος, ὡς λόγους διδάσκω, δι᾽ ὧν πλεο-
νεκτήσουσι παρὰ τὸ δίκαιον, ἀπόδειξιν μὲν οὐδεμίαν

τούτων ἤνεγκε, λέγων δὲ διατετέλεκεν, ὡς δεινόν
ἐστι διαφθείρεσθαι τοὺς τηλικούτους, ὥσπερ ἀντιλέ-
γοντός τινος περὶ τούτων, ἢ τοῦτο δέον αὐτὸν ἀπο-
φαίνειν, ὃ πάντες ὁμολογοῦσιν, ἀλλ' οὐκ ἐκεῖνο μό-
νον διδάσκειν, ὡς ἐγὼ τυγχάνω ταῦτα διαπραττόμε-
90 νος. καὶ εἰ μέν τις τοῦτον ἀπαγαγὼν ἀνδραποδιστὴν
καὶ κλέπτην καὶ λωποδύτην μηδὲν μὲν αὐτὸν ἀπο-
φαίνοι τούτων εἰργασμένον, διεξίοι δ' ὡς δεινὸν ἕκα- 63
στόν ἐστι τῶν κακουργημάτων, ληρεῖν ἂν φαίη καὶ
μαίνεσθαι τὸν κατήγορον, αὐτὸς δὲ τοιούτοις λόγοις
91 κεχρημένος οἴεται λανθάνειν ὑμᾶς. ἐγὼ δ' ἡγοῦμαι
τοῦτό γε καὶ τοὺς ἀμαθεστάτους γιγνώσκειν, ὅτι δεῖ
πιστὰς εἶναι καὶ μέγα δυναμένας τῶν κατηγοριῶν, οὐχ
αἷς ἔξεστι χρήσασθαι καὶ περὶ τῶν μηδὲν ἠδικηκότων,
ἀλλ' ἃς οὐχ οἷόν τ' εἰπεῖν ἀλλ' ἢ κατὰ τῶν ἡμαρτη-
κότων· ὧν αὐτὸς ὀλιγωρήσας οὐδὲν προσήκοντας τῇ
92 γραφῇ λόγους εἴρηκεν. ἔδει γὰρ αὐτὸν καὶ τοὺς λό-
γους δεικνύναι τοὺς ἐμούς, οἷς διαφθείρω τοὺς συν-
όντας, καὶ τοὺς μαθητὰς φράζειν τοὺς χείρους διὰ
τὴν συνουσίαν τὴν ἐμὴν γεγενημένους· νῦν δὲ τού-
των μὲν οὐδέτερον πεποίηκε, παραλιπὼν δὲ τὴν δι-
καιοτάτην τῶν κατηγοριῶν ἐξαπατᾶν ὑμᾶς ἐπεχείρη-
σεν. ἐγὼ δ' ἐξ αὐτῶν τούτων, ἐξ ὧνπερ προσήκει
καὶ δίκαιόν ἐστι, ποιήσομαι τὴν ἀπολογίαν.

93 Καὶ τοὺς μὲν λόγους ὀλίγῳ πρότερον ἀνέγνωμεν
ὑμῖν, τοὺς δὲ κεχρημένους ἐκ μειρακίων μοι μέχρι
γήρως δηλώσω, καὶ μάρτυρας ὑμῶν αὐτῶν παρέξο-
μαι, περὶ ὧν ἂν λέγω, τοὺς κατὰ τὴν ἡλικίαν τὴν
ἐμὴν γεγενημένους. ἤρξαντο μὲν οὖν ἐν πρώτοις Εὔ-
νομός μοι καὶ Λυσιθείδης καὶ Κάλλιππος πλησιάζειν,
μετὰ δὲ τούτους Ὀνήτωρ, Ἀντικλῆς, Φιλωνίδης, Φι-
94 λόμηλος, Χαρμαντίδης. τούτους ἅπαντας ἡ πόλις 64

χρυσοῖς στεφάνοις ἐστεφάνωσεν, οὐχ ὡς τῶν ἀλλο-
τρίων ἐφιεμένους ἀλλ' ὡς ἄνδρας ἀγαθοὺς ὄντας καὶ
πολλὰ τῶν ἰδίων εἰς τὴν πόλιν ἀνηλωκότας. πρὸς οὓς
ὅπως βούλεσθε θέτε με διακεῖσθαι· πρὸς γὰρ τὸ παρ-
95 ὸν πανταχῶς ἕξει μοι καλῶς. ἤν τε γὰρ ὑπολάβητε
σύμβουλον εἶναί με καὶ διδάσκαλον τούτων, δικαίως
ἂν ἔχοιτέ μοι πλείω χάριν ἢ τοῖς δι' ἀρετὴν ἐν πρυ-
τανείῳ σιτουμένοις· τούτων μὲν γὰρ ἕκαστος αὑτὸν
μόνον παρέσχε καλὸν κἀγαθὸν, ἐγὼ δὲ τοσούτους τὸ
96 πλῆθος, ὅσους ὀλίγῳ πρότερον διῆλθον ὑμῖν. εἴ τε
τῶν μὲν πεπραγμένων ἐκείνοις μηδὲν συναίτιος ἐγε-
νόμην, ὡς ἑταίροις δὲ καὶ φίλοις αὐτοῖς ἐχρώμην, ἱκα-
νὴν ὑπὲρ ὧν φεύγω τὴν γραφὴν ἡγοῦμαι καὶ ταύτην
εἶναι τὴν ἀπολογίαν· εἰ γὰρ τοῖς μὲν δι' ἀρετὴν δω-
ρεὰς εἰληφόσιν ἤρεσκον, τῷ δὲ συκοφάντῃ μὴ τὴν
αὐτὴν ἔχω γνώμην, πῶς ἂν εἰκότως γνωσθείην τοὺς
97 συνόντας διαφθείρειν; ἢ πάντων γ' ἂν εἴην δυστυ-
χέστατος, εἰ τῶν ἄλλων ἀνθρώπων ἔκ τε τῶν ἐπιτη-
δευμάτων καὶ τῶν συνουσιῶν τῶν μὲν χείρω, τῶν δὲ
βελτίω δόξαν λαμβανόντων ἐγὼ μόνος μὴ τύχοιμι τῆς
δοκιμασίας ταύτης, ἀλλὰ τοιούτοις μὲν ἀνδράσι συμ-
βεβιωκὼς, ἀνέγκλητον δ' ἐμαυτὸν μέχρι ταυτησὶ τῆς
ἡλικίας παρεσχηκὼς, ὅμοιος εἶναι δόξαιμι τοῖς ἔκ τε
τῶν ἐπιτηδευμάτων καὶ τῶν ἄλλων συνουσιῶν δια-
βεβλημένοις. ἡδέως δ' ἂν εἰδείην, τί ποτ' ἂν ἔπαθον,
εἴ τίς μοι τοιοῦτος ἦν συγγεγενημένος, οἷός πέρ ἐστιν
ὁ κατήγορος, ὃς μισῶν ἅπαντας τοὺς τοιούτους καὶ
μισούμενος εἰς τουτονὶ καθέστηκα τὸν κίνδυνον.
98 Καὶ μὴν οὐδ' ἐκεῖνος ὁ λόγος δικαίως ἄν με βλά-
ψειεν, ὃν ἴσως ἄν τινες τολμήσειαν εἰπεῖν τῶν παν-
τάπασι πρός με δυσκόλως διακειμένων, ὡς τούτοις
μὲν οἷς εἴρηκα τοσοῦτον μόνον ἐχρώμην, ὅσον ὀφθῆ-

ναι διαλεγόμενος, ἕτεροι δέ τινές μοι πολλοὶ καὶ πολυπράγμονες μαθηταὶ γεγόνασιν, οὓς ἀποκρύπτομαι
99 πρὸς ὑμᾶς. ἀξιῶ γὰρ, εἰ μέν τινες τῶν ἐμοὶ συγγεγενημένων ἄνδρες ἀγαθοὶ γεγόνασι περὶ τὴν πόλιν καὶ τοὺς φίλους καὶ τὸν ἴδιον οἶκον, ἐκείνους ὑμᾶς ἐπαινεῖν, ἐμοὶ δὲ μηδεμίαν ὑπὲρ τούτων χάριν ἔχειν, εἰ δὲ πονηροὶ καὶ τοιοῦτοι τὰς φύσεις, οἷοι φαίνειν καὶ γράφεσθαι καὶ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, παρ' ἐμοῦ
100 δίκην λαμβάνειν. καίτοι τίς ἂν πρόκλησις γένοιτο ταύτης ἀνεπιφθονωτέρα καὶ ταπεινοτέρα τῆς τῶν μὲν καλῶν κἀγαθῶν οὐκ ἀμφισβητούσης, εἰ δέ τινες πονηροὶ γεγόνασιν, ὑπὲρ τούτων δίκην ὑποσχεῖν ἐθελούσης; καὶ ταῦτ' οὐ λόγος μάτην εἰρημένος ἐστὶν, ἀλλὰ παραχωρῶ καὶ τῷ κατηγόρῳ καὶ τῷ βουλομένῳ 66
τῶν ἄλλων, εἴ τις ἔχει τινὰ φράσαι τοιοῦτον, οὐχ ὡς οὐχ ἡδέως ἂν τινῶν μου καταψευσαμένων, ἀλλ' ὡς εὐθὺς φανερῶν ἐσομένων ὑμῖν καὶ τῆς ζημίας ἐκείνοις ἀλλ' οὐκ ἐμοὶ γενησομένης.

101 Περὶ μὲν οὖν ὧν φεύγω τὴν γραφὴν καὶ τοῦ μὴ διαφθείρειν τοὺς συνόντας, οὐκ οἶδ' ὅπως ἂν σαφέστερον ἐπιδεῖξαι δυνηθείην· (κϛ'. * δ'.) Ἐμνήσθη δὲ καὶ τῆς πρὸς Τιμόθεόν μοι φιλίας γεγενημένης καὶ διαβάλλειν ἡμᾶς ἀμφοτέρους ἐπεχείρησεν, οὐδ' ᾐσχύνθη περὶ ἀνδρὸς τετελευτηκότος καὶ πολλῶν ἀγαθῶν αἰτίου τῇ πόλει γεγενημένου βλασφήμους καὶ λίαν ἀσελ-
102 γεῖς λόγους εἰπών. ἐγὼ δ' ᾤμην μὲν, εἰ καὶ φανερῶς ἐξηλεγχόμην ἀδικῶν, διὰ τὴν πρὸς ἐκεῖνον φιλίαν σώζεσθαί μοι προσήκειν· ἐπειδὴ δὲ Λυσίμαχος καὶ τοῖς τοιούτοις ἐπιχειρεῖ με βλάπτειν, ἐξ ὧν δικαίως ἂν ὠφελοίμην, ἀναγκαίως ἔχει διαλεχθῆναι περὶ αὐτῶν. διὰ τοῦτο δ' οὐχ ἅμα περὶ τούτου καὶ τῶν ἄλλων ἐπιτηδείων ἐποιησάμην τὴν μνείαν, ὅτι πολὺ

103 τα πράγματα διέφερεν αὐτῶν. περὶ μὲν γὰρ ἐκείνων
οὐδὲν φλαῦρον εἰπεῖν ὁ κατήγορος ἐτόλμησε, περὶ δὲ
τὴν Τιμοθέου κατηγορίαν μᾶλλον ἐσπούδασεν ἢ περὶ
ὧν ἀπήνεγκε τὴν γραφήν· ἔπειθ᾽ οἱ μὲν ὀλίγων ἐπε-
στάτησαν ἀγώνων, τῶν δ᾽ ἑκάστῳ προσταχθέντων
οὕτως ἐπεμελήθησαν ὥστε τυχεῖν τῆς τιμῆς τῆς ὀλίγῳ
πρότερον ὑπ᾽ ἐμοῦ λεχθείσης, ὁ δὲ πολλῶν καὶ μεγά- 67
λων πραγμάτων κατέστη κύριος πολὺν χρόνον. ὥστ᾽
οὐκ ἂν ἥρμοσεν ἅμα περὶ τούτου καὶ τῶν ἄλλων χρή-
σασθαι τοῖς λόγοις, ἀλλ᾽ ἀναγκαίως εἶχεν οὕτω διε-
104 λέσθαι καὶ διατάξασθαι περὶ αὐτῶν. χρὴ δὲ τὸν ὑπὲρ
ἐκείνου λόγον οὐκ ἀλλότριον εἶναι νομίζειν τοῖς ἐνε-
στῶσι πράγμασιν οὐδ᾽ ἐμὲ λέγειν ἔξω τῆς γραφῆς·
τοῖς μὲν γὰρ ἰδιώταις ὑπὲρ ὧν ἕκαστος ἔπραξε προσ-
ήκει διαλεχθεῖσι καταβαίνειν ἢ δοκεῖν περιεργάζε-
σθαι, τοῖς δ᾽ ὑπολαμβανομένοις συμβούλοις εἶναι καὶ
διδασκάλοις ὁμοίως ὑπὲρ τῶν συγγεγενημένων ὥσπερ
ὑπὲρ αὑτῶν ἀναγκαῖον ποιεῖσθαι τὴν ἀπολογίαν, ἄλ-
λως τ᾽ ἢν καὶ τύχῃ τις διὰ τὴν αἰτίαν ταύτην κρινό-
105 μενος· ὅπερ ἐμοὶ συμβέβηκεν. ἑτέρῳ μὲν οὖν ἀπέ-
χρησεν ἂν τοῦτ᾽ εἰπεῖν, ὡς οὐ δίκαιόν ἐστι μετέχειν,
εἴ τι Τιμόθεος πράττων μὴ κατώρθωσεν· οὐδὲ γὰρ
τῶν δωρεῶν οὐδὲ τῶν τιμῶν οὐδεὶς αὐτῷ μετέδωκε
τῶν ἐκείνῳ ψηφισθεισῶν, ἀλλ᾽ οὐδ᾽ ἐπαινέσαι τῶν
ῥητόρων οὐδεὶς ἠξίωσεν ὡς σύμβουλον γεγενημένον·
εἶναι δὲ δίκαιον ἢ καὶ τῶν ἀγαθῶν κοινωνεῖν ἢ μηδὲ
106 τῶν ἀτυχιῶν ἀπολαύειν. ἐγὼ δὲ ταῦτα μὲν αἰσχυν-
θείην ἂν εἰπεῖν, τὴν αὐτὴν δὲ ποιοῦμαι πρόκλησιν, ἥν-
περ καὶ περὶ τῶν ἄλλων· ἀξιῶ γάρ, εἰ μὲν κακὸς ἀνὴρ
γέγονε Τιμόθεος καὶ πολλὰ περὶ ὑμᾶς ἐξήμαρτε, μετέ-
χειν καὶ δίκην διδόναι καὶ πάσχειν ὅμοια τοῖς ἀδι- 68
κοῦσιν· ἢν δ᾽ ἐπιδειχθῇ καὶ πολίτης ὢν ἀγαθὸς καὶ

στρατηγὸς τοιοῦτος, οἷος οὐδεὶς ἄλλος ὧν ἡμεῖς ἴσμεν,
ἐκεῖνον μὲν οἶμαι δεῖν ὑμᾶς ἐπαινεῖν καὶ χάριν ἔχειν
αὐτῷ, περὶ δὲ ταυτησὶ τῆς γραφῆς ἐκ τῶν ἐμοὶ πε-
πραγμένων, ὅ τι ἂν ὑμῖν δίκαιον εἶναι δοκῇ, τοῦτο
γιγνώσκειν.

107 (κϛ΄.*ε΄.) Ἀθροώτατον μὲν οὖν τοῦτ' εἰπεῖν ἔχω
περὶ Τιμοθέου καὶ μάλιστα καθ' ἁπάντων, ὅτι το-
σαύτας ᾕρηκε πόλεις κατὰ κράτος, ὅσας οὐδεὶς πώ-
ποτε τῶν ἐστρατηγηκότων, οὔτε τῶν ἐκ ταύτης τῆς
πόλεως οὔτε τῶν ἐκ τῆς ἄλλης Ἑλλάδος, καὶ τούτων
ἐνίας, ὧν ληφθεισῶν ἅπας ὁ τόπος ὁ περιέχων οἰκεῖος
ἠναγκάσθη τῇ πόλει γενέσθαι· τηλικαύτην ἑκάστη
108 δύναμιν εἶχεν. τίς γὰρ οὐκ οἶδε Κόρκυραν μὲν ἐν
ἐπικαιροτάτῳ καὶ κάλλιστα κειμένην τῶν περὶ Πελο-
πόννησον, Σάμον δὲ τῶν ἐν Ἰωνίᾳ, Σηστὸν δὲ καὶ
Κριθώτην τῶν ἐν Ἑλλησπόντῳ, Ποτίδαιαν δὲ καὶ
Τορώνην τῶν ἐπὶ Θρᾴκης; ἃς ἐκεῖνος ἁπάσας κτησά-
μενος παρέδωκεν ὑμῖν, οὐ δαπάναις μεγάλαις, οὐδὲ
τοὺς ὑπάρχοντας συμμάχους λυμηνάμενος, οὐδὲ πολ-
109 λὰς ὑμᾶς εἰσφορὰς ἀναγκάσας εἰσενεγκεῖν, ἀλλ' εἰς
μὲν τὸν περίπλουν τὸν περὶ Πελοπόννησον τρία καὶ
δέκα μόνον τάλαντα δούσης αὐτῷ τῆς πόλεως καὶ τρι-
ήρεις πεντήκοντα Κόρκυραν εἷλε, πόλιν ὀγδοήκοντα
τριήρεις κεκτημένην, καὶ περὶ τὸν αὐτὸν χρόνον Λα- 69
κεδαιμονίους ἐνίκησε ναυμαχῶν, καὶ ταύτην ἠνάγκα-
σεν αὐτοὺς συνθέσθαι τὴν εἰρήνην, ἣ τοσαύτην με-
110 ταβολὴν ἑκατέρᾳ τῶν πόλεων ἐποίησεν, ὥσθ' ἡμᾶς
μὲν ἀπ' ἐκείνης τῆς ἡμέρας θύειν αὐτῇ καθ' ἕκαστον
τὸν ἐνιαυτὸν ὡς οὐδεμιᾶς ἄλλης οὕτω τῇ πόλει συνε-
νεγκούσης, Λακεδαιμονίων δὲ μετ' ἐκεῖνον τὸν χρό-
νον μηθ' ὑφ' ἑνὸς ἑωρᾶσθαι μήτε ναυτικὸν ἐντὸς Μα-
λέας περιπλέον μήτε πεζὸν στρατόπεδον δι' Ἰσθμοῦ

πορευόμενον, ὅπερ αὐτοῖς τῆς περὶ Λεῦκτρα συμφο-
111 ρᾶς εὕροι τις ἂν αἴτιον γεγενημένον. μετὰ δὲ ταύτας
τὰς πράξεις ἐπὶ Σάμον στρατεύσας, ἣν Περικλῆς ὁ
μεγίστην ἐπὶ σοφίᾳ καὶ δικαιοσύνῃ καὶ σωφροσύνῃ
δόξαν εἰληφὼς ἀπὸ διακοσίων νεῶν καὶ χιλίων τα-
λάντων κατεπολέμησε, ταύτην οὔτε πλέον οὔτ᾽ ἔλατ-
τον παρ᾽ ὑμῶν λαβὼν οὔτε παρὰ τῶν συμμάχων ἐκλέ-
ξας, ἐν δέκα μησὶν ἐξεπολιόρκησεν ὀκτακισχιλίοις
πελτασταῖς καὶ τριήρεσι τριάκοντα, καὶ τούτοις ἅπα-
112 σιν ἐκ τῆς πολεμίας τὸν μισθὸν ἀπέδωκεν. καίτοι
τοιοῦτον ἔργον ἄν τις ἄλλος φανῇ πεποιηκὼς, ὁμο-
λογῶ ληρεῖν, ὅτι διαφερόντως ἐπαινεῖν ἐπιχειρῶ τὸν
οὐδὲν περιττότερον τῶν ἄλλων διαπεπραγμένον. ἐν-
τεῦθεν τοίνυν ἀναπλεύσας Σηστὸν καὶ Κριθώτην
ἔλαβε, καὶ τὸν ἄλλον χρόνον ἀμελουμένης Χερρονή-
113 σου προσέχειν ὑμᾶς αὐτῇ τὸν νοῦν ἐποίησεν. τὸ δὲ
τελευταῖον Ποτίδαιαν, εἰς ἣν ἡ πόλις τετρακόσια καὶ 70
δισχίλια τάλαντα τὸ πρότερον ἀνήλωσε, ταύτην εἷλεν
ἀπὸ τῶν χρημάτων ὧν αὐτὸς ἐπόρισε καὶ τῶν συν-
τάξεων τῶν ἀπὸ Θρᾴκης· καὶ προσέτι Χαλκιδέας ἅπαν-
τας κατεπολέμησεν. εἰ δὲ δεῖ μὴ καθ᾽ ἕκαστον ἀλλὰ
διὰ βραχέων εἰπεῖν, τεττάρων καὶ εἴκοσι πόλεων κυ-
ρίους ὑμᾶς ἐποίησεν, ἐλάττω δαπανήσας ὧν οἱ πατέ-
ρες ἡμῶν εἰς τὴν Μηλίων πολιορκίαν ἀνήλωσαν.
114 Ἠβουλόμην δ᾽ ἂν, ὥσπερ ἐξαριθμῆσαι τὰς πρά-
ξεις ῥᾴδιον γέγονεν, οὕτως οἷόν τ᾽ εἶναι συντόμως
δηλῶσαι τοὺς καιροὺς, ἐν οἷς ἕκαστα τούτων ἐπρά-
χθη, καὶ τὰ τῆς πόλεως, ὡς εἶχε, καὶ τὴν τῶν πολε-
μίων δύναμιν· πολὺ γὰρ ἂν ὑμῖν αἵ τ᾽ εὐεργεσίαι
μείζους κἀκεῖνος πλείονος ἄξιος ἔδοξεν εἶναι. νῦν δὲ
115 ταῦτα μὲν ἐάσω διὰ τὸ πλῆθος. (κϛʹ. * ϛʹ.) Ἡγοῦμαι
δ᾽ ὑμᾶς ἀδεῶς ἂν ἀκοῦσαι, διὰ τί ποτε τῶν μὲν εὐδο-

κιμούντων ἀνδρῶν παρ' ὑμῖν καὶ πολεμικῶν εἶναι
δοκούντων οὐδὲ κώμην ἔνιοι λαβεῖν ἠδυνήθησαν,
Τιμόθεος δ' οὔτε τὴν τοῦ σώματος φύσιν ἔχων ἐρ-
ρωμένην οὔτ' ἐν τοῖς στρατοπέδοις τοῖς πλανωμένοις
κατατετριμμένος ἀλλὰ μεθ' ὑμῶν πολιτευόμενος τη-
λικαῦτα διεπράξατο τὸ μέγεθος. ἔστι δ' ὁ λόγος ὁ
περὶ τούτων φιλαπεχθήμων μέν, ῥηθῆναι δ' οὐκ
116 ἀσύμφορος. ἐκεῖνος γὰρ τούτῳ τῶν ἄλλων διήνεγκεν,
ὅτι περὶ τῶν Ἑλληνικῶν καὶ συμμαχικῶν πραγμάτων
καὶ τῆς ἐπιμελείας τῆς τούτων οὐ τὴν αὐτὴν ὑμῖν 71
γνώμην εἶχεν. ὑμεῖς μὲν γὰρ χειροτονεῖτε στρατη-
γοὺς τοὺς εὐρωστοτάτους τοῖς σώμασι καὶ πολλάκις
ἐν τοῖς ξενικοῖς στρατεύμασι γεγενημένους, ὡς διὰ
τούτων διαπραξάμενοί τι τῶν δεόντων. ὁ δὲ τοῖς μὲν
117 τοιούτοις λοχαγοῖς ἐχρῆτο καὶ ταξιάρχοις, αὐτὸς δὲ
περὶ ταῦτα δεινὸς ἦν, περὶ ἅπερ χρὴ φρόνιμον εἶναι
τὸν στρατηγὸν τὸν ἀγαθόν. ἔστι δὲ ταῦτα τίνα δύνα-
μιν ἔχοντα; δεῖ γὰρ οὐχ ἁπλῶς εἰπεῖν ἀλλὰ σαφῶς
φράσαι περὶ αὐτῶν. πρῶτον μὲν δύνασθαι γνῶναι,
πρὸς τίνας πολεμητέον καὶ τίνας συμμάχους ποιητέον·
ἀρχὴ γὰρ αὕτη στρατηγίας ἐστίν, ἧς ἢν διαμάρτῃ τις,
ἀνάγκη τὸν πόλεμον ἀσύμφορον καὶ χαλεπὸν καὶ πε-
118 ρίεργον εἶναι. περὶ τοίνυν τὴν τοιαύτην προαίρεσιν
οὐ μόνον οὐδεὶς τοιοῦτος γέγονεν ἀλλ' οὐδὲ παρα-
πλήσιος. ῥᾴδιον δ' ἐξ αὐτῶν τῶν ἔργων γνῶναι·
πλείστους γὰρ πολέμους ἄνευ τῆς πόλεως ἀνελόμενος
ἅπαντας τούτους κατώρθωσε καὶ δικαίως [ἅπασι]
τοῖς ἄλλοις ἔδοξεν αὐτοὺς ποιήσασθαι. καίτοι τοῦ
καλῶς βουλεύσασθαι τίς ἂν ἀπόδειξιν ἔχοι σαφεστέ-
119 ραν καὶ μείζω ταύτης παρασχέσθαι; δεύτερον τί
προσήκει τὸν στρατηγὸν τὸν ἀγαθόν; στρατόπεδον
συναγαγεῖν ἁρμόττον τῷ πολέμῳ τῷ παρόντι, καὶ 72

τοῦτο συντάξαι καὶ χρήσασθαι συμφερόντως. ὡς μὲν
τοίνυν ἠπίστατο χρῆσθαι καλῶς, αἱ πράξεις αὐταὶ δε-
δηλώκασιν· ὡς δὲ καὶ πρὸς τὸ παρασκευάσασθαι με-
γαλοπρεπῶς καὶ τῆς πόλεως ἀξίως ἁπάντων διήνεγ-
κεν, οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἂν ἄλλως εἰπεῖν τολ-
120 μήσειεν. ἔτι τοίνυν πρὸς τούτοις ἀπορίας ἐνεγκεῖν
στρατοπέδου καὶ πενίας, καὶ πάλιν εὐπορίας εὑρεῖν,
τίς οὐκ ἂν τῶν συνεστρατευμένων πρὸς ἀμφότερα
ταῦτα διαφέρειν ἐκεῖνον προκρίνειεν; συνίσασι γὰρ
αὐτῷ κατὰ μὲν ἀρχὰς τῶν πολέμων διὰ τὸ μηδὲν παρὰ
τῆς πόλεως λαμβάνειν εἰς τὰς ἐσχάτας ἐνδείας καθι-
στάμενον, ἐκ δὲ τούτων εἰς τοῦτο τὰ πράγματα περι-
ιστάναι δυνάμενον ὥστε καὶ τῶν πολεμίων περιγί-
γνεσθαι καὶ τοῖς στρατιώταις ἐντελεῖς ἀποδιδόναι τοὺς
121 μισθούς. οὕτω τοίνυν τούτων μεγάλων ὄντων καὶ σφό-
δρα κατεπειγόντων ἐπὶ τοῖς ἐχομένοις δικαίως ἄν τις
αὐτὸν ἔτι μᾶλλον ἐπαινέσειεν. ὁρῶν γὰρ ὑμᾶς τού-
τους μόνους ἄνδρας νομίζοντας, τούς τ' ἀπειλοῦντας
καὶ τοὺς ἐκφοβοῦντας τὰς ἄλλας πόλεις καὶ τοὺς ἀεί
τι νεωτερίζοντας ἐν τοῖς συμμάχοις, οὐκ ἐπηκολού-
θησε ταῖς ὑμετέραις γνώμαις, οὐδ' ἠβουλήθη βλά-
πτων τὴν πόλιν εὐδοκιμεῖν, ἀλλὰ τοῦτ' ἐφιλοσόφει
καὶ τοῦτ' ἔπραττεν, ὅπως μηδεμία τῶν πόλεων αὐ-
τὸν φοβήσεται τῶν Ἑλληνίδων, ἀλλὰ πᾶσαι θαρρή-
122 σουσι πλὴν τῶν ἀδικουσῶν. ἠπίστατο γὰρ τούς τε δε- 73
διότας, ὅτι μισοῦσι, δι' οὓς ἂν τοῦτο πεπονθότες τυγ-
χάνωσι, τήν τε πόλιν διὰ μὲν τὴν φιλίαν τὴν τῶν
ἄλλων εὐδαιμονεστάτην καὶ μεγίστην γενομένην, διὰ
δὲ τὸ μῖσος μικρὸν ἀπολιποῦσαν τοῦ μὴ ταῖς ἐσχάταις
συμφοραῖς περιπεσεῖν. ὧν ἐνθυμούμενος τῇ μὲν δυ-
νάμει τῇ τῆς πόλεως τοὺς πολεμίους κατεστρέφετο,
τῷ δ' ἤθει τὴν εὔνοιαν τὴν τῶν ἄλλων προσήγετο,

*νομίζων τοῦτο στρατήγημα μεῖζον εἶναι καὶ κάλλιον
ἢ πολλὰς πόλεις ἑλεῖν καὶ πολλάκις νικῆσαι μαχόμε-
123 νος. οὕτω δ' ἐσπούδαζε περὶ τὸ μηδεμίαν τῶν πόλεων
μηδὲ μικρὰν ὑποψίαν περὶ αὐτοῦ λαβεῖν ὡς ἐπιβου-
λεύοντος, ὥσθ' ὁπότε μέλλοι τινὰ παραπλεῖν τῶν μὴ
τὰς συντάξεις διδουσῶν, πέμψας προηγόρευε τοῖς
ἄρχουσιν, ἵνα μὴ πρὸ τῶν λιμένων ἐξαίφνης ὀφθεὶς
124 εἰς θόρυβον καὶ ταραχὴν αὐτοὺς καταστήσειεν. εἰ δὲ
τύχοι καθορμισθεὶς πρὸς τὴν χώραν, οὐκ ἂν ἐφῆκε
τοῖς στρατιώταις ἁρπάζειν καὶ κλέπτειν καὶ πορθεῖν
τὰς οἰκίας, ἀλλὰ τοσαύτην εἶχεν ἐπιμέλειαν ὑπὲρ τοῦ
μηδὲν γίγνεσθαι τοιοῦτον, ὅσην περ οἱ δεσπόται τῶν
χρημάτων· οὐ γὰρ τούτῳ προσεῖχε τὸν νοῦν, ὅπως
ἐκ τῶν τοιούτων αὐτὸς εὐδοκιμήσει παρὰ τοῖς στρα-
125 τιώταις, ἀλλ' ὅπως ἡ πόλις παρὰ τοῖς Ἕλλησιν. πρὸς
δὲ τούτοις τὰς δοριαλώτους τῶν πόλεων οὕτω πράως 74
διῴκει καὶ νομίμως, ὡς οὐδεὶς ἄλλος τὰς συμμαχίδας,
ἡγούμενος, εἰ τοιοῦτος ὢν φαίνοιτο περὶ τοὺς πολε-
μήσαντας, τὴν μεγίστην πίστιν ἔσεσθαι δεδωκώς, ὡς
οὐδέποτ' ἂν περί γε τοὺς ἄλλους ἐξαμαρτεῖν τολμή-
126 σειεν. τοιγάρτοι διὰ τὴν δόξαν τὴν ἐκ τούτων γιγνο-
μένην πολλαὶ τῶν πόλεων τῶν πρὸς ὑμᾶς δυσκόλως
ἐχουσῶν ἀναπεπταμέναις αὐτὸν ἐδέχοντο ταῖς πύλαις·
ἐν αἷς ἐκεῖνος οὐδεμίαν ταραχὴν ἐποίησεν, ἀλλ' ὥσ-
περ οἰκουμένας αὐτὰς εἰσιὼν κατέλαβεν, οὕτως ἐξιὼν
127 κατέλειπεν. κεφάλαιον δὲ πάντων τούτων· εἰθισμέ-
νων γὰρ τὸν ἄλλον χρόνον πολλῶν γίγνεσθαι καὶ
δεινῶν ἐν τοῖς Ἕλλησιν, ἐπὶ τῆς ἐκείνου στρατηγίας
οὐδεὶς ἂν οὔτ' ἀναστάσεις εὕροι γεγενημένας οὔτε
πολιτειῶν μεταβολὰς οὔτε σφαγὰς καὶ φυγὰς οὔτ'
ἄλλ' οὐδὲν τῶν κακῶν τῶν ἀνηκέστων, ἀλλ' οὕτως
αἱ τοιαῦται συμφοραὶ κατ' ἐκεῖνον τὸν χρόνον ἐλώ-*

φησαν, ὥστε μόνος ὧν ἡμεῖς μνημονεύομεν ἀνέγκλη-
128 *τον τὴν πόλιν τοῖς Ἕλλησι παρέσχεν. καίτοι χρὴ στρα-*
τηγὸν ἄριστον νομίζειν, οὐκ εἴ τις μιᾷ τύχῃ τηλικοῦ-
τόν τι κατώρθωσεν ὥσπερ Λύσανδρος, ὃ μηδενὶ τῶν
ἄλλων διαπράξασθαι συμβέβηκεν, ἀλλ' ὅστις ἐπὶ πολ-
λῶν καὶ παντοδαπῶν καὶ δυσκόλων πραγμάτων ὀρ-
θῶς ἀεὶ πράττων καὶ νοῦν ἐχόντως διατετέλεκεν, ὅπερ
Τιμοθέῳ συμβέβηκεν.
129 *(κϛ΄.* ζ΄.) Οἶμαι δ' ὑμῶν τοὺς πολλοὺς θαυμά-* 75
ζειν τὰ λεγόμενα καὶ νομίζειν τὸν ἔπαινον τὸν ἐκεί-
νου κατηγορίαν εἶναι τῆς πόλεως, εἰ τοσαύτας μὲν
πόλεις ἑλόντα, μηδεμίαν δ' ἀπολέσαντα περὶ προδο-
σίας ἔκρινε, καὶ πάλιν εἰ διδόντος εὐθύνας αὐτοῦ, καὶ
τὰς μὲν πράξεις Ἰφικράτους ἀναδεχομένου, τὸν δ'
ὑπὲρ τῶν χρημάτων λόγον Μενεσθέως, τούτους μὲν
ἀπέλυσε, Τιμόθεον δὲ τοσούτοις ἐζημίωσε χρήμασιν,
130 *ὅσοις οὐδένα πώποτε τῶν προγεγενημένων. ἔχει δ'*
οὕτως· βούλομαι γὰρ καὶ τὸν ὑπὲρ τῆς πόλεως λόγον
εἰπεῖν. εἰ μὲν ὑμεῖς πρὸς αὐτὸ τὸ δίκαιον ἀποβλέπον-
τες σκέψεσθε περὶ τούτων, οὐκ ἔστιν ὅπως οὐ δεινὰ
καὶ σχέτλια πᾶσιν εἶναι δόξει τὰ πεπραγμένα περὶ
Τιμόθεον· ἢν δ' ἀναλογίσησθε τὴν ἄγνοιαν, ὅσην
ἔχομεν πάντες ἄνθρωποι, καὶ τοὺς φθόνους τοὺς
ἐγγιγνομένους ἡμῖν, ἔτι δὲ τὰς ταραχὰς καὶ τὴν τύρβην,
ἐν ᾗ ζῶμεν, οὐδὲν τούτων ἀλόγως οὐδ' ἔξω τῆς ἀν-
θρωπίνης φύσεως εὑρεθήσεται γεγενημένον, ἀλλὰ
καὶ Τιμόθεος μέρος τι συμβεβλημένος τοῦ μὴ κατὰ
131 *τρόπον γνωσθῆναι περὶ αὐτῶν. ἐκεῖνος γὰρ οὔτε μι-*
σόδημος ὢν οὔτε μισάνθρωπος οὔθ' ὑπερήφανος
οὔτ' ἄλλ' οὐδὲν ἔχων τῶν τοιούτων κακῶν διὰ τὴν
μεγαλοφροσύνην τὴν τῇ στρατηγίᾳ μὲν συμφέρουσαν,
πρὸς δὲ τὰς χρείας τῶν ἀεὶ προσπιπτόντων οὐχ ἁρ-

μόττουσαν, ἅπασιν ἔδοξεν ἔνοχος εἶναι τοῖς προειρη- 76
μένοις· οὕτω γὰρ ἀφυὴς ἦν πρὸς τὴν τῶν ἀνθρώπων
θεραπείαν ὥσπερ δεινὸς περὶ τὴν τῶν πραγμάτων
132 ἐπιμέλειαν. καίτοι πολλάκις καὶ παρ' ἐμοῦ τοιούτους
λόγους ἤκουσεν, ὡς χρὴ τοὺς πολιτευομένους καὶ
βουλομένους ἀρέσκειν προαιρεῖσθαι μὲν τῶν τε πρά-
ξεων τὰς ὠφελιμωτάτας καὶ βελτίστας καὶ τῶν λόγων
τοὺς ἀληθεστάτους καὶ δικαιοτάτους, οὐ μὴν ἀλλὰ
κἀκεῖνο παρατηρεῖν καὶ σκοπεῖν, ὅπως ἐπιχαρίτως καὶ
φιλανθρώπως ἅπαντα φανήσονται καὶ λέγοντες καὶ
πράττοντες· ὡς οἱ τούτων ὀλιγωροῦντες ἐπαχθέστε-
ροι καὶ βαρύτεροι δοκοῦσιν εἶναι τοῖς συμπολιτευο-
133 μένοις, „ὁρᾷς δὲ τὴν φύσιν τὴν τῶν πολλῶν ὡς διά-
κειται πρὸς τὰς ἡδονάς, καὶ διότι μᾶλλον φιλοῦσι
τοὺς πρὸς χάριν ὁμιλοῦντας ἢ τοὺς εὖ ποιοῦντας, καὶ
τοὺς μετὰ φαιδρότητος καὶ φιλανθρωπίας φενακίζον-
τας ἢ τοὺς μετ' ὄγκου καὶ σεμνότητος ὠφελοῦντας.
ὧν οὐδέν σοι μεμέληκεν, ἀλλ' ἢν ἐπιεικῶς τῶν ἔξω
πραγμάτων ἐπιμεληθῇς, οἴει σοι καὶ τοὺς ἐνθάδε
134 πολιτευομένους καλῶς ἕξειν. τὸ δ' οὐχ οὕτως ἀλλὰ
τοὐναντίον φιλεῖ συμβαίνειν. ἢν γὰρ τούτοις ἀρέ-
σκῃς, ἅπαν, ὅ τι ἂν πράξῃς, οὐ πρὸς τὴν ἀλήθειαν
κρινοῦσιν ἀλλὰ πρὸς τὸ σοὶ συμφέρον ὑπολήψονται,
καὶ τὰ μὲν ἁμαρτανόμενα παρόψονται, τὸ δὲ κατορ-
θωθὲν οὐρανόμηκες ποιήσουσιν· ἡ γὰρ εὔνοια πάν-
135 τας οὕτω διατίθησιν. ἣν σὺ τῇ μὲν πόλει παρὰ τῶν 77
ἄλλων ἐκ παντὸς τρόπου κτήσασθαι ζητεῖς, ἡγούμε-
νος μέγιστον εἶναι τῶν ἀγαθῶν, αὐτὸς δὲ σαυτῷ
παρὰ τῆς πόλεως οὐκ οἴει δεῖν τὴν αὐτὴν ταύτην πα-
ρασκευάζειν, ἀλλὰ πλείστων ἀγαθῶν αἴτιος γεγενη-
μένος χεῖρον διάκεισαι τῶν οὐδὲν ἄξιον λόγου διαπε-
136 πραγμένων. εἰκότως· οἱ μὲν γὰρ τοὺς ῥήτορας καὶ

τοὺς ἐν τοῖς ἰδίοις συλλόγοις λογοποιεῖν δυναμένους
καὶ πάντα προσποιουμένους εἰδέναι θεραπεύουσι, σὺ
δ᾽ οὐ μόνον ἀμελεῖς ἀλλὰ καὶ πολεμεῖς τοῖς μέγιστον
ἀεὶ δυναμένοις αὐτῶν. καίτοι πόσους οἴει διὰ τὰς
τούτων ψευδολογίας τοὺς μὲν συμφοραῖς περιπεπτω-
κέναι, τοὺς δ᾽ ἀτίμους εἶναι, πολὺ σπουδαιοτέρους
καὶ πλείονος ἀξίους γεγενημένους τῶν ᾀδομένων καὶ
137 τραγῳδουμένων; ἀλλ᾽ οἱ μέν, οἶμαι, ποιητῶν ἔτυχον
καὶ λογοποιῶν, οἱ δ᾽ οὐκ ἔσχον τοὺς ὑμνήσοντας. ἢν
οὖν ἐμοὶ πείθῃ καὶ νοῦν ἔχῃς, οὐ καταφρονήσεις τῶν
ἀνδρῶν τούτων, οἷς τὸ πλῆθος εἴθισται πιστεύειν οὐ
μόνον περὶ ἑνὸς ἑκάστου τῶν πολιτῶν ἀλλὰ καὶ περὶ
ὅλων τῶν πραγμάτων, ἀλλ᾽ ἐπιμέλειάν τινα ποιήσει
καὶ θεραπείαν αὐτῶν, ἵν᾽ εὐδοκιμήσῃς δι᾽ ἀμφότερα,
καὶ διὰ τὰς σαυτοῦ πράξεις καὶ διὰ τοὺς τούτων λό-
138 γους.“ ταῦτα δ᾽ ἀκούων ὀρθῶς μὲν ἔφασκέ με λέγειν,
οὐ μὴν οἷός τ᾽ ἦν τὴν φύσιν μεταβαλεῖν, ἀλλ᾽ ἦν μὲν 78
καλὸς κἀγαθὸς ἀνὴρ καὶ τῆς πόλεως καὶ τῆς Ἑλλάδος
ἄξιος, οὐ μὴν σύμμετρός γε τοῖς τοιούτοις τῶν ἀν-
θρώπων, ὅσοι τοῖς ὑπὲρ αὐτοὺς πεφυκόσιν ἀχθόμενοι
τυγχάνουσιν. τοιγαροῦν οἱ μὲν ῥήτορες ἔργον εἶχον
αἰτίας περὶ αὐτοῦ πολλὰς καὶ ψευδεῖς πλάττειν, τὸ δὲ
139 πλῆθος ἀποδέχεσθαι τὰς ὑπὸ τούτων λεγομένας. περὶ
ὧν ἡδέως ἂν ἀπελογησάμην, εἰ καιρὸν εἶχον· οἶμαι
γὰρ ἂν ὑμᾶς ἀκούσαντας μισῆσαι τούς τε προαγα-
γόντας τὴν πόλιν ἐπὶ τὴν ὀργὴν τὴν πρὸς ἐκεῖνον καὶ
τοὺς φλαῦρόν τι περὶ αὐτοῦ λέγειν τολμῶντας. (κϛ΄.*η΄.)
νῦν δὲ ταῦτα μὲν ἐάσω, περὶ ἐμαυτοῦ δὲ καὶ τῶν ἐν-
εστώτων πραγμάτων πάλιν ποιήσομαι τοὺς λόγους.

140 Ἀπορῶ δ᾽ ὅ τι χρήσωμαι τοῖς ὑπολοίποις καὶ τί-
νος πρώτου μνησθῶ καὶ ποίου δευτέρου· τὸ γὰρ
ἐφεξῆς με λέγειν διαπέφευγεν. ἴσως οὖν ἀναγκαῖόν

ἐστιν, ὡς ἂν ἕκαστον τύχῃ προσπεσὸν, οὕτως εἰπεῖν περὶ αὐτῶν· ἃ δ' οὖν μοι νῦν ἐπελήλυθε, καὶ περὶ ὧν ἐγὼ μὲν ἐνόμιζον εἶναι δηλωτέον, ἄλλος δέ τίς μοι συνεβούλευε μὴ λέγειν, οὐκ ἀποκρύψομαι πρὸς
141 ὑμᾶς. ἐπειδὴ γὰρ ἀπήνεγκε τὴν γραφὴν, ἐσκόπουν περὶ αὐτῶν τούτων ὥσπερ ἂν ὑμῶν ἕκαστος, καὶ τόν τε βίον τὸν ἐμαυτοῦ καὶ τὰς πράξεις ἐξήταζον καὶ πλεῖστον χρόνον περὶ τὰς τοιαύτας διέτριβον, ἐφ' αἷς
ᾤμην ἐπαινεῖσθαί με προσήκειν. ἀκροώμενος δέ τις 79
τῶν ἐπιτηδείων ἐτόλμησεν εἰπεῖν πρός με λόγον πάντων σχετλιώτατον, ὡς ἄξια μὲν εἴη τὰ λεγόμενα φιλοτιμίας, οὐ μὴν ἀλλ' αὐτός γε δεδιέναι ταῦτα μάλι-
142 στα, μὴ πολλοὺς λυπήσῃ τῶν ἀκουόντων. „οὕτω γὰρ" ἔφη „τινὲς ὑπὸ τοῦ φθόνου καὶ τῶν ἀποριῶν ἐξηγρίωνται καὶ δυσμενῶς ἔχουσιν, ὥστ' οὐ ταῖς πονηρίαις ἀλλὰ ταῖς εὐπραγίαις πολεμοῦσι, καὶ μισοῦσιν οὐ μόνον τῶν ἀνθρώπων τοὺς ἐπιεικεστάτους ἀλλὰ καὶ τῶν ἐπιτηδευμάτων τὰ βέλτιστα, καὶ πρὸς τοῖς ἄλλοις κακοῖς τοῖς μὲν ἀδικοῦσι συναγωνίζονται καὶ συγγνώμην ἔχουσιν, οἷς δ' ἂν φθονήσωσιν ἀπολλύ-
143 ουσιν, ἥνπερ δυνηθῶσιν. ταῦτα δὲ δρῶντες οὐκ ἀγνοοῦσι, περὶ ὧν τὴν ψῆφον οἴσουσιν, ἀλλ' ἀδικήσειν μὲν ἐλπίζοντες, ὀφθήσεσθαι δ' οὐ προσδοκῶντες, σώζοντες οὖν τοὺς ὁμοίους σφίσιν αὐτοῖς βοηθεῖν νομίζουσιν. τούτου δ' ἕνεκά σοι ταῦτα διῆλθον, ἵνα προειδὼς ἄμεινον προσφέρῃ καὶ τοῖς λόγοις ἀσφαλεστέροις χρῇ πρὸς αὐτοὺς, ἐπεὶ νῦν γε τίνα χρὴ προσδοκᾶν γνώμην ἕξειν τοὺς τοιούτους, ὅταν τόν τε βίον τὸν σαυτοῦ καὶ τὰς πράξεις διεξίῃς μηδὲ κατὰ μικρὸν ὁμοίας οὔσας ταῖς τούτων, ἀλλ' οἵας περ πρὸς ἐμὲ λέ-
144 γειν ἐπιχειρεῖς; ἀποφαίνεις γὰρ τούς τε λόγους, οὓς γέγραφας, οὐ μέμψεως ἀλλὰ χάριτος τῆς μεγίστης

ἀξίους ὄντας, τῶν τε πεπλησιακότων σοι τοὺς μὲν
οὐδὲν ἠδικηκότας οὐδ' ἡμαρτηκότας, τοὺς δὲ δι' ἀρε- 80
την ὑπὸ τῆς πόλεως ἐστεφανωμένους, τά τε καθ' ἡμέ-
ραν οὕτω κοσμίως καὶ τεταγμένως βεβιωκότα σαυ-
τὸν ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν πολιτῶν, ἔτι δὲ μήτε
δεδικασμένον μηδενὶ μήτε πεφευγότα πλὴν περὶ ἀν-
τιδόσεως μήθ' ἑτέροις συνηγωνισμένον μήτε μεμαρ-
τυρηκότα μήτ' ἄλλο πεποιηκότα μηδὲν, ἐν οἷς ἅπαν-
145 τες πολιτευόμενοι τυγχάνουσιν. πρὸς δὲ τούτοις οὕ-
τως ἰδίοις οὖσι καὶ περιττοῖς κἀκεῖνο λέγεις, ὡς τῶν
μὲν ἀρχῶν καὶ τῶν ὠφελειῶν τῶν ἐντεῦθεν γιγνομέ-
νων καὶ τῶν ἄλλων ἁπάντων τῶν κοινῶν ἐξέστηκας,
εἰς δὲ τοὺς διακοσίους καὶ χιλίους τοὺς εἰσφέροντας
καὶ λειτουργοῦντας οὐ μόνον αὑτὸν παρέχεις ἀλλὰ
καὶ τὸν υἱὸν, καὶ τρὶς μὲν ἤδη τετριηραρχήκατε, τὰς
δ' ἄλλας λειτουργίας πολυτελέστερον λελειτουργήκατε
146 καὶ κάλλιον ὧν οἱ νόμοι προστάττουσιν. ταῦτ' ἀκού-
οντας τοὺς τἀναντία πᾶσι τοῖς προειρημένοις ἐπιτε-
τηδευκότας οὐκ οἴει βαρέως οἴσειν καὶ νομιεῖν ἐλέγ-
χεσθαι τὸν βίον τὸν αὑτῶν οὐ σπουδαῖον ὄντα; καὶ
γὰρ εἰ μὲν μετὰ πόνου καὶ ταλαιπωρίας ᾐσθάνοντό
σε ποριζόμενον εἴς τε τὰς λειτουργίας καὶ περὶ τὴν
ἄλλην διοίκησιν, οὐκ ἂν ὁμοίως ἔμελεν αὐτοῖς· νῦν
δὲ τά τε παρὰ τῶν ξένων σοι γιγνόμενα πολὺ πλείω
147 νομίζουσιν εἶναι τῶν διδομένων, αὐτόν τε σὲ ῥαθυ-
μότερον ἡγοῦνται ζῆν οὐ μόνον τῶν ἄλλων ἀλλὰ καὶ 81
τῶν περὶ τὴν φιλοσοφίαν καὶ τὴν αὐτήν σοι πραγμα-
τείαν ὄντων. ὁρῶσι γὰρ ἐκείνων μὲν τοὺς πλείστους
πλὴν τῶν τὸν σὸν βίον καὶ τὸν τρόπον ἠγαπηκότων
ἔν τε ταῖς πανηγύρεσι καὶ τοῖς ἰδίοις συλλόγοις ἐπι-
δείξεις ποιουμένους καὶ διαγωνιζομένους πρὸς ἀλ-
λήλους, καθ' ὑπερβολὴν ὑπισχνουμένους, ἐρίζοντας,

148 λοιδορουμένους, οὐδὲν ἀπολείποντας κακῶν, ἀλλὰ
σφίσι μὲν αὐτοῖς πράγματα παρέχοντας, τοῖς δ' ἀκρο-
ωμένοις ἐξουσίαν παραδιδόντας τοῖς μὲν καταγελάσαι
τῶν λεγομένων, ἐνίοις δ' ἐπαινέσαι, τοῖς δὲ πλείστοις
μισῆσαι, τοῖς δ' ὅπως ἕκαστοι βούλονται διατεθῆναι
πρὸς αὐτούς· σὲ δ' οὐδενὸς μετέχοντα τούτων ἀλλ'
ἀνομοίως ζῶντα καὶ τοῖς σοφισταῖς καὶ τοῖς ἰδιώταις
καὶ τοῖς πολλὰ κεκτημένοις καὶ τοῖς ἀπόρως διακει-
149 μένοις. ἐφ' οἷς οἱ μὲν λογίζεσθαι δυνάμενοι καὶ νοῦν
ἔχοντες ἴσως ἂν σε ζηλώσειαν, οἱ δὲ καταδεέστερον
πράττοντες καὶ λυπεῖσθαι μᾶλλον εἰωθότες ἐπὶ ταῖς
τῶν ἄλλων ἐπιεικείαις ἢ ταῖς αὑτῶν ἀτυχίαις οὐκ
ἔστιν ὅπως οὐ δυσκολανοῦσι καὶ χαλεπῶς οἴσουσιν.
ὡς οὖν οὕτως αὐτῶν διατεθησομένων σκόπει, τί σοι
λεκτέον τούτων καὶ τί παραλειπτέον ἐστίν.“
150 Ἐγὼ δὲ κἀκείνου τότε ταῦτα λέγοντος καὶ νῦν
ἡγοῦμαι πάντων ἀνθρώπων ἀτοπωτάτους εἶναι καὶ
σχετλιωτάτους, οἵτινες βαρέως ἂν ἀκούοιεν, εἰ λει- 82
τουργοῦντα μὲν ἐμαυτὸν τῇ πόλει παρέχω καὶ ποι-
οῦντα τὸ προστεττόμενον, μηδὲν δὲ δέομαι μήτε κλη-
ροῦσθαι τῶν ἀρχῶν ἕνεκα μήτε λαμβάνειν, ἃ τοῖς
ἄλλοις ἡ πόλις δίδωσι, μήτ' αὖ φεύγειν δίκας μήτε
151 διώκειν. ταῦτα γὰρ συνεταξάμην οὐ διὰ πλοῦτον οὐδὲ
δι' ὑπερηφανίαν οὐδὲ καταφρονῶν τῶν μὴ τὸν αὐ-
τὸν τρόπον ἐμοὶ ζώντων, ἀλλὰ τὴν μὲν ἡσυχίαν καὶ
τὴν ἀπραγμοσύνην ἀγαπῶν, μάλιστα δ' ὁρῶν τοὺς
τοιούτους καὶ παρ' ὑμῖν καὶ παρὰ τοῖς ἄλλοις εὐδο-
κιμοῦντας, ἔπειτα τὸν βίον ἡδίω νομίσας εἶναι τοῦ-
τον ἢ τὸν τῶν πολλὰ πραττόντων, ἔτι δὲ ταῖς διατρι-
βαῖς ταῖς ἐμαῖς πρεπωδέστερον, αἷς ἐξ ἀρχῆς κατε-
152 στησάμην. τούτων μὲν ἕνεκα τοῦτον τὸν τρόπον ζῆν
προειλόμην· τῶν δὲ λημμάτων τῶν παρὰ τῆς πόλεως

ἀπεσχόμην, δεινὸν ἡγησάμενος, εἰ δυνάμενος ἐκ τῶν ἰδίων τρέφειν ἐμαυτὸν ἐμποδών τῳ γενήσομαι τῶν ἐντεῦθεν ζῆν ἠναγκασμένων λαβεῖν τὸ διδόμενον ὑπὸ τῆς πόλεως, καὶ διὰ τὴν ἐμὴν παρουσίαν ἐνδεής τις γενήσεται τῶν ἀναγκαίων. ὑπὲρ ὧν ἐπαίνου τυγχά-
153 νειν ἄξιος ἦν μᾶλλον ἢ διαβολῆς. νῦν δ' εἰς πολλὴν ἀπορίαν καθέστηκα, τί δρῶν ἀρέσαι δυνηθείην ἂν τοῖς τοιούτοις. εἰ γὰρ ἅπαντα τὸν χρόνον ἔργον ποιούμενος, ὅπως μηδένα μήτ' ἀδικήσω μήτ' ἐνοχλήσω μήτε λυπήσω, δι' αὐτὰ ταῦτα λυπῶ τινάς, τί ποιῶν ἂν χαριζοίμην; ἢ τί λοιπόν ἐστι πλὴν ἐμὲ μὲν ἀτυχῆ, 83
τοὺς δὲ τοιούτους ἀμαθεῖς δοκεῖν εἶναι καὶ δυσκόλους τοῖς συμπολιτευομένοις;

154 (κς'.*θ'.) Πρὸς μὲν οὖν τοὺς μηδὲν τῶν αὐτῶν τοῖς ἄλλοις γιγνώσκοντας ἀλλὰ χαλεπωτέρους ὄντας τοῖς μὴ κακῶς πράττουσιν ἢ τοῖς ἀδικοῦσι μωρόν ἐστιν ἀπολογίαν ζητεῖν· ὅσῳ γὰρ ἄν τις ἐπιεικέστερον αὑτὸν ἐπιδείξῃ, δῆλον ὅτι τοσούτῳ χεῖρον ἀγωνιεῖται παρ' αὐτοῖς· πρὸς δὲ τοὺς ἄλλους, περὶ ὧν Λυσίμαχος διέβαλεν, ὡς παμπληθῆ κεκτήμεθα τὴν οὐσίαν, ἀναγκαῖόν ἐστιν εἰπεῖν, ἵνα μὴ πιστευθεὶς ὁ λόγος εἰς μείζους καὶ πλείους ἡμᾶς ἐμβάλῃ λειτουρ-
155 γίας ὧν ὑπενεγκεῖν ἂν δυνηθεῖμεν. ὅλως μὲν οὖν οὐδεὶς εὑρεθήσεται τῶν καλουμένων σοφιστῶν πολλὰ χρήματα συλλεξάμενος, ἀλλ' οἱ μὲν ἐν ὀλίγοις, οἱ δ' ἐν πάνυ μετρίοις τὸν βίον διαγαγόντες· ὁ δὲ πλεῖστα κτησάμενος ὧν ἡμεῖς μνημονεύομεν, Γοργίας ὁ Λεοντῖνος, οὗτος διατρίψας μὲν περὶ Θετταλίαν, ὅτ' εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν, πλεῖστον δὲ χρόνον βιοὺς καὶ περὶ τὸν χρηματισμὸν τοῦτον γενόμε-
156 νος, πόλιν δ' οὐδεμίαν καταπαγίως οἰκήσας οὐδὲ περὶ τὰ κοινὰ δαπανηθεὶς οὐδ' εἰσφορὰν εἰσενεγκεῖν ἀναγ-

κασθεὶς, ἔτι δὲ πρὸς τούτοις οὔτε γυναῖκα γήμας
οὔτε παῖδας ποιησάμενος ἀλλ' ἀτελὴς γενόμενος καὶ
ταύτης τῆς λειτουργίας τῆς ἐνδελεχεστάτης, τοσοῦτον 84
προλαβὼν πρὸς τὸ πλείω κτήσασθαι τῶν ἄλλων χι-
157 λίους μόνους στατῆρας κατέλιπεν. καίτοι χρὴ περὶ
τῆς οὐσίας τῆς ἀλλήλων μὴ τοῖς αἰτιωμένοις εἰκῇ πι-
στεύειν, μηδὲ τὰς ἐργασίας ἴσας νομίζειν τάς τε τῶν
σοφιστῶν καὶ τὰς τῶν ὑποκριτῶν, ἀλλὰ τοὺς ἐν ταῖς
αὐταῖς τέχναις ὄντας πρὸς ἀλλήλους κρίνειν καὶ τοὺς
ὁμοίαν ἐν ἑκάστῃ τὴν δύναμιν λαβόντας παραπλησίαν
158 καὶ τὴν οὐσίαν ἔχειν νομίζειν. ἢν οὖν ἐξισώσητέ με
τῷ πλεῖστον ἐξειργασμένῳ καὶ θῆτε πρὸς ἐκεῖνον,
οὔθ' ὑμεῖς παντάπασιν ἀσκέπτως εἰκάζειν δόξετε περὶ
τῶν τοιούτων, οὔθ' ἡμεῖς εὑρεθεῖμεν ἂν οὔτε τὰ
περὶ τὴν πόλιν οὔτε τὰ περὶ ἡμᾶς αὐτοὺς κακῶς διῳ-
κηκότες ἀλλ' ἀπ' ἐλαττόνων ζῶντες ὧν εἰς τὰς λει-
τουργίας ἀνηλώκαμεν. καίτοι τοὺς εὐτελεστέρους ἐν
τοῖς ἰδίοις ἢ τοῖς κοινοῖς ὄντας δίκαιόν ἐστιν ἐπαινεῖν.
159 (κϛ'.*ι'.) Ἐνθυμοῦμαι δὲ μεταξὺ λέγων, ὅσον
τὰ τῆς πόλεως μεταπέπτωκε, καὶ τὰς διανοίας ὡς οὐ-
δὲν ὁμοίας περὶ τῶν πραγμάτων οἱ νῦν τοῖς πρότε-
ρον πεπολιτευμένοις ἔχουσιν. ὅτε μὲν γὰρ ἐγὼ παῖς
ἦν, οὕτως ἐνομίζετο τὸ πλουτεῖν ἀσφαλὲς εἶναι καὶ
σεμνὸν, ὥστ' ὀλίγου δεῖν πάντες προσεποιοῦντο πλείω
κεκτῆσθαι τὴν οὐσίαν ἧς ἔχοντες ἐτύγχανον, βουλό-
160 μενοι μετασχεῖν τῆς δόξης ταύτης· νῦν δ' ὑπὲρ τοῦ
μὴ πλουτεῖν ὥσπερ τῶν μεγίστων ἀδικημάτων ἀπο- 85
λογίαν δεῖ παρασκευάζεσθαι καὶ σκοπεῖν, εἰ μέλλει
τις σωθήσεσθαι. πολὺ γὰρ δεινότερον καθέστηκε τὸ
δοκεῖν εὐπορεῖν ἢ τὸ φανερῶς ἀδικεῖν· οἱ μὲν γὰρ ἢ
συγγνώμης ἔτυχον ἢ μικροῖς ἐζημιώθησαν, οἱ δ' ἄρ-
δην ἀπόλλυνται, καὶ πλείους ἂν εὕροιμεν τοὺς ἐκ

τῶν ὄντων ἐκπεπτωκότας ἢ τοὺς δίκην ὑπὲρ τῶν
161 ἁμαρτημάτων δεδωκότας. καὶ τί δεῖ λέγειν περὶ τῶν
κοινῶν; αὐτὸς γὰρ οὐ μικρὸν διήμαρτον διὰ ταύτην
τὴν μεταβολὴν τῶν ἐμαυτοῦ πραγμάτων. ὅτε γὰρ ἐπα-
μύνειν ἠρχόμην τοῖς ἰδίοις ἀπολομένων ἐν τῷ πο-
λέμῳ τῷ πρὸς Λακεδαιμονίους ἁπάντων τῶν ὑπαρ-
χόντων ἡμῖν, ἀφ' ὧν ὁ πατὴρ ἅμα τῇ τε πόλει χρή-
σιμον αὑτὸν παρεῖχεν ἡμᾶς θ' οὕτως ἐπιμελῶς ἐπαί-
δευσεν ὥστ' ἐπιφανέστερον εἶναί με τότε καὶ γνωρι-
μώτερον ἐν τοῖς ἡλικιώταις καὶ συμπαιδευομένοις ἢ
162 νῦν ἐν τοῖς συμπολιτευομένοις, ὅτε δ' οὖν, ὥσπερ
εἶπον, ἠρχόμην πλησιάζειν τισίν, ᾤμην, εἰ δυνηθείην
πλείω κτήσασθαι καὶ περιποιήσασθαι τῶν ἐπὶ τὸν αὐ-
τὸν βίον ὁρμησάντων, ἀμφότερα δόξειν, καὶ περὶ
τὴν φιλοσοφίαν διαφέρειν καὶ κοσμιώτερον βεβιωκέ-
163 ναι τῶν ἄλλων· ἐμοὶ δὲ τοὐναντίον ἀποβέβηκεν. εἰ
μὲν γὰρ μήτ' ἄξιος μηδενὸς ἐγενόμην μήτε περιεποι-
ησάμην μηδέν, οὐδεὶς ἄν μοι πράγματα παρεῖχεν,
ἀλλὰ φανερῶς ἀδικῶν ἀσφαλῶς ἂν ἔζων ἕνεκά γε τῶν 86
συκοφαντῶν· νῦν δ' ἀντὶ τῆς δόξης ἧς προσεδόκων
ἀγῶνες περί με καὶ κίνδυνοι καὶ φθόνοι καὶ διαβολαὶ
164 γεγόνασιν. οὕτω γὰρ ἡ πόλις ἐν τῷ παρόντι χαίρει
τοὺς μὲν ἐπιεικεῖς πιέζουσ' ἂν καὶ ταπεινοὺς ποιοῦσα,
τοῖς δὲ πονηροῖς ἐξουσίαν διδοῦσα καὶ λέγειν καὶ ποι-
εῖν ὅ τι ἂν βουληθῶσιν, ὥστε Λυσίμαχος μὲν ὁ προ-
ηρημένος ζῆν ἐκ τοῦ συκοφαντεῖν καὶ κακῶς ἀεί τινα
ποιεῖν τῶν πολιτῶν κατηγορήσων ἡμῶν ἀναβέβηκεν,
ἐγὼ δ' ὃς οὐδὲ περὶ ἕνα πώποτ' ἐξήμαρτον, ἀλλὰ
τῶν μὲν ἐνθένδε λημμάτων ἀπεσχόμην, παρὰ ξένων
δὲ καὶ νομιζόντων εὖ πάσχειν ἐπορισάμην τὰς ὠφε-
λείας, ὡς δεινὰ ποιῶν εἰς τηλικουτονὶ καθέστηκα κίν-
165 δυνον. καίτοι προσῆκε τοὺς εὖ φρονοῦντας εὔχεσθαι

τοῖς θεοῖς ὡς πλείστοις τῶν πολιτῶν παραγενέσθαι
τὴν δύναμιν ταύτην, δι' ἣν ἤμελλον παρ' ἑτέρων
λαμβάνοντες χρησίμους αὐτοὺς ὥσπερ ἐγὼ τῇ πόλει
παρέξειν. πολλῆς δ' ἀλογίας περί με γεγενημένης
πάντων ἂν συμβαίη δεινότατον, εἰ μὲν οἱ δεδωκότες
μοι χρήματα τοσαύτην ἔχοιεν χάριν ὥστ' ἔτι καὶ νῦν
με θεραπεύειν, ὑμεῖς δ' εἰς οὓς ἀνήλωκα τἀμαυτοῦ,
166 δίκην ἐπιθυμήσαιτε παρ' ἐμοῦ λαβεῖν. ἔτι δὲ δεινό-
τερον, εἰ Πίνδαρον μὲν τὸν ποιητὴν οἱ πρὸ ἡμῶν γε-
γονότες ὑπὲρ ἑνὸς μόνον ῥήματος, ὅτι τὴν πόλιν
ἔρεισμα τῆς Ἑλλάδος ὠνόμασεν, οὕτως ἐτίμησαν ὥστε 87
καὶ πρόξενον ποιήσασθαι καὶ δωρεὰν μυρίας αὐτῷ
δοῦναι δραχμάς, ἐμοὶ δὲ πολὺ πλείω καὶ κάλλιον
ἐγκεκωμιακότι καὶ τὴν πόλιν καὶ τοὺς προγόνους μηδ'
ἀσφαλῶς ἐγγένοιτο καταβιῶναι τὸν ἐπίλοιπον χρόνον.
167 Περὶ μὲν οὖν τούτων καὶ τῶν ἄλλων τῶν κατη-
γορηθέντων ἱκανὴν εἶναι νομίζω τὴν εἰρημένην ἀπο-
λογίαν. (κϛ'.*ια'.) Οὐκ ὀκνήσω δὲ πρὸς ὑμᾶς, οὐθ'
ὡς ἔχω νῦν πρὸς τὸν ἐνεστῶτα κίνδυνον, κατειπεῖν
τὴν ἀλήθειαν, οὔθ' ὡς τὸ πρῶτον διετέθην πρὸς αὐ-
τόν. ἐγὼ γὰρ ὑπὲρ μὲν τῶν ἰδίων πολλὰς ἐλπίδας εἶ-
168 χον καλῶς ἀγωνιεῖσθαι· καὶ γὰρ τοῖς βεβιωμένοις
καὶ τοῖς πεπραγμένοις ἐπίστευον, καὶ πολλοὺς λό-
γους καὶ δικαίους ᾤμην ἔχειν ὑπὲρ αὐτῶν· ὁρῶν δ'
οὐ μόνον δυσκόλως διακειμένους περὶ τὴν τῶν λόγων
παιδείαν τοὺς εἰθισμένους ἅπασι χαλεπαίνειν ἀλλὰ
καὶ τῶν ἄλλων πολιτῶν πολλοὺς τραχέως πρὸς αὐ-
τὴν διακειμένους ἐφοβούμην, μὴ τὰ μὲν ἴδιά μου
παραμεληθῇ, τῆς δὲ κοινῆς περὶ τοὺς σοφιστὰς δια-
169 βολῆς ἀπολαύσω τι φλαῦρον. ἐπειδὴ δὲ χρόνων ἐπι-
γιγνομένων εἰσέπεσον εἰς τὸ λογίζεσθαι καὶ σκοπεῖν,
τί χρήσομαι τοῖς παροῦσιν, ἐπαυσάμην τοῦ δέους καὶ

τῆς ταραχῆς ταύτης, οὐκ ἀλόγως ἀλλ' ἐκ τῶν εἰ-
κότων ὑπολογισάμενος καὶ παραμυθησάμενος ἐμαυ-
170 τόν· τούς τε γὰρ ἐπιεικεῖς ὑμῶν, πρὸς οὕσπερ ἐγὼ
ποιήσομαι τοὺς λόγους, ἠπιστάμην οὐκ ἐμμένοντας 88
ταῖς δόξαις ταῖς ἀδίκως ἐγγεγενημέναις ἀλλ' ἐπακο-
λουθοῦντας ταῖς ἀληθείαις καὶ μεταπειθομένους ὑπὸ
τῶν λεγόντων τὰ δίκαια, τήν τε φιλοσοφίαν ἐκ πολ-
λῶν ἐνόμιζον ἐπιδείξειν ἀδίκως διαβεβλημένην καὶ
πολὺ ἂν δικαιοτέρως ἀγαπωμένην αὐτὴν ἢ μισουμέ-
νην. ἔχω δὲ καὶ νῦν ἔτι ταύτην τὴν γνώμην.
171 Οὐκ ἄξιον δὲ θαυμάζειν, εἴ τι τῶν καλῶν ἐπι-
τηδευμάτων ἠγνόηται καὶ διαλέληθεν, οὐδ' εἰ διεψευ-
σμένοι τινὲς αὐτοῦ τυγχάνουσι· καὶ γὰρ περὶ ἡμῶν
αὐτῶν καὶ περὶ ἄλλων πραγμάτων ἀναριθμήτων οὕ-
τως ἔχοντες ἂν εὑρεθεῖμεν. ἡ γὰρ πόλις ἡμῶν πολ-
λῶν ἀγαθῶν αἰτία καὶ νῦν οὖσα καὶ πρότερον γεγε-
νημένη καὶ τοῖς πολίταις καὶ τοῖς ἄλλοις Ἕλλησι καὶ
πολλῶν ἡδονῶν γέμουσα τοῦτ' ἔχει δυσκολώτατον·
172 διὰ γὰρ τὸ μέγεθος καὶ τὸ πλῆθος τῶν ἐνοικούντων
οὐκ εὐσύνοπτός ἐστιν οὐδ' ἀκριβής, ἀλλ' ὥσπερ χει-
μάρρους, ὅπως ἂν ἕκαστον ὑπολαβοῦσα τύχῃ καὶ τῶν
ἀνθρώπων καὶ τῶν πραγμάτων, οὕτω κατήνεγκε, καὶ
δόξαν ἐνίοις τὴν ἐναντίαν τῆς προσηκούσης περιέθη-
173 κεν· ὅπερ καὶ τῇ παιδείᾳ ταύτῃ συμβέβηκεν. ὧν ἐν-
θυμουμένους χρὴ μηδενὸς πράγματος ἄνευ λόγου
καταγιγνώσκειν, μηδ' ὁμοίως διακεῖσθαι δικάζοντας
ὥσπερ ἐν ταῖς ἰδίαις διατριβαῖς ἀλλὰ διακριβοῦσθαι
περὶ ἑκάστου καὶ τὴν ἀλήθειαν ζητεῖν, μεμνημένους 89
τῶν ὅρκων καὶ τῶν νόμων, καθ' οὓς συνεληλύθατε
δικάσοντες· ἔστι δ' οὐ περὶ μικρῶν οὔθ' ὁ λόγος οὔθ'
ἡ κρίσις, ἐν ᾗ καθέσταμεν, ἀλλὰ περὶ τῶν μεγίστων·
οὐ γὰρ περὶ ἐμοῦ μέλλετε μόνον τὴν ψῆφον διοίσειν

ἀλλὰ καὶ περὶ ἐπιτηδεύματος, ᾧ πολλοὶ τῶν νεωτέρων
174 προσέχουσιτὸν νοῦν. οἶμαι δ᾽ ὑμᾶς οὐκ ἀγνοεῖν, ὅτι τὰ πράγματα τῆς πόλεως τοῖς ἐπιγιγνομένοις καὶ τοῖς τοιούτοις οἱ πρεσβύτεροι παραδιδόασιν. τοιαύτης οὖν ἀεὶ τῆς περιόδου γιγνομένης ἀναγκαῖόν ἐστιν, ὅπως ἂν οἱ νεώτεροι παιδευθῶσιν, οὕτω τὴν πόλιν πράττουσαν διατελεῖν· ὥστ᾽ οὐ ποιητέον τοὺς συκοφάντας κυρίους τηλικούτου πράγματος, οὐδὲ τοὺς μὲν μὴ διδόντας τούτοις ἀργύριον τιμωρητέον, παρ᾽ ὧν δ᾽ ἂν λάβωσιν ἐατέον ποιεῖν ὅ τι ἂν βουληθῶσιν,
175 ἀλλ᾽ εἰ μὲν ἡ φιλοσοφία τοιαύτην ἔχει δύναμιν ὥστε διαφθείρειν τοὺς νεωτέρους, οὐ τοῦτον χρὴ μόνον κολάζειν, ὃν ἂν γράφηταί τις τούτων, ἀλλὰ πάντας ἐκποδὼν ποιεῖσθαι τοὺς περὶ τὴν διατριβὴν ταύτην ὄντας· εἰ δὲ τοὐναντίον πέφυκεν ὥστ᾽ ὠφελεῖν καὶ βελτίους ποιεῖν τοὺς πλησιάζοντας καὶ πλείονος ἀξίους, τοὺς μὲν διαβεβλημένους πρὸς αὐτὴν παυστέον, τοὺς δὲ συκοφαντοῦντας ἀτιμητέον, τοῖς δὲ νεωτέροις συμβουλευτέον ἐν ταύτῃ διατρίβειν μᾶλλον ἢ τοῖς ἄλλοις ἐπιτηδεύμασιν. 90

176 (κϛ´ * ιβ´.) Πρὸ πολλῶν δ᾽ ἂν ἐποιησάμην, εἴπερ ἦν εἱμαρμένον μοι φεύγειν τὴν γραφὴν ταύτην, ἀκμάζοντί μοι προσπεσεῖν τὸν κίνδυνον· οὐ γὰρ ἂν ἠθύμουν ἀλλὰ μᾶλλον οἷός τ᾽ ἂν ἐγενόμην καὶ τον κατήγορον ἀμύνασθαι καὶ τῇ φιλοσοφίᾳ βοηθῆσαι· νῦν δὲ φοβοῦμαι, μὴ διὰ ταύτην ὑπὲρ ἄλλων πραγμάτων ἐπιεικῶς εἰρηκὼς περὶ αὐτῆς ταύτης χεῖρον τύχω διαλεχθεὶς ἢ
177 περὶ ὧν ἧττόν μοι σπουδάσαι προσῆκεν. καίτοι δεξαίμην ἄν, εἰρήσεται γὰρ τἀληθὲς, εἰ καὶ μωρὸς ὁ λόγος ἐστὶν, ἤδη τελευτῆσαι τὸν βίον, ἀξίως εἰπὼν τῆς ὑποθέσεως καὶ πείσας ὑμᾶς τοιαύτην νομίζειν τὴν τῶν λόγων μελέτην, οἵα περ ἐστὶ, μᾶλλον ἢ ζῆν πολυπλασίω χρό-

νον, ἐφορῶν οὕτως αὐτὴν ὥσπερ νῦν παρ' ὑμῖν φερο-
178 μένην. τῆς μὲν οὖν ἐπιθυμίας οἶδ' ὅτι πολὺ καταδεέ-
στερον ἐροῦμεν· ὅμως δ' ὅπως ἂν δύνωμαι πειράσο-
μαι διελθεῖν τήν τε φύσιν αὐτῆς καὶ τὴν δύναμιν, ἣν
ἔχει, καὶ ποίᾳ τῶν ἄλλων τεχνῶν ὁμοιοειδής ἐστι καὶ
τί τοὺς συνόντας ὠφελεῖ, καὶ ποίας τινὰς ἡμεῖς ποι-
ούμεθα τὰς ὑποσχέσεις· οἶμαι γὰρ ὑμᾶς μαθόντας
τὴν ἀλήθειαν ἄμεινον καὶ βουλεύσεσθαι καὶ διαγνώ-
179 σεσθαι περὶ αὐτῆς. ἀξιῶ δ' ὑμᾶς, ἢν ἄρα φαίνωμαι
λόγους διεξιὼν πολὺ τῶν εἰθισμένων λέγεσθαι παρ'
ὑμῖν ἐξηλλαγμένους, μὴ δυσχεραίνειν ἀλλ' ἔχειν συγ-
γνώμην, ἐνθυμουμένους, ὅτι τοὺς περὶ πραγμάτων 91
ἀνομοίων τοῖς ἄλλοις ἀγωνιζομένους ἀναγκαῖόν ἐστι
καὶ τοῖς λόγοις τοιούτοις χρῆσθαι περὶ αὐτῶν. ὑπο-
μείναντες οὖν τὸν τρόπον τῶν λεγομένων καὶ τὴν
παρρησίαν καὶ τὸν χρόνον ἐάσαντες ἀναλῶσαί με τὸν
δεδομένον ταῖς ἀπολογίαις, ὅπως ἂν ὑμῶν ἑκάστῳ
δοκῇ δίκαιον εἶναι καὶ νόμιμον, οὕτω φέρετε τὴν
ψῆφον.
180 (κϛ'.*ιγ'.) Βούλομαι δὲ περὶ τῆς τῶν λόγων παι-
δείας ὥσπερ οἱ γενεαλογοῦντες πρῶτον διελθεῖν πρὸς
ὑμᾶς. ὁμολογεῖται μὲν γὰρ τὴν φύσιν ἡμῶν ἔκ τε τοῦ
σώματος συγκεῖσθαι καὶ τῆς ψυχῆς. αὐτοῖν δὲ τού-
τοιν οὐδεὶς ἔστιν ὅστις οὐκ ἂν φήσειεν ἡγεμονικωτέραν
πεφυκέναι τὴν ψυχὴν καὶ πλείονος ἀξίαν· τῆς μὲν γὰρ
ἔργον εἶναι βουλεύσασθαι καὶ περὶ τῶν ἰδίων καὶ περὶ
τῶν κοινῶν, τοῦ δὲ σώματος ὑπηρετῆσαι τοῖς ὑπὸ τῆς
181 ψυχῆς γνωσθεῖσιν. οὕτω δὲ τούτων ἐχόντων ὁρῶν-
τές τινες τῶν πολὺ πρὸ ἡμῶν γεγονότων περὶ μὲν τῶν
ἄλλων πολλὰς τέχνας συνεστηκυίας, περὶ δὲ τὸ σῶμα
καὶ τὴν ψυχὴν οὐδὲν τοιοῦτον συντεταγμένον, εὑ-
ρόντες διττὰς ἐπιμελείας κατέλιπον ἡμῖν περὶ μὲν τα

σώματα τὴν παιδοτριβικήν, ἧς ἡ γυμναστικὴ μέρος
ἐστί, περὶ δὲ τὰς ψυχὰς τὴν φιλοσοφίαν, περὶ ἧς ἐγὼ
182 μέλλω ποιεῖσθαι τοὺς λόγους, ἀντιστρόφους καὶ σύ-
ζυγας καὶ σφίσιν αὐταῖς ὁμολογουμένας, δι' ὧν οἱ
προεστῶτες αὐτῶν τάς τε ψυχὰς φρονιμωτέρας καὶ τὰ 92
σώματα χρησιμώτερα παρασκευάζουσιν, οὐ πολὺ δια-
στησάμενοι τὰς παιδείας ἀπ' ἀλλήλων ἀλλὰ παρα-
πλησίαις χρώμενοι καὶ ταῖς διδασκαλίαις καὶ ταῖς
183 γυμνασίαις καὶ ταῖς ἄλλαις ἐπιμελείαις. ἐπειδὰν γὰρ
λάβωσι μαθητάς, οἱ μὲν παιδοτρίβαι τὰ σχήματα τὰ
πρὸς τὴν ἀγωνίαν εὑρημένα τοὺς φοιτῶντας διδά-
σκουσιν, οἱ δὲ περὶ τὴν φιλοσοφίαν ὄντες τὰς ἰδέας
ἁπάσας, αἷς ὁ λόγος τυγχάνει χρώμενος, διεξέρχον-
184 ται τοῖς μαθηταῖς. ἐμπείρους δὲ τούτων ποιήσαντες
καὶ διακριβώσαντες ἐν τούτοις πάλιν γυμνάζουσιν
αὐτοὺς καὶ πονεῖν ἐθίζουσι καὶ συνείρειν καθ' ἓν
ἕκαστον ὧν ἔμαθον ἀναγκάζουσιν, ἵνα ταῦτα βεβαιό-
τερον κατάσχωσι καὶ τῶν καιρῶν ἐγγυτέρω ταῖς δό-
ξαις γένωνται. τῷ μὲν γὰρ εἰδέναι περιλαβεῖν αὐτοὺς
οὐχ οἷόν τ' ἐστίν· ἐπὶ γὰρ ἁπάντων τῶν πραγμάτων
διαφεύγουσι τὰς ἐπιστήμας· οἱ δὲ μάλιστα προσέχον-
τες τὸν νοῦν καὶ δυνάμενοι θεωρεῖν τὸ συμβαῖνον
185 ὡς ἐπὶ τὸ πολὺ πλειστάκις αὐτῶν τυγχάνουσιν. τοῦ-
τον δὲ τὸν τρόπον ἐπιμελούμενοι καὶ παιδεύοντες
μέχρι μὲν τοῦ γενέσθαι βελτίους αὐτοὺς αὑτῶν τοὺς
μαθητάς, καὶ ἔχειν ἄμεινον τοὺς μὲν τὰς διανοίας,
τοὺς δὲ τὰς τῶν σωμάτων ἕξεις, ἀμφότεροι δύνανται
προαγαγεῖν· ἐκείνην δὲ τὴν ἐπιστήμην οὐδέτεροι
τυγχάνουσιν ἔχοντες, δι' ἧς ἂν οἱ μὲν ἀθλητὰς οὓς 93
βουληθεῖεν, οἱ δὲ ῥήτορας ἱκανοὺς ποιήσειαν, ἀλλὰ
μέρος μὲν ἄν τι συμβάλοιντο, τὸ δ' ὅλον αἱ δυνάμεις

αὗται παραγίγνονται τοῖς καὶ τῇ φύσει καὶ ταῖς ἐπι-
μελείαις διενεγκοῦσιν.
186 Ὁ μὲν οὖν τύπος τῆς φιλοσοφίας τοιοῦτός τις
ἐστιν. (κϛʹ.* ιδʹ.) Ἡγοῦμαι δ' ὑμᾶς μᾶλλον ἂν ἔτι
καταμαθεῖν τὴν δύναμιν αὐτῆς, εἰ διέλθοιμι τὰς ὑπο-
σχέσεις, ἃς ποιούμεθα πρὸς τοὺς πλησιάζειν ἡμῖν
187 βουλομένους. λέγομεν γάρ, ὡς δεῖ τοὺς μέλλοντας
διοίσειν ἢ περὶ τοὺς λόγους ἢ περὶ τὰς πράξεις ἢ περὶ
τὰς ἄλλας ἐργασίας πρῶτον μὲν πρὸς τοῦτο πεφυκέ-
ναι καλῶς, πρὸς ὅπερ ἂν προῃρημένοι τυγχάνωσιν,
ἔπειτα παιδευθῆναι καὶ λαβεῖν τὴν ἐπιστήμην, ἥτις ἂν
ᾖ περὶ ἑκάστου, τρίτον ἐντριβεῖς γενέσθαι καὶ γυμνα-
σθῆναι περὶ τὴν χρείαν καὶ τὴν ἐμπειρίαν αὐτῶν· ἐκ
τούτων γὰρ ἐν ἁπάσαις ταῖς ἐργασίαις τελείους γί-
188 γνεσθαι καὶ πολὺ διαφέροντας τῶν ἄλλων. εἶναι δὲ
τούτων προσῆκον ἑκατέροις, τοῖς τε διδάσκουσι καὶ
τοῖς μανθάνουσιν, ἴδιον μὲν τοῖς μὲν εἰσενέγκασθαι
τὴν φύσιν, οἵαν δεῖ, τοῖς δὲ δύνασθαι παιδεῦσαι τοὺς
τοιούτους, κοινὸν δ' ἀμφοτέρων τὸ περὶ τὴν ἐμπει-
ρίαν γυμνάσιον· δεῖν γὰρ τοὺς μὲν ἐπιμελῶς ἐπι-
στατῆσαι τοῖς παιδευομένοις, τοὺς δ' ἐγκρατῶς ἐμ-
189 μεῖναι τοῖς προσταττομένοις. ταῦτα μὲν οὖν ἐστιν, ἃ
κατὰ πασῶν λέγομεν τῶν τεχνῶν· εἰ δὲ δή τις ἀφέ-
μενος τῶν ἄλλων ἔροιτό με, τί τούτων μεγίστην ἔχει 94
δύναμιν πρὸς τὴν τῶν λόγων παιδείαν, ἀποκριναίμην
ἂν, ὅτι τὸ τῆς φύσεως ἀνυπέρβλητόν ἐστι καὶ πολὺ
πάντων διαφέρει· τὸν γὰρ ἔχοντα τὴν μὲν ψυχὴν εὑ-
ρεῖν καὶ μαθεῖν καὶ πονῆσαι καὶ μνημονεῦσαι δυνα-
μένην, τὴν δὲ φωνὴν καὶ τὴν τοῦ στόματος σαφήνειαν
τοιαύτην ὥστε μὴ μόνοις τοῖς λεγομένοις ἀλλὰ καὶ
ταῖς τούτων εὐαρμοστίαις συμπείθειν τοὺς ἀκούον-
190 τας, ἔτι δὲ τὴν τόλμαν μὴ τὴν ἀναισχυντίας σημεῖον

γιγνομένην ἀλλὰ τὴν μετὰ σωφροσύνης οὕτω παρασκευάζουσαν τὴν ψυχὴν ὥστε μηδὲν ἧττον θαρρεῖν ἐν δὴ πᾶσι τοῖς πολίταις τοὺς λόγους ποιούμενον ἢ πρὸς αὑτὸν διανοούμενον, τίς οὐκ οἶδεν, ὅτι τυχὼν ὁ τοιοῦτος παιδείας μὴ τῆς ἀπηκριβωμένης ἀλλὰ τῆς ἐπιπολαίου καὶ πᾶσι κοινῆς τοιοῦτος ἂν εἴη ῥήτωρ,
191 οἷος οὐκ οἶδ' εἴ τις τῶν Ἑλλήνων γέγονεν; καὶ μὲν δὴ κἀκείνους ἴσμεν τοὺς καταδεεστέραν μὲν τούτων τὴν φύσιν ἔχοντας, ταῖς δ' ἐμπειρίαις καὶ ταῖς ἐπιμελείαις προέχοντας, ὅτι γίγνονται κρείττους οὐ μόνον αὑτῶν ἀλλὰ καὶ τῶν εὖ μὲν πεφυκότων, λίαν δ' αὑτῶν κατημεληκότων· ὥσθ' ἑκάτερόν τε τούτων δεινὸν ἂν καὶ λέγειν καὶ πράττειν ποιήσειεν, ἀμφότερά τε γενόμενα περὶ τὸν αὐτὸν ἀνυπέρβλητον ἂν
192 τοῖς ἄλλοις ἀποτελέσειεν. περὶ μὲν οὖν τῆς φύσεως καὶ τῆς ἐμπειρίας ταῦτα γιγνώσκω· περὶ δὲ τῆς παι- 95
δείας οὐκ ἔχω τοιοῦτον λόγον εἰπεῖν· οὔτε γὰρ ὁμοίαν οὔτε παραπλησίαν ἔχει τούτοις τὴν δύναμιν. εἰ γάρ τις διακούσειεν ἅπαντα τὰ περὶ τοὺς λόγους καὶ διακριβωθείη μᾶλλον τῶν ἄλλων, λόγων μὲν ποιητὴς τυχὸν ἂν χαριέστερος γένοιτο τῶν πολλῶν, εἰς ὄχλον δὲ καταστὰς, τούτου μόνον ἀποστερηθεὶς τοῦ τολμᾶν, οὐδ' ἂν φθέγξασθαι δυνηθείη.

193 (κϛ'.* ιε'.) Καὶ μηδεὶς οἰέσθω με πρὸς μὲν ὑμᾶς συστέλλειν τὴν ὑπόσχεσιν, ἐπειδὰν δὲ διαλέγωμαι πρὸς τοὺς συνεῖναί μοι βουλομένους, ἅπασαν ὑπ' ἐμαυτῷ ποιεῖσθαι τὴν δύναμιν· φεύγων γὰρ τὰς τοιαύτας αἰτίας, ὅτ' ἠρχόμην περὶ ταύτην εἶναι τὴν πραγματείαν, λόγον διέδωκα γράψας, ἐν ᾧ φανήσομαι τοῖς τε μείζους ποιουμένοις τὰς ὑποσχέσεις ἐπιτι-
194 μῶν καὶ τὴν ἐμαυτοῦ γνώμην ἀποφαινόμενος. ἃ μὲν οὖν κατηγορῶ τῶν ἄλλων παραλείψω· καὶ γάρ ἐστι

πλείω τοῦ καιροῦ τοῦ παρόντος· ἃ δ' αὐτὸς ἀποφαίνομαι πειράσομαι διελθεῖν ὑμῖν. ἄρχομαι δ' ἐνθένδε ποθέν.

ΕΚ ΤΟΥ ΚΑΤΑ ΤΩΝ ΣΟΦΙΣΤΩΝ.

Εἰ δὲ ·δεῖ μὴ μόνον κατηγορεῖν τῶν ἄλλων ἀλλὰ καὶ τὴν ἐμαυτοῦ δηλῶσαι διάνοιαν (p. 293, §. 14) -

μέχρι τοῦ

καθ' ὃ δ' ἂν ἐλλειφθῇ τι τῶν εἰρημένων, ἀνάγκη ταύτῃ χεῖρον διακεῖσθαι τοὺς πλησιάζοντας (p. 295, §. 18).

195 Ταῦτα κομψοτέρως μὲν πέφρασται τῶν ἔμπρο- 97
σθεν εἰρημένων, βούλεται δὲ ταὐτὰ δηλοῦν ἐκείνοις. ὃ χρὴ μέγιστον ὑμῖν γενέσθαι τεκμήριον τῆς ἐμῆς ἐπιεικείας· οὐ γάρ, ὅτε μὲν ἦν νεώτερος, ἀλαζονευόμενος φαίνομαι καὶ μεγάλας τὰς ὑποσχέσεις ποιούμενος, ἐπειδὴ δ' ἀπολέλαυκα τοῦ πράγματος καὶ πρεσβύτερος γέγονα, τηνικαῦτα ταπεινὴν ποιῶν τὴν φιλοσοφίαν, ἀλλὰ τοῖς αὐτοῖς λόγοις χρώμενος ἀκμάζων καὶ παυόμενος αὐτῆς καὶ θαρρῶν καὶ κινδυνεύων
καὶ πρὸς τοὺς βουλομένους πλησιάζειν καὶ πρὸς τοὺς 98
μέλλοντας περί μου τὴν ψῆφον οἴσειν, ὥστ' οὐκ οἶδ' ὅπως ἂν τις ἀληθέστερος ἢ δικαιότερος περὶ αὐτὴν ἐπιδειχθείη γεγενημένος.

196 Ταῦτα μὲν οὖν ἐκείνοις προσκείσθω τοῖς πρότερον περὶ ἡμῶν εἰρημένοις. (κς'.* ις'.) Οὐκ ἀγνοῶ δ' ὅτι τοὺς δυσκόλως διακειμένους οὐδέν πω τῶν εἰρημένων ἱκανόν ἐστιν ἀπαλλάξαι τῆς διανοίας ταύτης, ἀλλὰ πολλῶν ἔτι δέονται λόγων καὶ παντοδαπῶν, εἰ μέλλουσιν ἑτέραν μεταλήψεσθαι δόξαν ἀνθ' ἧς νῦν
197 τυγχάνουσιν ἔχοντες. δεῖ δὴ μηδ' ἡμᾶς προαπειπεῖν διδάσκοντας καὶ λέγοντας, ἐξ ὧν, δυοῖν θάτερον, ἢ

μεταστήσομεν τὰς γνώμας αὐτῶν ἢ τὰς βλασφημίας καὶ κατηγορίας, αἷς χρῶνται καθ' ἡμῶν, ἐξελέγξομεν ψευδεῖς οὔσας. εἰσὶ δὲ διτταί. λέγουσι γὰρ οἱ μέν, ὡς ἔστιν ἡ περὶ τοὺς σοφιστὰς διατριβὴ φλυαρία καὶ φενακισμός· οὐδεμία γὰρ εὕρηται παιδεία τοιαύτη, δι' ἧς γένοιτό τις ἂν ἢ περὶ τοὺς λόγους δεινότερος ἢ περὶ τὰς πράξεις φρονιμώτερος, ἀλλ' οἱ προέχοντες
198 ἐν τούτοις τῇ φύσει τῶν ἄλλων διαφέρουσιν· οἱ δὲ δεινοτέρους μὲν ὁμολογοῦσιν εἶναι τοὺς περὶ τὴν μελέτην ταύτην ὄντας, οὐ μὴν ἀλλὰ διαφθείρεσθαι καὶ γίγνεσθαι χείρους· ἐπειδὰν γὰρ λάβωσι δύναμιν, τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν. ὡς οὖν οὐδὲν ὑγιὲς οὐδ' ἀληθὲς οὐδέτεροι τούτων λέγουσι, πολλὰς ἐλπίδας ἔχω πᾶσι φανερὸν ποιήσειν. 99

199 Πρῶτον δ' ἐνθυμήθητε περὶ τῶν φλυαρίαν φασκόντων εἶναι τὴν παιδείαν, ὡς αὐτοὶ λίαν καταφανῶς ληροῦσιν. διασύρουσι μὲν γὰρ αὐτὴν ὡς οὐδὲν ὠφελεῖν δυναμένην ἀλλ' ἀπάτην καὶ φενακισμὸν οὖσαν, ἀξιοῦσι δὲ τοὺς συνόντας ἡμῖν εὐθὺς μὲν προσ-
200 ελθόντας διαφέρειν αὐτοὺς αὐτῶν, ὀλίγας δ' ἡμέρας συνδιατρίψαντας σοφωτέρους ἐν τοῖς λόγοις καὶ κρείττους φαίνεσθαι τῶν καὶ ταῖς ἡλικίαις καὶ ταῖς ἐμπειρίαις προεχόντων, ἐνιαυτὸν δὲ μόνον παραμείναντας ῥήτορας ἅπαντας ἀγαθοὺς εἶναι καὶ τελείους καὶ μηδὲν φαυλοτέρους τοὺς ἀμελεῖς τῶν πονεῖν ἐθελόντων μηδὲ τοὺς ἀφυεῖς τῶν τὰς ψυχὰς ἀνδρικὰς
201 ἐχόντων. καὶ ταῦτα προστάττουσιν, οὔθ' ἡμῶν ἀκηκοότες τοιαύτας ποιουμένων τὰς ὑποσχέσεις οὔτ' ἐν ταῖς ἄλλαις τέχναις καὶ παιδείαις οὐδὲν ἑωρακότες τούτων συμβαῖνον, ἀλλὰ μόλις μὲν ἡμῖν τὰς ἐπιστήμας παραγιγνομένας, οὐχ ὁμοίως δ' ἀλλήλοις ὅ τι ἂν μάθωμεν ἐξεργαζομένους, ἀλλὰ δύο μὲν ἢ τρεῖς ἐξ

ἁπάντων τῶν διδασκαλείων ἀγωνιστὰς γιγνομένους,
τοὺς δ' ἄλλους ἐξ αὐτῶν ἰδιώτας ἀπαλλαττομένους.
202 καίτοι πῶς οὐκ ἄφρονας εἶναι χρὴ νομίζειν τοὺς τὰς
δυνάμεις τὰς ἐν ταῖς ὁμολογουμέναις τῶν τεχνῶν
οὐκ ἐνούσας, ταύτας ἀπαιτεῖν τολμῶντας παρὰ ταύ-
της, ἣν οὐκ εἶναί φασι, καὶ πλείους τὰς ὠφελείας ἀξι-
οῦντας γίγνεσθαι παρὰ τῆς ἀπιστουμένης ὑφ' αὐτῶν 100
203 ἢ παρὰ τῶν ἀκριβῶς εὑρῆσθαι δοκουσῶν; χρὴ δὲ
τοὺς νοῦν ἔχοντας οὐκ ἀνωμάλως ποιεῖσθαι τὰς κρί-
σεις περὶ τῶν ὁμοίων πραγμάτων οὐδ' ἀποδοκιμάζειν
τὴν παιδείαν τὴν ταὐτὰ ταῖς πλείσταις τῶν τεχνῶν
ἀπεργαζομένην. τίς γὰρ οὐκ οἶδεν ὑμῶν πολλοὺς τῶν
ὑπὸ τοῖς σοφισταῖς γενομένων οὐ φενακισθέντας οὐδ'
204 οὕτω διατεθέντας, ὡς οὗτοι λέγουσιν, ἀλλὰ τοὺς μὲν
αὐτῶν ἱκανοὺς ἀγωνιστὰς ἀποτελεσθέντας, τοὺς δὲ
παιδεύειν ἑτέρους δυνηθέντας, ὅσοι δ' αὐτῶν ἰδιω-
τεύειν ἠβουλήθησαν, ἔν τε ταῖς ὁμιλίαις χαριεστέρους
ὄντας ἢ πρότερον ἦσαν, τῶν τε λογων κριτὰς καὶ
συμβούλους ἀκριβεστέρους τῶν πλείστων γεγενημέ-
νους; ὥστε πῶς χρὴ τῆς τοιαύτης διατριβῆς καταφρο-
νεῖν τῆς τοὺς κεχρημένους αὐτῇ τοιούτους παρασκευ-
205 άζειν δυναμένης; ἀλλὰ μὴν καὶ τόδε πάντες ἂν ὁμο-
λογήσειαν, ὅτι τούτους τεχνικωτάτους εἶναι νομίζομεν
ἐπὶ πασῶν τῶν τεχνῶν καὶ χειρουργιῶν, οἵτινες ἂν
τοὺς μαθητὰς ὡς οἷόν θ' ὁμοιοτάτους ἐργάτας ἀλλή-
λοις ἀποδείξωσιν. τῇ τοίνυν φιλοσοφίᾳ φανήσεται
206 καὶ τοῦτο συμβεβηκός. ὅσοι γὰρ ἡγεμόνος ἔτυχον
ἀληθινοῦ καὶ νοῦν ἔχοντος, εὑρεθεῖεν ἂν ἐν τοῖς λό-
γοις οὕτως ὁμοίαν τὴν δύναμιν ἔχοντες ὥστε πᾶσιν
εἶναι φανερόν, ὅτι τῆς αὐτῆς παιδείας μετεσχήκασιν.
καίτοι μηδενὸς ἔθους αὐτοῖς ἐγγενομένου κοινοῦ 101
μηδὲ διατριβῆς τεχνικῆς ὑπαρξάσης οὐκ ἔστιν ὅπως

207 ἂν εἰς τὴν ὁμοιότητα ταύτην κατέστησαν. ἔτι τοίνυν
ὑμῶν αὐτῶν οὐδείς ἐστιν, ὅστις οὐκ ἂν εἰπεῖν ἔχοι
πολλοὺς τῶν συμπαιδευθέντων, οἳ παῖδες μὲν ὄντες
ἀμαθέστατοι τῶν ἡλικιωτῶν ἔδοξαν εἶναι, πρεσβύτεροι
δὲ γενόμενοι πλέον διήνεγκαν πρὸς τὸ φρονεῖν καὶ
λέγειν τῶν αὐτῶν τούτων, ὧν παῖδες ὄντες ἀπελεί-
φθησαν. ὅθεν μάλιστ' ἄν τις γνοίη τὴν ἐπιμέλειαν,
ὅσην ἔχει δύναμιν· δῆλον γάρ, ὅτι τότε μὲν ἅπαντες
τοιαύταις ἐχρῶντο ταῖς διανοίαις, οἵας περ ἐξ ἀρχῆς
ἔφυσαν ἔχοντες, ἄνδρες δὲ γενόμενοι τούτων διήνεγ-
καν καὶ μετήλλαξαν τὴν φρόνησιν τῷ τοὺς μὲν ἐκκε-
χυμένως ζῆν καὶ ῥαθύμως, τοὺς δὲ τοῖς τε πράγμασι
208 καὶ σφίσιν αὐτοῖς προσέχειν τὸν νοῦν. ὅπου δὲ καὶ
διὰ τὰς αὐτῶν ἐπιμελείας γίγνονταί τινες βελτίους,
πῶς οὐκ ἂν οὗτοι λαβόντες ἐπιστάτην καὶ πρεσβύτε-
ρον καὶ πολλῶν πραγμάτων ἔμπειρον, καὶ τὰ μὲν
παρειληφότα, τὰ δ' αὐτὸν εὑρηκότα, πολὺ ἂν ἔτι
πλέον καὶ σφῶν αὐτῶν καὶ τῶν ἄλλων διήνεγκαν;

209 Οὐ μόνον δ' ἐκ τούτων ἀλλὰ καὶ τῶν λοιπῶν
εἰκότως ἂν ἅπαντες τὴν ἄγνοιαν θαυμάσειαν τῶν
τολμώντων οὕτως εἰκῇ καταφρονεῖν τῆς φιλοσοφίας,
πρῶτον μὲν εἰ πάσας τὰς πράξεις καὶ τὰς τέχνας εἰ-
δότες ταῖς μελέταις καὶ ταῖς φιλοπονίαις ἁλισκομένας
πρὸς τὴν τῆς φρονήσεως ἄσκησιν ταῦτα μηδεμίαν 102
210 ἡγοῦνται δύναμιν ἔχειν, ἔπειτ' εἰ τῶν μὲν σωμάτων
μηδὲν οὕτως ἂν φήσειαν εἶναι φαῦλον, ὅ τι γυμνα-
σθὲν καὶ πονῆσαν οὐκ ἂν εἴη βέλτιον, τὰς δὲ ψυχὰς
τὰς ἄμεινον πεφυκυίας τῶν σωμάτων μηδὲν ἂν νομί-
ζουσι γενέσθαι σπουδαιοτέρας παιδευθείσας καὶ τυ-
211 χούσας τῆς προσηκούσης ἐπιμελείας· ἔτι δ' εἰ περὶ
τοὺς ἵππους καὶ τοὺς κύνας καὶ τὰ πλεῖστα τῶν ζώων
ὁρῶντες τέχνας ἔχοντάς τινας, αἷς τὰ μὲν ἀνδρειότερα,

τὰ δὲ πραότερα, τὰ δὲ φρονιμώτερα ποιοῦσι, περὶ τὴν
τῶν ἀνθρώπων φύσιν μηδεμίαν οἴονται τοιαύτην εὑ-
ρῆσθαι παιδείαν, ἥτις ἂν αὐτοὺς ἐπί τι τούτων ὧν-
212 περ καὶ τὰ θηρία δυνηθείη προαγαγεῖν, ἀλλὰ τοσαύ-
την ἁπάντων ἡμῶν ἀτυχίαν κατεγνώκασιν, ὥσθ'
ὁμολογήσειαν μὲν ἂν ταῖς ἡμετέραις διανοίαις ἕκαστον
τῶν ὄντων βέλτιον γίγνεσθαι καὶ χρησιμώτερον, αὐ-
τοὺς δ' ἡμᾶς τοὺς ἔχοντας τὴν φρόνησιν ταύτην, ᾗ
πάντα πλείονος ἄξια ποιοῦμεν, τολμῶσι λέγειν, ὡς
οὐδὲν ἂν ἀλλήλους πρὸς ἐπιείκειαν εὐεργετήσαιμεν.
213 ὃ δὲ πάντων δεινότατον, ὅτι καθ' ἕκαστον τὸν ἐνιαυ-
τὸν θεωροῦντες ἐν τοῖς θαύμασι τοὺς μὲν λέοντας
πραότερον διακειμένους πρὸς τοὺς θεραπεύοντας ἢ
τῶν ἀνθρώπων ἔνιοι πρὸς τοὺς εὖ ποιοῦντας, τὰς δ'
ἄρκτους καλινδουμένας καὶ παλαιούσας καὶ μιμουμέ- 103
214 νας τὰς ἡμετέρας ἐπιστήμας, οὐδ' ἐκ τούτων δύναν-
ται γνῶναι τὴν παιδείαν καὶ τὴν ἐπιμέλειαν, ὅσην
ἔχει δύναμιν, οὐδ' ὅτι ταῦτα πολὺ ἂν θᾶττον τὴν ἡ-
μετέραν φύσιν ἢ τὴν ἐκείνων ὠφελήσειεν· ὥστ'
ἀπορῶ, πότερον ἄν τις δικαιότερον θαυμάσειε τὰς
πραότητας τὰς τοῖς χαλεπωτάτοις τῶν θηρίων ἐγγι-
γνομένας ἢ τὰς ἀγριότητας τὰς ἐν ταῖς ψυχαῖς τῶν
τοιούτων ἀνθρώπων ἐνούσας.
215 Ἔχοι δ' ἄν τις πλείω περὶ τούτων εἰπεῖν· ἀλλὰ
γὰρ ἢν πολλὰ λίαν λέγω περὶ τῶν παρὰ τοῖς πλεί-
στοις ὁμολογουμένων, δέδοικα, μὴ περὶ τῶν ἀμφισ-
βητουμένων ἀπορεῖν δόξω. (κς'.*ιζ'.) Παυσάμενος
οὖν τούτων ἐπ' ἐκείνους τρέψομαι τοὺς οὐ καταφρο-
νοῦντας μὲν τῆς φιλοσοφίας, πολὺ δὲ πικρότερον κα-
τηγοροῦντας αὐτῆς, καὶ μεταφέροντας τὰς πονηρίας
τὰς τῶν φασκόντων μὲν εἶναι σοφιστῶν, ἄλλο δέ τι
πραττόντων ἐπὶ τοὺς οὐδὲν τῶν αὐτῶν ἐκείνοις ἐπι-

216 τηδεύοντας. ἐγὼ δ᾽ οὐχ ὑπὲρ ἁπάντων τῶν προσποιουμένων δύνασθαι παιδεύειν ποιοῦμαι τοὺς λόγους ἀλλ᾽ ὑπὲρ τῶν δικαίως τὴν δόξαν ταύτην ἐχόντων. οἶμαι δὲ σαφῶς ἐπιδείξειν τοὺς κατηγοροῦντας ἡμῶν πολὺ τῆς ἀληθείας διημαρτηκότας, ἥνπερ ἐθελήσητε διὰ τέλους ἀκοῦσαι τῶν λεγομένων.

217 Πρῶτον μὲν οὖν ὁρίσασθαι δεῖ, τίνων ὀρεγόμενοι καὶ τίνος τυχεῖν βουλόμενοι τολμῶσί τινες ἀδικεῖν· ἢν γὰρ ταῦτα καλῶς περιλάβωμεν, ἄμεινον 104
γνώσεσθε τὰς αἰτίας τὰς καθ᾽ ἡμῶν λεγομένας, εἴτ᾽ ἀληθεῖς εἰσιν εἴτε ψευδεῖς. ἐγὼ μὲν οὖν ἡδονῆς ἢ κέρδους ἢ τιμῆς ἕνεκα φημὶ πάντας πάντα πράττειν· ἔξω γὰρ τούτων οὐδεμίαν ἐπιθυμίαν ὁρῶ τοῖς ἀν-
218 θρώποις ἐγγιγνομένην. εἰ δὴ ταῦθ᾽ οὕτως ἔχει, λοιπόν ἐστι σκέψασθαι, τί τούτων ἂν ἡμῖν γίγνοιτο διαφθείρουσι τοὺς νεωτέρους. πότερον ἂν ἡσθεῖμεν ὁρῶντες ἢ καὶ πυνθανόμενοι πονηροὺς αὐτοὺς ὄντας καὶ δοκοῦντας τοῖς συμπολιτευομένοις; καὶ τίς οὕτως ἐστὶν ἀναίσθητος, ὅστις οὐκ ἂν ἀλγήσειε τοιαύτης
219 διαβολῆς περὶ αὐτὸν γιγνομένης; ἀλλὰ μὴν οὐδ᾽ ἂν θαυμασθεῖμεν οὐδὲ τιμῆς μεγάλης τύχοιμεν τοιούτους τοὺς συνόντας ἀποπέμποντες, ἀλλὰ πολὺ ἂν μᾶλλον καταφρονηθεῖμεν καὶ μισηθεῖμεν τῶν ταῖς ἄλλαις πονηρίαις ἐνόχων ὄντων. καὶ μὴν οὐδ᾽ εἰ ταῦτα παρίδοιμεν, χρήματα πλεῖστ᾽ ἂν λάβοιμεν οὕτω
220 τῆς παιδείας προεστῶτες. οἶμαι γὰρ δήπου τοῦτό γε πάντας γιγνώσκειν, ὅτι σοφιστῇ μισθὸς κάλλιστός ἐστι καὶ μέγιστος, ἢν τῶν μαθητῶν τινὲς καλοὶ κἀγαθοὶ καὶ φρόνιμοι γένωνται καὶ παρὰ τοῖς πολίταις εὐδοκιμοῦντες· οἱ μὲν γὰρ τοιοῦτοι πολλοὺς μετασχεῖν τῆς παιδείας εἰς ἐπιθυμίαν καθιστᾶσιν, οἱ δὲ πονηροὶ καὶ τοὺς πρότερον συνεῖναι διανοουμένους

ἀποτρέπουσιν. ὥστε τίς ἂν ἐν τούτοις τὸ κρεῖττον
ἀγνοήσειεν, οὕτω μεγάλην τὴν διαφορὰν τῶν πραγ-
μάτων ἐχόντων;
221 (κς´.* ιη´.) Ἴσως οὖν ἄν τις πρὸς ταῦτα τολμήσειεν
εἰπεῖν, ὡς πολλοὶ τῶν ἀνθρώπων διὰ τὰς ἀκρασίας οὐκ
ἐμμένουσι τοῖς λογισμοῖς ἀλλ' ἀμελήσαντες τοῦ συμφέ-
ροντος ἐπὶ τὰς ἡδονὰς ὁρμῶσιν. ἐγὼ δ' ὁμολογῶ καὶ
τῶν ἄλλων πολλοὺς καὶ τῶν προσποιουμένων εἶναι
222 σοφιστῶν ἔχειν τινὰς τὴν φύσιν ταύτην. [ἀλλ' ὅμως
οὐδὲ τῶν τοιούτων οὐδείς ἐστιν οὕτως ἀκρατής, ὅστις
ἂν δέξαιτο καὶ τοὺς μαθητὰς εἶναι τοιούτους· τῶν
μὲν γὰρ ἡδονῶν τῶν διὰ τὴν ἀκρασίαν ἐκείνοις συμ-
βαινουσῶν οὐκ ἂν δύναιτο μετασχεῖν, τῆς δὲ δόξης
τῆς διὰ τὴν πονηρίαν γιγνομένης αὐτὸς ἂν τὸ πλεῖ-
στον μέρος ἀπολαύσειεν. ἔπειτα τίνας ἂν καὶ δια-
φθείραιεν καὶ τοὺς πῶς διακειμένους λάβοιεν ἂν μα-
223 θητάς; ἄξιον γὰρ καὶ ταῦτα διελθεῖν. πότερον τοὺς
ἤδη κακοήθεις ὄντας καὶ πονηρούς; καὶ τίς ἄν, ἃ παρὰ
τῆς αὑτοῦ φύσεως ἐπίσταται, ταῦτα παρ' ἑτέρου μαν-
θάνειν ἐπιχειρήσειεν; ἀλλὰ τοὺς ἐπιεικεῖς καὶ χρη-
στῶν ἐπιτηδευμάτων ἐπιθυμοῦντας; ἀλλ' οὐδ' ἂν εἷς
τῶν τοιούτων τοῖς κακόν τι λέγουσιν ἢ πράττουσι
224 διαλεχθῆναι τολμήσειεν]. (κς´.* ιθ´.) Ἀλλὰ γὰρ οὐ
δίκαιον διὰ τοὺς ἀκρατεῖς καὶ πονηροὺς διαβάλλεσθαι
καὶ τοὺς καλῶς τῇ φιλοσοφίᾳ χρωμένους· οὐδὲ γὰρ
εἴ τινες τῶν σοφιστῶν συκοφάνται καὶ κακοπράγμο-
νες τυγχάνουσιν ὄντες ὥσπερ ὁ κατήγορος, προσήκει
καὶ τοὺς ἄλλους ἅπαντας δοκεῖν εἶναι τοιούτους, ἀλλὰ
δεῖ χωρὶς περὶ ἑκάστου διαγιγνώσκειν· τούτου δ'
ἕνεκα καὶ τοὺς λόγους ὑμῖν προανέγνων καὶ τοὺς πλη-
σιάσαντάς μοι διῆλθον, [δηλῶσαι] βουλόμενος, ὅσον
διέσταμεν ἀλλήλων· εὑρήσετε γὰρ οὐδὲν τῶν αὐτῶν

ἡμᾶς οὔτ' ἐπιτηδεύοντας οὔτε λέγοντας οὔτ' ἀσκοῦν
τας οὔθ' ὑπισχνουμένους· ἀλλ' οὐδὲ τοὺς πλησιά
ζοντας ἑκατέροις τῶν αὐτῶν ἕνεκα συνόντας· ἀλλὰ
τοὺς μὲν ἀλαζονείας, τοὺς δὲ παιδείας μετασχεῖν βου-
λομένους. πρὸς δὲ τούτοις ἴδοιτ' ἂν τοὺς μὲν δικαί-
ως ἂν μισηθέντας ἐν ἁπάσαις ταῖς Ἑλληνίσι πόλεσιν
ἐνοχλοῦντας καὶ ζητοῦντας, οὕστινας ἐξαπατήσουσιν,
ἐπὶ δὲ τοὺς ἀληθεστέρους καὶ σπουδαιοτέρους ἐξ ἁ-
πάντων τῶν τόπων αὐτοὺς πλέοντας. περὶ ὧν ἂν
ἡδέως Λυσιμάχου πυθοίμην, τίνα ποτὲ γνώμην εἶχε
περὶ τῶν ἐκ Σικελίας καὶ τοῦ Πόντου καὶ τῶν ἄλλων 106
τόπων δεῦρο πλεόντων ὡς ἡμᾶς, ἵνα παιδευθῶσιν.
πότερον αὐτοὺς οἴεται σπανίζοντας ἐκεῖ πονηρῶν
ἀνθρώπων ἐνθάδε ποιεῖσθαι τὴν πορείαν; ἀλλὰ παν-
ταχοῦ πολλὴν ἀφθονίαν εὕροι τις ἂν τῶν συμπονη-
225 ρεύεσθαι καὶ συνεξαμαρτάνειν βουλομένων. ἀλλ'
ἵνα κακοπράγμονες καὶ συκοφάνται γένωνται, πολλὰ
χρήματα τελέσαντες; ἀλλὰ πρῶτον μὲν οἱ ταύτην
ἔχοντες τὴν γνώμην πολὺ ἂν ἥδιον τὰ τῶν ἄλλων λά-
βοιεν ἢ δοῖεν ἑτέροις ὁτιοῦν τῶν σφετέρων αὐτῶν·
ἔτι δὲ τίνες ἂν ὑπὲρ πονηρίας ἀργύριον ἀναλώσειαν,
ἐξὸν αὐτοῖς μηδὲν δαπανηθεῖσιν εἶναι τοιούτοις, ὁπό-
ταν βουληθῶσιν; οὐ γὰρ μαθεῖν ἀλλ' ἐπιχειρῆσαι
226 μόνον δεῖ τοῖς τοιούτοις τῶν ἔργων. ἀλλὰ δῆλον ὅτι
καὶ πλέουσι καὶ χρήματα διδόασι καὶ πάντα ποιοῦσι
νομίζοντες αὐτοί τε βελτίους γενήσεσθαι καὶ τοὺς
ἐνθάδε παιδεύοντας πολὺ φρονιμωτέρους εἶναι τῶν
παρὰ σφίσιν αὐτοῖς· ἐφ' οἷς ἄξιον ἦν ἅπαντας τοὺς
πολίτας φιλοτιμεῖσθαι καὶ περὶ πολλοῦ ποιεῖσθαι
τοὺς αἰτίους τῇ πόλει τῆς δόξης ταύτης γενομένους.
227 ἀλλὰ γὰρ οὕτω τινὲς ἀγνωμόνως ἔχουσιν ὥστ' εἰδό-
τες καὶ τοὺς ξένους τοὺς ἀφικνουμένους καὶ τοὺς

προεστῶτας τῆς παιδείας οὐδὲν κακὸν ἐπιτηδεύοντας,
ἀλλ' ἀπραγμονεστάτους μὲν ὄντας τῶν ἐν τῇ πόλει
καὶ πλείστην ἡσυχίαν ἄγοντας, προσέχοντας δὲ τὸν 107
νοῦν σφίσιν αὐτοῖς καὶ τὰς συνουσίας μετ' ἀλλήλων
228 ποιουμένους, ἔτι δὲ τὰ καθ' ἡμέραν εὐτελέστατα καὶ
κοσμιώτατα ζῶντας καὶ τῶν λόγων ἐπιθυμοῦντας,
οὐ τῶν ἐπὶ τοῖς ἰδίοις συμβολαίοις λεγομένων οὐδὲ
τῶν λυπούντων τινὰς ἀλλὰ τῶν παρὰ πᾶσιν ἀνθρώ-
ποις εὐδοκιμούντων, ὅμως τολμῶσι βλασφημεῖν περὶ
αὐτῶν καὶ λέγειν, ὡς ταύτην ποιοῦνται τὴν μελέτην,
229 ἵν' ἐν τοῖς ἀγῶσι παρὰ τὸ δίκαιον πλεονεκτῶσιν. καί-
τοι τίνες ἂν ἀδικίαν καὶ κακίαν ἀσκοῦντες σωφρονέ-
στερον τῶν ἄλλων ζῆν ἐθελήσειαν; τίνας δὲ πώποθ'
ἑωράκασιν οἱ ταῦτα λέγοντες ἀναβαλλομένους καὶ
θησαυριζομένους τὰς πονηρίας ἀλλ' οὐκ εὐθὺς τῇ
φύσει τῇ παρούσῃ χρωμένους;

230 (κς'.*κ'.) Χωρὶς δὲ τούτων, εἴπερ ἡ περὶ τοὺς λό-
γους δεινότης ποιεῖ τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν,
προσῆκεν ἅπαντας τοὺς δυναμένους εἰπεῖν πολυπράγ-
μονας καὶ συκοφάντας εἶναι· τὸ γὰρ αἴτιον ἐν ἅπασι
231 ταὐτὸν πέφυκεν ἐνεργάζεσθαι. νῦν δ' εὑρήσετε καὶ
τῶν ἐν τῷ παρόντι πολιτευομένων καὶ τῶν νεωστὶ
τετελευτηκότων τοὺς πλείστην ἐπιμέλειαν τῶν λόγων
ποιουμένους βελτίστους ὄντας τῶν ἐπὶ τὸ βῆμα παρ-
ιόντων, ἔτι δὲ τῶν παλαιῶν τοὺς ἀρίστους ῥήτορας
καὶ μεγίστην δόξαν λαβόντας πλείστων ἀγαθῶν αἰ-
τίους τῇ πόλει γεγενημένους, ἀρξαμένους ἀπὸ Σό-
232 λωνος. ἐκεῖνός τε γὰρ προστάτης τοῦ δήμου καταστὰς 108
οὕτως ἐνομοθέτησε καὶ τὰ πράγματα διέταξε καὶ τὴν
πόλιν κατεσκεύασεν ὥστ' ἔτι καὶ νῦν ἀγαπᾶσθαι τὴν
διοίκησιν τὴν ὑπ' ἐκείνου συνταχθεῖσαν· μετὰ δὲ
ταῦτα Κλεισθένης ἐκπεσὼν ἐκ τῆς πόλεως ὑπὸ τῶν

τυράννων, λόγῳ πείσας τοὺς Ἀμφικτύονας δανεῖσαι
τῶν τοῦ θεοῦ χρημάτων αὐτῷ, τόν τε δῆμον κατήγαγε
καὶ τοὺς τυράννους ἐξέβαλε καὶ τὴν δημοκρατίαν
ἐκείνην κατέστησε τὴν αἰτίαν τοῖς Ἕλλησι τῶν μεγί-
233 στων ἀγαθῶν γενομένην· ἐπὶ δὲ τούτῳ Θεμιστοκλῆς
ἡγεμὼν ἐν τῷ πολέμῳ τῷ Περσικῷ γενόμενος, συμ-
βουλεύσας τοῖς προγόνοις ἡμῶν ἐκλιπεῖν τὴν πόλιν,
ὃ τίς ἂν οἷός τ' ἐγένετο πεῖσαι μὴ πολὺ τῷ λόγῳ διε-
νεγκών; εἰς τοῦτ' αὐτῶν τὰ πράγματα προήγαγεν,
ὥστ' ὀλίγας ἡμέρας ἀνάστατοι γενόμενοι πολὺν χρό-
234 νον δεσπόται τῶν Ἑλλήνων κατέστησαν· τὸ δὲ τελευ-
ταῖον Περικλῆς καὶ δημαγωγὸς ὢν ἀγαθὸς καὶ ῥήτωρ
ἄριστος οὕτως ἐκόσμησε τὴν πόλιν καὶ τοῖς ἱεροῖς
καὶ τοῖς ἀναθήμασι καὶ τοῖς ἄλλοις ἅπασιν ὥστ' ἔτι
καὶ νῦν τοὺς εἰσαφικνουμένους εἰς αὐτὴν νομίζειν
μὴ μόνον ἄρχειν ἀξίαν εἶναι τῶν Ἑλλήνων ἀλλὰ καὶ
τῶν ἄλλων ἁπάντων, καὶ πρὸς τούτοις εἰς τὴν ἀκρό-
235 πολιν οὐκ ἐλάττω μυρίων ταλάντων ἀνήνεγκεν. καὶ
τούτων τῶν ἀνδρῶν τῶν τηλικαῦτα διαπραξαμένων
οὐδεὶς λόγων ἠμέλησεν, ἀλλὰ τοσούτῳ μᾶλλον τῶν 109
ἄλλων προσέσχον αὐτοῖς τὸν νοῦν, ὥστε Σόλων μὲν
τῶν ἑπτὰ σοφιστῶν ἐκλήθη καὶ ταύτην ἔσχε τὴν ἐπω-
νυμίαν τὴν νῦν ἀτιμαζομένην καὶ κρινομένην παρ'
ὑμῖν, Περικλῆς δὲ δυοῖν ἐγένετο μαθητής, Ἀναξαγό-
ρου τε τοῦ Κλαζομενίου καὶ Δάμωνος τοῦ κατ' ἐκεῖ-
νον τὸν χρόνον φρονιμωτάτου δόξαντος εἶναι τῶν
236 πολιτῶν. ὥστ' ἐκ τίνων ἄν τις ὑμῖν σαφέστερον ἐπι-
δείξειεν, ὡς οὐχ αἱ δυνάμεις αἱ τῶν λόγων κακο-
πράγμονας τοὺς ἀνθρώπους ποιοῦσιν; ἀλλ' οἱ τοι-
αύτην φύσιν ἔχοντες, οἵαν περ ὁ κατήγορος, πονηροῖς,
οἶμαι, καὶ τοῖς λόγοις καὶ τοῖς πράγμασι χρώμενοι
διατελοῦσιν.

237 (κϛʹ.* καʹ.) Ἔχω δὲ δεῖξαι καὶ τόπους, ἐν οἷς ἔξεστιν ἰδεῖν τοῖς βουλομένοις τοὺς πολυπράγμονας καὶ τοὺς ταῖς αἰτίαις ἐνόχους ὄντας, ἃς οὗτοι τοῖς σοφισταῖς ἐπιφέρουσιν. ἐν γὰρ ταῖς σανίσι ταῖς ὑπὸ τῶν ἀρχόντων ἐκτιθεμέναις ἀναγκαῖόν ἐστιν, ἐν μὲν ταῖς τῶν θεσμοθετῶν ἀμφοτέρους ἐνεῖναι, τούς τε τὴν πόλιν ἀδικοῦντας καὶ τοὺς συκοφαντοῦντας, ἐν δὲ ταῖς τῶν ἕνδεκα τούς τε κακουργοῦντας καὶ τοὺς τούτοις ἐφεστῶτας, ἐν δὲ ταῖς τῶν τετταράκοντα τούς τ' ἐν τοῖς ἰδίοις πράγμασιν ἀδικοῦντας καὶ τοὺς μὴ
238 δικαίως ἐγκαλοῦντας· ἐν αἷς τοῦτον μὲν καὶ τοὺς τούτου φίλους εὕροιτ' ἂν ἐν πολλαῖς ἐγγεγραμμένους, ἐμὲ δὲ καὶ τοὺς περὶ τὴν αὐτὴν ἐμοὶ διατριβὴν ὄντας οὐδ' ἐν μιᾷ τούτων ἐνόντας ἀλλ' οὕτω τὰ 110
περὶ ἡμᾶς αὐτοὺς διοικοῦντας ὥστε μηδὲν δεῖσθαι
239 τῶν ἀγώνων τῶν παρ' ὑμῖν. καίτοι τοὺς μήτ' ἐν ταῖς πραγματείαις ταύταις ὄντας μήτ' ἀκολάστως ζῶντας μήτε περὶ ἄλλην πρᾶξιν μηδεμίαν αἰσχρὰν γεγενημένους πῶς οὐκ ἐπαινεῖσθαι προσήκει μᾶλλον ἢ κρίνεσθαι; δῆλον γάρ, ὅτι τοιαῦτα τοὺς συνόντας παιδεύομεν, οἷά περ αὐτοὶ τυγχάνομεν ἐπιτηδεύοντες.

240 (κϛʹ.* κβʹ.) Ἔτι τοίνυν γνώσεσθε σαφέστερον ἐκ τῶν ῥηθήσεσθαι μελλόντων, ὡς πόρρω τοῦ διαφθείρειν τοὺς νεωτέρους ἐσμέν. εἰ γάρ τι τοιοῦτον ἐποιοῦμεν, οὐκ ἂν Λυσίμαχος ἦν ὁ λυπούμενος ὑπὲρ αὐτῶν οὐδ' ἄλλος οὐδεὶς τῶν τοιούτων, ἀλλὰ τοὺς πατέρας ἂν ἑωρᾶτε τῶν συνόντων ἡμῖν καὶ τοὺς οἰκείους ἀγανακτοῦντας καὶ γραφομένους καὶ δίκην
241 ζητοῦντας παρ' ἡμῶν λαμβάνειν. νῦν δ' ἐκεῖνοι μὲν συνιστᾶσι τοὺς παῖδας τοὺς αὑτῶν καὶ χρήματα διδόασι καὶ χαίρουσιν, ὁπόταν ὁρῶσιν αὐτοὺς μεθ' ἡμῶν ἡμερεύοντας, οἱ δὲ συκοφάνται διαβάλλουσι καὶ

πραγματα παρέχουσιν ἡμῖν, ὧν τίνες ἂν ἥδιον ἴδοιεν
πολλοὺς τῶν πολιτῶν διαφθειρομένους καὶ πονηροὺς
γιγνομένους; ἴσασι γὰρ σφᾶς αὐτοὺς ἐν μὲν τοῖς τοι-
ούτοις δυναστεύοντας, ὑπὸ δὲ τῶν καλῶν κἀγαθῶν
καὶ νοῦν ἐχόντων ἀπολλυμένους, ὁπόταν ληφθῶσιν.
242 ὥσθ' οὗτοι μὲν σωφρονοῦσιν ἀναιρεῖν ζητοῦντες
ἁπάσας τὰς τοιαύτας διατριβὰς, ἐν αἷς ἡγοῦνται βελ- 111
τίους γενομένους χαλεπωτέρους ἔσεσθαι ταῖς αὐτῶν
πονηρίαις καὶ συκοφαντίαις, ὑμᾶς δὲ προσήκει τἀ-
ναντία τούτοις πράττειν καὶ ταῦτα νομίζειν εἶναι
κάλλιστα τῶν ἐπιτηδευμάτων, οἷς ἂν τούτους ὁρᾶτε
μάλιστα πολεμοῦντας.

243 (κς΄.* κγ΄.) Ἄτοπον δέ τι τυγχάνω πεπονθώς· εἰ-
ρήσεται γὰρ, εἰ καί τινες λίαν εὐμετάβολον εἶναί με
φήσουσιν. ὀλίγῳ μὲν γὰρ πρότερον ἔλεγον, ὡς πολ-
λοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν διεψευσμένοι τῆς
φιλοσοφίας τραχύτερον πρὸς αὐτὴν ἔχουσι, νῦν δ'
οὕτως ἐναργεῖς ὑπείληφα τοὺς λόγους εἶναι τοὺς εἰ-
ρημένους καὶ πᾶσι φανεροὺς, ὥστ' οὐδεὶς ἀγνοεῖν
μοι δοκεῖ τὴν δύναμιν αὐτῆς οὐδὲ καταγιγνώσκειν
ἡμῶν, ὡς διαφθείρομεν τοὺς μαθητὰς, οὐδὲ πεπον-
θέναι τοιοῦτον οὐδὲν, οἷον αὐτοὺς ὀλίγῳ πρότερον
244 ᾐτιώμην· ἀλλ' εἰ δεῖ τἀληθὲς εἰπεῖν καὶ τὸ νῦν ἐν τῇ
διανοίᾳ μοι παρεστηκὸς, ἡγοῦμαι πάντας τοὺς φιλο-
τίμως διακειμένους, ἐπιθυμητικῶς ἔχοντας τοῦ φρο-
νεῖν εὖ καὶ λέγειν, αὐτοὺς μὲν ἀμελεῖν τούτων, τοὺς
μὲν διὰ ῥαθυμίαν, τοὺς δὲ καταμεμφομένους τὴν φύ-
σιν τὴν αὐτῶν, τοὺς δὲ δι' ἄλλας τινὰς προφάσεις,
245 παμπληθεῖς δ' εἰσὶ, πρὸς δὲ τοὺς πολλὴν ἐπιμέλειαν
ποιουμένους καὶ τυχεῖν βουλομένους, ὧν εἰς ἐπιθυ-
μίαν αὐτοὶ καθεστᾶσι, δυσκόλως ἔχειν καὶ ζηλοτυπεῖν
καὶ τὰς ψυχὰς τεταραγμένως διακεῖσθαι καὶ πεπονθέ- 112

ναι παραπλήσια τοῖς ἐρῶσι· τίνα γὰρ ἄν τις αὐτοῖς
246 ἐπενεγκεῖν αἰτίαν ἔχοι πρεπωδεστέραν ταύτης; οἵτι-
νες μακαρίζουσι μὲν καὶ ζηλοῦσι τοὺς καλῶς χρῆσθαι
τῷ λόγῳ δυναμένους, ἐπιτιμῶσι δὲ τῶν νεωτέρων τοῖς
τυχεῖν ταύτης τῆς τιμῆς βουλομένοις. καὶ τοῖς μὲν
θεοῖς οὐδεὶς ἔστιν ὅστις οὐκ ἂν εὔξαιτο μάλιστα μὲν
αὐτὸς δύνασθαι λέγειν, εἰ δὲ μή, τοὺς παῖδας καὶ τοὺς
247 οἰκείους τοὺς αὑτοῦ· τοὺς δὲ πόνῳ καὶ φιλοσοφίᾳ
τοῦτο κατεργάσασθαι πειρωμένους, ὃ παρὰ τῶν θεῶν
αὐτοὶ βούλονται λαβεῖν, οὐδέν φασι τῶν δεόντων
πράττειν, ἀλλ' ἐνίοτε μὲν ὡς ἐξηπατημένων καὶ πεφε-
νακισμένων προσποιοῦνται καταγελᾶν αὐτῶν, ὁπόταν
δὲ τύχωσι, μεταβαλόντες ὡς περὶ πλεονεκτεῖν δυνα-
248 μένων τοὺς λόγους ποιοῦνται. καὶ συμβούλοις μέν,
ὅταν κίνδυνός τις καταλάβῃ τὴν πόλιν, τοῖς ἄριστα
περὶ τῶν πραγμάτων λέγουσι τούτοις χρῶνται, καὶ
πράττουσιν, ὅ τι ἂν οἱ τοιοῦτοι παραινέσωσι· περὶ δὲ
τοὺς ἔργου ποιουμένους, ὅπως χρησίμους αὐτοὺς ἐν
τοῖς καιροῖς τοῖς τοιούτοις τῇ πόλει παρασχήσουσι,
βλασφημεῖν οἴονται χρῆναι. καὶ Θηβαίοις μὲν καὶ τοῖς
ἄλλοις ἐχθροῖς τὴν ἀμαθίαν ὀνειδίζουσι, τοὺς δ' ἐκ
παντὸς τρόπου ζητοῦντας τὴν νόσον ταύτην διαφυγεῖν
249 λοιδοροῦντες διατελοῦσιν. ὃ δ' οὐ μόνον ταραχῆς ση- 113
μεῖόν ἐστιν ἀλλὰ καὶ τῆς περὶ τοὺς θεοὺς ὀλιγωρίας·
τὴν μὲν γὰρ Πειθὼ μίαν τῶν θεῶν νομίζουσιν εἶναι
καὶ τὴν πόλιν ὁρῶσι καθ' ἕκαστον τὸν ἐνιαυτὸν θυ-
σίαν αὐτῇ ποιουμένην, τοὺς δὲ τῆς δυνάμεως ἧς ἡ θεὸς
ἔχει μετασχεῖν βουλομένους ὡς κακοῦ πράγματος ἐπι
250 θυμοῦντας διαφθείρεσθαί φασιν. ὃ δὲ πάντων δεινό
τατον, ὅτι προκρίνειαν μὲν ἂν τὴν ψυχὴν σπουδαιοτε
ραν εἶναι τοῦ σώματος, οὕτω δὲ γιγνώσκοντες ἀποδέ-
χονται μᾶλλον τοὺς γυμναζομένους τῶν φιλοσοφούν-

των. καίτοι πῶς οὐκ ἄλογον τοὺς τοῦ φαυλοτέρου
ποιουμένους τὴν ἐπιμέλειαν ἐπαινεῖν μᾶλλον ἢ τοὺς
τοῦ σπουδαιοτέρου, καὶ ταῦτα πάντων εἰδότων διὰ
μὲν εὐεξίαν σώματος οὐδὲν πώποτε τὴν πόλιν τῶν
ἐλλογίμων ἔργων διαπραξαμένην, διὰ δὲ φρόνησιν
ἀνδρὸς εὐδαιμονεστάτην καὶ μεγίστην τῶν Ἑλληνί-
δων πόλεων γενομένην;

251 (κς΄. *κθ΄.) Πολὺ δ' ἄν τις ἔχοι πλείους τούτων
ἐναντιώσεις συναγαγεῖν τῶν ἀκμαζόντων τε μᾶλλον
ἠγὼ καὶ τοῦ καιροῦ τοῦ παρόντος μὴ φροντιζόντων·
ἐπεὶ καὶ τάδε περὶ τῶν αὐτῶν τούτων ἔνεστιν εἰπεῖν.
φέρε γάρ, εἴ τινες πολλὰ χρήματα παρὰ τῶν προγό-
νων παραλαβόντες τῇ μὲν πόλει μηδὲν εἶεν χρήσιμοι,
τοὺς δὲ πολίτας ὑβρίζοιεν καὶ τούς τε παῖδας καὶ τὰς
γυναῖκας αἰσχύνοιεν, ἔστιν ὅστις ἂν τοὺς αἰτίους τοῦ
πλούτου μέμψασθαι τολμήσειεν ἀλλ' οὐκ ἂν αὐτοὺς 114
252 τοὺς ἐξαμαρτάνοντας κολάζειν ἀξιώσειεν; τί δ' εἴ τι-
νες ὁπλομαχεῖν μαθόντες πρὸς μὲν τοὺς πολεμίους
μὴ χρῷντο ταῖς ἐπιστήμαις, ἐπανάστασιν δὲ ποιήσαν-
τες πολλοὺς τῶν πολιτῶν διαφθείρειαν, ἢ καὶ πυ-
κτεύειν καὶ παγκρατιάζειν ὡς οἷόν τ' ἄριστα παιδευ-
θέντες τῶν μὲν ἀγώνων ἀμελοῖεν, τοὺς δ' ἀπαντῶντας
τύπτοιεν, τίς οὐκ ἂν τούτων τοὺς μὲν διδασκάλους
ἐπαινέσειε, τοὺς δὲ κακῶς χρωμένους οἷς ἔμαθον
253 ἀποκτείνειεν; οὐκοῦν χρὴ καὶ περὶ τῶν λόγων τὴν
αὐτὴν ἔχειν διάνοιαν, ἥνπερ καὶ περὶ τῶν ἄλλων, καὶ
μὴ περὶ τῶν ὁμοίων τἀναντία γιγνώσκειν, μηδὲ πρὸς
τοιοῦτον πρᾶγμα δυσμενῶς φαίνεσθαι διακειμένους,
ὃ πάντων τῶν ἐνόντων ἐν τῇ τῶν ἀνθρώπων φύσει
πλείστων ἀγαθῶν αἴτιόν ἐστιν. τοῖς μὲν γὰρ ἄλλοις
οἷς ἔχομεν, ἅπερ ἤδη καὶ πρότερον εἶπον, οὐδὲν τῶν
ζώων διαφέρομεν, ἀλλὰ πολλῶν καὶ τῷ τάχει καὶ τῇ

ῥώμῃ καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχά-
254 νομεν ὄντες· ἐγγενομένου δ᾽ ἡμῖν τοῦ πείθειν ἀλλή-
λους καὶ δηλοῦν πρὸς ἡμᾶς αὐτοὺς, περὶ ὧν ἂν βου-
ληθῶμεν, οὐ μόνον τοῦ θηριωδῶς ζῆν ἀπηλλάγημεν
ἀλλὰ καὶ συνελθόντες πόλεις ᾠκίσαμεν καὶ νόμους
ἐθέμεθα καὶ τέχνας εὕρομεν, καὶ σχεδὸν ἅπαντα τὰ
δι᾽ ἡμῶν μεμηχανημένα λόγος ἡμῖν ἐστὶν ὁ συγκατα-
255 σκευάσας. οὗτος γὰρ περὶ τῶν δικαίων καὶ τῶν ἀδί- 115
κων καὶ τῶν καλῶν καὶ τῶν αἰσχρῶν ἐνομοθέτησεν,
ὧν μὴ διαταχθέντων οὐκ ἂν οἷοί τ᾽ ἦμεν οἰκεῖν μετ᾽
ἀλλήλων. τούτῳ καὶ τοὺς κακοὺς ἐξελέγχομεν καὶ
τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν. διὰ τούτου τούς τ᾽ ἀνο-
ήτους παιδεύομεν καὶ τοὺς φρονίμους δοκιμάζομεν·
τὸ γὰρ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον ση-
μεῖον ποιούμεθα, καὶ λόγος ἀληθὴς καὶ νόμιμος καὶ
256 δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστιν. μετὰ
τούτου καὶ περὶ τῶν ἀμφισβητησίμων ἀγωνιζόμεθα
καὶ περὶ τῶν ἀγνοουμένων σκοπούμεθα· ταῖς γὰρ
πίστεσιν, αἷς τοὺς ἄλλους λέγοντες πείθομεν, ταῖς
αὐταῖς ταύταις βουλευόμενοι χρώμεθα, καὶ ῥητορι-
κοὺς μὲν καλοῦμεν τοὺς ἐν τῷ πλήθει λέγειν δυνα-
μένους, εὐβούλους δὲ νομίζομεν, οἵτινες ἂν αὐτοὶ
πρὸς αὐτοὺς ἄριστα περὶ τῶν πραγμάτων διαλεχθῶ-
257 σιν. εἰ δὲ δεῖ συλλήβδην περὶ τῆς δυνάμεως ταύτης
εἰπεῖν, οὐδὲν τῶν φρονίμως πραττομένων εὑρήσομεν
ἀλόγως γιγνόμενον ἀλλὰ καὶ τῶν ἔργων καὶ τῶν δια-
νοημάτων ἁπάντων ἡγεμόνα λόγον ὄντα καὶ μάλιστα
χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας. ὧν οὐ-
δὲν ἐνθυμηθεὶς Λυσίμαχος κατηγορεῖν ἐτόλμησε τῶν
ἐπιθυμούντων τοιούτου πράγματος, ὃ τοσούτων τὸ
πλῆθος καὶ τηλικούτων τὸ μέγεθος ἀγαθῶν αἴτιόν
ἐστιν.

258 (κϛ'.* κε'.) Καὶ τί δεῖ τούτου θαυμάζειν, ὅπου
καὶ τῶν περὶ τὰς ἔριδας σπουδαζόντων ἔνιοί τινες 116
ὁμοίως βλασφημοῦσι περὶ τῶν λόγων τῶν κοινῶν καὶ
τῶν χρησίμων ὥσπερ οἱ φαυλότατοι τῶν ἀνθρώπων,
οὐκ ἀγνοοῦντες τὴν δύναμιν αὐτῶν, οὐδ' ὅτι τάχιστ'
ἂν οὗτοι τοὺς χρωμένους ὠφελήσειαν, ἀλλ' ἐλπίζον-
τες, ἢν τούτους διαβάλλωσι, τοὺς αὑτῶν ἐντιμοτέ-
259 ρους ποιήσειν. περὶ ὧν δυνηθείην μὲν ἂν ἴσως δια-
λεχθῆναι πολὺ πικρότερον ἢ 'κεῖνοι περὶ ἡμῶν, οὐ-
δέτερον δ' οἶμαι δεῖν, οὔθ' ὅμοιος γίγνεσθαι τοῖς
ὑπὸ τοῦ φθόνου διεφθαρμένοις, οὔτε ψέγειν τοὺς μη-
δὲν μὲν κακὸν τοὺς συνόντας ἐργαζομένους, ἧττον
δ' ἑτέρων εὐεργετεῖν δυναμένους. οὐ μὴν ἀλλὰ μι-
κρά γε μνησθήσομαι περὶ αὐτῶν, μάλιστα μὲν ὅτι
κἀκεῖνοι περὶ ἡμῶν, ἔπειθ' ὅπως ἂν ὑμεῖς σαφέστε-
ρον εἰδότες τὴν δύναμιν αὐτῶν οὕτω διακέησθε πρὸς
260 ἑκάστους ἡμῶν, ὥσπερ δίκαιόν ἐστι, πρὸς δὲ τούτοις
ἵνα καὶ τοῦτο ποιήσω φανερὸν, ὅτι περὶ τοὺς πολιτι-
κοὺς λόγους ἡμεῖς ὄντες, οὓς ἐκεῖνοι φασὶν εἶναι
φιλαπεχθήμονας, πολὺ πρᾳότεροι τυγχάνομεν αὐτῶν
ὄντες· οἱ μὲν γὰρ ἀεί τι περὶ ἡμῶν φλαῦρον λέγου-
σιν, ἐγὼ δ' οὐδὲν ἂν εἴποιμι τοιοῦτον, ἀλλὰ ταῖς ἀλη-
261 θείαις χρήσομαι περὶ αὐτῶν. ἡγοῦμαι γὰρ καὶ τοὺς
ἐν τοῖς ἐριστικοῖς λόγοις δυναστεύοντας καὶ τοὺς περὶ
τὴν ἀστρολογίαν καὶ γεωμετρίαν καὶ τὰ τοιαῦτα τῶν
μαθημάτων διατρίβοντας οὐ βλάπτειν ἀλλ' ὠφελεῖν 117
τοὺς συνόντας, ἐλάττω μὲν ὧν ὑπισχνοῦνται, πλείω
262 δ' ὧν τοῖς ἄλλοις δοκοῦσιν. οἱ μὲν γὰρ πλεῖστοι τῶν
ἀνθρώπων ὑπειλήφασιν ἀδολεσχίαν καὶ μικρολογίαν
εἶναι τὰ τοιαῦτα τῶν μαθημάτων· οὐδὲν γὰρ αὐτῶν
οὔτ' ἐπὶ τῶν ἰδίων οὔτ' ἐπὶ τῶν κοινῶν εἶναι χρή-
σιμον, ἀλλ' οὐδ' ἐν ταῖς μνείαις οὐδένα χρόνον ἐμμέ-

νειν ταῖς τῶν μαθόντων διὰ τὸ μήτε τῷ βίῳ παρακο-
λουθεῖν μήτε ταῖς πράξεσιν ἐπαμύνειν ἀλλ' ἔξω
263 παντάπασιν εἶναι τῶν ἀναγκαίων. ἐγὼ δ' οὔθ' οὕ-
τως οὔτε πόρρω τούτων ἔγνωκα περὶ αὐτῶν, ἀλλ' οἵ
τε νομίζοντες μηδὲν χρησίμην εἶναι τὴν παιδείαν
ταύτην πρὸς τὰς πράξεις ὀρθῶς μοι δοκοῦσι γιγνώ-
σκειν, οἵ τ' ἐπαινοῦντες αὐτὴν ἀληθῆ λέγειν. διὰ
τοῦτο δ' οὐχ ὁμολογούμενον αὐτὸν αὑτῷ τὸν λόγον
εἴρηκα, διότι καὶ ταῦτα τὰ μαθήματα τὴν φύσιν οὐ-
264 δὲν ὁμοίαν ἔχει τοῖς ἄλλοις οἷς διδασκόμεθα. τὰ μὲν
γὰρ ἄλλα τότ' ὠφελεῖν ἡμᾶς πέφυκεν, ὅταν λάβωμεν
αὐτῶν τὴν ἐπιστήμην, ταῦτα δὲ τοὺς μὲν ἀπηκριβω-
μένους οὐδὲν ἂν εὐεργετήσειε πλὴν τοὺς ἐντεῦθεν
ζῆν προῃρημένους, τοὺς δὲ μανθάνοντας ὀνίνησι·
περὶ γὰρ τὴν περιττολογίαν καὶ τὴν ἀκρίβειαν τῆς
265 ἀστρολογίας καὶ γεωμετρίας διατρίβοντες καὶ δυσκα-
ταμαθήτοις πράγμασιν ἀναγκαζόμενοι προσέχειν τὸν
νοῦν, ἔτι δὲ συνεθιζόμενοι λέγειν καὶ πονεῖν ἐπὶ τοῖς
λεγομένοις καὶ δεικνυμένοις καὶ μὴ πεπλανημένην 118
ἔχειν τὴν διάνοιαν, ἐν τούτοις γυμνασθέντες καὶ παρ-
οξυνθέντες ῥᾷον καὶ θᾶττον τὰ σπουδαιότερα καὶ
πλείονος ἄξια τῶν πραγμάτων ἀποδέχεσθαι καὶ μαν-
266 θάνειν δύνανται. φιλοσοφίαν μὲν οὖν οὐκ οἶμαι δεῖν
προσαγορεύειν τὴν μηδὲν ἐν τῷ παρόντι μήτε πρὸς
τὸ λέγειν μήτε πρὸς τὸ πράττειν ὠφελοῦσαν, γυμνα-
σίαν μέντοι τῆς ψυχῆς καὶ παρασκευὴν τῆς φιλοσο-
φίας καλῶ τὴν διατριβὴν τὴν τοιαύτην, ἀνδρικωτέραν
μὲν ἧς οἱ παῖδες ἐν τοῖς διδασκαλείοις ποιοῦνται, τὰ
267 δὲ πλεῖστα παραπλησίαν· καὶ γὰρ ἐκείνων οἱ περὶ
τὴν γραμματικὴν καὶ τὴν μουσικὴν καὶ τὴν ἄλλην
παιδείαν διαπονηθέντες πρὸς μὲν τὸ βέλτιον εἰπεῖν
ἢ βουλεύσασθαι περὶ τῶν πραγμάτων οὐδεμίαν πω

λαμβάνουσιν ἐπίδοσιν, αὐτοὶ δ' αὑτῶν εὐμαθέστεροι γίγνονται πρὸς τὰ μείζω καὶ σπουδαιότερα τῶν μα-
268 θημάτων. διατρῖψαι μὲν οὖν περὶ τὰς παιδείας ταύτας χρόνον τινὰ συμβουλεύσαιμ' ἂν τοῖς νεωτέροις, μὴ μέντοι περιιδεῖν τὴν φύσιν τὴν αὑτῶν κατασκελετευθεῖσαν ἐπὶ τούτοις μηδ' ἐξοκείλασαν εἰς τοὺς λόγους τοὺς τῶν παλαιῶν σοφιστῶν, ὧν ὁ μὲν ἄπειρον τὸ πλῆθος ἔφησεν εἶναι τῶν ὄντων, Ἐμπεδοκλῆς δὲ τέτταρα καὶ νεῖκος καὶ φιλίαν ἐν αὐτοῖς, Ἴων δ' οὐ πλείω τριῶν, Ἀλκμαίων δὲ δύο μόνα, Παρμενίδης δὲ
269 καὶ Μέλισσος ἕν, Γοργίας δὲ παντελῶς οὐδέν. ἡγοῦ- 119
μαι γὰρ τὰς μὲν τοιαύτας περιττολογίας ὁμοίας εἶναι ταῖς θαυματοποιίαις, ταῖς οὐδὲν μὲν ὠφελούσαις, ὑπὸ δὲ τῶν ἀνοήτων περιστάτοις γιγνομέναις, δεῖν δὲ τοὺς προὔργου τι ποιεῖν βουλομένους καὶ τῶν λόγων τοὺς ματαίους καὶ τῶν πράξεων τὰς μηδὲν πρὸς τὸν βίον φερούσας ἀναιρεῖν ἐξ ἁπασῶν τῶν διατριβῶν.
270 (κς'.* κς'.) Περὶ μὲν οὖν τούτων ἀπόχρη μοι τὸ νῦν εἶναι ταῦτ' εἰρηκέναι καὶ συμβεβουλευκέναι· περὶ δὲ σοφίας καὶ φιλοσοφίας τοῖς μὲν περὶ ἄλλων τινῶν ἀγωνιζομένοις οὐκ ἂν ἁρμόσειε λέγειν περὶ τῶν ὀνομάτων τούτων, ἔστι γὰρ ἀλλότρια πάσαις ταῖς πραγματείαις, ἐμοὶ δ' ἐπειδὴ καὶ κρίνομαι περὶ τῶν τοιούτων καὶ τὴν καλουμένην ὑπό τινων φιλοσοφίαν οὐκ εἶναί φημι, προσήκει τὴν δικαίως ἂν νομιζομένην
271 ὁρίσαι καὶ δηλῶσαι πρὸς ὑμᾶς. ἁπλῶς δέ πως τυγχάνω γιγνώσκων περὶ αὐτῶν. ἐπειδὴ γὰρ οὐκ ἔνεστιν ἐν τῇ φύσει τῇ τῶν ἀνθρώπων ἐπιστήμην λαβεῖν, ἣν ἔχοντες ἂν εἰδεῖμεν ὅ τι πρακτέον ἢ λεκτέον ἐστίν, ἐκ τῶν λοιπῶν σοφοὺς μὲν νομίζω τοὺς ταῖς δόξαις ἐπιτυγχάνειν ὡς ἐπὶ τὸ πολὺ τοῦ βελτίστου δυναμένους, φιλοσόφους δὲ τοὺς ἐν τούτοις διατρίβοντας.

272 ἐξ ὧν τάχιστα λήψονται τὴν τοιαύτην φρόνησιν. ἃ δ' ἐστὶ τῶν ἐπιτηδευμάτων ταύτην ἔχοντα τὴν δύναμιν ἔχω μὲν εἰπεῖν, ὀκνῶ δὲ λέγειν· οὕτω γάρ ἐστι 120
σφόδρα καὶ παράδοξα καὶ πολὺ τῆς τῶν ἄλλων ἀφεστῶτα διανοίας, ὥστε φοβοῦμαι, μὴ τὴν ἀρχὴν αὐτῶν ἀκούσαντες θορύβου καὶ βοῆς ἅπαν ἐμπλήσητε τὸ δικαστήριον. ὅμως δὲ καίπερ οὕτω διακείμενος ἐπιχειρήσω διαλεχθῆναι περὶ αὐτῶν· αἰσχύνομαι γάρ, εἴ τισι δόξω δεδιὼς ὑπὲρ γήρως καὶ μικροῦ βίου προ-
273 διδόναι τὴν ἀλήθειαν. δέομαι δ' ὑμῶν μὴ προκαταγνῶναί μου τοιαύτην μανίαν, ὡς ἄρ' ἐγὼ κινδυνεύων προειλόμην ἂν λόγους εἰπεῖν ἐναντίους ταῖς ὑμετέραις γνώμαις, εἰ μὴ καὶ τοῖς προειρημένοις ἀκολούθους αὐτοὺς ἐνόμιζον εἶναι καὶ τὰς ἀποδείξεις ἀληθεῖς καὶ
274 σαφεῖς ᾤμην ἔχειν ὑπὲρ αὐτῶν. ἡγοῦμαι δὲ τοιαύτην μὲν τέχνην, ἥτις τοῖς κακῶς πεφυκόσιν ἀρετὴν ἐνεργάσαιτ' ἂν καὶ δικαιοσύνην, οὔτε πρότερον οὔτε νῦν οὐδεμίαν εἶναι, τούς τε τὰς ὑποσχέσεις ποιουμένους περὶ αὐτῶν πρότερον ἀπερεῖν καὶ παύσεσθαι ληροῦν-
275 τας πρὶν εὑρεθῆναί τινα παιδείαν τοιαύτην, οὐ μὴν ἀλλ' αὐτούς γ' αὑτῶν βελτίους ἂν γίγνεσθαι καὶ πλείονος ἀξίους, εἰ πρός τε τὸ λέγειν εὖ φιλοτίμως διατεθεῖεν καὶ τοῦ πείθειν δύνασθαι τοὺς ἀκούοντας ἐρασθεῖεν καὶ πρὸς τούτοις τῆς πλεονεξίας ἐπιθυμήσειαν, μὴ τῆς ὑπὸ τῶν ἀνοήτων νομιζομένης ἀλλὰ τῆς ὡς ἀληθῶς τὴν δύναμιν ταύτην ἐχούσης.
276 καὶ ταῦθ' ὡς οὕτω πέφυκε ταχέως οἶμαι δηλώσειν. 121
πρῶτον μὲν γὰρ ὁ λέγειν ἢ γράφειν προαιρούμενος λόγους ἀξίους ἐπαίνου καὶ τιμῆς οὐκ ἔστιν ὅπως ποιήσεται τὰς ὑποθέσεις ἀδίκους ἢ μικρὰς ἢ περὶ τῶν ἰδίων συμβολαίων ἀλλὰ μεγάλας καὶ καλὰς καὶ φιλανθρώπους καὶ περὶ τῶν κοινῶν πραγμάτων· μὴ

γαρ τοιαύτας εὑρίσκων οὐδὲν διαπράξεται τῶν δεόν-
277 των. ἔπειτα τῶν πράξεων τῶν συντεινουσῶν πρὸς
τὴν ὑπόθεσιν ἐκλέξεται τὰς πρεπωδεστάτας καὶ μά-
λιστα συμφερούσας· ὁ δὲ τὰς τοιαύτας συνεθιζόμενος
θεωρεῖν καὶ δοκιμάζειν οὐ μόνον περὶ τὸν ἐνεστῶτα
λόγον ἀλλὰ καὶ περὶ τὰς ἄλλας πράξεις τὴν αὐτὴν
ἕξει ταύτῃ δύναμιν, ὥσθ' ἅμα τὸ λέγειν εὖ καὶ τὸ
φρονεῖν παραγενήσεται τοῖς φιλοσόφως καὶ φιλοτί-
278 μως πρὸς τοὺς λόγους διακειμένοις. καὶ μὴν οὐδ' ὁ
πείθειν βουλόμενος ἀμελήσει τῆς ἀρετῆς ἀλλὰ τού-
τῳ μάλιστα προσέξει τὸν νοῦν, ὅπως δόξαν ὡς ἐπι-
εικεστάτην λήψεται παρὰ τοῖς συμπολιτευομένοις.
τίς γὰρ οὐκ οἶδε καὶ τοὺς λόγους ἀληθεστέρους δο-
κοῦντας εἶναι τοὺς ὑπὸ τῶν εὖ διακειμένων λεγομέ-
νους ἢ τοὺς ὑπὸ τῶν διαβεβλημένων, καὶ τὰς πί-
στεις μεῖζον δυναμένας τὰς ἐκ τοῦ βίου γεγενημέ-
νας ἢ τὰς ὑπὸ τοῦ λόγου πεπορισμένας; ὥσθ' ὅσῳ
περ ἄν τις ἐρρωμενεστέρως ἐπιθυμῇ πείθειν τοὺς
ἀκούοντας, τοσούτῳ μᾶλλον ἀσκήσει καλὸς κἀγαθὸς 122
279 εἶναι καὶ παρὰ τοῖς πολίταις εὐδοκιμεῖν. καὶ μηδεὶς
ὑμῶν οἰέσθω τοὺς μὲν ἄλλους ἅπαντας γιγνώσκειν,
ὅσην ἔχει ῥοπὴν εἰς τὸ πείθειν τὸ τοῖς κρίνουσιν ἀρέ-
σκειν, τοὺς δὲ περὶ τὴν φιλοσοφίαν ὄντας μόνους
ἀγνοεῖν τὴν τῆς εὐνοίας δύναμιν· πολὺ γὰρ ἀκρι-
280 βέστερον τῶν ἄλλων καὶ ταῦτ' ἴσασι, καὶ πρὸς τού-
τοις, ὅτι τὰ μὲν εἰκότα καὶ τὰ τεκμήρια καὶ πᾶν τὸ
τῶν πίστεων εἶδος τοῦτο μόνον ὠφελεῖ τὸ μέρος, ἐφ' ᾧ-
περ ἂν αὐτῶν ἕκαστον τύχῃ ῥηθέν, τὸ δὲ δοκεῖν εἶναι
καλὸν κἀγαθὸν οὐ μόνον τὸν λόγον πιστότερον ἐποίη-
σεν ἀλλὰ καὶ τὰς πράξεις τοῦ τὴν τοιαύτην δόξαν ἔχον-
τος ἐντιμοτέρας κατέστησεν, ὑπὲρ οὗ σπουδαστέον ἐστὶ
τοῖς εὖ φρονοῦσι μᾶλλον ἢ περὶ τῶν ἄλλων ἁπάντων

281 (κς΄.* κζ΄.) Τὸ τοίνυν περὶ τὴν πλεονεξίαν, ὃ
δυσχερέστατον ἦν τῶν ῥηθέντων· εἰ μέν τις ὑπολαμ-
βάνει τοὺς ἀποστεροῦντας ἢ παραλογιζομένους ἢ
κακόν τι ποιοῦντας πλεονεκτεῖν, οὐκ ὀρθῶς ἔγνωκεν·
οὐδένες γὰρ ἐν ἅπαντι τῷ βίῳ μᾶλλον ἐλαττοῦνται
τῶν τοιούτων, οὐδ᾽ ἐν πλείοσιν ἀπορίαις εἰσίν, οὐδ᾽
ἐπονειδιστότερον ζῶσιν, οὐδ᾽ ὅλως ἀθλιώτεροι τυγχά-
282 νουσιν ὄντες· χρὴ δὲ καὶ νῦν πλέον ἔχειν ἡγεῖσθαι
καὶ πλεονεκτήσειν νομίζειν παρὰ μὲν τῶν θεῶν τοὺς
εὐσεβεστάτους καὶ τοὺς περὶ τὴν θεραπείαν τὴν ἐκεί-
νων ἐπιμελεστάτους ὄντας, παρὰ δὲ τῶν ἀνθρώπων
τοὺς ἄριστα πρὸς τούτους, μεθ᾽ ὧν ἂν οἰκῶσι καὶ 123
πολιτεύωνται, διακειμένους, καὶ τοὺς βελτίστους αὐ-
283 τοὺς εἶναι δοκοῦντας. καὶ ταῦτα καὶ ταῖς ἀληθείαις
οὕτως ἔχει καὶ συμφέρει τὸν τρόπον τοῦτον λέγεσθαι
περὶ αὐτῶν, ἐπεὶ νῦν γ᾽ οὕτως ἀνέστραπται καὶ
συγκέχυται πολλὰ τῶν κατὰ τὴν πόλιν, ὥστ᾽ οὐδὲ τοῖς
ὀνόμασιν ἔνιοί τινες ἔτι χρῶνται κατὰ φύσιν ἀλλὰ
μεταφέρουσιν ἀπὸ τῶν καλλίστων πραγμάτων ἐπὶ τὰ
284 φαυλότατα τῶν ἐπιτηδευμάτων. τοὺς μέν γε βωμολο-
χευομένους καὶ σκώπτειν καὶ μιμεῖσθαι δυναμένους
εὐφυεῖς καλοῦσι, προσῆκον τῆς προσηγορίας ταύτης
τυγχάνειν τοὺς ἄριστα πρὸς ἀρετὴν πεφυκότας· τοὺς
δὲ ταῖς κακοηθείαις καὶ ταῖς κακουργίαις χρωμένους,
καὶ μικρὰ μὲν λαμβάνοντας, πονηρὰν δὲ δόξαν κτω-
μένους, πλεονεκτικοὺς νομίζουσιν, ἀλλ᾽ οὐ τοὺς ὁσιω-
τάτους καὶ δικαιοτάτους, οἳ περὶ τῶν ἀγαθῶν ἀλλ᾽ οὐ
285 τῶν κακῶν πλεονεκτοῦσι· τοὺς δὲ τῶν μὲν ἀναγκαί-
ων ἀμελοῦντας, τὰς δὲ τῶν παλαιῶν σοφιστῶν τερα
τολογίας ἀγαπῶντας φιλοσοφεῖν φασιν, ἀμελήσαντες
ἐπαινεῖν τοὺς τὰ τοιαῦτα μανθάνοντας καὶ μελετῶν-
τας, ἐξ ὧν καὶ τὸν ἴδιον οἶκον καὶ τὰ κοινὰ τὰ τῆς πό-

λεως καλῶς διοικήσουσιν, ὧνπερ ἕνεκα καὶ πονητέον
καὶ φιλοσοφητέον καὶ πάντα πρακτέον ἐστίν. ἀφ' ὧν
ὑμεῖς πολὺν ἤδη χρόνον ἀπελαύνετε τοὺς νεωτέρους,
ἀποδεχόμενοι τοὺς λόγους τῶν διαβαλλόντων τὴν τοι- 124
286 αύτην παιδείαν. καὶ γάρ τοι πεποιήκατε τοὺς μὲν
ἐπιεικεστάτους αὐτῶν ἐν πότοις καὶ συνουσίαις καὶ
ῥαθυμίαις καὶ παιδιαῖς τὴν ἡλικίαν διάγειν, ἀμελή-
σαντες τοῦ σπουδάζειν, ὅπως ἔσονται βελτίους, τοὺς
δὲ χείρω τὴν φύσιν ἔχοντας ἐν τοιαύταις ἀκολασίαις
ἡμερεύειν, ἐν αἷς πρότερον οὐδ' ἂν οἰκέτης ἐπιεικὴς
287 οὐδεὶς ἐτόλμησεν· οἱ μὲν γὰρ αὐτῶν ἐπὶ τῆς Ἐννεα-
κρούνου ψύχουσιν οἶνον, οἱ δ' ἐν τοῖς καπηλείοις
πίνουσιν, ἕτεροι δ' ἐν τοῖς σκιραφείοις κυβεύουσι,
πολλοὶ δ' ἐν τοῖς τῶν αὐλητρίδων διδασκαλείοις δια-
τρίβουσιν. καὶ τοὺς μὲν ἐπὶ ταῦτα προτρέποντας οὐ-
δεὶς πώποτε τῶν κήδεσθαι φασκόντων τῆς ἡλικίας
ταύτης εἰς ὑμᾶς εἰσήγαγεν· ἡμῖν δὲ κακὰ παρέχουσιν,
οἷς ἄξιον ἦν, εἰ καὶ μηδενὸς ἄλλου, τούτου γε χάριν
ἔχειν, ὅτι τοὺς συνόντας τῶν τοιούτων ἐπιτηδευμά-
288 των ἀποτρέπομεν. οὕτω δ' ἐστὶ δυσμενὲς ἅπασι τὸ
τῶν συκοφαντῶν γένος, ὥστε τοῖς μὲν λυομένοις εἴ-
κοσι καὶ τριάκοντα μνῶν τὰς μελλούσας καὶ τὸν ἄλλον
οἶκον συναναιρήσειν οὐχ ὅπως ἂν ἐπιπλήξειαν, ἀλλὰ
καὶ συγχαίρουσι ταῖς ἀσωτίαις αὐτῶν, τοὺς δ' εἰς τὴν
αὑτῶν παιδείαν ὁτιοῦν ἀναλίσκοντας διαφθείρεσθαί
φασιν. ὧν τίνες ἂν ἀδικώτερον ἔχοιεν τὴν αἰτίαν
289 ταύτην; οἵτινες ἐν ταύταις μὲν ταῖς ἀκμαῖς ὄντες 125
ὑπερεῖδον τὰς ἡδονάς, ἐν αἷς οἱ πλεῖστοι τῶν τηλικού-
των μάλιστ' αὐτῶν ἐπιθυμοῦσιν, ἐξὸν δ' αὐτοῖς ῥᾳ-
θυμεῖν μηδὲν δαπανωμένοις εἵλοντο πονεῖν, χρήματα
τελέσαντες, ἄρτι δ' ἐκ παίδων ἐξεληλυθότες ἔγνωσαν,
290 ἃ πολλοὶ τῶν πρεσβυτέρων οὐκ ἴσασιν, ὅτι δεῖ τὸν

ὀρθῶς καὶ πρεπόντως προεστῶτα τῆς ἡλικίας καὶ καλὴν ἀρχὴν τοῦ βίου ποιούμενον αὐτοῦ πρότερον ἢ τῶν αὐτοῦ ποιήσασθαι τὴν ἐπιμέλειαν, καὶ μὴ σπεύδειν καὶ ζητεῖν ἑτέρων ἄρχειν, πρὶν ἂν τῆς αὐτοῦ διανοίας λάβῃ τὸν ἐπιστατήσοντα, μηδ' οὕτω χαίρειν μηδὲ μέγα φρονεῖν ἐπὶ τοῖς ἄλλοις ἀγαθοῖς ὡς ἐπὶ τοῖς ἐν τῇ ψυχῇ διὰ τὴν παιδείαν ἐγγιγνομένοις. καίτοι τοὺς τοιούτῳ λογισμῷ κεχρημένους πῶς οὐκ ἐπαινεῖσθαι χρὴ μᾶλλον ἢ ψέγεσθαι, καὶ νομίζεσθαι βελτίστους εἶναι καὶ σωφρονεστάτους τῶν ἡλικιωτῶν;

291 Θαυμάζω δ' ὅσοι τοὺς μὲν φύσει δεινοὺς ὄντας εἰπεῖν εὐδαιμονίζουσιν ὡς ἀγαθοῦ καὶ καλοῦ πράγματος αὐτοῖς συμβεβηκότος, τοὺς δὲ τοιούτους γενέσθαι βουλομένους λοιδοροῦσιν ὡς ἀδίκου καὶ κακοῦ παιδεύματος ἐπιθυμοῦντας. καίτοι τί τῶν φύσει καλῶν ὄντων μελέτῃ κατεργασθὲν αἰσχρὸν ἢ κακόν ἐστιν; οὐδὲν γὰρ εὑρήσομεν τοιοῦτον, ἀλλ' ἔν γε τοῖς ἄλλοις ἐπαινοῦμεν τοὺς ταῖς φιλοπονίαις ταῖς αὑτῶν ἀγαθόν τι κτήσασθαι δυνηθέντας μᾶλλον ἢ τοὺς παρὰ
292 τῶν προγόνων παραλαβόντας, εἰκότως· συμφέρει 126
γὰρ ἐπί τε τῶν ἄλλων ἁπάντων καὶ μάλιστ' ἐπὶ τῶν λόγων μὴ τὰς εὐτυχίας ἀλλὰ τὰς ἐπιμελείας εὐδοκιμεῖν. οἱ μὲν γὰρ φύσει καὶ τύχῃ δεινοὶ γενόμενοι λέγειν οὐ πρὸς τὸ βέλτιστον ἀποβλέπουσιν, ἀλλ' ὅπως ἂν τύχωσιν, οὕτω χρῆσθαι τοῖς λόγοις εἰώθασιν· οἱ δὲ φιλοσοφίᾳ καὶ λογισμῷ τὴν δύναμιν ταύτην λαβόντες, οὐδὲν ἀσκέπτως λέγοντες, ἧττον περὶ τὰς
293 πράξεις πλημμελοῦσιν. ὥσθ' ἅπασι μὲν βούλεσθαι προσήκει πολλοὺς εἶναι τοὺς ἐκ παιδείας δεινοὺς εἰπεῖν γιγνομένους, μάλιστα δ' ὑμῖν· καὶ γὰρ αὐτοὶ προέχετε καὶ διαφέρετε τῶν ἄλλων οὐ ταῖς περὶ τὸν πόλεμον ἐπιμελείαις, οὐδ' ὅτι κάλλιστα πολιτεύεσθε

καὶ μάλιστα φυλάττετε τοὺς νόμους, οὓς ὑμῖν οἱ
πρόγονοι κατέλιπον, ἀλλὰ τούτοις, οἷσπερ ἡ φύσις ἡ
τῶν ἀνθρώπων τῶν ἄλλων ζώων καὶ τὸ γένος τὸ τῶν
294 Ἑλλήνων τῶν βαρβάρων, τῷ καὶ πρὸς τὴν φρόνησιν
καὶ πρὸς τοὺς λόγους ἄμεινον πεπαιδεῦσθαι τῶν ἄλλων.
ὥστε πάντων ἂν συμβαίη δεινότατον, εἰ τοὺς βουλο-
μένους τοῖς αὐτοῖς τούτοις διενεγκεῖν τῶν ἡλικιωτῶν,
οἷσπερ ὑμεῖς ἁπάντων, διαφθείρεσθαι ψηφίσαισθε,
καὶ τοὺς τῇ παιδείᾳ ταύτῃ χρωμένους, ἧς ὑμεῖς ἡγε-
μόνες γεγένησθε, συμφορᾷ τινὶ περιβάλοιτε.
295 (κϛ'.*κη'.) Χρὴ γὰρ μηδὲ τοῦτο λανθάνειν ὑμᾶς,
ὅτι πάντων τῶν δυναμένων λέγειν ἢ παιδεύειν ἡ πόλις 127
ἡμῶν δοκεῖ γεγενῆσθαι διδάσκαλος, εἰκότως· καὶ γὰρ
ἆθλα μέγιστα τιθεῖσαν αὐτὴν ὁρῶσι τοῖς τὴν δύναμιν
ταύτην ἔχουσι καὶ γυμνάσια πλεῖστα καὶ παντοδα-
πώτατα παρέχουσαν τοῖς ἀγωνίζεσθαι προῃρημένοις
καὶ περὶ τὰς τοιαύτας γυμνάζεσθαι βουλομένοις, ἔτι
296 δὲ τὴν ἐμπειρίαν, ἥπερ μάλιστα ποιεῖ δύνασθαι λέγειν,
ἐνθένδε πάντας λαμβάνοντας· πρὸς δὲ τούτοις καὶ
τὴν τῆς φωνῆς κοινότητα καὶ μετριότητα καὶ τὴν ἄλ-
λην εὐτραπελίαν καὶ φιλολογίαν οὐ μικρὸν ἡγοῦνται
συμβαλέσθαι μέρος πρὸς τὴν τῶν λόγων παιδείαν. ὥστ'
οὐκ ἀδίκως ὑπολαμβάνουσιν ἅπαντας τοὺς λέγειν ὄν-
297 τας δεινοὺς τῆς πόλεως εἶναι μαθητάς. σκοπεῖτ' οὖν,
μὴ παντάπασιν ᾖ καταγέλαστον τῆς δόξης ταύτης
φλαῦρόν τι καταγιγνώσκειν, ἣν ὑμεῖς ἔχετε παρὰ τοῖς
Ἕλλησι πολὺ μᾶλλον ἠγὼ παρ' ὑμῖν· οὐδὲν γὰρ ἄλλ'
ἢ φανερῶς ὑμῶν αὐτῶν ἔσεσθε κατεψηφισμένοι τὴν
298 τοιαύτην ἀδικίαν καὶ πεποιηκότες ὅμοιον, ὥσπερ ἂν
εἰ Λακεδαιμόνιοι τοὺς τὰ περὶ τὸν πόλεμον ἀσκοῦν-
τας ζημιοῦν ἐπιχειροῖεν ἢ Θετταλοὶ παρὰ τῶν ἱπ-
πεύειν μελετώντων δίκην λαμβάνειν ἀξιοῖεν. ὑπὲρ ὧν

φυλακτέον ἐστίν, ὅπως μηδὲν τοιοῦτον ἐξαμαρτήσε-
σθε περὶ ὑμᾶς αὐτούς, μηδὲ πιστοτέρους ποιήσετε
τοὺς λόγους τοὺς τῶν κατηγορούντων τῆς πόλεως ἢ 128
299 τοὺς τῶν ἐπαινούντων. (κϛʹ. * κθʹ.) Οἶμαι δ' ὑμᾶς
οὐκ ἀγνοεῖν, ὅτι τῶν Ἑλλήνων οἱ μὲν δυσκόλως
πρὸς ὑμᾶς ἔχουσιν, οἱ δ' ὡς οἷόν τε μάλιστα φιλοῦσι
καὶ τὰς ἐλπίδας τῆς σωτηρίας ἐν ὑμῖν ἔχουσιν. καί
φασιν οἱ μὲν τοιοῦτοι μόνην εἶναι ταύτην πόλιν,
τὰς δ' ἄλλας κώμας, καὶ δικαίως ἂν αὐτὴν ἄστυ
τῆς Ἑλλάδος προσαγορεύεσθαι καὶ διὰ τὸ μέγεθος
καὶ διὰ τὰς εὐπορίας τὰς ἐνθένδε τοῖς ἄλλοις γιγνο-
μένας καὶ μάλιστα διὰ τὸν τρόπον τῶν ἐνοικούν-
300 των· οὐδένας γὰρ εἶναι πραοτέρους οὐδὲ κοινοτέρους,
οὐδ' οἷς οἰκειότερον ἄν τις τὸν ἅπαντα βίον συνδια-
τρίψειεν. οὕτω δὲ μεγάλαις χρῶνται ταῖς ὑπερβολαῖς,
ὥστ' οὐδὲ τοῦτ' ὀκνοῦσι λέγειν, ὡς ἥδιον ἂν ὑπ' ἀν-
δρὸς Ἀθηναίου ζημιωθεῖεν ἢ διὰ τῆς ἑτέρων ὠμότη-
τος εὖ πάθοιεν. οἱ δὲ ταῦτα μὲν διασύρουσι, διεξ-
ιόντες δὲ τὰς τῶν συκοφαντῶν πικρότητας καὶ κακο-
πραγίας ὅλης τῆς πόλεως ὡς ἀμίκτου καὶ χαλεπῆς οὔ-
301 σης κατηγοροῦσιν. ἔστιν οὖν δικαστῶν νοῦν ἐχόντων
τοὺς μὲν τῶν τοιούτων λόγων αἰτίους γιγνομένους
ἀποκτείνειν ὡς μεγάλην αἰσχύνην τῇ πόλει περιποι-
οῦντας, τοὺς δὲ τῶν ἐπαίνων τῶν λεγομένων περὶ
αὐτῆς μέρος τι συμβαλλομένους τιμᾶν μᾶλλον ἢ τοὺς
ἀθλητὰς τοὺς ἐν τοῖς στεφανίταις ἀγῶσι νικῶντας·
302 πολὺ γὰρ καλλίω δόξαν ἐκείνων κτώμενοι τῇ πόλει
τυγχάνουσι καὶ μᾶλλον ἁρμόττουσαν. περὶ μὲν γὰρ 129
τὴν τῶν σωμάτων ἀγωνίαν πολλοὺς τοὺς ἀμφισβη-
τοῦντας ἔχομεν, περὶ δὲ τὴν παιδείαν ἅπαντες ἂν ἡμᾶς
πρωτεύειν προκρίνειαν. χρὴ δὲ τοὺς μικρὰ λογίζε-
σθαι δυναμένους τοὺς ἐν τοῖς τοιούτοις τῶν ἔργων

διαφέροντας, ἐν οἷς ἡ πόλις εὐδοκιμεῖ, τιμῶντας φαίνεσθαι καὶ μὴ φθονερῶς ἔχειν μηδ' ἐναντία τοῖς
303 ἄλλοις Ἕλλησι γιγνώσκειν περὶ αὐτῶν. ὧν ὑμῖν οὐδὲν πώποτ' ἐμέλησεν, ἀλλὰ τοσοῦτον διημαρτήκατε τοῦ συμφέροντος, ὥσθ' ἥδιον ἔχετε, δι' οὓς ἀκούετε κακῶς ἢ δι' οὓς ἐπαινεῖσθε, καὶ δημοτικωτέρους εἶναι νομίζετε τοὺς τοῦ μισεῖσθαι τὴν πόλιν ὑπὸ πολλῶν αἰτίους ὄντας ἢ τοὺς ἅπαντας, οἷς πεπλησιάκασιν,
304 εὖ διακεῖσθαι πρὸς αὐτὴν πεποιηκότας. ἢν οὖν σωφρονῆτε, τῆς μὲν ταραχῆς παύσεσθε ταύτης, οὐχ οὕτω δ' ὥσπερ νῦν οἱ μὲν τραχέως, οἱ δ' ὀλιγώρως διακείσεσθε πρὸς τὴν φιλοσοφίαν, ἀλλ' ὑπολαβόντες κάλλιστον εἶναι καὶ σπουδαιότατον τῶν ἐπιτηδευμάτων τὴν τῆς ψυχῆς ἐπιμέλειαν προτρέψετε τῶν νεωτέρων τοὺς βίον ἱκανὸν κεκτημένους καὶ σχολὴν ἄγειν δυναμένους ἐπὶ τὴν παιδείαν καὶ
305 τὴν ἄσκησιν τὴν τοιαύτην, καὶ τοὺς μὲν πονεῖν ἐθέλοντας καὶ παρασκευάζειν σφᾶς αὐτοὺς χρησίμους τῇ πόλει περὶ πολλοῦ ποιήσεσθε, τοὺς δὲ καταβεβλημένως ζῶντας καὶ μηδενὸς ἄλλου φροντίζοντας, πλὴν 130
ὅπως ἀσελγῶς ἀπολαύσονται τῶν καταλειφθέντων, τούτους δὲ μισήσετε καὶ προδότας νομιεῖτε καὶ τῆς τῶν προγόνων δόξης· μόλις γάρ, ἢν οὕτως ὑμᾶς αἴσθωνται πρὸς ἑκατέρους αὐτῶν διακειμένους, ἐθελήσουσιν οἱ νεώτεροι καταφρονήσαντες τῆς ῥαθυμίας προσέχειν σφίσιν αὐτοῖς καὶ τῇ φιλοσοφίᾳ τὸν νοῦν.
306 ἀναμνήσθητε δὲ τὸ κάλλος καὶ τὸ μέγεθος τῶν ἔργων τῶν τῇ πόλει καὶ τοῖς προγόνοις πεπραγμένων, καὶ διέλθετε πρὸς ὑμᾶς αὐτοὺς καὶ σκέψασθε, ποῖός τις ἦν καὶ πῶς γεγονὼς καὶ τίνα τρόπον καὶ πεπαιδευμένος ὁ τοὺς τυράννους ἐκβαλὼν καὶ τὸν δῆμον καταγαγὼν καὶ τὴν δημοκρατίαν καταστήσας, ποῖος δέ τις ὁ τοὺς

βαρβάρους Μαραθῶνι τῇ μάχῃ νικήσας καὶ τὴν δό-
ξαν τὴν ἐκ ταύτης γεγενημένην τῇ πόλει κτησάμενος,
307 τίς δ' ἦν ὁ μετ' ἐκεῖνον τοὺς Ἕλληνας ἐλευθερώσας καὶ
τοὺς προγόνους ἐπὶ τὴν ἡγεμονίαν καὶ τὴν δυναστείαν,
ἣν ἔσχον, προαγαγὼν, ἔτι δὲ τὴν φύσιν τὴν τοῦ Πει-
ραιέως κατιδὼν καὶ τὸ τεῖχος ἀκόντων Λακεδαιμονίων
τῇ πόλει περιβαλὼν, τίς δ' ὁ μετὰ τοῦτον ἀργυρίου καὶ
χρυσίου τὴν ἀκρόπολιν ἐμπλήσας καὶ τοὺς οἴκους τοὺς
ἰδίους μεστοὺς πολλῆς εὐδαιμονίας καὶ πλούτου ποι-
308 ήσας· εὑρήσετε γὰρ, ἢν ἐξετάζητε τούτων ἕκαστον,
οὐ τοὺς συκοφαντικῶς βεβιωκότας οὐδὲ τοὺς ἀμελῶς 131
οὐδὲ τοὺς τοῖς πολλοῖς ὁμοίους ὄντας ταῦτα διαπε-
πραγμένους, ἀλλὰ τοὺς διαφέροντας καὶ προέχοντας
μὴ μόνον ταῖς εὐγενείαις καὶ ταῖς δόξαις ἀλλὰ καὶ
τῷ φρονεῖν καὶ λέγειν, τούτους ἁπάντων ἀγαθῶν αἰ-
309 τίους γεγενημένους. ὧν εἰκὸς ὑμᾶς ἐνθυμουμένους
ὑπὲρ μὲν τοῦ πλήθους τοῦτο σκοπεῖν, ὅπως ἔν τε τοῖς
ἀγῶσι τοῖς περὶ τῶν συμβολαίων τῶν δικαίων τεύξον-
ται καὶ τῶν ἄλλων τῶν κοινῶν μεθέξουσι, τοὺς δ'
ὑπερέχοντας καὶ τῇ φύσει καὶ ταῖς μελέταις καὶ τοὺς
τοιούτους γενέσθαι προθυμουμένους ἀγαπᾶν καὶ τι-
μᾶν καὶ θεραπεύειν, ἐπισταμένους, ὅτι καὶ τὸ καλῶν
καὶ μεγάλων ἡγήσασθαι πραγμάτων καὶ τὸ δύνασθαι
τὰς πόλεις ἐκ τῶν κινδύνων σώζειν καὶ τὴν δημοκρα-
τίαν διαφυλάττειν ἐν τοῖς τοιούτοις ἔνεστιν ἀλλ' οὐκ
ἐν τοῖς συκοφάνταις. Pag. Steph.
310 (κζ'.) Πολλῶν δ' ἐφεστώτων μοι λόγων ἀπορῶ, 343
πῶς αὐτοὺς διαθῶμαι· δοκεῖ γάρ μοι καθ' αὑτὸ μὲν
ἕκαστον ὧν διανοοῦμαι ῥηθὲν ἐπιεικὲς ἂν φανῆναι,
πάντα δὲ νυνὶ λεγόμενα πολὺν ἂν ὄχλον ἐμοί τε καὶ d
τοῖς ἀκούουσι παρασχεῖν. ὅπερ καὶ περὶ τῶν ἤδη
προειρημένων δέδοικα, μὴ τοιοῦτόν τι πάθος αὐτοῖς

311 *διὰ τὸ πλῆθος τυγχάνῃ συμβεβηκός. οὕτω γὰρ ἀπλή-*
στως ἅπαντες ἔχομεν περὶ τοὺς λόγους, ὥστ' ἐπαινοῦ-
μεν μὲν τὴν εὐκαιρίαν καὶ φαμὲν οὐδὲν εἶναι τοιοῦ-
τον, ἐπειδὰν δ' οἰηθῶμεν, ὡς ἔχομέν τι λέγειν, ἀμελή-
σαντες τοῦ μετριάζειν, κατὰ μικρὸν ἀεὶ προστιθέντες
εἰς τὰς ἐσχάτας ἀκαιρίας ἐμβάλλομεν ἡμᾶς αὐτούς· e
ὅπου γε καὶ λέγων ἐγὼ ταῦτα καὶ γιγνώσκων, ὅμως
312 *ἔτι βούλομαι διαλεχθῆναι πρὸς ὑμᾶς. (κη'.) Ἀγανα-*
κτῶ γὰρ ὁρῶν τὴν συκοφαντίαν ἄμεινον τῆς φιλοσο-
φίας φερομένην, καὶ τὴν μὲν κατηγοροῦσαν, τὴν δὲ 344
κρινομένην. ὃ τίς ἂν τῶν παλαιῶν ἀνδρῶν γενήσε-
σθαι προσεδόκησεν, ἄλλως τε καὶ παρ' ὑμῖν τοῖς ἐπὶ
313 *σοφίᾳ μεῖζον τῶν ἄλλων φρονοῦσιν; οὔκουν ἐπί γε*
τῶν προγόνων οὕτως εἶχεν, ἀλλὰ τοὺς μὲν καλου-
μένους σοφιστὰς ἐθαύμαζον καὶ τοὺς συνόντας αὐτοῖς
ἐζήλουν, τοὺς δὲ συκοφάντας πλείστων κακῶν αἰτίους
ἐνόμιζον εἶναι. μέγιστον δὲ τεκμήριον· Σόλωνα μὲν
γὰρ, τὸν πρῶτον τῶν πολιτῶν λαβόντα τὴν ἐπωνυ- b
μίαν ταύτην, προστάτην ἠξίωσαν τῆς πόλεως εἶναι,
περὶ δὲ τῶν συκοφαντῶν χαλεπωτέρους ἢ περὶ τῶν
314 *ἄλλων τοὺς νόμους ἔθεσαν. τοῖς μὲν γὰρ μεγίστοις*
τῶν ἀδικημάτων ἐν ἑνὶ τῶν δικαστηρίων τὴν κρίσιν
ἐποίησαν, κατὰ δὲ τούτων γραφὰς μὲν πρὸς τοὺς
θεσμοθέτας, εἰσαγγελίας δ' εἰς τὴν βουλὴν, προβολὰς
δ' ἐν τῷ δήμῳ, νομίζοντες τοὺς ταύτῃ τῇ τέχνῃ χρω-
μένους ἁπάσας ὑπερβάλλειν τὰς πονηρίας. τοὺς μὲν c
γὰρ ἄλλους πειρᾶσθαί γε λανθάνειν κακουργοῦν-
315 *τας, τούτους δ' ἐν ἅπασιν ἐπιδείκνυσθαι τὴν αὑτῶν*
ὠμότητα καὶ μισανθρωπίαν καὶ φιλαπεχθημοσύνην.
(κθ'.) Κἀκεῖνοι μὲν οὕτως ἐγίγνωσκον περὶ αὐτῶν·
ὑμεῖς δὲ τοσοῦτον ἀπέχετε τοῦ κολάζειν αὐτοὺς, ὥστε
τούτοις χρῆσθε καὶ κατηγόροις καὶ νομοθέταις περὶ

τῶν ἄλλων. καίτοι προσῆκεν αὐτοὺς νῦν μισεῖσθαι
316 μᾶλλον ἢ κατ' ἐκεῖνον τὸν χρόνον. τότε μὲν γὰρ ἐν
τοῖς ἐγκυκλίοις μόνον καὶ τοῖς κατὰ τὴν πόλιν ἔβλα- d
πτον τοὺς συμπολιτευομένους· ἐπειδὴ δ' αὐξηθείσης
τῆς πόλεως καὶ λαβούσης τὴν ἀρχὴν οἱ πατέρες ἡμῶν
μᾶλλον θαρρήσαντες τοῦ συμφέροντος τοῖς μὲν κα-
λοῖς κἀγαθοῖς τῶν ἀνδρῶν καὶ μεγάλην τὴν πόλιν
ποιήσασι διὰ τὰς δυναστείας ἐφθόνησαν, πονηρῶν δ'
317 ἀνθρώπων καὶ μεστῶν θρασύτητος ἐπεθύμησαν, οἰη-
θέντες ταῖς μὲν τόλμαις καὶ ταῖς φιλαπεχθημοσύναις
ἱκανοὺς αὐτοὺς ἔσεσθαι διαφυλάττειν τὴν δημοκρα- e
τίαν, διὰ δὲ τὴν φαυλότητα τῶν ἐξ ἀρχῆς αὐτοῖς ὑπαρ-
ξάντων οὐ μέγα φρονήσειν οὐδ' ἐπιθυμήσειν ἑτέρας
πολιτείας, ἐκ ταύτης τῆς μεταβολῆς τί τῶν δεινῶν οὐ
συνέπεσε τῇ πόλει; τί δὲ τῶν μεγίστων κακῶν οἱ ταύ- 315
την ἔχοντες τὴν φύσιν οὐ καὶ λέγοντες καὶ πράττον-
318 τες διετέλεσαν; οὐ τοὺς μὲν ἐνδοξοτάτους τῶν πολι-
τῶν καὶ μάλιστα δυναμένους ποιῆσαί τι τὴν πόλιν
ἀγαθὸν, ὀλιγαρχίαν ὀνειδίζοντες καὶ λακωνισμὸν, οὐ
πρότερον ἐπαύσαντο πρὶν ἠνάγκασαν ὁμοίους γενέ-
σθαι ταῖς αἰτίαις ταῖς λεγομέναις περὶ αὐτῶν; τοὺς
δὲ συμμάχους λυμαινόμενοι καὶ συκοφαντοῦντες καὶ
τοὺς βελτίστους ἐκ τῶν ὄντων ἐκβάλλοντες οὕτω διέ- b
θεσαν ὥσθ' ἡμῶν μὲν ἀποστῆναι, τῆς δὲ Λακεδαι-
319 μονίων ἐρασθῆναι φιλίας καὶ συμμαχίας; ἐξ ὧν εἰς
πόλεμον καταστάντες πολλοὺς ἐπείδομεν τῶν πολιτῶν
τοὺς μὲν τελευτήσαντας, τοὺς δ' ἐπὶ τοῖς πολεμίοις
γενομένους, τοὺς δ' εἰς ἔνδειαν τῶν ἀναγκαίων κατα-
στάντας, ἔτι δὲ τὴν δημοκρατίαν δὶς καταλυθεῖσαν
καὶ τὰ τείχη τῆς πατρίδος κατασκαφέντα, τὸ δὲ μέγι-
στον, ὅλην τὴν πόλιν περὶ ἀνδραποδισμοῦ κινδυνεύ- c
σασαν καὶ τὴν ἀκρόπολιν τοὺς πολεμίους οἰκήσαντας.

320 (λ'.) Ἀλλὰ γὰρ αἰσθάνομαι, καίπερ ὑπὸ τῆς ὀργῆς
βίᾳ φερόμενος, τὸ μὲν ὕδωρ ἡμᾶς ἐπιλεῖπον, αὐτὸς
δ' ἐμπεπτωκὼς εἰς λόγους ἡμερησίους καὶ κατηγορίας.
ὑπερβὰς οὖν τὸ πλῆθος τῶν συμφορῶν τῶν διὰ τού-
τους γεγενημένων, καὶ διωσάμενος τὸν ὄχλον τῶν
ἐνόντων εἰπεῖν περὶ τῆς τούτων συκοφαντίας, μικρῶν
321 ἔτι πάνυ μνησθεὶς ἤδη καταλύσω τὸν λόγον. (λα'.) Τοὺς d
μὲν οὖν ἄλλους ὁρῶ τοὺς κινδυνεύοντας, ἐπειδὰν
περὶ τὴν τελευτὴν ὦσι τῆς ἀπολογίας, ἱκετεύοντας,
δεομένους, τοὺς παῖδας, τοὺς φίλους ἀναβιβαζομένους·
ἐγὼ δ' οὔτε πρέπειν οὐδὲν ἡγοῦμαι τῶν τοιούτων
τοῖς τηλικούτοις, πρός τε τῷ ταῦτα γιγνώσκειν αἰ-
σχυνθείην ἄν, εἰ δι' ἄλλο τι σωζοίμην ἢ διὰ τοὺς
λόγους τοὺς προειρημένους. οἶδα γὰρ ἐμαυτὸν οὕ- e
τως ὁσίως καὶ δικαίως κεχρημένον αὐτοῖς καὶ περὶ
τὴν πόλιν καὶ περὶ τοὺς προγόνους καὶ μάλιστα περὶ
τοὺς θεούς, ὥστ' εἴ τι μέλει τῶν ἀνθρωπίνων αὐτοῖς
πραγμάτων ἔκδοτον, τῶν νῦν περὶ ἐμὲ γιγνομένων
322 οὐδὲν αὐτοὺς οἶμαι λανθάνειν. διόπερ οὐκ ὀρρωδῶ 346
τὸ μέλλον συμβήσεσθαι παρ' ὑμῶν, ἀλλὰ θαρρῶ
καὶ πολλὰς ἐλπίδας ἔχω τότε μοι τοῦ βίου τὴν τελευ-
τὴν ἥξειν, ὅταν μέλλῃ συνοίσειν, σημείῳ χρώμενος,
ὅτι καὶ τὸν παρελθόντα χρόνον οὕτω τυγχάνω βεβιω-
κὼς μέχρι ταύτης τῆς ἡμέρας, ὥσπερ προσήκει τοὺς
323 εὐσεβεῖς καὶ θεοφιλεῖς τῶν ἀνθρώπων. ὡς οὖν ἐμοῦ
ταύτην ἔχοντος τὴν γνώμην καὶ νομίζοντος, ὅ τι ἂν
ὑμῖν δόξῃ, τοῦθ' ἕξειν μοι καλῶς καὶ συμφερόντως,
ὅπως ἕκαστος ὑμῶν χαίρει καὶ βούλεται, τοῦτον τὸν
τρόπον φερέτω τὴν ψῆφον.

16.

ΠΕΡΙ ΤΟΥ ΖΕΥΓΟΥΣ.

. . . .

(α΄.) Περὶ μὲν οὖν τοῦ ζεύγους τῶν ἵππων, ὡς 347
οὐκ ἀφελόμενος ὁ πατὴρ Τισίαν εἶχεν ἀλλὰ πριάμε-
νος παρὰ τῆς πόλεως τῆς Ἀργείων, τῶν τε πρέσβεων
τῶν ἐκεῖθεν ἡκόντων καὶ τῶν ἄλλων τῶν εἰδότων
ἀκηκόατε μαρτυρούντων· τὸν αὐτὸν δὲ τρόπον ἅπαν-
2 τές εἰσιν εἰθισμένοι με συκοφαντεῖν. τὰς μὲν γὰρ δί-
κας ὑπὲρ τῶν ἰδίων ἐγκλημάτων λαγχάνουσι, τὰς δὲ b
κατηγορίας ὑπὲρ τῶν τῆς πόλεως πραγμάτων ποιοῦν-
ται, καὶ πλείω χρόνον διατρίβουσι τὸν πατέρα μου δια-
βάλλοντες ἢ περὶ ὧν ἀντώμοσαν διδάσκοντες, καὶ
τοσοῦτον καταφρονοῦσι τῶν νόμων, ὥστε περὶ ὧν
ὑμᾶς ὑπ' ἐκείνου φασὶν ἠδικῆσθαι, τούτων αὐτοὶ δί-
3 κην παρ' ἐμοῦ λαβεῖν ἀξιοῦσιν. ἐγὼ δ' ἡγοῦμαι μὲν
οὐδὲν προσήκειν τὰς κοινὰς αἰτίας τοῖς ἰδίοις ἀγῶσιν·
ἐπειδὴ δὲ Τισίας πολλάκις ὀνειδίζει μοι τὴν φυγὴν c
τὴν τοῦ πατρὸς καὶ μᾶλλον ὑπὲρ τῶν ὑμετέρων ἢ
τῶν αὑτοῦ σπουδάζει πραγμάτων, ἀνάγκη πρὸς ταῦτα
τὴν ἀπολογίαν ποιεῖσθαι· καὶ γὰρ ἂν αἰσχυνοίμην, εἴ
τῳ δόξαιμι τῶν πολιτῶν ἧττον φροντίζειν τῆς ἐκείνου
δόξης ἢ τῶν ἐμαυτοῦ κινδύνων.

4 (β΄.) Πρὸς μὲν οὖν τοὺς πρεσβυτέρους βραχὺς ἂν
ἐξήρκει λόγος· ἅπαντες γὰρ ἴσασιν, ὅτι διὰ τοὺς αὐ-
τοὺς ἄνδρας ἥ τε δημοκρατία κατελύθη κἀκεῖνος ἐκ
τῆς πόλεως ἐξέπεσεν· τῶν δὲ νεωτέρων ἕνεκα, οἳ τῶν d
μὲν πραγμάτων ὕστεροι γεγόνασι, τῶν δὲ διαβαλλόν-
των πολλάκις ἀκηκόασι, πορρωτέρωθεν ἄρξομαι δι-
δάσκειν.

5 (γ'.) Οἱ γὰρ τὸ πρῶτον ἐπιβουλεύσαντες τῷ δή-
μῳ καὶ καταστήσαντες τοὺς τετρακοσίους, ἐπειδὴ πα-
ρακαλούμενος ὁ πατὴρ οὐκ ἤθελε γενέσθαι μετ' αὐ-
τῶν, ὁρῶντες αὐτὸν καὶ πρὸς τὰς πράξεις ἐρρωμένως
ἔχοντα καὶ πρὸς τὸ πλῆθος πιστῶς διακείμενον, ἡ-
γοῦντ' οὐδὲν οἷοί τ' εἶναι κινεῖν τῶν καθεστώτων, e
6 πρὶν ἐκποδὼν ἐκεῖνος αὐτοῖς γένοιτο. εἰδότες δὲ τὴν
πόλιν τῶν μὲν περὶ τοὺς θεοὺς μάλιστ' ἂν ὀργισθεῖ-
σαν, εἴ τις εἰς τὰ μυστήρια φαίνοιτ' ἐξαμαρτάνων,
τῶν δ' ἄλλων εἴ τις τὴν δημοκρατίαν τολμῴη κατα-
λύειν, ἀμφοτέρας ταύτας συνθέντες τὰς αἰτίας εἰσ- 348
ήγγελλον εἰς τὴν βουλήν, λέγοντες, ὡς ὁ πατὴρ μὲν
συνάγοι τὴν ἑταιρείαν ἐπὶ νεωτέροις πράγμασιν, οὗ-
τοι δ' ἐν τῇ Πουλυτίωνος οἰκίᾳ συνδειπνοῦντες τὰ
7 μυστήρια ποιήσειαν. ὀρθῆς δὲ τῆς πόλεως γενομένης
διὰ τὸ μέγεθος τῶν αἰτιῶν καὶ διὰ ταχέων συλλε-
γείσης ἐκκλησίας οὕτω σαφῶς ἐπέδειξεν αὐτοὺς ψευ-
δομένους, ὥστε παρὰ μὲν τῶν κατηγόρων ἡδέως ἂν ὁ
δῆμος δίκην ἔλαβε, τὸν δ' εἰς Σικελίαν στρατηγὸν ἐχει- b
ροτόνησεν. μετὰ δὲ ταῦθ' ὁ μὲν ἐξέπλευσεν ὡς ἀπηλλαγ-
μένος ἤδη τῆς διαβολῆς, οἱ δὲ συστήσαντες τὴν βουλὴν
καὶ τοὺς ῥήτορας ὑφ' αὑτοῖς ποιησάμενοι πάλιν ἤγειρον
8 τὸ πρᾶγμα καὶ μηνυτὰς εἰσέπεμπον. καὶ τί δεῖ μακρο-
λογεῖν; οὐ γὰρ πρότερον ἐπαύσαντο, πρὶν τόν τε πα-
τέρ' ἐκ τοῦ στρατοπέδου μετεπέμψαντο, καὶ τῶν φίλων
αὐτοῦ τοὺς μὲν ἀπέκτειναν, τοὺς δ' ἐκ τῆς πόλεως ἐξέ-
βαλον. πυθόμενος δὲ τήν τε τῶν ἐχθρῶν δύναμιν καὶ c
τὰς τῶν ἐπιτηδείων συμφοράς, καὶ νομίζων δεινὰ πά-
σχειν, ὅτι παρόντα μὲν αὐτὸν οὐκ ἔκρινον, ἀπόντος δὲ
κατεγίγνωσκον, οὐδ' ὣς ἀπελθεῖν ἠξίωσεν εἰς τοὺς
9 πολεμίους· ἀλλ' ἐκεῖνος μὲν τοσαύτην πρόνοιαν ἔσχεν
ὑπὲρ τοῦ μηδὲ φεύγων μηδὲν ἐξαμαρτεῖν εἰς τὴν πό-

*λιν, ὥστ' εἰς Ἄργος ἐλθὼν ἡσυχίαν εἶχεν, οἱ δ' εἰς το-
σοῦτον ὕβρεως ἦλθον, ὥστ' ἔπεισαν ὑμᾶς ἐλαύνειν αὐ-* d
*τὸν ἐξ ἁπάσης τῆς Ἑλλάδος καὶ στηλίτην ἀναγράφειν
καὶ πρέσβεις πέμποντας ἐξαιτεῖν παρ' Ἀργείων. ἀπο-
ρῶν δ' ὅ τι χρήσαιτο τοῖς παροῦσι κακοῖς καὶ πανταχό-
θεν εἰργόμενος καὶ σωτηρίας οὐδεμιᾶς ἄλλης αὐτῷ
φαινομένης τελευτῶν ἐπὶ Λακεδαιμονίους ἠναγκά-
σθη καταφυγεῖν.*

10 (δ'.) *Καὶ τὰ μὲν γενόμενα ταῦτ' ἐστίν· τοσοῦτον
δὲ τοῖς ἐχθροῖς τῆς ὕβρεως περίεστιν, ὥσθ' οὕτως ἀνό-
μως τοῦ πατρὸς ἐκπεσόντος ὡς δεινὰ δεδρακότος αὐ-* e
*τοῦ κατηγοροῦσιν, ὡς Δεκέλειάν τ' ἐπετείχισε καὶ τὰς
νήσους ἀπέστησε καὶ τῶν πολεμίων διδάσκαλος κατέ-
στη. καὶ ἐνίοτε μὲν αὐτοῦ προσποιοῦνται καταφρο-*
11 *νεῖν, λέγοντες, ὡς οὐδὲν διέφερε τῶν ἄλλων, νυνὶ δ'
ἁπάντων αὐτὸν τῶν γεγενημένων αἰτιῶνται καί φασι
παρ' ἐκείνου μαθεῖν Λακεδαιμονίους, ὡς χρὴ πολε-
μεῖν, οἳ καὶ τοὺς ἄλλους διδάσκειν τέχνην ἔχουσιν.* 349
*ἐγὼ δ' εἴ μοι χρόνος ἱκανὸς γένοιτο, ῥᾳδίως ἂν αὐ-
τὸν ἐπιδείξαιμι τὰ μὲν δικαίως πράξαντα, τῶν δ' ἀδί-
κως αἰτίαν ἔχοντα. πάντων δ' ἂν εἴη δεινότατον, εἰ
τοῦ πατρὸς μετὰ τὴν φυγὴν δωρεὰν λαβόντος ἐγὼ διὰ
τὴν ἐκείνου φυγὴν ζημιωθείην.*

12 (ε'.) *Ἡγοῦμαι δ' αὐτὸν παρ' ὑμῶν δικαίως ἂν
πλείστης συγγνώμης τυγχάνειν· ὑπὸ γὰρ τῶν τριά-
κοντ' ἐκπεσόντες ταῖς αὐταῖς ἐκείνῳ συμφοραῖς ἐχρή-* b
*σασθε. ἐξ ὧν ἐνθυμεῖσθαι χρή, πῶς ἕκαστος ὑμῶν
διέκειτο καὶ τίνα γνώμην εἶχε καὶ ποῖον κίνδυνον οὐκ
ἂν ὑπέμεινεν, ὥστε παύσασθαι μὲν μετοικῶν, κατελθεῖν
δ' εἰς τὴν πατρίδα, τιμωρήσασθαι δὲ τοὺς ἐκβαλόν-*
13 *τας. ἐπὶ τίνα δ' ἢ πόλιν ἢ φίλον ἢ ξένον οὐκ ἤλθετε
δεησόμενοι συγκαταγαγεῖν ὑμᾶς; τίνος δ' ἀπέσχεσθε*

πειρώμενοι κατελθεῖν; οὐ καταλαβόντες τὸν Πειραιᾶ
καὶ τὸν σῖτον τὸν ἐν τῇ χώρᾳ διεφθείρετε καὶ τὴν γῆν
ἐτέμνετε καὶ τὰ προάστεια ἐνεπρήσατε καὶ τελευτῶν- c
14 τες τοῖς τείχεσι προσεβάλετε; καὶ ταῦθ' οὕτω σφόδρ'
ἐνομίζετε χρῆναι ποιεῖν, ὥστε τοῖς ἡσυχίαν ἄγουσι
τῶν συμφυγάδων μᾶλλον ὠργίζεσθε ἢ τοῖς αἰτίοις τῶν
συμφορῶν γεγενημένοις. (ϛ'.) Ὥστ' οὐκ εἰκὸς ἐπιτι-
μᾶν τοῖς τῶν αὐτῶν ὑμῖν ἐπιθυμοῦσιν, οὐδὲ κακοὺς
ἄνδρας νομίζειν, ὅσοι φυγόντες κατελθεῖν ἐζήτησαν, d
ἀλλὰ πολὺ μᾶλλον ὅσοι μένοντες φυγῆς ἄξι' ἐποίησαν·
οὐδ' ἐντεῦθεν ἀρξαμένους κρίνειν, ὁποῖός τις ἦν ὁ
πατὴρ πολίτης, ὅτ' οὐδὲν αὐτῷ τῆς πόλεως προσῆκεν,
15 ἀλλ' ἐπ' ἐκείνου τοῦ χρόνου σκοπεῖν, οἷος ἦν πρὶν
φυγεῖν περὶ τὸ πλῆθος, καὶ ὅτι διακοσίους ὁπλίτας
ἔχων τὰς μεγίστας πόλεις τῶν ἐν Πελοποννήσῳ Λα-
κεδαιμονίων μὲν ἀπέστησεν, ὑμῶν δὲ συμμάχους
ἐποίησε, καὶ εἰς οἵους κινδύνους αὐτοὺς κατέστησε, e
καὶ ὡς περὶ Σικελίαν ἐστρατήγησεν. τούτων μὲν γὰρ
ἐκείνῳ προσήκει χάριν ὑμᾶς ἔχειν· τῶν δ' ἐν τῇ συμ-
φορᾷ γενομένων τοὺς ἐκβαλόντας αὐτὸν δικαίως ἂν
αἰτίους νομίζοιτε.

16 (ζ'.) Ἀναμνήσθητε δὲ πρὸς ὑμᾶς αὐτούς, ἐπειδὴ
κατῆλθεν, ὡς πόλλ' ἀγαθὰ τὴν πόλιν ἐποίησεν, ἔτι 350
δὲ πρότερον, ὡς ἐχόντων τῶν πραγμάτων αὐτὸν κατ-
εδέξασθε, καταλελυμένου μὲν τοῦ δήμου, στασια-
ζόντων δὲ τῶν πολιτῶν, διαφερομένων δὲ τῶν
στρατιωτῶν πρὸς τὰς ἀρχὰς τὰς ἐνθάδε καθεστη-
κυίας, εἰς τοῦτο δὲ μανίας ἀμφοτέρων ἀφιγμένων
17 ὥστε μηδετέροις μηδεμίαν ἐλπίδ' εἶναι σωτηρίας· οἱ
μὲν γὰρ τοὺς ἔχοντας τὴν πόλιν ἐχθροὺς ἐνόμιζον b
μᾶλλον ἢ Λακεδαιμονίους, οἱ δὲ τοὺς ἐκ Δεκελείας
μετεπέμποντο, ἡγούμενοι κρεῖττον εἶναι τοῖς πολε-

μίοις τὴν πατρίδα παραδοῦναι μᾶλλον ἢ τοῖς ὑπὲρ
τῆς πόλεως στρατευομένοις τῆς πολιτείας μεταδοῦναι.
18 τοιαύτην μὲν τῶν πολιτῶν γνώμην ἐχόντων, κρατούν-
των δὲ τῶν πολεμίων καὶ τῆς γῆς καὶ τῆς θαλάττης,
ἔτι δὲ χρημάτων ὑμῖν μὲν οὐκ ὄντων, ἐκείνοις δὲ βα-
σιλέως παρέχοντος, πρὸς δὲ τούτοις ἐνενήκοντα νεῶν c
ἐκ Φοινίκης εἰς Ἄσπενδον ἡκουσῶν καὶ παρεσκευασμέ-
νων Λακεδαιμονίοις βοηθεῖν, ἐν τοσαύταις συμφοραῖς
19 καὶ τοιούτοις κινδύνοις τῆς πόλεως οὔσης, μεταπεμ-
ψαμένων αὐτὸν τῶν στρατήγων οὐκ ἐσεμνύνατ' ἐπὶ
τοῖς παροῦσιν, οὐδ' ἐμέμψατο περὶ τῶν γεγενημένων,
οὐδ' ἐβουλεύσατο περὶ τῶν μελλόντων, ἀλλ' εὐθὺς
εἵλετο μετὰ τῆς πόλεως ὁτιοῦν πάσχειν μᾶλλον ἢ μετὰ
Λακεδαιμονίων εὐτυχεῖν, καὶ πᾶσι φανερὸν ἐποίησεν,
ὅτι τοῖς ἐκβαλοῦσιν ἀλλ' οὐχ ὑμῖν ἐπολέμει, καὶ ὅτι d
κατελθεῖν ἀλλ' οὐκ ἀπολέσαι τὴν πόλιν ἐπεθύμει.
20 γενόμενος δὲ μεθ' ὑμῶν ἔπεισε μὲν Τισσαφέρνην μὴ
παρέχειν χρήματα Λακεδαιμονίοις, ἔπαυσε δὲ τοὺς
συμμάχους ὑμῶν ἀφισταμένους, διέδωκε δὲ παρ' αὐ-
τοῦ μισθὸν τοῖς στρατιώταις, ἀπέδωκε δὲ τῷ δήμῳ
τὴν πολιτείαν, διήλλαξε δὲ τοὺς πολίτας, ἀπέστρεψε δὲ e
21 τὰς ναῦς τὰς Φοινίσσας. καὶ μετὰ ταῦτα καθ' ἕκαστον
μὲν, ὅσας τριήρεις ἔλαβεν ἢ μάχας ἐνίκησεν ἢ πόλεις
κατὰ κράτος εἷλεν ἢ λόγῳ πείσας φίλας ὑμῖν ἐποίησε,
πολὺ ἂν ἔργον εἴη λέγειν· πλείστων δὲ κινδύνων τῇ πό-
λει κατ' ἐκεῖνον τὸν καιρὸν γενομένων οὐδεπώποτε τοῦ
πατρὸς ἡγουμένου τρόπαιον ὑμῶν ἔστησαν οἱ πολέμιοι.
22 Περὶ μὲν οὖν τῶν ἐστρατηγημένων οἶδα μὲν, ὅτι 351
πολλὰ παραλείπω, διὰ τοῦτο δ' οὐκ ἀκριβῶς εἴρηκα
περὶ αὐτῶν, ὅτι σχεδὸν ἅπαντες μνημονεύετε τὰ πρα-
χθέντα. (η'.) Λοιδοροῦσι δὲ λίαν ἀσελγῶς καὶ θρασέως
καὶ τὸν ἄλλον βίον τὸν τοῦ πατρὸς, καὶ οὐκ αἰσχύ-

νονται τοιαύτῃ παρρησίᾳ χρώμενοι περὶ τοῦ τεθνεῶ-
23 τος, ἣν ἔδεισαν ἂν ποιήσασθαι περὶ τοῦ ζῶντος ἀλλ'
εἰς τοσοῦτον ἀνοίας ἐληλύθασιν, ὥστ' οἴονται καὶ
παρ' ὑμῖν καὶ παρὰ τοῖς ἄλλοις εὐδοκιμήσειν, ἢν ὡς b
ἂν δύνωνται πλεῖστα περὶ αὐτοῦ βλασφημήσωσιν,
ὥσπερ οὐ πάντας εἰδότας, ὅτι καὶ τοῖς φαυλοτάτοις
τῶν ἀνθρώπων ἔξεστιν οὐ μόνον περὶ τῶν ἀνδρῶν
τῶν ἀρίστων ἀλλὰ καὶ περὶ τῶν θεῶν ὑβριστικοὺς
24 λόγους εἰπεῖν. (θ'.) Ἴσως μὲν οὖν ἀνόητόν ἐστιν ἁπάν-
των τῶν εἰρημένων φροντίζειν· ὅμως δ' οὐχ ἥκιστ'
ἐπιθυμῶ περὶ τῶν ἐπιτηδευμάτων τῶν τοῦ πατρὸς
διελθεῖν πρὸς ὑμᾶς, μικρὸν προλαβὼν καὶ τῶν προ- c
γόνων ἐπιμνησθείς, ἵν' ἐπίστησθ' ὅτι πόρρωθεν ἡμῖν
ὑπάρχει μέγιστα καὶ κάλλιστα τῶν πολιτῶν.
25 (ι'.) Ὁ γὰρ πατὴρ πρὸς μὲν ἀνδρῶν ἦν Εὐπατρι-
δῶν, ὧν τὴν εὐγένειαν ἐξ αὐτῆς τῆς ἐπωνυμίας ῥᾴ-
διον γνῶναι, πρὸς γυναικῶν δ' Ἀλκμαιωνιδῶν, οἳ
τοῦ μὲν πλούτου μέγιστον μνημεῖον κατέλιπον, ἵπ-
πων γὰρ ζεύγει πρῶτος Ἀλκμαίων τῶν πολιτῶν Ὀλυμ-
πίασιν ἐνίκησε, τὴν δ' εὔνοιαν, ἣν εἶχον εἰς τὸ πλῆ-
θος, ἐν τοῖς τυραννικοῖς ἐπεδείξαντο· συγγενεῖς γὰρ d
ὄντες Πεισιστράτου καὶ πρὶν εἰς τὴν ἀρχὴν καταστῆ-
ναι μάλιστ' αὐτῷ χρώμενοι τῶν πολιτῶν, οὐκ ἠξίω-
σαν μετασχεῖν τῆς ἐκείνου τυραννίδος, ἀλλ' εἵλοντο
φυγεῖν μᾶλλον ἢ τοὺς πολίτας ἰδεῖν δουλεύοντας.
26 τετταράκοντα δ' ἔτη τῆς στάσεως γενομένης ὑπὸ μὲν
τῶν τυράννων τοσούτῳ μᾶλλον τῶν ἄλλων ἐμισήθη- e
σαν, ὥσθ' ὁπότε τἀκείνων κρατήσειεν, οὐ μόνον τὰς
οἰκίας αὐτῶν κατέσκαπτον ἀλλὰ καὶ τοὺς τάφους
ἀνώρυττον, ὑπὸ δὲ τῶν συμφυγάδων οὕτω σφόδρ'
ἐπιστεύθησαν, ὥσθ' ἅπαντα τοῦτον τὸν χρόνον ἡγού-
μενοι τοῦ δήμου διετέλεσαν. καὶ τὸ τελευταῖον Ἀλ-

κιβιάδης καὶ Κλεισθένης, ὁ μὲν πρὸς πατρὸς, ὁ δὲ
πρὸς μητρὸς ὢν πρόπαππος τοῦ πατρὸς τοὐμοῦ,
στρατηγήσαντες τῆς φυγῆς κατήγαγον τὸν δῆμον καὶ 352
27 τοὺς τυράννους ἐξέβαλον, καὶ κατέστησαν ἐκείνην
τὴν δημοκρατίαν, ἐξ ἧς οἱ πολῖται πρὸς μὲν ἀνδρίαν
οὕτως ἐπαιδεύθησαν ὥστε τοὺς βαρβάρους τοὺς ἐπὶ
πᾶσαν ἐλθόντας τὴν Ἑλλάδα μόνοι νικᾶν μαχόμε-
νοι, περὶ δὲ δικαιοσύνης τοσαύτην δόξαν ἔλαβον
ὥσθ᾽ ἑκόντας αὐτοῖς τοὺς Ἕλληνας ἐγχειρίσαι τὴν
ἀρχὴν τῆς θαλάττης, τὴν δὲ πόλιν τηλικαύτην τὸ μέ-
γεθος ἐποίησαν καὶ τῇ δυνάμει καὶ ταῖς ἄλλαις κατα- b
σκευαῖς ὥστε τοὺς φάσκοντας αὐτὴν ἄστυ τῆς Ἑλλά-
δος εἶναι καὶ τοιαύταις ὑπερβολαῖς εἰθισμένους χρῆ-
σθαι δοκεῖν ἀληθῆ λέγειν.

28 (ια΄.) Τὴν μὲν οὖν φιλίαν τὴν πρὸς τὸν δῆμον
οὕτω παλαιὰν καὶ γνησίαν καὶ διὰ τὰς μεγίστας εὐερ-
γεσίας γεγενημένην παρὰ τῶν προγόνων παρέλαβεν·
αὐτὸς δὲ κατελείφθη μὲν ὀρφανὸς, ὁ γὰρ πατὴρ αὐ-
τοῦ μαχόμενος ἐν Κορωνείᾳ τοῖς πολεμίοις ἀπέθανεν,
ἐπετροπεύθη δ᾽ ὑπὸ Περικλέους, ὃν πάντες ἂν ὁμο- c
λογήσειαν καὶ σωφρονέστατον καὶ δικαιότατον καὶ σο-
φώτατον γενέσθαι τῶν πολιτῶν. ἡγοῦμαι γὰρ καὶ
τοῦτ᾽ εἶναι τῶν καλῶν, ἐκ τοιούτων γενόμενον ὑπὸ
τοιούτοις ἤθεσιν ἐπιτροπευθῆναι καὶ τραφῆναι καὶ
29 παιδευθῆναι. δοκιμασθεὶς δ᾽ οὐκ ἐνδεέστερος ἐγένετο
τῶν προειρημένων, οὐδ᾽ ἠξίωσεν αὐτὸς μὲν ῥαθύμως
ζῆν, σεμνύνεσθαι δ᾽ ἐπὶ ταῖς τῶν προγόνων ἀρεταῖς,
ἀλλ᾽ εὐθὺς οὕτω μέγ᾽ ἐφρόνησεν, ὥστ᾽ ᾠήθη δεῖν δι᾽
αὐτὸν καὶ τἀκείνων ἔργα μνημονεύεσθαι. (ιβ΄.) Καὶ d
πρῶτον μὲν, ὅτε Φορμίων ἐξήγαγεν ἐπὶ Θρᾴκης χι-
λίους Ἀθηναίων, ἐπιλεξάμενος τοὺς ἀρίστους, μετὰ
τούτων στρατευσάμενος τοιοῦτος ἦν ἐν τοῖς κινδύνοις

ὥστε στεφανωθῆναι καὶ πανοπλίαν λαβεῖν παρὰ τοῦ
30 στρατηγοῦ. καίτοι τί χρὴ τὸν τῶν μεγίστων ἐπαίνων
ἄξιον; οὐ μετὰ μὲν τῶν βελτίστων ἐκ τῆς πόλεως
στρατευόμενον ἀριστείων ἀξιοῦσθαι, πρὸς δὲ τοὺς e
κρατίστους τῶν Ἑλλήνων ἀντιστρατηγοῦντ' ἐν ἅπασι
τοῖς κινδύνοις αὐτῶν φαίνεσθαι περιγιγνόμενον; ἐκεῖ-
νος τοίνυν τῶν μὲν νέος ὢν ἔτυχε, τὰ δ' ἐπειδὴ πρε-
σβύτερος ἦν ἔπραξεν.

31 (ιγ'.) Μετὰ δὲ ταῦτα τὴν μητέρα τὴν ἐμὴν ἔγη- 353
μεν· ἡγοῦμαι γὰρ καὶ ταύτην ἀριστεῖον αὐτὸν λαβεῖν.
ὁ γὰρ πατὴρ αὐτῆς Ἱππόνικος, πλούτῳ μὲν πρῶτος
ὢν τῶν Ἑλλήνων, γένει δ' οὐδενὸς ὕστερος τῶν
πολιτῶν, τιμώμενος δὲ καὶ θαυμαζόμενος μάλιστα
τῶν ἐφ' αὑτοῦ, μετὰ προικὸς δὲ πλείστης καὶ δόξης
μεγίστης ἐκδιδοὺς τὴν θυγατέρα, καὶ τοῦ γάμου τυ-
χεῖν εὐχομένων μὲν ἁπάντων, ἀξιούντων δὲ τῶν πρώ-
των, τὸν πατέρα τὸν ἐμὸν ἐξ ἁπάντων ἐκλεξάμενος b
κηδεστὴν ἐπεθύμησε ποιήσασθαι.

32 (ιδ'.) Περὶ δὲ τοὺς αὐτοὺς χρόνους ὁρῶν τὴν ἐν
Ὀλυμπίᾳ πανήγυριν ὑπὸ πάντων ἀνθρώπων ἀγαπω-
μένην, καὶ τοὺς Ἕλληνας ἐπίδειξιν ἐν αὐτῇ ποιουμέ-
νους πλούτου καὶ ῥώμης καὶ παιδεύσεως, καὶ τούς τ'
ἀθλητὰς ζηλουμένους καὶ τὰς πόλεις ὀνομαστὰς γι-
γνομένας τὰς τῶν νικώντων, καὶ πρὸς τούτοις ἡγού-
μενος τὰς μὲν ἐνθάδε λειτουργίας ὑπὲρ τῶν ἰδίων
πρὸς τοὺς πολίτας εἶναι, τὰς δ' εἰς ἐκείνην τὴν πα- c
νήγυριν ὑπὲρ τῆς πόλεως εἰς ἅπασαν τὴν Ἑλλάδα γί-
33 γνεσθαι, ταῦτα διανοηθείς, οὐδενὸς ἀφυέστερος οὐδ'
ἀρρωστότερος τῷ σώματι γενόμενος τοὺς μὲν γυ-
μνικοὺς ἀγῶνας ὑπερεῖδεν, εἰδὼς ἐνίους τῶν ἀθλητῶν
καὶ κακῶς γεγονότας καὶ μικρὰς πόλεις οἰκοῦντας καὶ
ταπεινῶς πεπαιδευμένους, ἱπποτροφεῖν δ' ἐπιχειρή-

σας, ὃ τῶν εὐδαιμονεστάτων ἔργον ἐστί, φαῦλος δ'
οὐδεὶς ἂν ποιήσειεν, οὐ μόνον τοὺς ἀνταγωνιστὰς d
34 ἀλλὰ καὶ τοὺς πώποτε νικήσαντας ὑπερεβάλετο. ζεύγη
γὰρ καθῆκε τοσαῦτα μὲν τὸν ἀριθμὸν, ὅσοις οὐδ' αἱ
μέγισται τῶν πόλεων ἠγωνίσαντο, τοιαῦτα δὲ τὴν
ἀρετὴν ὥστε καὶ πρῶτος καὶ δεύτερος γενέσθαι καὶ
τρίτος. χωρὶς δὲ τούτων ἐν ταῖς θυσίαις καὶ ταῖς ἄλ-
λαις ταῖς περὶ τὴν ἑορτὴν δαπάναις οὕτως ἀφειδῶς
διέκειτο καὶ μεγαλοπρεπῶς ὥστε φαίνεσθαι τὰ κοινὰ e
τὰ τῶν ἄλλων ἐλάττω τῶν ἰδίων τῶν ἐκείνου. κατέ-
λυσε δὲ τὴν θεωρίαν, τὰς μὲν τῶν προτέρων εὐτυχίας
μικρὰς πρὸς τὰς αὑτοῦ δόξαι ποιήσας, τοὺς δ' ἐφ'
αὑτοῦ νικήσαντας παύσας ζηλουμένους, τοῖς δὲ μέλ- 354
λουσιν ἱπποτροφεῖν οὐδεμίαν ὑπερβολὴν καταλιπών.
35 περὶ δὲ τῶν ἐνθάδε χορηγιῶν [καὶ γυμνασιαρχιῶν]
καὶ τριηραρχιῶν αἰσχύνομαι λέγειν· τοσοῦτον γὰρ ἐν
τοῖς ἄλλοις διήνεγκεν, ὥσθ' οἱ μὲν ἐνδεεστέρως ἐκεί-
νου λειτουργήσαντες ἐκ τούτων σφᾶς αὐτοὺς ἐγκω-
μιάζουσιν, ὑπὲρ ἐκείνου δ' εἴ τις καὶ τῶν τηλικούτων
χάριν ἀπαιτοίη, περὶ μικρῶν ἂν δόξειε τοὺς λόγους
ποιεῖσθαι.

36 (ιε'.) Πρὸς δὲ τὴν πολιτείαν οὐδέ γε τοῦτο πα- b
ραλειπτέον· οὐδὲ γὰρ ἐκεῖνος αὐτῆς ἠμέλησεν ἀλλὰ
τοσούτῳ τῶν μάλιστ' εὐδοκιμησάντων ἀμείνων περὶ
τὸν δῆμον γέγονεν, ὅσον τοὺς μὲν ἄλλους εὑρήσεθ'
ὑπὲρ αὑτῶν στασιάσαντας, ἐκεῖνον δ' ὑπὲρ ὑμῶν
κινδυνεύοντα. οὐ γὰρ ἀπελαυνόμενος ἀπὸ τῆς ὀλι-
γαρχίας ἀλλὰ παρακαλούμενος ἦν δημοτικος· καὶ
πολλάκις ἐκγενόμενον αὐτῷ μὴ μόνον μετ' ὀλίγων
τῶν ἄλλων ἄρχειν ἀλλὰ καὶ τούτων αὐτῶν πλέον
ἔχειν, οὐκ ἠθέλησεν ἀλλ' εἵλεθ' ὑπὸ τῆς πόλεως ἀδι- c
37 κηθῆναι μᾶλλον ἢ τὴν πολιτείαν προδοῦναι. καὶ ταῦθ'

ἕως μὲν συνεχῶς ἐδημοκρατεῖσθ' οὐδεὶς ἂν ὑμᾶς λε-
γων ἔπεισεν· νῦν δ' αἱ στάσεις αἱ γενόμεναι σαφῶς
ἐπέδειξαν καὶ τοὺς οὐδετέρων ἐπιθυμοῦντας καὶ τοὺς
ἀμφοτέρων μετέχειν ἀξιοῦντας. ἐν αἷς δὶς ὑπὸ τῶν
ἐχθρῶν τῶν ὑμετέρων ἐξέπεσεν· καὶ τὸ μὲν πρότε-
ρον, ἐπειδὴ τάχιστ' ἐκεῖνον ἐκποδὼν ἐποιήσαντο, τὸν d
δῆμον κατέλυσαν, τὸ δ' ὕστερον οὐκ ἔφθασαν ὑμᾶς
καταδουλωσάμενοι, καὶ πρώτου τῶν πολιτῶν αὐτοῦ
φυγεῖν κατέγνωσαν· οὕτω σφόδρ' ἥ τε πόλις τῶν τοῦ
πατρὸς κακῶν ἀπέλαυσε κἀκεῖνος τῶν τῆς πόλεως
38 συμφορῶν ἐκοινώνησεν. καίτοι πολλοὶ τῶν πολιτῶν
πρὸς αὐτὸν δυσκόλως εἶχον ὡς πρὸς τυραννεῖν ἐπι-
βουλεύοντα, οὐκ ἐκ τῶν ἔργων σκοποῦντες, ἀλλ' ἡ-
γούμενοι τὸ μὲν πρᾶγμ' ὑπὸ πάντων ζηλοῦσθαι, δύ- e
νασθαι δ' ἂν ἐκεῖνον μάλιστα διαπράξασθαι. διὸ καὶ
δικαίως ἂν αὐτῷ πλείω χάριν ἔχοιτε, ὅτι τὴν μὲν αἰ-
τίαν μόνος τῶν πολιτῶν ἄξιος ἦν ταύτην ἔχειν, τῆς δὲ 355
πολιτείας ἴσον ᾤετο δεῖν καὶ τοῖς ἄλλοις μετεῖναι.
39 (ιϛ'.) Διὰ δὲ τὸ πλῆθος τῶν ἐνόντων εἰπεῖν ὑπὲρ
τοῦ πατρὸς ἀπορῶ, τίνος ἐν τῷ παρόντι πρέπει μνη-
σθῆναι καὶ ποῖ' αὐτῶν χρὴ παραλιπεῖν· ἀεὶ γάρ μοι
δοκεῖ μεῖζον εἶναι τὸ μήπω πεφρασμένον τῶν ἤδη
πρὸς ὑμᾶς εἰρημένων. ἐπεὶ καὶ τοῦθ' ἡγοῦμαι πᾶσιν
εἶναι φανερὸν, ὅτι τοῦτον ἀναγκαῖόν ἐστιν εὐνούστα-
τον εἶναι ταῖς τῆς πόλεως εὐτυχίαις, ὅτῳ τὸ πλεῖστον b
40 μέρος καὶ τῶν ἀγαθῶν καὶ τῶν κακῶν μέτεστιν. ἐκεί-
νου τοίνυν εὖ μὲν πραττούσης τῆς πόλεως τίς εὐδαι-
μονέστερος ἢ θαυμαστότερος ἢ ζηλωτότερος ἦν τῶν
πολιτῶν, δυστυχησάσης δὲ τίς ἐλπίδων μειζόνων ἢ
χρημάτων πλειόνων ἢ δόξης καλλίονος ἐστερήθη; οὐ
τὸ τελευταῖον ἐπειδὴ κατέστησαν οἱ τριάκονθ' οἱ
μὲν ἄλλοι τὴν πόλιν ἔφευγον, ἐκεῖνος δ' ἐξ ἁπάσης

τῆς Ἑλλάδος ἐξέπεσεν; οὐ Λακεδαιμόνιοι καὶ Λύσαν-
δρος ὁμοίως ἔργον ἐποιήσαντ' ἐκεῖνον ἀποκτεῖναι καὶ c
τὴν ὑμετέραν καταλῦσαι δύναμιν, οὐδεμίαν ἡγούμε-
νοι πίστιν ἕξειν παρὰ τῆς πόλεως, εἰ τὰ τείχη κατα-
βάλοιεν, εἰ μὴ καὶ τὸν ἀναστῆσαι δυνάμενον ἀπολέ-
41 σειαν; ὥστ' οὐ μόνον ἐξ ὧν ὑμᾶς εὖ πεποίηκεν ἀλλὰ
καὶ ἐξ ὧν δι' ὑμᾶς κακῶς πέπονθε ῥᾴδιον γνῶναι
τὴν εὔνοιαν τὴν ἐκείνου. φαίνεται γὰρ τῷ δήμῳ βοη-
θῶν, τῆς αὐτῆς πολιτείας ὑμῖν ἐπιθυμῶν, ὑπὸ τῶν
αὐτῶν κακῶς πάσχων, ἅμα τῇ πόλει δυστυχῶν, τοὺς
αὐτοὺς ἐχθροὺς καὶ φίλους ὑμῖν νομίζων, ἐκ παντὸς d
τρόπου κινδυνεύων τὰ μὲν ὑφ' ὑμῶν, τὰ δὲ δι' ὑμᾶς,
42 τὰ δ' ὑπὲρ ὑμῶν, τὰ δὲ μεθ' ὑμῶν, ἀνόμοιος πολί-
της Χαρικλεῖ τῷ τούτου κηδεστῇ γεγενημένος, ὃς τοῖς
μὲν πολεμίοις δουλεύειν ἐπεθύμει, τῶν δὲ πολιτῶν
ἄρχειν ἠξίου, καὶ φεύγων μὲν ἡσυχίαν εἶχε, κατελ-
θὼν δὲ κακῶς ἐποίει τὴν πόλιν. καίτοι πῶς ἂν γέ-
νοιτ' ἢ φίλος πονηρότερος ἢ ἐχθρὸς ἐλάττονος ἄξιος;
43 εἶτα σὺ κηδεστὴς μὲν ὢν ἐκείνου, βεβουλευκὼς δ' e
ἐπὶ τῶν τριάκοντα τολμᾷς ἑτέροις μνησικακεῖν, καὶ
οὐκ αἰσχύνει τὰς συνθήκας παραβαίνων, δι' ἃς αὐ-
τὸς οἰκεῖς τὴν πόλιν, οὐδ' ἐνθυμεῖ, διότι, ὁπόταν
δόξῃ τῶν παρεληλυθότων τιμωρίαν ποιεῖσθαι, σοὶ 356
καὶ προτέρῳ καὶ μᾶλλον ἢ ἐμοὶ κινδυνεύειν ὑπάρχει;
44 οὐ γὰρ δήπου παρ' ἐμοῦ μὲν ὑπὲρ ὧν ὁ πατὴρ ἔπραξε
δίκην λήψονται, σοὶ δὲ καὶ ὧν αὐτὸς ἡμάρτηκας συγ-
γνώμην ἕξουσιν. ἀλλὰ μὴν οὐδ' ὁμοίας ἐκείνῳ φα-
νήσει τὰς προφάσεις ἔχων· οὐ γὰρ ἐκπεσὼν ἐκ τῆς
πατρίδος ἀλλὰ συμπολιτευόμενος, οὐδ' ἀναγκασθεὶς
ἀλλ' ἑκών, οὐδ' ἀμυνόμενος ἀλλ' ὑπάρχων ἠδίκεις
αὐτούς, ὥστ' οὐδ' ἀπολογίας σοι προσήκει τυχεῖν b
παρ' αὐτῶν.

45 (ιζ'.) Ἀλλὰ γὰρ περὶ μὲν τῶν Τισίᾳ πεπολιτευ-
μένων ἴσως πότ' ἐν τοῖς τούτου κινδύνοις ἐγγενήσε-
ται καὶ διὰ μακροτέρων εἰπεῖν· ὑμᾶς δ' ἀξιῶ μὴ προ-
έσθαι με τοῖς ἐχθροῖς μηδ' ἀνηκέστοις συμφοραῖς
περιβαλεῖν. ἱκανῶς γὰρ καὶ νῦν πεπείραμαι κακῶν,
ὃς εὐθὺς μὲν γενόμενος ὀρφανὸς κατελείφθην, τοῦ
μὲν πατρος φυγόντος, τῆς δὲ μητρὸς τελευτησάσης, c
οὔπω δὲ τέτταρ' ἔτη γεγονὼς διὰ τὴν τοῦ πατρὸς
46 φυγὴν περὶ τοῦ σώματος εἰς κίνδυνον κατέστην, ἔτι
δὲ παῖς ὢν ὑπὸ τῶν τριάκοντ' ἐκ τῆς πόλεως ἐξέπε-
σον. κατελθόντων δὲ τῶν ἐκ Πειραιέως καὶ τῶν ἄλ-
λων κομιζομένων τὰς οὐσίας ἐγὼ μόνος τὴν γῆν, ἣν
ὑμῖν ἀπέδωκεν ὁ δῆμος ἀντὶ τῶν δημευθέντων χρη-
μάτων, διὰ τὴν τῶν ἐχθρῶν δύναμιν ἀπεστερήθην.
τοσαῦτα δὲ δεδυστυχηκὼς καὶ δὶς τὴν οὐσίαν ἀπολω-
λεκὼς νυνὶ πέντε ταλάντων φεύγω δίκην. καὶ τὸ μὲν d
ἔγκλημ' ἐστὶ περὶ χρημάτων, ἀγωνίζομαι δ' εἰ χρὴ
47 μετεῖναί μοι τῆς πόλεως. τῶν γὰρ αὐτῶν τιμημάτων
ἐπιγεγραμμένων οὐ περὶ τῶν αὐτῶν ἅπασιν ὁ κίν-
δυνός ἐστιν, ἀλλὰ τοῖς μὲν χρήματα κεκτημένοις περὶ
ζημίας, τοῖς δ' ἀπόρως ὥσπερ ἐγὼ διακειμένοις περὶ
ἀτιμίας, ἣν ἐγὼ φυγῆς μείζω συμφορὰν νομίζω· πολὺ
γὰρ ἀθλιώτερον παρὰ τοῖς αὑτοῦ πολίταις ἠτιμωμέ- e
48 νον οἰκεῖν ἢ παρ' ἑτέροις μετοικεῖν. δέομαι δ' οὖν
ὑμῶν βοηθῆσαί μοι καὶ μὴ περιιδεῖν ὑπὸ τῶν ἐχ-
θρῶν ὑβρισθέντα μηδὲ τῆς πατρίδος στερηθέντα μηδ'
ἐπὶ τοιαύταις τύχαις περίβλεπτον γενόμενον. δικαίως
δ' ἂν ὑφ' ὑμῶν ἐξ αὐτῶν τῶν ἔργων ἐλεηθείην, εἰ 357
καὶ τῷ λόγῳ τυγχάνω μὴ δυνάμενος ἐπὶ τοῦθ' ὑμᾶς
ἄγειν, εἴπερ χρὴ τούτους ἐλεεῖν, τοὺς ἀδίκως μὲν κιν-
δυνεύοντας, περὶ δὲ τῶν μεγίστων ἀγωνιζομένους,
ἀναξίως δ' αὑτῶν καὶ τῶν προγόνων πράττοντας,

πλείστων δὲ χρημάτων ἀπεστερημένους καὶ μεγίστῃ
μεταβολῇ τοῦ βίου κεχρημένους.
49 Πολλὰ δ' ἔχων ἐμαυτὸν ὀδύρασθαι μάλιστ' ἐπὶ
τούτοις ἀγανακτῶ, πρῶτον μὲν εἰ τούτῳ δώσω δίκην,
παρ' οὗ λαβεῖν μοι προσήκει, δεύτερον δ' εἰ διὰ τὴν b
τοῦ πατρὸς νίκην τὴν Ὀλυμπίασιν ἀτιμωθήσομαι, δι'
50 ἣν τοὺς ἄλλους ὁρῶ δωρεὰν λαμβάνοντας, πρὸς δὲ
τούτοις εἰ Τισίας μὲν μηδὲν ἀγαθὸν ποιήσας τὴν πό-
λιν καὶ ἐν δημοκρατίᾳ καὶ ἐν ὀλιγαρχίᾳ μέγα δυνή-
σεται, ἐγὼ δ' εἰ μηδετέρους ἀδικήσας ὑπ' ἀμφοτέρων
κακῶς πείσομαι, καὶ περὶ μὲν τῶν ἄλλων τἀναντία
τοῖς τριάκοντα πράξετε, περὶ δ' ἐμοῦ τὴν αὐτὴν ἐκεί-
νοις γνώμην ἕξετε, καὶ τότε μὲν μεθ' ὑμῶν, νῦν δ' c
ὑφ' ὑμῶν τῆς πόλεως στερήσομαι.

17.
ΤΡΑΠΕΖΙΤΙΚΟΣ.

(α'.) Ὁ μὲν ἀγών μοι μέγας ἐστὶν, ὦ ἄνδρες δι- 358
κασταί. οὐ γὰρ μόνον περὶ πολλῶν χρημάτων κινδυ-
νεύω ἀλλὰ καὶ περὶ τοῦ μὴ δοκεῖν ἀδίκως τῶν ἀλλο-
τρίων ἐπιθυμεῖν· ὃ ἐγὼ περὶ πλείστου ποιοῦμαι.
οὐσία μὲν γὰρ ἱκανή μοι καταλειφθήσεται καὶ τού-
των στερηθέντι· εἰ δὲ δόξω μηδὲν προσῆκον το-
σαῦτα χρήματα ἐγκαλέσαι, διαβληθείην ἂν τὸν ἅ- b
παντα βίον.
2 (β'.) Ἔστι δ' ὦ ἄνδρες δικασταὶ πάντων χαλε-
πώτατον τοιούτων ἀντιδίκων τυχεῖν. τὰ μὲν γὰρ

*συμβόλαια τὰ πρὸς τοὺς ἐπὶ ταῖς τραπέζαις ἄνευ μαρ-
τύρων γίγνεται, τοῖς ἀδικουμένοις δὲ πρὸς τοιούτους
ἀνάγκη κινδυνεύειν, οἳ καὶ φίλους πολλοὺς κέκτηνται
καὶ χρήματα πολλὰ διαχειρίζουσι καὶ πιστοὶ διὰ τὴν
τέχνην δοκοῦσιν εἶναι. ὅμως δὲ καὶ τούτων ὑπαρχόν-
των ἡγοῦμαι φανερὸν πᾶσι ποιήσειν, ὅτι ἀποστεροῦ-
μαι τοσούτων χρημάτων ὑπὸ Πασίωνος.* c
3 (γʹ.) *Ἐξ ἀρχῆς οὖν ὑμῖν, ὅπως ἂν δύνωμαι,
διηγήσομαι τὰ πεπραγμένα. ἐμοὶ γάρ, ὦ ἄνδρες δι-
κασταί, πατὴρ μέν ἐστι Σινωπεύς, ὃν οἱ πλέοντες εἰς
τὸν Πόντον ἅπαντες ἴσασιν οὕτως οἰκείως πρὸς Σά-
τυρον διακείμενον, ὥστε πολλῆς μὲν χώρας ἄρχειν,* 359
ἁπάσης δὲ τῆς δυνάμεως ἐπιμελεῖσθαι τῆς ἐκείνου.
4 *πυνθανόμενος δὲ καὶ περὶ τῆσδε τῆς πόλεως καὶ περὶ
τῆς ἄλλης Ἑλλάδος ἐπεθύμησ' ἀποδημῆσαι. γεμίσας
οὖν ὁ πατήρ μου δύο ναῦς σίτου καὶ χρήματα δοὺς ἐξ-
έπεμψεν ἅμα καὶ κατ' ἐμπορίαν καὶ κατὰ θεωρίαν·
συστήσαντος δέ μοι Πυθοδώρου τοῦ Φοίνικος Πασίω-*
5 *να ἐχρώμην τῇ τούτου τραπέζῃ.* (δʹ.) *Χρόνῳ δ' ὕστε-
ρον διαβολῆς πρὸς Σάτυρον γενομένης, ὡς καὶ ὁ πα-* b
*τὴρ οὑμὸς ἐπιβουλεύοι τῇ ἀρχῇ κἀγὼ τοῖς φυγάσι συγ-
γιγνοίμην, τὸν μὲν πατέρα μου συλλαμβάνει, ἐπιστέλ-
λει δὲ τοῖς ἐνθάδ' ἐπιδημοῦσιν ἐκ τοῦ Πόντου τά τε
χρήματα παρ' ἐμοῦ παραλαβεῖν καὶ αὐτὸν εἰσπλεῖν
κελεύειν· ἐὰν δὲ τούτων μηδὲν ποιῶ, παρ' ὑμῶν ἐξ-*
6 *αιτεῖν.* (εʹ.) *Ἐν τοσούτοις δὲ κακοῖς ὤν, ὦ ἄνδρες δι-
κασταί, λέγω πρὸς Πασίωνα τὰς ἐμαυτοῦ συμφοράς·
οὕτω γὰρ οἰκείως πρὸς αὐτὸν διεκείμην ὥστε μὴ μό-* c
*νον περὶ χρημάτων ἀλλὰ καὶ περὶ τῶν ἄλλων τούτῳ
μάλιστα πιστεύειν, ἡγούμην δ' εἰ μὲν προοίμην ἅπαν-
τα τὰ χρήματα, κινδυνεύσειν, εἴ τι πάθοι ἐκεῖνος.
στερηθεὶς καὶ τῶν ἐνθάδε καὶ τῶν ἐκεῖ, πάντων ἐνδεὴς*

*γενήσεσθαι· εἰ δ' ὁμολογῶν εἶναι ἐπιστείλαντος Σα-
τύρου μὴ παραδοίην, εἰς τὰς μεγίστας διαβολὰς ἐμαυ-
7 τὸν καὶ τὸν πατέρα καταστήσειν πρὸς Σάτυρον. βου-
λευομένοις οὖν ἡμῖν ἐδόκει βέλτιστον εἶναι τὰ μὲν φα-* d
*νερὰ τῶν χρημάτων παραδοῦναι, περὶ δὲ τῶν παρὰ
τούτῳ κειμένων μὴ μόνον ἔξαρνον εἶναι ἀλλὰ καὶ
ὀφείλοντά με καὶ ἑτέροις ἐπὶ τόκῳ φαίνεσθαι καὶ
πάντα ποιεῖν, ἐξ ὧν ἐκεῖνοι μάλιστ' ἤμελλον πεισθή-
σεσθαι μὴ εἶναί μοι χρήματα.*
8 (ϛ'.) *Τότε μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐνόμιζόν
μοι Πασίωνα δι' εὔνοιαν ἅπαντα ταῦτα συμβουλεύειν·* e
*ἐπειδὴ δὲ πρὸς τοὺς παρὰ Σατύρου διεπραξάμην,
ἔγνων αὐτὸν ἐπιβουλεύοντα τοῖς ἐμοῖς. βουλομένου
γὰρ ἐμοῦ κομίσασθαι τἀμαυτοῦ καὶ πλεῖν εἰς Βυζάν-
τιον, ἡγησάμενος οὗτος κάλλιστον καιρὸν αὑτῷ πα-
ραπεπτωκέναι· τὰ μὲν γὰρ χρήματα πολλὰ εἶναι τὰ* 360
*παρ' αὐτῷ κείμενα καὶ ἄξι' ἀναισχυντίας, ἐμὲ δὲ πολ-
λῶν ἀκουόντων ἔξαρνον γεγενῆσθαι μηδὲν κεκτῆ-
σθαι, πᾶσί τε φανερὸν ἀπαιτούμενον καὶ ἑτέροις
9 προσομολογοῦντα ὀφείλειν· καὶ πρὸς τούτοις, ὦ ἄν-
δρες δικασταί, ἐνόμιζεν, εἰ μὲν αὐτοῦ μένειν ἐπιχει-
ροίην, ἐκδοθήσεσθαί μ' ὑπὸ τῆς πόλεως Σατύρῳ, εἰ
δ' ἄλλοσέ ποι τραποίμην, οὐδὲν μελήσειν αὐτῷ τῶν* b
*ἐμῶν λόγων, εἰ δ' εἰσπλευσοίμην, ἀποθανεῖσθαί με
μετὰ τοῦ πατρός· ταῦτα διαλογιζόμενος διενοεῖτό με
ἀποστερεῖν τὰ χρήματα. καὶ πρὸς μὲν ἐμὲ προσεποι-
εῖτ' ἀπορεῖν ἐν τῷ παρόντι καὶ οὐκ ἂν ἔχειν ἀποδοῦ-
ναι· ἐπειδὴ δ' ἐγὼ βουλόμενος εἰδέναι τὸ πρᾶγμα
προσπέμπω Φιλόμηλον αὐτῷ καὶ Μενέξενον ἀπαιτή-
σοντας, ἔξαρνος γίγνεται πρὸς αὐτοὺς μηδὲν ἔχειν
10 τῶν ἐμῶν. πανταχόθεν δέ μοι τοσούτων κακῶν προσ-* c
πεπτωκότων τίν' οἴεσθέ με γνώμην ἔχειν, ᾧ γ' ὑπ-

ἦρχε σιγῶντι μὲν ὑπὸ τούτου ἀπεστερῆσθαι τῶν χρη-
μάτων, λέγοντι δὲ ταῦτα μὲν μηδὲν μᾶλλον κομίσα-
σθαι, πρὸς Σάτυρον δ' εἰς τὴν μεγίστην διαβολὴν
καὶ ἐμαυτὸν καὶ τὸν πατέρα καταστῆσαι; κράτιστον
οὖν ἡγησάμην εἶναι ἡσυχίαν ἄγειν.
11 (ζ'.) Μετὰ δὲ ταῦτ' ὦ ἄνδρες δικασταὶ ἀφικνοῦν-
ταί μοι οἱ ἀπαγγέλλοντες, ὅτι ὁ πατὴρ ἀφεῖται, καὶ
Σατύρῳ οὕτως ἁπάντων μεταμέλει τῶν πεπραγμέ- d
νων, ὥστε πίστεις τὰς μεγίστας αὐτῷ δεδωκὼς εἴη,
καὶ τὴν ἀρχὴν ἔτι μείζω πεποιηκὼς ἧς εἶχε πρότερον,
καὶ τὴν ἀδελφὴν τὴν ἐμὴν εἰληφὼς γυναῖκα τῷ αὐ-
τοῦ υἱεῖ. πυθόμενος δὲ ταῦτα Πασίων καὶ εἰδὼς, ὅτι
φανερῶς ἤδη πράξω περὶ τῶν ἐμαυτοῦ, ἀφανίζει Κίτ-
12 τον τὸν παῖδα, ὃς συνῄδει περὶ τῶν χρημάτων. ἐπει-
δὴ δ' ἐγὼ προσελθὼν ἐξήτουν αὐτὸν, ἡγούμενος
ἔλεγχον ἂν τοῦτον σαφέστατον γενέσθαι περὶ ὧν e
ἐνεκάλουν, λέγει λόγον δεινότατον, ὡς ἐγὼ καὶ Με-
νέξενος διαφθείραντες καὶ πείσαντες τὸν ἐπὶ τῇ τρα-
πέζῃ καθήμενον ἓξ τάλαντ' ἀργυρίου λάβοιμεν παρ'
αὐτοῦ· ἵνα δὲ μηδεὶς ἔλεγχος μηδὲ βάσανος γένοιτο
περὶ αὐτῶν, ἔφασκεν ἡμᾶς ἀφανίσαντας τὸν παῖδ'
ἀντεγκαλεῖν αὐτῷ καὶ ἐξαιτεῖν τοῦτον, ὃν αὐτοὶ ἠφα- 361
νίσαμεν. καὶ ταῦτα λέγων καὶ ἀγανακτῶν καὶ δακρύων
εἷλκέ με πρὸς τὸν πολέμαρχον, ἐγγυητὰς αἰτῶν, καὶ
οὐ πρότερον ἀφῆκεν, ἕως αὐτῷ κατέστησα ἓξ ταλάν-
των ἐγγυητάς. καί μοι κάλει τούτων μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

13 (η'.) Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες
δικασταί ἐγὼ δὲ τὰ μὲν ἀπολωλεκὼς ἤδη, περὶ δὲ
τῶν αἰσχίστας αἰτίας ἔχων, αὐτὸς μὲν εἰς Πελοπόννη-
σον ᾠχόμην ζητήσων, Μενέξενος δ' εὑρίσκει τὸν b
παῖδα ἐνθάδε, καὶ ἐπιλαβόμενος ἠξίου αὐτὸν βασανί-

ζεσθαι καὶ περὶ τῆς παρακαταθήκης καὶ περὶ ὧν οὗ-
14 τος ἡμᾶς ᾐτιάσατο. Πασίων δ᾽ εἰς τοῦτο τόλμης ἀφί-
κεθ᾽ ὥστ᾽ ἀφῃρεῖτ᾽ αὐτὸν ὡς ἐλεύθερον ὄντα, καὶ
οὐκ ᾐσχύνετ᾽ οὐδ᾽ ἐδεδοίκει, ὃν ἔφασκεν ὑφ᾽ ἡμῶν
ἠνδραποδίσθαι καὶ παρ᾽ οὗ τοσαῦτα χρήματα ἡμᾶς
ἔχειν, τοῦτον ἐξαιρούμενος εἰς ἐλευθερίαν καὶ κωλύων
βασανίζεσθαι. ὃ δὲ πάντων δεινότατον· κατεγγυῶν- c
τος γὰρ Μενεξένου πρὸς τὸν πολέμαρχον τὸν παῖδα,
Πασίων αὐτὸν ἑπτὰ ταλάντων διηγγυήσατο. καί μοι
τούτων ἀνάβητε μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

15 (θ΄.) Τούτων τοίνυν αὐτῷ πεπραγμένων, ὦ ἄν-
δρες δικασταί, ἡγούμενος περὶ μὲν τῶν παρεληλυθό-
των φανερῶς ἡμαρτηκέναι, οἰόμενος δ᾽ ἐκ τῶν λοι-
πῶν ἐπανορθώσεσθαι, προσῆλθεν ἡμῖν φάσκων
ἕτοιμος εἶναι παραδοῦναι βασανίζειν τὸν παῖδα. ἑλό- d
μενοι δὲ βασανιστὰς ἀπηντήσαμεν εἰς τὸ Ἡφαιστεῖον.
κἀγὼ μὲν ἠξίουν αὐτοὺς μαστιγοῦν τὸν ἐκδοθέντα
καὶ στρεβλοῦν, ἕως ἂν τἀληθῆ δόξειεν αὐτοῖς λέγειν·
Πασίων δ᾽ οὑτοσὶ οὐ δημοκοίνους ἔφασκεν αὐτοὺς
ἑλέσθαι, ἀλλ᾽ ἐκέλευε λόγῳ πυνθάνεσθαι παρὰ τοῦ
16 παιδός, εἴ τι βούλοιντο. διαφερομένων δ᾽ ἡμῶν οἱ
βασανισταὶ αὐτοὶ μὲν οὐκ ἔφασαν βασανιεῖν, ἔγνω-
σαν δὲ Πασίωνα ἐμοὶ παραδοῦναι τὸν παῖδα. οὗτος
δ᾽ οὕτω σφόδρα ἔφευγε τὴν βάσανον, ὥστε περὶ μὲν e
τῆς παραδόσεως οὐκ ἤθελεν αὐτοῖς πείθεσθαι, τὸ δ᾽
ἀργύριον ἕτοιμος ἦν ἀποτίνειν, εἰ καταγνοῖεν αὐτοῦ.
καί μοι κάλει τούτων μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

17 (ι΄.) Ἐπειδὴ τοίνυν ἐκ τῶν συνόδων, ὦ ἄνδρες
δικασταί, πάντες αὐτοῦ κατεγίγνωσκον ἀδικεῖν καὶ
δεινὰ ποιεῖν, ὅστις τὸν παῖδα, ὃν ἔφασκον ἐγὼ συν-

εἰδέναι περὶ τῶν χρημάτων, πρῶτον μὲν αὐτὸς ἀφα-
νίσας ὑφ' ἡμῶν αὐτὸν ᾐτιᾶτο ἠφανίσθαι, ἔπειτα δὲ
συλληφθέντα ὡς ἐλεύθερον ὄντα διεκώλυσε βασανί-
ζεσθαι, μετὰ δὲ ταῦθ' ὡς δοῦλον ἐκδοὺς καὶ βασανι-
στὰς ἑλόμενος λόγῳ μὲν ἐκέλευσε βασανίζειν, ἔργῳ b
δ' οὐκ εἴα, διὰ ταῦθ' ἡγούμενος οὐδεμίαν αὐτῷ σω-
τηρίαν εἶναι, ἐάνπερ εἰς ὑμᾶς εἰσέλθῃ, προσπέμπων
ἐδεῖτό μου εἰς ἱερὸν ἐλθόνθ' ἑαυτῷ συγγενέσθαι.
18 καὶ ἐπειδὴ ἤλθομεν εἰς ἀκρόπολιν, ἐγκαλυψάμενος
ἔκλαε καὶ ἔλεγεν, ὡς ἠναγκάσθη μὲν δι' ἀπορίαν ἔξ-
αρνος γενέσθαι, ὀλίγου δὲ χρόνου πειράσοιτο τὰ
χρήματ' ἀποδοῦναι· ἐδεῖτο δέ μου συγγνώμην ἔχειν
αὐτῷ καὶ συγκρύψαι τὴν συμφοράν, ἵνα μὴ παρακα- c
ταθήκας δεχόμενος φανερὸς γένηται τοιαῦτ' ἐξημαρ-
τηκώς. ἡγούμενος δ' αὐτῷ μεταμέλειν τῶν πεπραγμέ-
νων συνεχώρουν καὶ ἐκέλευον αὐτὸν ἐξευρεῖν, ὅν-
τινα ἂν βούληται τρόπον, ὅπως τούτῳ τε καλῶς ἕξει
19 κἀγὼ τἀμαυτοῦ κομιοῦμαι. τρίτῃ δ' ἡμέρᾳ συνελ-
θόντες πίστιν τ' ἔδομεν ἀλλήλοις ἦ μὴν σιωπήσεσθαι
τὰ πραχθέντα, ἣν οὗτος ἔλυσεν, ὡς ὑμεῖς αὐτοὶ προ-
ιόντος τοῦ λόγου γνώσεσθε, καὶ ὡμολόγησεν εἰς τὸν
Πόντον μοι συμπλευσεῖσθαι κἀκεῖ τὸ χρυσίον ἀποδώ- d
σειν, ἵν' ὡς πορρωτάτω ἀπὸ τῆσδε τῆς πόλεως διαλύ-
σειε τὸ συμβόλαιον, καὶ τῶν μὲν ἐνθάδε μηδεὶς εἰδείη
τὸν τρόπον τῆς καταλλαγῆς, ἐκπλεύσαντι δ' αὐτῷ ἐξ-
είη λέγειν, ὅ τι αὐτὸς βούλοιτο· εἰ δὲ μὴ ταῦτα ποιή-
σειε, δίαιταν ἐπὶ ῥητοῖς ἐπέτρεπε Σατύρῳ, ἐφ' ᾧτε
20 καταγιγνώσκειν ἡμιόλι' αὐτοῦ τὰ χρήματα. ταῦτα δὲ
συγγράψαντες καὶ ἀναγαγόντες εἰς ἀκρόπολιν Πύρω-
να Φεραῖον ἄνδρα, εἰθισμένον εἰσπλεῖν εἰς τὸν Πόν- e
τον, δίδομεν αὐτῷ φυλάττειν τὰς συνθήκας, προσ-
τάξαντες αὐτῷ, ἐὰν μὲν διαλλαγῶμεν πρὸς ἡμᾶς αὐ-

τοὺς, κατακαῦσαι τὸ γραμματεῖον, εἰ δὲ μή, Σατύρῳ ἀποδοῦναι.

21 (ια΄.) Τὰ μὲν οὖν ἡμέτερα, ὦ ἄνδρες δικασταί, οὕτω διεπέπρακτο· Μενέξενος δ' ὀργιζόμενος ὑπὲρ τῆς αἰτίας ἧς κἀκεῖνον Πασίων ᾐτιάσατο, λαχὼν δίκην ἐξήτει τὸν Κίττον, ἀξιῶν τὴν αὐτὴν Πασίωνι ψευδο- 363
μένῳ γίγνεσθαι ζημίαν, ἥσπερ ἂν αὐτὸς ἐτύγχανεν, εἴ τι τούτων ἐφαίνετο ποιήσας. καὶ οὗτος, ὦ ἄνδρες δικασταί, ἐδεῖτό μου ἀπαλλάττειν Μενέξενον, λέγων, ὅτι οὐδὲν αὐτῷ πλέον ἔσται, εἰ τὰ μὲν χρήματα ἐκ τῶν συγγεγραμμένων εἰς τὸν Πόντον εἰσπλεύσας ἀποδώσει, αὐτὸς δ' ὁμοίως ἐνθάδε καταγέλαστος ἔσοιτο· ὁ γὰρ παῖς, ἐὰν βασανίζηται, περὶ πάντων τἀληθῆ κατ-
22 ερεῖ. ἐγὼ δ' ἠξίουν πρὸς μὲν Μενέξενον πράττειν b
ὅ τι βούλοιτο, πρὸς δ' ἐμὲ ποιεῖν αὐτὸν τὰ συγκείμενα. ἐν ἐκείνῳ μὲν οὖν τῷ χρόνῳ ταπεινὸς ἦν, οὐκ ἔχων ὅ τι χρήσαιτο τοῖς αὑτοῦ κακοῖς. καὶ γὰρ οὐ μόνον περὶ τῆς βασάνου καὶ τῆς δίκης ἐκείνης ἐδεδοίκει τῆς εἰληγμένης ἀλλὰ καὶ περὶ τοῦ γραμματείου, ὅπως μὴ
23 ὑπὸ τοῦ Μενεξένου συλληφθήσοιτο. (ιβ΄.) Ἀπορῶν δὲ καὶ οὐδεμίαν ἄλλην εὑρίσκων ἀπαλλαγήν, πείσας τοὺς παῖδας διαφθείρει τὸ γραμματεῖον, ὃ ἔδει Σά- c
τυρον λαβεῖν, εἰ μή μ' ἀπαλλάξειεν οὗτος. καὶ οὐκ ἔφθη διαπραξάμενος ταῦτα καὶ θρασύτατος ἁπάντων ἀνθρώπων ἐγένετο, καὶ οὔτ' εἰς τὸν Πόντον ἔφη μοι συμπλευσεῖσθαι οὔτ' εἶναι πρὸς ἔμ' αὐτῷ συμβόλαιον οὐδέν, ἀνοίγειν τ' ἐκέλευε τὸ γραμματεῖον ἐναντίον μαρτύρων. τί ἂν ὑμῖν τὰ πολλὰ λέγοιμι, ὦ ἄνδρες δικασταί; εὑρέθη γὰρ ἐν τῷ γραμματείῳ γεγραμμένος ἀφειμένος ἁπάντων τῶν ἐγκλημάτων d
ὑπ' ἐμοῦ.

24 (ιγ΄.) Τὰ μὲν οὖν γεγενημένα, ὡς ἀκριβέστατα

οἷός τ' ἦν, ἅπανθ' ὑμῖν εἴρηκα. ἡγοῦμαι δὲ Πασίω-
να, ὦ ἄνδρες δικασταί, ἐκ τοῦ διεφθαρμένου γραμ-
ματείου τὴν ἀπολογίαν ποιήσεσθαι καὶ τούτοις ἰσχυ-
ριεῖσθαι μάλιστα. ὑμεῖς οὖν μοι τὸν νοῦν προσέχετε·
οἶμαι γὰρ ἐξ αὐτῶν τούτων φανερὰν ὑμῖν ποιήσειν
τὴν τούτου πονηρίαν. e
25 (ιδ'.) Πρῶτον δ' ἐκ τούτου σκοπεῖσθε. ὅτε γὰρ
ἐδίδομεν τὴν συνθήκην τῷ ξένῳ, καθ' ἣν οὗτος μὲν
ἀφεῖσθαί φησι τῶν ἐγκλημάτων, ἐγὼ δ' ὡς ἔδει με
παρὰ τούτου κομίσασθαι τὸ χρυσίον, ἐκελεύομεν τὸν
ξένον, ἐὰν μὲν διαλλαγῶμεν πρὸς ἡμᾶς αὐτούς, κα-
τακαῦσαι τὸ γραμματεῖον, εἰ δὲ μή, Σατύρῳ ἀποδοῦ-
ναι· καὶ ταῦτα ῥηθῆναι ὑπ' ἀμφοτέρων ἡμῶν ὁμο-
26 λογεῖται. καίτοι τί μαθόντες, ὦ ἄνδρες δικασταί,
προσετάττομεν ἀποδοῦναι Σατύρῳ τὸ γραμματεῖον, 364
ἐὰν μὴ διαλλαγῶμεν, εἴπερ ἀπηλλαγμένος ἤδη Πα-
σίων ἦν τῶν ἐγκλημάτων καὶ τέλος εἶχεν ἡμῖν τὸ
πρᾶγμα; ἀλλὰ δῆλον, ὅτι ταύτας τὰς συνθήκας ἐποιη-
σάμεθα ὡς ὑπολοίπων ὄντων ἡμῖν ἔτι πραγμάτων,
περὶ ὧν ἔδει τοῦτον πρὸς ἐμὲ κατὰ τὸ γραμματεῖον
27 διαλύσασθαι. ἔπειτ' ἐγὼ μέν, ὦ ἄνδρες δικασταί,
ἔχω τὰς αἰτίας εἰπεῖν, δι' ἃς οὗτος ὡμολόγησεν ἀπο-
δώσειν τὸ χρυσίον· ἐπεὶ γὰρ ἡμεῖς τε τῶν πρὸς Σά- b
τυρον διαβολῶν ἀπηλλάγημεν καὶ τὸν Κίττον οὐχ
οἷός τ' ἐγένετο ἀφανίσαι, τὸν συνειδότα περὶ τῆς πα-
ρακαταθήκης, ἡγησάμενος, εἰ μὲν ἐκδοίη τὸν παῖδα
28 βασανίσαι, φανερὸς γενήσεσθαι πανουργῶν, εἰ δὲ μὴ
ποιήσειε ταῦτα, ὀφλήσειν τὴν δίκην, ἐβουλήθη πρὸς
αὐτὸν ἐμὲ τὴν ἀπαλλαγὴν ποιήσασθαι. τοῦτον δὲ κε-
λεύσαθ' ὑμῖν ἀποδεῖξαι, τί κερδαίνων ἢ τίνα κίνδυ-
νον φοβηθεὶς ἀφῆκ' αὐτὸν τῶν ἐγκλημάτων; ἐὰν δὲ c
μηδὲν ἔχῃ τούτων ὑμῖν ἀποφαίνειν, πῶς οὐκ ἂν δι-

καίως ἐμοὶ μᾶλλον ἢ τούτῳ περὶ τοῦ γραμματείου πι-
29 στεύοιτε; καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, καὶ τόδε
ῥᾴδιον πᾶσι γνῶναι, ὅτι ἐμοὶ μέν, ὃς ἐνεκάλουν, εἰ
τοὺς ἐλέγχους ἐφοβούμην, ἐξῆν καὶ μηδεμίαν συνθή-
κην ποιησάμενον χαίρειν ἐᾶν τὸ πρᾶγμα· τούτῳ δὲ
διά τε τὴν βάσανον καὶ τοὺς ἀγῶνας τοὺς ἐν ὑμῖν
οὐχ οἷόν τ' ἦν ὁπότε βούλοιτ' ἀπηλλάχθαι τῶν κιν- d
δύνων, εἰ μὴ πείσειεν ἐμὲ τὸν ἐγκαλοῦντα. ὥστ' οὐκ
ἐμὲ περὶ τῆς ἀφέσεως ἀλλὰ τοῦτον περὶ τῆς ἀποδό-
σεως τῶν χρημάτων ἔδει τὰς συνθήκας ποιεῖσθαι.
30 ἔτι δὲ κἀκεῖν' ὑπερφυές, εἰ πρὶν μὲν συγγράψασθαι
τὸ γραμματεῖον οὕτω σφόδρ' ἠπίστησα τοῖς πράγμα-
σιν ὥστε μὴ μόνον ἀφεῖναι Πασίωνα τῶν ἐγκλημά-
των ἀλλὰ καὶ συνθήκας περὶ αὐτῶν ποιήσασθαι, ἐπεὶ
δὲ τοιοῦτον ἔλεγχον κατ' ἐμαυτοῦ συνεγραψάμην, τη-
νικαῦτ' ἐπεθύμησα εἰς ὑμᾶς εἰσελθεῖν. καίτοι τίς ἂν e
οὕτω περὶ τῶν αὑτοῦ πραγμάτων βουλεύσαιτο; (ιε'.)
31 Ὃ δὲ πάντων μέγιστον τεκμήριον, ὡς οὐκ ἀφειμένος
ἦν Πασίων ἐν ταῖς συνθήκαις ἀλλ' ὡμολογηκὼς ἀπο-
δώσειν τὸ χρυσίον· ὅτε γὰρ Μενέξενος ἔλαχεν αὐτῷ
τὴν δίκην οὔπω διεφθαρμένου τοῦ γραμματείου,
προσπέμπων Ἀγύρριον, ὄντ' ἀμφοτέροις ἡμῖν ἐπιτή- 365
δειον, ἠξίου με ἢ Μενέξενον ἀπαλλάττειν ἢ τὰς συν-
32 θήκας τὰς γεγενημένας πρὸς αὐτὸν ἀναιρεῖν. καίτοι,
ὦ ἄνδρες δικασταί, οἴεσθ' ἂν αὐτὸν ἐπιθυμεῖν ἀναι-
ρεθῆναι ταύτας τὰς συνθήκας, ἐξ ὧν ψευδομένους
ἡμᾶς ἔμελλεν ἐξελέγξειν; οὔκουν ἐπειδή γε μετεγρά-
φησαν, τούτους ἔλεγε τοὺς λόγους, ἀλλὰ περὶ ἁπάν-
των εἰς ἐκείνας κατέφευγε καὶ ἀνοίγειν ἐκέλευε τὸ
γραμματεῖον. ὡς οὖν τὸ πρῶτον ἀναιρεῖν ἐζήτει τὰς b
συνθήκας, αὐτὸν Ἀγύρριον μαρτυροῦντα παρέξομαι.
καί μοι ἀνάβηθι.

ΜΑΡΤΥΡΙΑ.

33 (ιϛ΄.) Ὅτι μὲν τοίνυν τὰς συνθήκας ἐποιησάμεθ᾽
οὐχ ὡς Πασίων ἐπιχειρήσει λέγειν, ἀλλ᾽ ὡς ἐγὼ πρὸς
ὑμᾶς εἴρηκα, ἱκανῶς ἐπιδεδεῖχθαι νομίζω. οὐκ ἄξιον
δὲ θαυμάζειν, ὦ ἄνδρες δικασταί, εἰ τὸ γραμματεῖον
διέφθειρεν, οὐ μόνον διὰ τοῦτο, ὅτι πολλὰ τοιαῦτα ἤδη
γέγονεν, ἀλλ᾽ ὅτι καὶ τῶν χρωμένων τινὲς Πασίωνι c
πολὺ δεινότερα τούτων πεποιήκασι. (ιζ΄.) Πυθόδω-
ρον γὰρ τὸν σκηνίτην καλούμενον, ὃς ὑπὲρ Πασίωνος
ἅπαντα καὶ λέγει καὶ πράττει, τίς οὐκ οἶδεν ὑμῶν πέ-
ρυσιν ἀνοίξαντα τὰς ὑδρίας καὶ τοὺς κριτὰς ἐξελόντα
34 τοὺς ὑπὸ τῆς βουλῆς εἰσβληθέντας; καίτοι ὅστις μι-
κρῶν ἕνεκεν καὶ περὶ τοῦ σώματος κινδυνεύων ταύ-
τας ὑπανοίγειν ἐτόλμησεν, αἳ σεσημασμέναι μὲν ἦσαν
ὑπὸ τῶν πρυτάνεων, κατεσφραγισμέναι δ᾽ ὑπὸ τῶν d
πονηρῶν, ἐφυλάττοντο δ᾽ ὑπὸ τῶν ταμιῶν, ἔκειντο
δ᾽ ἐν ἀκροπόλει, τί δεῖ θαυμάζειν, εἰ γραμματείδιον
παρ᾽ ἀνθρώπῳ ξένῳ κείμενον τοσαῦτα μέλλοντες
χρήματα κερδαίνειν μετέγραψαν, ἢ τοὺς παῖδας αὐ
τοῦ πείσαντες ἢ ἄλλῳ τρόπῳ, ᾧ ἠδύναντο, μηχανη-
σάμενοι; περὶ μὲν οὖν τούτων οὐκ οἶδ᾽ ὅ τι δεῖ πλείω
λέγειν.

35 (ιη΄.) Εἰ δέ τινας Πασίων ἐπεχείρησε πείθειν, ὡς
τὸ παράπαν οὐδ᾽ ἦν ἐνθάδε μοι χρήματα, λέγων, ὡς e
παρὰ Στρατοκλέους ἐδανεισάμην τριακοσίους στατῆ-
ρας, ἄξιον καὶ περὶ τούτων ἀκοῦσαι, ἵν᾽ ἐπίστησθε,
οἵοις τεκμηρίοις ἐπαρθεὶς ἀποστερεῖ με τῶν χρημά-
των. (ιθ΄.) Ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, μέλλοντος
Στρατοκλέους εἰσπλεῖν εἰς τὸν Πόντον, βουλόμενος
ἐκεῖθεν ὡς πλεῖστ᾽ ἐκκομίσασθαι τῶν χρημάτων, ἐδεή-
θην Στρατοκλέους τὸ μὲν αὑτοῦ χρυσίον ἐμοὶ κατα-
λιπεῖν, ἐν δὲ τῷ Πόντῳ παρὰ τοῦ πατρὸς τοὐμοῦ κο- 366

36 μίσασθαι, νομίζων μεγάλα κερδαίνειν, εἰ κατὰ πλοῦν
μὴ κινδυνεύοι τὰ χρήματα, ἄλλως τε καὶ Λακεδαιμο-
νίων ἀρχόντων κατ' ἐκεῖνον τὸν χρόνον τῆς θαλάτ-
της. τούτῳ μὲν οὖν οὐδὲν ἡγοῦμαι τοῦτ' εἶναι ση-
μεῖον, ὡς οὐκ ἦν μοι ἐνθάδε χρήματα· ἐμοὶ δὲ μέγιστ'
ἔσται τεκμήρια τὰ πρὸς Στρατοκλέα πραχθέντα, ὡς
37 ἦν μοι παρὰ τούτῳ χρυσίον. ἐρωτῶντος γὰρ Στρατο- b
κλέους, ὅστις αὐτῷ ἀποδώσει τὰ χρήματα, ἐὰν ὁ πα-
τὴρ ὁ ἐμὸς μὴ ποιήσῃ τὰ ἐπεσταλμένα, ἢ αὐτὸς ἐκ-
πλεύσας ἐνθάδ' ἐμὲ μὴ καταλάβῃ, Πασίωνα αὐτῷ
συνέστησα, καὶ ὡμολόγησεν οὗτος αὐτῷ καὶ τὸ ἀρ-
χαῖον καὶ τοὺς τόκους τοὺς γιγνομένους ἀποδώσειν.
καίτοι εἰ μηδὲν ἔκειτο παρ' αὐτῷ τῶν ἐμῶν, οἴεσθ'
ἂν αὐτὸν οὕτω ῥᾳδίως τοσούτων χρημάτων ἐγγυητήν
μου γενέσθαι; καί μοι ἀνάβητε μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

38 (κ'.) Ἴσως τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ τού- c
των ὑμῖν μάρτυρας παρέξεται, ὡς ἔξαρνος ἐγενόμην
πρὸς τοὺς ὑπὲρ Σατύρου πράττοντας μηδὲν κεκτῆ-
σθαι πλὴν ὧν ἐκείνοις παρεδίδουν, καὶ ὡς αὐτὸς ἐπ-
ελαμβάνετο τῶν χρημάτων τῶν ἐμῶν ὁμολογοῦντος
ἐμοῦ ὀφείλειν τριακοσίας δραχμάς, καὶ ὅτι Ἱππολαΐ-
δαν, ξένον ὄντ' ἐμαυτοῦ καὶ ἐπιτήδειον, περιεώρων
39 παρὰ τούτου δανειζόμενον. (κα'.) Ἐγὼ δ' ὦ ἄνδρες
δικασταὶ καταστὰς εἰς συμφοράς, οἵας ὑμῖν διηγη-
σάμην, καὶ τῶν μὲν οἴκοι πάντων ἀπεστερημένος, τὰ d
δ' ἐνθάδε ἀναγκαζόμενος παραδιδόναι τοῖς ἥκουσιν,
ὑπολοίπου δ' οὐδενὸς ὄντος μοι, πλὴν εἰ δυνηθείην
λαθεῖν περιποιησάμενος τὸ χρυσίον τὸ παρὰ τούτῳ
κείμενον, ὁμολογῶ καὶ τούτῳ προσομολογῆσαι τρια-
κοσίας δραχμὰς καὶ περὶ τῶν ἄλλων τοιαῦτα πράττειν
καὶ λέγειν, ἐξ ὧν ἐκεῖνοι μάλιστ' ἤμελλον πεισθήσε-

40 σθαι μὴ εἶναί μοι χρήματα. καὶ ταῦθ' ὡς οὐ δι' ἀπο-
ρίαν ἐγίγνετο, ἀλλ' ἵνα πιστευθείην ὑπ' ἐκείνων, ῥᾳ- e
δίως γνώσεσθε. πρῶτον μὲν γὰρ ὑμῖν μάρτυρας παρ-
έξομαι τοὺς εἰδότας πολλά μοι χρήματα ἐκ τοῦ Πόν-
του κομισθέντα, ἔπειτα δὲ τοὺς ὁρῶντάς με τῇ τούτου
τραπέζῃ χρώμενον, ἔτι δὲ παρ' ὧν ἐχρυσώνησα ὑπ'
41 ἐκεῖνον τὸν χρόνον πλέον ἢ χιλίους στατῆρας. πρὸς 367
δὲ τούτοις εἰσφορᾶς ἡμῖν προσταχθείσης καὶ ἑτέρων
ἐπιγραφῶν γενομένων ἐγὼ πλεῖστον εἰσήνεγκα τῶν
ξένων, αὐτός τε αἱρεθεὶς ἐμαυτῷ μὲν ἐπέγραψα τὴν
μεγίστην εἰσφοράν, ὑπὲρ Πασίωνος δ' ἐδεόμην τῶν
συνεπιγραφέων, λέγων, ὅτι τοῖς ἐμοῖς χρήμασι τυγχά-
νει χρώμενος. καί μοι ἀνάβητε μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

42 (κβ'.) *Αὐτὸν* τοίνυν Πασίωνα ἔργῳ παρέξομαι
τούτοις συμμαρτυροῦντα. ὁλκάδα γάρ, ἐφ' ᾗ πολλὰ b
χρήματα ἦν ἐγὼ δεδωκώς, ἔφηνέ τις ὡς οὖσαν ἀνδρὸς
Δηλίου. ἀμφισβητοῦντος δ' ἐμοῦ καὶ καθέλκειν ἀξι-
οῦντος οὕτω τὴν βουλὴν ἔθεσαν οἱ βουλόμενοι συ-
κοφαντεῖν, ὥστε παρὰ μικρὸν ἦλθον ἄκριτος ἀποθα-
νεῖν τὸ μὲν πρῶτον, τελευτῶντες δ' ἐπείσθησαν ἐγ-
43 γυητὰς παρ' ἐμοῦ δέξασθαι. καὶ Φίλιππος μὲν ὤν μοι
ξένος πατρικός, κληθεὶς καὶ ὑπακούσας, δείσας τὸ
μέγεθος τοῦ κινδύνου ἀπιὼν ᾤχετο· Πασίων δὲ Ἀρ- c
χέστρατόν μοι τὸν ἀπὸ τῆς τραπέζης ἑπτὰ ταλάντων
ἐγγυητὴν παρέσχεν. καίτοι εἰ μικρῶν ἀπεστερεῖτο
καὶ μηδὲν ᾔδει μ' ἐνθάδε κεκτημένον, οὐκ ἂν δήπου
44 τοσούτων χρημάτων ἐγγυητής μου κατέστη. ἀλλὰ
δῆλον, ὅτι τὰς μὲν τριακοσίας δραχμὰς ἐνεκάλεσεν
ἐμοὶ χαριζόμενος, τῶν δ' ἑπτὰ ταλάντων ἐγγυητής
μοι κατέστη, ἡγούμενος πίστιν ἔχειν ἱκανὴν τὸ χρυ-
σίον τὸ παρ' αὐτῷ κείμενον. ὡς μὲν τοίνυν ἦν τέ μοι

πολλὰ χρήματ' ἐνθάδε καὶ ταῦτ' ἐπὶ τῇ τούτου τρα- d
πέζῃ κεῖταί μοι, καὶ ἐκ τῶν ἔργων τῶν Πασίωνος
ὑμῖν δεδήλωκα καὶ παρὰ τῶν ἄλλων τῶν εἰδότων
ἀκηκόατε.

45 (κγ'.) Δοκεῖτε δέ μοι, ὦ ἄνδρες δικασταί, ἄριστ'
ἂν γνῶναι περὶ ὧν ἀμφισβητοῦμεν, ἀναμνησθέντες
ἐκεῖνον τὸν χρόνον, καὶ τὰ πράγματα πῶς εἶχεν ἡμῖν, e
ὅτ' ἐγὼ Μενέξενον καὶ Φιλόμηλον προσέπεμψ' ἀπαι-
τήσοντας τὴν παρακαταθήκην, καὶ Πασίων τὸ πρῶ-
τον ἐτόλμησεν ἔξαρνος γενέσθαι. εὑρήσετε γὰρ τὸν
μὲν πατέρα μου συνειλημμένον καὶ τὴν οὐσίαν ἅπα-
σαν ἀφῃρημένον, ἐμοὶ δ' οὐχ οἷόν τε ὂν διὰ τὰς παρ-
ούσας τύχας οὔτ' αὐτοῦ μένειν οὔτ' εἰς τὸν Πόντον
46 εἰσπλεῖν. καίτοι πότερον εἰκὸς ἐμὲ ἐν τοσούτοις ὄντα 368
κακοῖς ἀδίκως ἐγκαλεῖν, ἢ Πασίωνα καὶ διὰ τὸ μέγε-
θος τῶν ἡμετέρων συμφορῶν καὶ διὰ τὸ πλῆθος τῶν
χρημάτων ἐπαρθῆναι τὴν ἀποστέρησιν ποιήσασθαι;
τίς δὲ πώποτ' εἰς τοσοῦτον συκοφαντίας ἀφίκετο
ὥστε αὐτὸς περὶ τοῦ σώματος κινδυνεύων τοῖς ἀλλο-
τρίοις ἐπιβουλεύειν; μετὰ ποίας δ' ἂν ἐλπίδος ἢ τί
διανοηθεὶς ἀδίκως ἦλθον ἐπὶ τοῦτον; πότερον ὡς δεί- b
σας τὴν δύναμιν τὴν ἐμὴν ἤμελλεν εὐθὺς ἐμοὶ δώσειν
ἀργύριον; ἀλλ' οὐχ οὕτως ἑκάτερος ἡμῶν ἔπραττεν.
47 ἀλλ' εἰς ἀγῶνα καταστὰς ᾤμην καὶ παρὰ τὸ δίκαιον
πλέον ἕξειν Πασίωνος παρ' ὑμῖν; ὃς οὐδὲ μένειν ἐν-
θάδε παρεσκευαζόμην, δεδιώς, μή μ' ἐξαιτήσειε Σά-
τυρος παρ' ὑμῶν. ἀλλ' ἵνα μηδὲν διαπραττόμενος
ἐχθρὸς τούτῳ κατασταίην, ᾧ μάλιστ' ἐτύγχανον πάν- c
των ἐν τῇ πόλει χρώμενος; καὶ τίς ἂν ὑμῶν ἀξιώσειε
καταγνῶναί μου τοσαύτην μανίαν καὶ ἀμαθίαν;

48 (κδ'.) Ἐνθυμηθῆναι δ' ἄξιόν ἐστιν, ὦ ἄνδρες
δικασταί, τὴν ἀτοπίαν καὶ τὴν ἀπιστίαν ὧν ἑκάστοτε

*Πασίων ἐπεχείρει λέγειν. ὅτε μὲν γὰρ οὕτως ἔπραττον, ὥστ' οὐδ' ἄν, εἰ προσωμολόγει με ἀποστερεῖν τῶν χρημάτων, οἷός τ' ἂν ἦν παρ' αὐτοῦ δίκην λαβεῖν, τότε μὲν αἰτιᾶταί με ἀδίκως ἐγκαλεῖν ἐπιχειρῆσαι·
ἐπειδὴ δ' ἐγώ τε τῶν πρὸς Σάτυρον διαβολῶν ἀπηλλάγην καὶ τοῦτον ἅπαντες ὀφλήσειν τὴν δίκην ἐνό- d
μιζον, τηνικαῦτά μέ φησιν ἀφεῖναι πάντων τῶν ἐγκλημάτων αὐτόν. καίτοι πῶς ἂν τούτων ἀλογώτερα γένοιτο;*

49 *(κε'.) Ἀλλὰ γὰρ ἴσως περὶ τούτων μόνον ἀλλ' οὐ καὶ περὶ τῶν ἄλλων ἐναντί' αὐτὸς αὑτῷ καὶ λέγων καὶ πράττων φανερός ἐστιν· ὃς τὸν μὲν παῖδα, ὃν αὐτὸς ἠφάνισεν, ὑφ' ἡμῶν ἔφασκεν ἀνδραποδισθῆναι, τὸν αὐτὸν δὲ τοῦτον ἀπεγράψατο μὲν ἐν τοῖς τιμήμασιν ὡς δοῦλον μετὰ τῶν οἰκετῶν τῶν ἄλλων,
ἐπεὶ δ' αὐτὸν ἠξίου Μενέξενος βασανίζειν, ἀφῃρεῖθ'* e
50 *ὡς ἐλεύθερον ὄντα. πρὸς δὲ τούτοις ἀποστερῶν αὐτὸς τὴν παρακαταθήκην, ἐτόλμησεν ἡμῖν ἐγκαλεῖν, ὡς ἔχομεν ἓξ τάλαντ' ἀπὸ τῆς τούτου τραπέζης. καίτοι ὅστις περὶ πραγμάτων οὕτω φανερῶν ἐπεχείρει
ψεύδεσθαι, πῶς χρὴ πιστεύειν αὐτῷ περὶ ὧν μόνος* 369
πρὸς μόνον ἔπραξεν;

51 *(κϛ'.) Τὸ τελευταῖον τοίνυν, ὦ ἄνδρες δικασταί, ὁμολογήσας ὡς Σάτυρον εἰσπλευσεῖσθαι καὶ ποιήσειν ἅττ' ἂν ἐκεῖνος γνῷ, καὶ ταῦτ' ἐξηπάτησε, καὶ αὐτὸς μὲν οὐκ ἤθελεν εἰσπλεῦσαι πολλάκις ἐμοῦ προκαλεσαμένου, εἰσέπεμψε δὲ τὸν Κίττον· ὃς ἐλθὼν ἐκεῖσε ἔλεγεν, ὅτι ἐλεύθερος εἴη καὶ τὸ γένος Μιλήσιος, εἰσπέμψειε δ' αὐτὸν Πασίων διδάξοντα περὶ τῶν χρημά-*
52 *των. ἀκούσας δὲ Σάτυρος ἀμφοτέρων ἡμῶν δικάζειν* b
μὲν οὐκ ἠξίου περὶ τῶν ἐνθάδε γενομένων συμβολαίων, ἄλλως τε καὶ μὴ παρόντος τούτου μηδὲ μέλ-

λοντος ποιήσειν, ἃ ἐκεῖνος δικάσειεν, οὕτω δὲ σφόδρ'
ἐνόμιζεν ἀδικεῖσθαί με, ὥστε συγκαλέσας τοὺς ναυ-
κλήρους ἐδεῖτ' αὐτῶν βοηθεῖν ἐμοὶ καὶ μὴ περιορᾶν
ἀδικούμενον, καὶ πρὸς τὴν πόλιν συγγράψας ἐπιστο-
λὴν ἔδωκε φέρειν Ξενοτίμῳ τῷ Καρκίνου. καί μοι
ἀνάγνωθι αὐτοῖς.

ΕΠΙΣΤΟΛΗ.

53 (κζ.) Οὕτω τοίνυν, ὦ ἄνδρες δικασταί, πολλῶν c
μοι τῶν δικαίων ὑπαρχόντων, ἐκεῖν' ἡγοῦμαι μέγι-
στον εἶναι τεκμήριον, ὡς ἀποστερεῖ με Πασίων τῶν
χρημάτων, ὅτι τὸν παῖδα οὐκ ἠθέλησε βασανίζειν ἐκ-
δοῦναι τὸν συνειδότα περὶ τῆς παρακαταθήκης. καί-
τοι περὶ τῶν πρὸς τοὺς ἐπὶ ταῖς τραπέζαις συμβολαίων
τίς ἂν ἔλεγχος ἰσχυρότερος τούτου γένοιτο; οὐ γὰρ
54 δὴ μάρτυράς γ' αὐτῶν ποιούμεθα. ὁρῶ δὲ καὶ ὑμᾶς
καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν δημοσίων οὐδὲν πι- d
στότερον οὐδ' ἀληθέστερον βασάνου νομίζοντας, καὶ
μάρτυρας μὲν ἡγουμένους οἷόν τ' εἶναι καὶ τῶν μὴ
γεγενημένων παρασκευάσασθαι, τὰς δὲ βασάνους φα-
νερῶς ἐπιδεικνύναι, ὁπότεροι τἀληθῆ λέγουσιν. ἃ
οὗτος εἰδὼς ἠβουλήθη εἰκάζειν ὑμᾶς περὶ τοῦ πράγ-
ματος μᾶλλον ἢ σαφῶς εἰδέναι. οὐ γὰρ δὴ τοῦτό γ'
ἂν εἰπεῖν ἔχοι, ὡς ἔλαττον ἔμελλεν ἕξειν ἐν τῇ βασά-
55 νῳ, καὶ διὰ τοῦτ' οὐκ εἰκὸς ἦν αὐτὸν ἐκδοῦναι. πάν-
τες γὰρ ἐπίστασθ' ὅτι κατειπὼν μὲν ἤμελλε τὸν ἐπί- e
λοιπον χρόνον ὑπὸ τούτου κάκιστ' ἀνθρώπων ἀπο-
λεῖσθαι, διακαρτερήσας δὲ καὶ ἐλεύθερος ἔσεσθαι καὶ
μεθέξειν, ὧν οὗτος ἐμὲ ἀπεστέρησεν. ἀλλ' ὅμως το-
σούτῳ μέλλων πλέον ἕξειν, συνειδὼς αὑτῷ τὰ πε- 370
πραγμένα, ὑπέμεινε καὶ δίκας φεύγειν καὶ τὰς ἄλλας
αἰτίας ἔχειν, ὥστε μηδεμίαν βάσανον περὶ τοῦ πράγ-
ματος τούτου γενέσθαι.

56 (κη'.) Ἐγὼ οὖν ὑμῶν δέομαι μεμνημένους τού-
των καταψηφίσασθαι Πασίωνος καὶ μὴ τοσαύτην πο-
νηρίαν ἐμοῦ καταγνῶναι, ὡς οἰκῶν ἐν τῷ Πόντῳ καὶ
τοσαύτην οὐσίαν κεκτημένος ὥστε καὶ ἑτέρους εὖ
ποιεῖν δύνασθαι, Πασίωνα ἦλθον συκοφαντήσων καὶ
ψευδεῖς αὐτῷ παρακαταθήκας ἐγκαλῶν. b
57 (κθ'.) Ἄξιον δὲ καὶ Σατύρου καὶ τοῦ πατρὸς ἐν-
θυμηθῆναι, οἳ πάντα τὸν χρόνον περὶ πλείστου τῶν
Ἑλλήνων ὑμᾶς ποιοῦνται, καὶ πολλάκις ἤδη διὰ σπά-
νιν σίτου τὰς τῶν ἄλλων ἐμπόρων ναῦς κενὰς ἐκ-
πέμποντες ὑμῖν ἐξαγωγὴν ἔδοσαν· καὶ ἐν τοῖς ἰδίοις
συμβολαίοις, ὧν ἐκεῖνοι κριταὶ γίγνονται, οὐ μόνον
58 ἴσον ἀλλὰ καὶ πλέον ἔχοντες ἀπέρχεσθε. ὥστ' οὐκ ἂν c
εἰκότως περὶ ὀλίγου ποιήσαισθε τὰς ἐκείνων ἐπιστο-
λάς. δέομαι οὖν ὑμῶν καὶ ὑπὲρ ἐμαυτοῦ καὶ ὑπὲρ
ἐκείνων τὰ δίκαια ψηφίσασθαι καὶ μὴ τοὺς Πασίω-
νος λόγους ψευδεῖς ὄντας πιστοτέρους ἡγεῖσθαι
τῶν ἐμῶν.

18.

ΠΑΡΑΓΡΑΦΗ ΠΡΟΣ ΚΑΛΛΙΜΑΧΟΝ.

(α'.) Εἰ μὲν καὶ ἄλλοι τινὲς ἦσαν ἠγωνισμένοι 371
τοιαύτην παραγραφήν, ἀπ' αὐτοῦ τοῦ πράγματος
ἠρχόμην ἂν τοὺς λόγους ποιεῖσθαι· νῦν δὲ ἀνάγκη
περὶ τοῦ νόμου πρῶτον εἰπεῖν, καθ' ὃν εἰσεληλύθα-
μεν, ἵν' ἐπιστάμενοι, περὶ ὧν ἀμφισβητοῦμεν, τὴν
ψῆφον φέρητε, καὶ μηδεὶς ὑμῶν θαυμάσῃ, διότι φεύ-
2 γων τὴν δίκην πρότερος λέγω τοῦ διώκοντος. ἐπειδὴ
γὰρ ἐκ Πειραιέως κατελθόντες ἐνίους ἑωρᾶτε τῶν b

*πολιτῶν συκοφαντεῖν ὡρμημένους καὶ τὰς συνθήκας
λύειν ἐπιχειροῦντας, βουλόμενοι τούτους τε παῦσαι
καὶ τοῖς ἄλλοις ἐπιδεῖξαι, ὅτι οὐκ ἀναγκασθέντες
ἐποιήσασθε αὐτὰς ἀλλ' ἡγούμενοι τῇ πόλει συμφέ-
ρειν, εἰπόντος Ἀρχίνου νόμον ἔθεσθε, ἄν τις δικάζη-
ται παρὰ τοὺς ὅρκους, ἐξεῖναι τῷ φεύγοντι παραγράψα-
σθαι, τοὺς δὲ ἄρχοντας περὶ τούτου πρῶτον εἰσάγειν,
3 λέγειν δὲ πρότερον τὸν παραγραψάμενον, ὁπότερος* c
*δ' ἂν ἡττηθῇ, τὴν ἐπωβελίαν ὀφείλειν, ἵν' οἱ τολ-
μῶντες μνησικακεῖν μὴ μόνον ἐπιορκοῦντες ἐξε-
λέγχοιντο μηδὲ τὴν παρὰ τῶν θεῶν τιμωρίαν ὑπομέ-
νοιεν ἀλλὰ καὶ παραχρῆμα ζημιοῖντο. δεινὸν οὖν
ἡγησάμην, εἰ τῶν νόμων οὕτως ἐχόντων ἐγὼ περιό-
ψομαι τὸν μὲν συκοφάντην ἐν τριάκοντα δραχμαῖς
κινδυνεύοντα, ἐμαυτὸν δὲ περὶ τῆς οὐσίας ἁπάσης
ἀγωνιζόμενον.*

4 *(β'.) Ἀποδείξω δὲ Καλλίμαχον οὐ μόνον παρὰ* d
*τὰς συνθήκας δικαζόμενον ἀλλὰ καὶ περὶ τῶν ἐγκλη-
μάτων ψευδόμενον, καὶ προσέτι δίαιταν ἡμῖν γεγενη-
μένην περὶ αὐτῶν. βούλομαι δ' ἐξ ἀρχῆς ὑμῖν διη-
γήσασθαι τὰ πραχθέντα· ἂν γὰρ τοῦτο μάθητε, ὡς
οὐδὲν ὑπ' ἐμοῦ κακὸν πέπονθεν, ἡγοῦμαι ταῖς τε
συνθήκαις ὑμᾶς ἥδιον βοηθήσειν καὶ τούτῳ μᾶλλον
ὀργιεῖσθαι.*

5 *(γ'.) Ἦρχον μὲν γὰρ οἱ δέκα οἱ μετὰ τοὺς τριά-* 372
*κοντα καταστάντες, ὄντος δέ μοι Πατροκλέους ἐπιτη-
δείου, τοῦ τότε βασιλεύοντος, ἔτυχον μετ' αὐτοῦ βα-
δίζων. ἐκεῖνος δὲ ἐχθρὸς ὢν Καλλιμάχῳ τῷ νῦν ἐμὲ
διώκοντι τὴν δίκην, ἀπήντησεν ἀργύριον φέροντι.
λαβόμενος δὲ αὐτοῦ Φίλον ἔφασκεν αὐτὸ καταλιπεῖν
ὥστε δεῖν δημόσιον γίγνεσθαι· ἐκεῖνον γὰρ εἶναι
6 τῶν ἐν Πειραιεῖ. ἀμφισβητοῦντος δὲ περὶ τούτου καὶ*

λοιδορίας αὐτοῖς γενομένης ἄλλοι μὲν πολλοὶ συνέ- b
δραμον, καὶ κατὰ τύχην Ῥίνων εἷς τῶν δέκα γενόμε-
νος προσῆλθεν. εὐθὺς οὖν πρὸς αὐτὸν τὴν φάσιν
τῶν χρημάτων ὁ Πατροκλῆς ἐποιεῖτο· ὁ δ' ὡς τοὺς
συνάρχοντας ἦγεν ἀμφοτέρους. ἐκεῖνοι δ' εἰς τὴν
βουλὴν περὶ αὐτῶν ἀπέδοσαν· κρίσεως δὲ γενομένης
7 ἔδοξε τὰ χρήματα δημόσια εἶναι. μετὰ δὲ ταῦτα, ἐπει-
δὴ κατῆλθον οἱ φεύγοντες ἐκ Πειραιέως, ἐνεκάλει
τῷ Πατροκλεῖ καὶ δίκας ἐλάγχανεν ὡς αἰτίῳ τῆς συμ-
φορᾶς γεγενημένῳ· διαλλαγεὶς δὲ πρὸς ἐκεῖνον καὶ c
πραξάμενος αὐτὸν δέκα μνᾶς ἀργυρίου Λυσίμαχον
ἐσυκοφάντει· λαβὼν δὲ καὶ παρὰ τούτου διακοσίας
δραχμὰς ἐμοὶ πράγματα παρεῖχεν. καὶ τὸ μὲν πρῶ-
τον ἐνεκάλει, φάσκων με συμπράττειν ἐκείνοις, τελευ-
τῶν δὲ εἰς τοῦτο ἀναιδείας ἦλθεν, ὥστε ἁπάντων με
τῶν γεγενημένων ᾐτιᾶτο· ἅπερ ἴσως καὶ νῦν τολμή-
8 σει κατηγορεῖν. ἐγὼ δ' ὑμῖν παρέξομαι μάρτυρας
πρῶτον μὲν τοὺς ἐξ ἀρχῆς παραγενομένους, ὡς οὔτ' d
ἐπελαβόμην οὔτ' ἐφηψάμην τῶν χρημάτων, ἔπειτα
[Ῥίνωνα] καὶ τοὺς συνάρχοντας, ὡς οὐκ ἐγὼ τὴν φά-
σιν ἀλλὰ Πατροκλῆς ἐποιήσατο πρὸς αὐτούς, ἔτι δὲ
τοὺς βουλευτάς, ὡς ἐκεῖνος ἦν ὁ κατηγορῶν. καί μοι
κάλει τούτων μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

9 (δ'.) Οὕτω τοίνυν πολλῶν παραγενομένων τοῖς
πραχθεῖσιν, ὥσπερ οὐδενὸς συνειδότος αὐτὸς μὲν
οὗτος ἐφιστάμενος εἰς τοὺς ὄχλους καὶ καθίζων ἐπὶ
τοῖς ἐργαστηρίοις τοὺς λόγους ἐποιεῖτο ὡς δεινὰ πε- e
πονθὼς ὑπ' ἐμοῦ καὶ τῶν χρημάτων ἀπεστερημένος,
τῶν δὲ χρωμένων τινὲς τούτῳ προσιόντες μοι συνε-
βούλευον ἀπαλλάτεσθαι τῆς πρὸς τοῦτον διαφορᾶς
καὶ μὴ βούλεσθαι κακῶς ἀκούειν μηδὲ κινδυνεύειν

περὶ πολλῶν χρημάτων, μηδ' εἰ σφόδρα πιστεύω τῷ 373
πράγματι, λέγοντες, ὡς πολλὰ παρὰ γνώμην ἐν τοῖς
10 δικαστηρίοις ἀποβαίνει, καὶ ὅτι τύχῃ μᾶλλον ἢ τῷ
δικαίῳ κρίνεται τὰ παρ' ὑμῖν, ὥστε λυσιτελεῖν μοι
μικρὰ ἀναλώσαντι μεγάλων ἐγκλημάτων ἀπαλλαγῆναι
μᾶλλον ἢ μηδὲν ἀποτίσαντι κινδυνεύειν περὶ τηλι-
κούτων. τί ἂν ὑμῖν καθ' ἕκαστον διηγοίμην, ἃ πολλὰ
παρέλιπον τῶν εἰθισμένων περὶ τῶν τοιούτων λέ-
γεσθαι; τελευτῶν δ' οὖν ἐπείσθην, ἅπαντα γὰρ εἰρή- b
σεται τἀληθῆ πρὸς ὑμᾶς, δοῦναι τούτῳ διακοσίας
δραχμάς. ἵνα δὲ μὴ πάλιν ἐξείη συκοφαντεῖν αὐτῷ,
δίαιταν ἐπὶ ῥητοῖς ἐπετρέψαμεν Νικομάχῳ Βατῆθεν.

ΜΑΡΤΥΡΕΣ.

11 (ε'.) Τὸ μὲν τοίνυν πρῶτον ἐνέμεινε τοῖς ὡμο-
λογημένοις, ὕστερον δ' ἐπιβουλεύσας μετὰ Ξενοτί-
μου τοῦ τοὺς νόμους διαφθείροντος καὶ τὰ δικαστή-
ρια δεκάζοντος καὶ τὰς ἀρχὰς λυμαινομένου καὶ
πάντων κακῶν αἰτίου λαγχάνει μοι δίκην μυρίων c
δραχμῶν. προβαλλομένου δ' ἐμοῦ μάρτυρα, ὡς οὐκ
εἰσαγώγιμος ἦν ἡ δίκη διαίτης γεγενημένης, ἐκείνῳ
12 μὲν οὖν οὐκ ἐπεξῆλθεν, εἰδὼς, ὅτι, εἰ μὴ μεταλάβοι
τὸ πέμπτον μέρος τῶν ψήφων, τὴν ἐπωβελίαν ὀφλή-
σει, πείσας δὲ τὴν ἀρχὴν πάλιν τὴν αὐτὴν δίκην
ἐγράψατο, ὡς ἐν τοῖς πρυτανείοις μόνον κινδυνεύ-
σων. ἀπορῶν δ' ὅ τι χρησαίμην τοῖς κακοῖς, ἡγησά-
μην εἶναι κράτιστον ἐξ ἴσου καταστήσαντα ἀμφοτέροις d
τὸν κίνδυνον εἰσελθεῖν εἰς ὑμᾶς. καὶ τὰ μὲν γενόμενα
ταῦτ' ἐστίν.

13 (ς'.) Πυνθάνομαι δὲ Καλλίμαχον οὐ μόνον περὶ
τῶν ἐγκλημάτων διανοεῖσθαι ψευδῆ λέγειν ἀλλὰ καὶ
τὴν δίαιταν μέλλειν ἔξαρνον εἶναι καὶ παρεσκευάσθαι
λέγειν τοιούτους λόγους, ὡς οὐκ ἄν ποτε ἐπέτρεψε

Νικομάχῳ διαιτᾶν, ὃν ἠπίστατο πάλαι χρώμενον
ἡμῖν, καὶ ὡς οὐκ εἰκὸς ἦν αὐτὸν ἀντὶ μυρίων δραχ- e
14 μῶν διακοσίας ἐθελῆσαι λαβεῖν. ὑμεῖς δὲ ἐνθυμεῖ-
σθε πρῶτον μὲν, ὅτι τὴν δίαιταν οὐκ ἀμφισβητοῦν-
τες ἀλλ' ἐπὶ ῥητοῖς ἐπετρέψαμεν, ὥστε οὐδὲν ἄτοπον
ἐποίησεν, εἰ Νικόμαχον εἵλετο διαιτητὴν, ἀλλὰ πολὺ 374
μᾶλλον εἰ περὶ τῶν πραγμάτων ὡμολογηκὼς περὶ τοῦ
διαιτητοῦ διεφέρετο. ἔπειτ' ὀφειλομένων μὲν αὐτῷ
μυρίων δραχμῶν οὐκ εἰκὸς ἦν αὐτὸν ἐπὶ δυοῖν μναῖν
ποιήσασθαι τὴν διαλλαγήν· ἀδίκως δὲ αἰτιώμενον καὶ
συκοφαντοῦντα οὐδὲν θαυμαστὸν τοσοῦτον ἐθελῆσαι
λαβεῖν. ἔτι δὲ, εἰ μεγάλα ἐγκαλῶν ὀλίγα ἐπράξατο,
οὐ τούτῳ τοῦτο τεκμήριόν ἐστιν, ὡς ἡ δίαιτα οὐ γέ- b
γονεν, ἀλλὰ πολὺ μᾶλλον ἡμῖν, ὡς καὶ τὴν ἀρχὴν οὐ
15 δικαίως ἐνεκάλεσεν. θαυμάζω δ' εἰ αὐτὸν μὲν ἱκανὸν
γνῶναι νομίζει, ὅτι οὐκ εἰκὸς ἀντὶ μυρίων δραχμῶν
διακοσίας ἐθελῆσαι λαβεῖν, ἐμὲ δ' οὐκ ἂν οἴεται τοῦτ'
ἐξευρεῖν, εἴπερ ἠβουλόμην ψευδῆ λέγειν, ὅτι πλέον
ἔδει φάσκειν τούτων δεδωκέναι. ἀξιῶ δὲ, ὅσον περ
ἂν τούτῳ σημεῖον ἦν, ὡς ἡ δίαιτα οὐ γέγονεν, ἑλόντι
τὰ διαμαρτυρηθέντα, τοσοῦτον ἐμοὶ γενέσθαι τεκμή- c
ριον, ὡς ἀληθῆ λέγω περὶ αὐτῆς, ἐπειδὴ τῷ μάρτυρι
φανερός ἐστιν οὐδ' ἐπεξελθεῖν ἀξιώσας.

16 (η'.) Ἡγοῦμαι, δὲ εἰ μήτε ἡ δίαιτα ἐγεγόνει μήτε
τῶν πεπραγμένων ἦσαν μάρτυρες, ἔδει δ' ἐκ τῶν εἰ-
κότων σκοπεῖν, οὐδ' οὕτω χαλεπῶς ἂν ὑμᾶς γνῶναι
τὰ δίκαια. εἰ μὲν γὰρ καὶ τοὺς ἄλλους ἀδικεῖν ἐτόλ-
μων, εἰκότως ἄν μου κατεγιγνώσκετε καὶ περὶ τοῦτον
ἐξαμαρτάνειν· νῦν δὲ οὐδένα φανήσομαι τῶν πολι-
τῶν οὔτε χρήμασι ζημιώσας οὔτε περὶ τοῦ σώματος d
εἰς κίνδυνον καταστήσας, οὔτ' ἐκ μὲν τῶν μετεχόντων
τῆς πολιτείας ἐξαλείψας, εἰς δὲ τὸν μετὰ Λυσάνδρου

17 κατάλογον ἐγγράψας. καίτοι πολλοὺς ἐπῆρεν ἡ τῶν
τριάκοντα πονηρία τοιαῦτα ποιεῖν· οὐ γὰρ ὅτι τοὺς
ἀδικοῦντας ἐκόλαζον, ἀλλ' ἐνίοις καὶ προσέταττον
ἐξαμαρτάνειν. ἐγὼ μὲν τοίνυν οὐδ' ἐπὶ τῆς ἐκείνων
ἀρχῆς οὐδὲν εὑρεθήσομαι τοιοῦτον ἐργασάμενος· οὗ-
τος δὲ ἀδικηθῆναί φησιν, ὅτε ἐξεβέβληντο μὲν οἱ τριά- e
κοντα, ὁ δὲ Πειραιεὺς ἦν κατειλημμένος, ἐκράτει δ'
18 ὁ δῆμος, περὶ διαλλαγῶν δ' ἦσαν οἱ λόγοι. καίτοι δο-
κεῖ ἂν ὑμῖν, ὅστις ἐπὶ τῶν τριάκοντα κόσμιον αὑτὸν
παρέσχεν, εἰς τοῦτον ἀποθέσθαι τὸν χρόνον ἀδικεῖν, 375
ἐν ᾧ καὶ τοῖς πρότερον ἡμαρτηκόσι μετέμελεν; ὃ δὲ
πάντων δεινότατον, εἰ τῶν μὲν ὑπαρχόντων ἐχθρῶν
μηδ' ἀμύνεσθαι μηδένα ἠξίωσα, τοῦτον δὲ κακῶς
ποιεῖν ἐπεχείρουν, πρὸς ὃν οὐδὲν πώποτέ μοι συμ-
βόλαιον ἐγένετο.

19 (θ'.) Ὡς μὲν οὖν οὐκ αἴτιός εἰμι Καλλιμάχῳ τῆς
τῶν χρημάτων δημεύσεως, ἱκανῶς ἀποδεδεῖχθαί μοι
νομίζω· ὡς δὲ οὐκ ἐξῆν αὐτῷ δικάζεσθαι περὶ τῶν b
τότε γεγενημένων, οὐδ' εἰ πάντα ταῦτ' ἦν πεποιηκώς,
ἃ φησιν αὐτὸς, ἐκ τῶν συνθηκῶν γνώσεσθε. καί μοι
λαβὲ τὸ βιβλίον.

ΣΥΝΘΗΚΑΙ.

20 (ι'.) Ἆρα μικρῷ τῷ δικαίῳ πιστεύων τὴν παρα-
γραφὴν ἐποιησάμην, ἀλλ' οὐ τῶν μὲν συνθηκῶν
διαρρήδην ἀφιεισῶν τοὺς ἐνδείξαντας ἢ φήναντας ἢ
τῶν ἄλλων τι τῶν τοιούτων πράξαντας, ἐμαυτὸν δ'
ἔχων ἀποφαίνειν, ὡς οὔτε ταῦτα πεποίηκα οὔτ' ἄλλο
οὐδὲν ἐξήμαρτον; ἀνάγνωθι δή μοι καὶ τοὺς ὅρκους. c

ΟΡΚΟΙ.

21 (ια'.) Οὐκ οὖν δεινὸν, ὦ ἄνδρες δικασταὶ, οὕτω
μὲν τῶν συνθηκῶν ἐχουσῶν, τοιούτων δὲ τῶν ὅρκων
γενομένων, τοσοῦτον φρονεῖν Καλλίμαχον ἐπὶ τοῖς

λόγοις τοῖς αὐτοῦ ὥστε ἡγεῖσθαι πείσειν ὑμᾶς ἐναν-
τία τούτοις ψηφίσασθαι; καὶ εἰ μὲν ἑώρα μεταμέλον
τῇ πόλει τῶν πεπραγμένων, οὐκ ἄξιον ἦν θαυμάζειν
αὐτοῦ· νῦν δὲ οὐ μόνον ἐν τῇ θέσει τῶν νόμων ἐπε-
22 δείξασθε περὶ πολλοῦ ποιούμενοι τὰς συνθήκας, ἀλ-
λὰ καὶ Φίλωνα τὸν ἐκ Κοίλης ἐνδειχθέντα παραπρε- d
σβεύεσθαι, καὶ περὶ μὲν τοῦ πράγματος οὐδὲν ἔχοντα
ἀπολογήσασθαι, τὰς δὲ συνθήκας παρεχόμενον, ἔδο-
ξεν ὑμῖν ἀφεῖναι καὶ μηδὲ κρίσιν περὶ αὐτοῦ ποιήσα-
σθαι. καὶ ἡ μὲν πόλις οὐδὲ παρὰ τῶν ὁμολογούντων
ἐξαμαρτάνειν ἀξιοῖ δίκην λαβεῖν, οὗτος δὲ καὶ τοὺς
23 οὐδὲν ἠδικηκότας τολμᾷ συκοφαντεῖν. καὶ μὴν οὐδὲ
τάδ' αὐτὸν λέληθεν, ὅτι Θρασύβουλος καὶ Ἄνυτος
μέγιστον μὲν δυνάμενοι τῶν ἐν τῇ πόλει, πολλῶν δὲ e
ἀπεστερημένοι χρημάτων, εἰδότες δὲ τοὺς ἀπογράψαν-
τας, ὅμως οὐ τολμῶσιν αὐτοῖς δίκας λαγχάνειν οὐδὲ
μνησικακεῖν, ἀλλ' εἰ καὶ περὶ τῶν ἄλλων μᾶλλον
ἑτέρων δύνανται διαπράττεσθαι, ἀλλ' οὖν περί γε
τῶν ἐν ταῖς συνθήκαις ἴσον ἔχειν τοῖς ἄλλοις ἀξιοῦ- 376
24 σιν. καὶ οὐχ οὗτοι μόνοι ταῦτα ἠξιώκασιν, ἀλλ' οὐδ'
ὑμῶν οὐδεὶς τοιαύτην δίκην εἰσελθεῖν τετόλμηκεν. καί-
τοι δεινὸν, εἰ ἐπὶ μὲν τοῖς ὑμετέροις αὐτῶν πράγμα-
σιν ἐμμένετε τοῖς ὅρκοις, ἐπὶ δὲ τῇ τούτου συκοφαν-
τίᾳ παραβαίνειν ἐπιχειρήσετε, καὶ τὰς μὲν ἰδίας ὁμο-
λογίας δημοσίᾳ κυρίας ἀναγκάζετε εἶναι, τὰς δὲ τῆς
πόλεως συνθήκας ἰδίᾳ τὸν βουλόμενον λύειν ἐάσετε.
25 ὃ δὲ πάντων ἄν τις μάλιστα θαυμάσειεν, εἰ, ὅτε μὲν b
ἄδηλον ἦν, εἰ συνοίσουσιν αἱ διαλλαγαὶ τῇ πόλει, τοι-
ούτους ὅρκους ἐποιήσασθε περὶ αὐτῶν, ὥστ' εἰ καὶ
μὴ συνέφερεν ἀναγκαῖον εἶναι τοῖς ὡμολογημένοις ἐμ-
μένειν, ἐπειδὴ δὲ οὕτω καλῶς ὑμῖν συμβέβηκεν ὥστε
καὶ μηδεμιᾶς πίστεως γεγενημένης ἄξιον εἶναι τὴν

παροῦσαν πολιτείαν διαφυλάττειν, τηνικαῦτα τοὺς
26 ὅρκους παραβήσεσθε· καὶ τοῖς μὲν εἰρηκόσιν, ὡς χρὴ
τὰς συνθήκας ἐξαλείφειν, ὀργίζεσθε, τουτονὶ δέ, ὃς c
γεγραμμένας αὐτὰς τολμᾷ παραβαίνειν, ἀζήμιον ἀφή-
σετε. ἀλλ᾽ οὔτ᾽ ἂν δίκαια οὔτ᾽ ἄξια ὑμῶν αὐτῶν οὔτ᾽
ἂν πρέποντα τοῖς πρότερον ἐγνωσμένοις ποιήσαιτε.
27 (ιβ΄.) Ἐνθυμεῖσθε δέ, ὅτι περὶ τῶν μεγίστων ἥκετε
δικάσοντες· περὶ γὰρ συνθηκῶν τὴν ψῆφον οἴσετε,
ἃς οὐδὲ πώποτε οὔθ᾽ ὑμῖν πρὸς ἑτέρους οὔτ᾽ ἄλλοις
πρὸς ὑμᾶς ἐλυσιτέλησε παραβῆναι, τοσαύτην δ᾽ ἔχουσι
δύναμιν, ὥστε τὰ πλεῖστα τοῦ βίου καὶ τοῖς Ἕλλησι d
28 καὶ τοῖς βαρβάροις διὰ συνθηκῶν εἶναι. ταύταις γὰρ
πιστεύοντες ὡς ἀλλήλους ἀφικνούμεθα καὶ ποριζό-
μεθα, ὧν ἕκαστοι τυγχάνομεν δεόμενοι· μετὰ τούτων
καὶ τὰ συμβόλαια τὰ πρὸς ἡμᾶς αὐτοὺς ποιούμεθα
καὶ τὰς ἰδίας ἔχθρας καὶ τοὺς κοινοὺς πολέμους δια-
λυόμεθα· τούτῳ μόνῳ κοινῷ πάντες ἄνθρωποι δια-
τελοῦμεν χρώμενοι. ὥστε ἅπασι μὲν προσήκει βοη-
29 θεῖν αὐταῖς, μάλιστα δ᾽ ὑμῖν. (ιγ΄.) Ὑπόγυιον γάρ e
ἐστιν, ἐξ οὗ καταπολεμηθέντες, ἐπὶ τοῖς ἐχθροῖς γενό-
μενοι, πολλῶν ἐπιθυμησάντων διαφθεῖραι τὴν πόλιν,
εἰς ὅρκους καὶ συνθήκας κατεφύγομεν, ἃς εἰ Λακε-
δαιμόνιοι τολμῷεν παραβαίνειν, σφόδρ᾽ ἂν ἕκαστος
30 ὑμῶν ἀγανακτήσειεν. καίτοι πῶς οἷόν τ᾽ ἐστὶν ἑτέρων 37
κατηγορεῖν, οἷς αὐτός τις ἔνοχός ἐστιν; τῷ δ᾽ ἂν δό-
ξαιμεν ἀδικεῖσθαι παρὰ τὰς συνθήκας κακῶς πάσχον-
τες, εἰ μηδ᾽ αὐτοὶ φαινοίμεθ᾽ αὐτὰς περὶ πολλοῦ ποι-
ούμενοι; τίνας δὲ πίστεις πρὸς τοὺς ἄλλους εὑρήσομεν,
εἰ τὰς πρὸς ἡμᾶς αὐτοὺς γεγενημένας οὕτως εἰκῇ λύ-
31 σομεν; ἄξιον δὲ καὶ τῶνδε μνησθῆναι, διότι πολλῶν
καὶ καλῶν τοῖς προγόνοις ἐν τῷ πολέμῳ πεπραγμέ-
νων οὐχ ἥκιστα ἡ πόλις ἐκ τούτων τῶν διαλλαγῶν εὐ- b

δοκίμησεν. πρὸς μὲν γὰρ τὸν πόλεμον πολλαὶ πόλεις
ἂν εὑρεθεῖεν καλῶς ἠγωνισμέναι, περὶ δὲ στάσεως οὐκ
ἔστιν ἣν ἄν τις ἐπιδείξειεν ἄμεινον τῆς ἡμετέρας βε-
32 βουλευμένην. ἔτι δὲ τῶν μὲν τοιούτων ἔργων, ὅσα
μετὰ κινδύνων πέπρακται, τὸ πλεῖστον ἄν τις μέρος
τῇ τύχῃ μεταδοίη· τῆς δ' εἰς ἡμᾶς αὐτοὺς μετριότητος
οὐδεὶς ἂν ἄλλ' ἢ τὴν ἡμετέραν γνώμην αἰτιάσαιτο.
ὥστ' οὐκ ἄξιον προδότας ταύτης τῆς δόξης γενέσθαι. c
33 (ιδ'.) Καὶ μηδεὶς ἡγείσθω με ὑπερβάλλειν μηδὲ
μείζω λέγειν, ὅτι δίκην ἰδίαν φεύγων τούτους εἴρηκα
τοὺς λόγους. οὐ γὰρ μόνον περὶ τῶν ἐπιγεγραμμέ-
νων χρημάτων ἐστὶν οὗτος ὁ ἀγών, ἀλλ' ἐμοὶ μὲν
περὶ τούτων, ὑμῖν δὲ περὶ τῶν ὀλίγῳ πρότερον εἰρη-
μένων· ὑπὲρ ὧν οὐδεὶς οὔτ' ἂν εἰπεῖν ἀξίως δύναιτο
34 οὔτ' ἂν τίμημα ἱκανὸν ἐπιγράψαιτο. τοσοῦτον γὰρ
αὕτη διαφέρει τῶν ἄλλων δικῶν, ὥστε τῶν μὲν τοῖς
ἀγωνιζομένοις μόνον προσήκει, ταύτῃ δὲ τὸ κοινὸν d
τῆς πόλεως συγκινδυνεύει. περὶ ταύτης δύο ὅρκους
ὀμόσαντες δικάζετε, τὸν μέν, ὅνπερ ἐπὶ ταῖς ἄλλαις εἴ-
θισθε, τὸν δ' ὃν ἐπὶ ταῖς συνθήκαις ἐποιήσασθε. ταύ-
την ἀδίκως γνόντες οὐ τοὺς τῆς πόλεως μόνον νόμους
ἀλλὰ καὶ τοὺς ἁπάντων κοινοὺς παραβήσεσθε. ὥστε
οὐκ ἄξιον οὔτε κατὰ χάριν οὔτε κατ' ἐπιείκειαν οὔτε κατ'
ἄλλο οὐδὲν ἢ κατὰ τοὺς ὅρκους περὶ αὐτῶν ψηφίσασθαι. e
35 (ιε'.) Ὡς μὲν οὖν χρὴ καὶ συμφέρει καὶ δίκαιον
ὑμᾶς ἐστὶν οὕτω περὶ τῶν συνθηκῶν γιγνώσκειν, οὐδ'
αὐτὸν ἡγοῦμαι Καλλίμαχον ἀντερεῖν· οἶμαι δ' αὐτὸν
ὀδυρεῖσθαι τὴν παροῦσαν πενίαν καὶ τὴν γεγενημέ-
μην αὐτῷ συμφοράν, καὶ λέξειν, ὡς δεινὰ καὶ σχέτλια 378
πείσεται, εἰ τῶν χρημάτων, ὧν ἐπὶ τῆς ὀλιγαρχίας
ἀφῃρέθη, τούτων ἐν δημοκρατίᾳ τὴν ἐπωβελίαν ὀφλή-
σει, καὶ εἰ τότε μὲν διὰ τὴν οὐσίαν τὴν αὑτοῦ φυγεῖν

ἠναγκάσθη, νυνὶ δ᾽ ἐν ᾧ χρόνῳ προσῆκεν αὐτὸν δί-
36 κην λαβεῖν, ἄτιμος γενήσεται. κατηγορήσει δὲ καὶ τῶν
ἐν τῇ μεταστάσει γενομένων ὡς ἐκ τούτων μάλισθ᾽
ὑμᾶς εἰς ὀργὴν καταστήσων· ἴσως γάρ τινος ἀκήκοεν, b
ὡς ὑμεῖς, ὅταν μὴ τοὺς ἀδικοῦντας λάβητε, τοὺς ἐν-
τυγχάνοντας κολάζετε. ἐγὼ δὲ οὔθ᾽ ὑμᾶς ταύτην ἔχειν
τὴν γνώμην ἡγοῦμαι, πρός τε τοὺς ὑπειρημένους λό-
37 γους ῥάδιον ἀντειπεῖν νομίζω. (ιϛ΄.) Πρὸς μὲν οὖν·
τοὺς ὀδυρμοὺς, ὅτι προσήκει βοηθεῖν ὑμᾶς, οὐχ οἵ-
τινες ἂν δυστυχεστάτους σφᾶς αὐτοὺς ἀποδείξωσιν,
ἀλλ᾽ οἵτινες ἂν περὶ ὧν ἀντωμόσαντο δικαιότερα λέ-
γοντες φαίνωνται. περὶ δὲ τῆς ἐπωβελίας, εἰ μὲν ἐγὼ c
τούτων τῶν πραγμάτων αἴτιος ἦν, εἰκότως ἂν αὐτῷ
μέλλοντι ζημιώσεσθαι συνήχθεσθε· νῦν δ᾽ οὗτός ἐστιν
ὁ συκοφαντῶν, ὥστ᾽ οὐδὲν ἂν δικαίως αὐτοῦ λέγον-
38 τος ἀποδέχοισθε. ἔπειτα κἀκεῖνο χρὴ σκοπεῖν, ὅτι
πάντες οἱ κατελθόντες ἐκ Πειραιέως ἔχοιεν ἂν τοὺς
αὐτοὺς λόγους εἰπεῖν, οὕσπερ οὗτος, ὧν οὐδεὶς ἄλλος
τετόλμηκε τοιαύτην δίκην εἰσελθεῖν. καίτοι χρὴ μι-
σεῖν ὑμᾶς τοὺς τοιούτους καὶ κακοὺς πολίτας νομί-
ζειν, οἵτινες ταῖς μὲν συμφοραῖς ὁμοίαις τῷ πλήθει
κέχρηνται, τὰς δὲ τιμωρίας διαφόρους τῶν ἄλλων ἀξι- d
39 οῦσι ποιεῖσθαι. πρὸς δὲ τούτοις ἔτι καὶ νῦν ἔξεστιν
αὐτῷ, πρὶν ἀποπειραθῆναι τῆς ὑμετέρας γνώμης,
ἀφέντι τὴν δίκην ἀπηλλάχθαι πάντων τῶν πραγμά-
των. καίτοι πῶς οὐκ ἄλογόν ἐστιν ἐν τούτῳ τῷ κιν-
δύνῳ ζητεῖν αὐτὸν ἐλέους παρ᾽ ὑμῶν τυγχάνειν, οὗ
κύριος αὐτός ἐστι, καὶ εἰς ὃν αὐτὸς αὐτὸν καθίστησι,
καὶ ὃν ἔτι καὶ νῦν ἔξεστιν αὐτῷ μὴ κινδυνεύειν;
40 (ιζ΄.) Ἂν δ᾽ ἄρα μεμνῆται τῶν ἐπὶ τῆς ὀλιγαρχίας γε- e
γενημένων, ἀξιοῦτε αὐτὸν μὴ ᾽κείνων κατηγορεῖν,
ὑπὲρ ὧν οὐδεὶς ἀπολογήσεται, ἀλλ᾽ ὡς ἐγὼ τὰ χρή-

ματα εἴληφα διδάσκειν, περὶ οὗπερ ὑμᾶς δεῖ ψηφίζε-
σθαι, μηδ᾽ ὡς αὐτὸς δεινὰ πέπονθεν ἀποφαίνειν, ἀλλ᾽
ὡς ἐγὼ πεποίηκα, ἐξελέγχειν, παρ᾽ οὗπερ ἀξιοῖ τὰ 379
41 ἀπολωλότα κομίζεσθαι· ἐπεὶ κακῶς γε αὐτὸν πράτ-
τοντα ἐπιδεῖξαι καὶ πρὸς ἄλλον ὁντινοῦν ἀγωνιζόμενος
τῶν πολιτῶν δύναται. καίτοι χρὴ μέγα παρ᾽ ὑμῖν δύνα-
σθαι τῶν κατηγοριῶν, οὐχ αἷς ἔξεστι χρῆσθαι καὶ πρὸς
τοὺς μηδὲν ἡμαρτηκότας, ἀλλ᾽ ἃς οὐχ οἷόν τ᾽ εἰπεῖν ἀλλ᾽ ἢ
κατὰ τῶν ἠδικηκότων. πρὸς μὲν οὖν τούτους τοὺς λό-
γους καὶ ταῦτ᾽ ἴσως ἀρκέσει καὶ τάχα ἀντειπεῖν ἐξέσται.
42 (ιη΄.) Ἐνθυμεῖσθε δὲ, εἰ καί τῳ δόξω δὶς περὶ b
τῶν αὐτῶν λέγειν, ὅτι πολλοὶ προσέχουσι ταύτῃ τῇ
δίκῃ τὸν νοῦν, οὐ τῶν ἡμετέρων πραγμάτων φροντί-
ζοντες ἀλλ᾽ ἡγούμενοι περὶ τῶν συνθηκῶν εἶναι τὴν
κρίσιν. οὓς ὑμεῖς τὰ δίκαια γνόντες ἀδεῶς οἰκεῖν ἐν
τῇ πόλει ποιήσετε· εἰ δὲ μὴ, πῶς οἴεσθε διακείσε-
σθαι τοὺς ἐν ἄστει μείναντας, ἵν᾽ ὁμοίως ἅπασιν ὀρ-
γιζόμενοι φανήσεσθε τοῖς μετασχοῦσι τῆς πολιτείας;
43 τίνα δὲ γνώμην ἕξειν τοὺς καὶ μικρὸν ἁμάρτημα σφί- c
σιν αὐτοῖς συνειδότας, ὅταν ὁρῶσι μηδὲ τοὺς κοσμίως
πεπολιτευμένους τῶν δικαίων τυγχάνοντας; πόσην δὲ
χρὴ προσδοκᾶν ἔσεσθαι ταραχὴν, ὅταν οἱ μὲν ἐπαρ-
θῶσι συκοφαντεῖν ὡς ὑμῶν αὐτοῖς ἤδη ταῦτ᾽ ἐγνω-
κότων, οἱ δὲ δεδίωσι τὴν παροῦσαν πολιτείαν ὡς οὐ-
44 δεμιᾶς αὐτοῖς ἔτι καταφυγῆς ὑπαρχούσης; ἆρ᾽ οὐκ
ἄξιον φοβεῖσθαι, μὴ συγχυθέντων τῶν ὅρκων πάλιν
εἰς ταῦτα καταστῶμεν, ἐξ ὧνπερ ἠναγκάσθημεν τὰς d
συνθήκας ποιήσασθαι; καὶ μὴν οὐ δεῖ γ᾽ ὑμᾶς παρ᾽
ἑτέρων μαθεῖν, ὅσον ἐστὶν ὁμόνοια ἀγαθὸν ἢ στάσις κα-
κόν· οὕτω γὰρ ἀμφοτέρων σφόδρα πεπείρασθε, ὥστε
καὶ τοὺς ἄλλους ὑμεῖς ἄριστ᾽ ἂν διδάξαιτε περὶ αὐτῶν.
45 (ιθ΄.) Ἵνα δὲ μὴ δοκῶ διὰ τοῦτο πολὺν χρόνον

*περὶ τὰς συνθήκας διατρίβειν, ὅτι ῥᾴδιόν ἐστι περὶ
αὐτῶν πολλὰ καὶ δίκαια εἰπεῖν, τοσοῦτον ὑμῖν ἔτι* e
*διακελεύομαι μνημονεύειν, ὅταν φέρητε τὴν ψῆφον,
ὅτι πρὶν μὲν ποιήσασθαι ταύτας ἐπολεμοῦμεν, οἱ μὲν
τὸν κύκλον ἔχοντες, οἱ δὲ τὸν Πειραιᾶ κατειληφότες,
μᾶλλον ἀλλήλους μισοῦντες ἢ τοὺς ὑπὸ τῶν προγό-*
46 *νων πολεμίους ἡμῖν καταλειφθέντας, ἐπειδὴ δὲ τὰς
πίστεις ἀλλήλοις ἔδομεν εἰς ταὐτὸν συνελθόντες, οὕ-* 380
*τω καλῶς καὶ κοινῶς πολιτευόμεθα, ὥσπερ οὐδεμιᾶς
ἡμῖν συμφορᾶς γεγενημένης. καὶ τότε μὲν ἀμαθεστά-
τους καὶ δυστυχεστάτους πάντες ἡμᾶς ἐνόμιζον· νῦν
δὲ εὐδαιμονέστατοι καὶ σωφρονέστατοι τῶν Ἑλλήνων*
47 *δοκοῦμεν εἶναι. ὥστ᾽ ἄξιον οὐ μόνον τηλικαύταις ζη-
μίαις κολάζειν τοὺς παραβαίνειν τολμῶντας τὰς συν-
θήκας ἀλλὰ ταῖς ἐσχάταις, ὡς τῶν μεγίστων κακῶν
αἰτίους ὄντας, ἄλλως τε καὶ τοὺς ὥσπερ Καλλίμαχος* b
*βεβιωκότας. (κ΄.) Ὃς δέκα μὲν ἔτη συνεχῶς ὑμῖν Λα-
κεδαιμονίων πολεμησάντων οὐδὲ μίαν παρέσχεν αὐ-*
48 *τὸν ἡμέραν τάξαι τοῖς στρατηγοῖς, ἀλλ᾽ ἐκεῖνον μὲν
τὸν χρόνον διετέλεσεν ἀποδιδράσκων καὶ τὴν οὐσίαν
ἀποκρυπτόμενος, ἐπειδὴ δὲ οἱ τριάκοντα κατέστησαν,
τηνικαῦτα κατέπλευσεν εἰς τὴν πόλιν. καὶ φησὶ μὲν
εἶναι δημοτικός, τοσούτῳ δὲ μᾶλλον τῶν ἄλλων ἐπε-
θύμει μετασχεῖν ἐκείνης τῆς πολιτείας, ὥστ᾽ οὐδ᾽ εἰ* c
*κακῶς ἔπαθεν, ἠξίωσεν ἀπελθεῖν, ἀλλ᾽ ᾑρεῖτο μετὰ
τῶν ἡμαρτηκότων εἰς αὐτὸν πολιορκεῖσθαι μᾶλλον ἢ*
49 *μεθ᾽ ὑμῶν τῶν συνηδικημένων πολιτεύεσθαι. καὶ μέχρι
τῆς ἡμέρας ἐκείνης παρέμεινε μετέχων τῆς πολιτείας,
ἐν ᾗ προσβαλεῖν ἠμέλλετε πρὸς τὸ τεῖχος· τότε δ᾽ ἐξῆλ-
θεν, οὐ τὰ παρόντα μισήσας ἀλλὰ δείσας τὸν ἐπιόντα
κίνδυνον, ὡς ὕστερον ἐδήλωσεν. ἐπειδὴ γὰρ Λακεδαι-
μονίων ἐλθόντων ὁ δῆμος ἐν τῷ Πειραιεῖ κατεκλείσθη,* d

παλιν ἐκεῖθεν διαδρὰς ἐν Βοιωτοῖς διῃτᾶτο· ὥστ'
αὐτῷ προσήκει μετὰ τῶν αὐτομόλων ἀναγεγράφθαι
50 πολὺ μᾶλλον ἢ τῶν φευγόντων ὀνομάζεσθαι. καὶ τοι-
οῦτος γεγενημένος καὶ περὶ τοὺς ἐκ Πειραιέως καὶ
περὶ τοὺς ἐν ἄστει μείναντας καὶ περὶ πᾶσαν τὴν πό-
λιν, οὐκ ἀγαπᾷ τῶν ἴσων τυγχάνειν τοῖς ἄλλοις ἀλλὰ
ζητεῖ πλέον ἔχειν ἡμῶν, ὥσπερ ἢ μόνος ἀδικηθεὶς ἢ
βέλτιστος ὢν τῶν πολιτῶν ἢ μεγίσταις συμφοραῖς δι' a
ἡμᾶς κεχρημένος ἢ πλείστων ἀγαθῶν αἴτιος τῇ πόλει
γεγενημένος.

51 Ἠβουλόμην δ' ἂν ὑμᾶς ὁμοίως ἐμοὶ γιγνώσκειν
αὐτὸν, ἵν' αὐτῷ μὴ τῶν ἀπολωλότων συνήχθεσθε
ἀλλὰ τῶν ὑπολοίπων ἐφθονεῖτε. νῦν δὲ περὶ μὲν
τῶν ἄλλων ὅσοις ἐπιβεβούλευκε, καὶ δίκας οἵας δε-
δίκασται καὶ γραφὰς εἰσελήλυθε, καὶ μεθ' ὧν συνέ- 381
στηκε καὶ καθ' ὧν τὰ ψευδῆ μεμαρτύρηκεν, οὐδ' ἂν
52 δὶς τοσοῦτον ὕδωρ ἱκανὸν διηγήσασθαι γένοιτο· ἓν
δὲ μόνον ἀκούσαντες τῶν τούτῳ πεπραγμένων ῥᾳ-
δίως καὶ τὴν ἄλλην αὐτοῦ πονηρίαν γνώσεσθε. (κα΄.)
Κρατῖνος γὰρ ἠμφισβήτησε χωρίου τῷ τούτου κηδεστῇ.
μάχης δ' αὐτοῖς γενομένης ὑποκρυψάμενοι θεράπαι-
ναν ᾐτιῶντο τὸν Κρατῖνον συντρῖψαι τῆς κεφαλῆς b
αὐτῆς, ἐκ δὲ τοῦ τραύματος φάσκοντες ἀποθανεῖν
τὴν ἄνθρωπον λαγχάνουσιν αὐτῷ φόνου δίκην ἐπὶ
53 Παλλαδίῳ. πυθόμενος δὲ ὁ Κρατῖνος τὰς τούτων ἐπι
βουλὰς τὸν μὲν ἄλλον χρόνον ἡσυχίαν ἦγεν, ἵνα μὴ
μεταθεῖντο τὸ πρᾶγμα μηδ' ἑτέρους λόγους ἐξευρί-
σκοιεν, ἀλλ' ἐπ' αὐτοφώρῳ ληφθεῖεν κακουργοῦντες·
ἐπειδὴ δὲ ὁ κηδεστὴς μὲν ἦν ὁ τούτου κατηγορηκὼς,
οὗτος δὲ ὁ μεμαρτυρηκὼς ἡμῖν τεθνάναι τὴν ἄνθρω-
54 πον, ἐλθόντες εἰς τὴν οἰκίαν, ἵνα ἦν κεκρυμμένη, c
βίᾳ λαβόντες αὐτὴν καὶ ἀγαγόντες ἐπὶ τὸ δικαστήριον

ζῶσαν ἅπασι τοῖς παροῦσιν ἐπέδειξαν. ὥσθ' ἑπτακο-
σίων μὲν δικαζόντων, τεττάρων δὲ καὶ δέκα μαρτυ-
ρησάντων ἅπερ οὗτος, οὐδεμίαν ψῆφον μετέλαβεν.
καί μοι κάλει τούτων μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

55 (κβ'.) Τίς οὖν ἂν ἀξίως δύναιτο κατηγορῆσαι
τῶν τούτῳ πεπραγμένων; ἢ τίς ἂν εὑρεῖν ἔχοι παρά-
δειγμα μεῖζον ἀδικίας καὶ συκοφαντίας καὶ πονηρίας; d
ἔνια μὲν γὰρ τῶν ἀδικημάτων οὐκ ἂν ὅλον τὸν τρό-
πον δηλώσειε τῶν ἀδικησάντων, ἐκ δὲ τῶν τοιούτων
ἔργων ἅπαντα τὸν βίον τῶν ἐξαμαρτανόντων ῥᾴδιον
56 κατιδεῖν ἐστίν. ὅστις γὰρ τοὺς ζῶντας τεθνάναι μαρ-
τυρεῖ, τίνος ἂν ὑμῖν ἀποσχέσθαι δοκεῖ; ἢ ὅστις ἐπὶ
τοῖς ἀλλοτρίοις πράγμασιν οὕτω πονηρός ἐστι, τί οὐκ
ἂν ἐπὶ τοῖς αὑτοῦ τολμήσειεν; πῶς δὲ χρὴ τούτῳ πι-
στεύειν ὑπὲρ αὑτοῦ λέγοντι, ὃς ὑπὲρ ἑτέρων ἐπιορ- e
κῶν ἐξελέγχεται; τίς δὲ πώποτε φανερώτερον ἐπε-
δείχθη τὰ ψευδῆ μαρτυρῶν; τοὺς μὲν γὰρ ἄλλους ἐκ
τῶν λεγομένων κρίνετε, τὴν δὲ τούτου μαρτυρίαν,
57 ὅτι ψευδὴς ἦν, εἶδον οἱ δικάζοντες. καὶ τοιαῦθ' ἡμαρ-
τηκὼς ἐπιχειρήσει λέγειν, ὡς ἡμεῖς ψευδόμεθα, 382
ὅμοιον ἐργαζόμενος, ὥσπερ ἂν εἴ τῳ Φρυνώνδας παν-
ουργίαν ὀνειδίσειεν ἢ Φιλουργὸς ὁ τὸ Γοργόνειον
ὑφελόμενος τοὺς ἄλλους ἱεροσύλους ἔφασκεν εἶναι.
τίνα δὲ προσήκει τῶν μὴ γενομένων παρασχέσθαι
μάρτυρα μᾶλλον ἢ τοῦτον, ὃς αὐτὸς ἑτέροις τὰ ψευδῆ
τολμᾷ μαρτυρεῖν;
58 (κγ'.) Ἀλλὰ γὰρ Καλλιμάχου μὲν ἐξέσται πολλά-
κις κατηγορεῖν, οὕτω γὰρ παρεσκεύασται πολιτεύε-
σθαι, περὶ δὲ ἐμαυτοῦ τὰς μὲν ἄλλας πάσας παραλείψω b
λειτουργίας, ἧς δ' οὐ μόνον ἄν μοι δικαίως ἔχοιτε
χάριν ἀλλὰ καὶ τεκμηρίῳ χρήσαισθε περὶ τοῦ παν-

τὸς πράγματος, ταύτης δὲ μνησθήσομαι πρὸς ὑμᾶς.
59 ὅτε γὰρ ἡ πόλις ἀπώλεσε τὰς ναῦς ἐν Ἑλλησπόντῳ
καὶ τῆς δυνάμεως ἐστερήθη, τῶν μὲν πλείστων τριη-
ράρχων τοσοῦτον διήνεγκον, ὅτι μετ' ὀλίγων ἔσωσα
τὴν ναῦν, αὐτῶν δὲ τούτων, ὅτι καταπλεύσας εἰς τὸν
60 Πειραιᾶ μόνος οὐ κατέλυσα τὴν τριηραρχίαν, ἀλλὰ c
τῶν ἄλλων ἀσμένως ἀπαλλαττομένων τῶν λειτουρ-
γιῶν καὶ πρὸς τὰ παρόντα ἀθύμως διακειμένων, καὶ
τῶν μὲν ἀνηλωμένων αὐτοῖς μεταμέλον, τὰ δὲ λοιπὰ
ἀποκρυπτομένων, καὶ νομιζόντων τὰ μὲν κοινὰ διε-
φθάρθαι, τὰ δ' ἴδια σκοπουμένων, οὐ τὴν αὐτὴν
ἐκείνοις γνώμην ἔσχον, ἀλλὰ πείσας τὸν ἀδελφὸν
συντριηραρχεῖν, παρ' ἡμῶν αὐτῶν μισθὸν διδόντες
61 τοῖς ναύταις κακῶς ἐποιοῦμεν τοὺς πολεμίους. τὸ δὲ
τελευταῖον προειπόντος Λυσάνδρου, εἴ τις εἰσάγει d
σῖτον ὡς ὑμᾶς, θάνατον τὴν ζημίαν, οὕτω φιλοτίμως
εἴχομεν πρὸς τὴν πόλιν, ὥστε τῶν ἄλλων οὐδὲ τὸν
σφέτερον αὐτῶν εἰσάγειν τολμώντων ἡμεῖς τὸν ὡς
ἐκείνους εἰσπλέοντα λαμβάνοντες εἰς τὸν Πειραιᾶ
κατήγομεν. ἀνθ' ὧν ὑμεῖς ἐψηφίσασθε ἡμᾶς στεφα-
νῶσαι καὶ πρόσθε τῶν ἐπωνύμων ἀνειπεῖν ὡς μεγά-
62 λων ἀγαθῶν αἰτίους ὄντας. καίτοι χρὴ τούτους δη-
μοτικοὺς νομίζειν, οὐχ ὅσοι κρατοῦντος τοῦ δήμου e
μετασχεῖν τῶν πραγμάτων ἐπεθύμησαν, ἀλλ' οἳ δυσ-
τυχησάσης τῆς πόλεως προκινδυνεύειν ὑμῶν ἠθέ-
λησαν, καὶ χάριν ἔχειν, οὐκ εἴ τις αὐτὸς κακῶς πέ-
πονθεν, ἀλλ' εἴ τις ὑμᾶς εὖ πεποίηκε, καὶ πένητας 383
γενομένους ἐλεεῖν οὐ τοὺς ἀπολωλεκότας τὴν οὐσίαν
63 ἀλλὰ τοὺς εἰς ὑμᾶς ἀνηλωκότας. (κδ'.) Ὧν εἷς ἐγὼ φανή-
σομαι γεγενημένος, ὃς πάντων ἂν εἴην δυστυχέστατος,
εἰ πολλὰ τῶν ἐμαυτοῦ δεδαπανημένος εἰς τὴν πόλιν
εἶτα δόξαιμι τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν καὶ περὶ

μηδενὸς ποιεῖσθαι τὰς παρ' ὑμῖν διαβολάς, ὃς οὐ μό-
νον τὴν οὐσίαν ἀλλὰ καὶ τὴν ψυχὴν τὴν ἐμαυτοῦ
περὶ ἐλάττονος φαίνομαι ποιούμενος τοῦ παρ' ὑμῖν b
64 εὐδοκιμεῖν. τῷδ' οὐκ ἂν ὑμῶν μεταμελήσειεν, εἰ καὶ
μὴ παραχρῆμα ἀλλ' ὀλίγον ὕστερον, εἰ τὸν μὲν συ-
κοφάντην ἴδοιτε πλούσιον γεγενημένον, ἐμὲ δ' ἐξ
ὧν ὑπέλιπον λειτουργῶν, καὶ τούτων ἐκπεπτωκότα;
καὶ τὸν μὲν μηδὲ πώποτε ὑπὲρ ὑμῶν κινδυνεύσαντα
μεῖζον καὶ τῶν νόμων καὶ τῶν συνθηκῶν δυνάμενον,
65 ἐμὲ δὲ τὸν οὕτω πρόθυμον περὶ τὴν πόλιν γεγενη- c
μένον μηδὲ τῶν δικαίων ἀξιούμενον τυγχάνειν; τίς
δ' οὐκ ἂν ὑμῖν ἐπιτιμήσειεν, εἰ πεισθέντες ὑπὸ τῶν
Καλλιμάχου λόγων τοσαύτην πονηρίαν ἡμῶν κατα-
γνοίητε, οὓς ἐκ τῶν ἔργων κρίναντες δι' ἀνδραγα-
θίαν ἐστεφανώσατε, ὅτ' οὐδ' οὕτω ῥᾴδιον ἦν ὥσπερ
66 νῦν τυχεῖν ταύτης τῆς τιμῆς; τοὐναντίον δ' ἡμῖν
συμβέβηκεν ἢ τοῖς ἄλλοις· οἱ μὲν γὰρ ἄλλοι τοὺς εἰ-
ληφότας τὰς δωρεὰς ὑπομιμνήσκουσιν, ἡμεῖς δ' ὑμᾶς d
τοὺς δεδωκότας ἀξιοῦμεν μνημονεύειν, ἵν' ὑμῖν τε-
κμήριον τῶν εἰρημένων ἁπάντων καὶ τῶν ἐπιτηδευ-
67 μάτων τῶν ἡμετέρων γένηται. δῆλον δ' ὅτι ταύτης
τῆς τιμῆς ἀξίους ἡμᾶς αὐτοὺς παρείχομεν, οὐχ ἵνα
ὀλιγαρχίας γενομένης τἀλλότρια διαρπάζοιμεν, ἀλλ'
ἵνα σωθείσης τῆς πόλεως οἵ τ' ἄλλοι τὰ σφέτερ' αὐ-
τῶν ἔχοιεν, ἡμῖν τε παρὰ τῷ πλήθει τῶν πολιτῶν
χάρις ὀφείλοιτο· ἣν ἡμεῖς νῦν ἀπαιτοῦμεν, οὐ πλέον
ἔχειν τοῦ δικαίου ζητοῦντες, ἀλλ' ἀποφαίνοντες μέν, e
ὡς οὐδὲν ἀδικοῦμεν, τοῖς δ' ὅρκοις καὶ ταῖς συνθήκαις
68 ἐμμένοντες. καὶ γὰρ ἂν εἴη δεινόν, εἰ τοὺς μὲν ἠδι-
κηκότας τιμωρίας ἀφεῖναι κύριαι γένοιντο, ἐφ' ἡμῖν
δὲ τοῖς εὖ πεποιηκόσιν ἄκυροι κατασταθεῖεν. ἄξιον δὲ
τὴν παροῦσαν τύχην διαφυλάττειν, ἐνθυμουμένους, 384

ὅτι ἑτέρας μὲν πόλεις ἐποίησαν αἱ συνθῆκαι στασιάσαι, τὴν δ' ἡμετέραν μᾶλλον ὁμονοεῖν. ὧν χρὴ μεμνημένους ἅμα τά τε δίκαια καὶ τὰ συμφέροντα ψηφίζεσθαι.

19.

ΑΙΓΙΝΗΤΙΚΟΣ.

(α'.) Ἐνόμιζον μέν, ὦ ἄνδρες Αἰγινῆται, οὕτω 384
καλῶς βεβουλεῦσθαι περὶ τῶν αὑτοῦ Θρασύλοχον b
ὥστε μηδέν' ἄν ποτ' ἐλθεῖν ἐναντία πράξοντα ταῖς
διαθήκαις αἷς ἐκεῖνος κατέλιπεν· ἐπειδὴ δὲ τοῖς ἀν-
τιδίκοις τοιαύτη γνώμη παρέστηκεν ὥστε καὶ πρὸς
οὕτως ἐχούσας αὐτὰς ἀμφισβητεῖν, ἀναγκαίως ἔχει
2 παρ' ὑμῶν πειρᾶσθαι τῶν δικαίων τυγχάνειν. τοὐ-
ναντίον δὲ πέπονθα τοῖς πλείστοις τῶν ἀνθρώπων.
τοὺς μὲν γὰρ ἄλλους ὁρῶ χαλεπῶς φέροντας, ὅταν
ἀδίκως περί τινος κινδυνεύωσιν, ἐγὼ δ' ὀλίγου δέω
χάριν ἔχειν τούτοις, ὅτι μ' εἰς τουτονὶ τὸν ἀγῶνα
κατέστησαν. ἀκρίτου μὲν γὰρ ὄντος τοῦ πράγματος 385
οὐκ ἂν ἠπίστασθ' ὁποῖός τις γεγενημένος περὶ τὸν
τετελευτηκότα κληρονόμος εἰμὶ τῶν ἐκείνου· πυθό-
μενοι δὲ τὰ πραχθέντα πάντες εἴσεσθ' ὅτι δικαίως
3 ἂν καὶ μείζονος ἢ τοσαύτης δωρεᾶς ἠξιώθην. ἐχρῆν
μέντοι καὶ τὴν ἀμφισβητοῦσαν τῶν χρημάτων μὴ
παρ' ὑμῶν πειρᾶσθαι λαμβάνειν τὴν οὐσίαν, ἣν Θρα-
σύλοχος κατέλιπεν, ἀλλὰ περὶ ἐκεῖνον χρηστὴν οὖσαν
οὕτως ἀξιοῦν αὐτῆς ἐπιδικάζεσθαι. νῦν δ' αὐτῇ το-
σούτου δεῖ μεταμέλειν ὧν εἰς ζῶντ' ἐξήμαρτεν, ὥστε b
καὶ τεθνεῶτος αὐτοῦ πειρᾶται τήν τε διαθήκην ἄκυ-

4 ρον ἅμα καὶ τὸν οἶκον ἔρημον ποιῆσαι. θαυμάζω δὲ
καὶ τῶν πραττόντων ὑπὲρ αὐτῆς, εἰ διὰ τοῦτ᾽ οἴονται
καλὸν εἶναι τὸν κίνδυνον, ὅτι μὴ κατορθώσαντες
οὐδὲν μέλλουσιν ἀποτίσειν. ἐγὼ μὲν γὰρ ἡγοῦμαι με-
γάλην εἶναι καὶ ταύτην ζημίαν, ἂν ἐξελεγχθέντες, ὡς
ἀδίκως ἀμφισβητοῦσιν, ἔπειθ᾽ ὑμῖν δόξωσι χείρους
εἶναι. τὴν μὲν οὖν τούτων κακίαν ἐξ αὐτῶν τῶν ἔρ-
γων γνώσεσθ᾽ ἐπειδὰν διὰ τέλους ἀκούσητε τῶν πε- c
πραγμένων· ὅθεν δ᾽ οἶμαι τάχιστ᾽ ἂν ὑμᾶς μαθεῖν,
περὶ ὧν ἀμφισβητοῦμεν, ἐντεῦθεν ἄρξομαι διη-
γεῖσθαι.

5 (β΄.) Θράσυλλος γὰρ ὁ πατὴρ τοῦ καταλιπόντος
τὴν διαθήκην παρὰ μὲν τῶν προγόνων οὐδεμίαν οὐ-
σίαν παρέλαβεν, ξένος δὲ Πολεμαινέτῳ τῷ μάντει
γενόμενος οὕτως οἰκείως διετέθη πρὸς αὐτὸν, ὥστ᾽
ἀποθνήσκων ἐκεῖνος τάς τε βίβλους τὰς περὶ τῆς μαν-
τικῆς αὐτῷ κατέλιπε καὶ τῆς οὐσίας μέρος τι τῆς νῦν d
6 οὔσης ἔδωκεν. λαβὼν δὲ Θράσυλλος ταύτας ἀφορμὰς
ἐχρῆτο τῇ τέχνῃ· πλάνης δὲ γενόμενος καὶ διαιτηθεὶς
ἐν πολλαῖς πόλεσιν ἄλλαις τε γυναιξὶ συνεγένετο, ὧν
ἔνιαι καὶ παιδάρι᾽ ἀπέδειξαν, ἃ ἐκεῖνος οὐδὲ πώποτε
γνήσι᾽ ἐνόμισε, καὶ δὴ καὶ τὴν ταύτης μητέρ᾽ ἐν τού-
7 τοις τοῖς χρόνοις ἔλαβεν. ἐπειδὴ δ᾽ οὐσίαν τε πολλὴν
ἐκτήσατο καὶ τὴν πατρίδ᾽ ἐπόθεσεν, ἐκείνης μὲν καὶ e
τῶν ἄλλων ἀπηλλάγη, καταπλεύσας δ᾽ εἰς Σίφνον
ἔγημεν ἀδελφὴν τοῦ πατρὸς τοὐμοῦ, πλούτῳ μὲν αὐ-
τὸς πρῶτος ὢν τῶν πολιτῶν, γένει δὲ καὶ τοῖς ἄλλοις
ἀξιώμασιν εἰδὼς τὴν ἡμετέραν οἰκίαν προέχουσαν.
8 οὕτω δὲ σφόδρ᾽ ἠγάπησε τὴν τοῦ πατρὸς φιλίαν, 386
ὥστ᾽ ἀποθανούσης ἐκείνης ἄπαιδος αὖθις ἠγάγετο
τὴν ἀνεψιὰν τοῦ πατρὸς, οὐ βουλόμενος διαλύσασθαι
τὴν πρὸς ἡμᾶς οἰκειότητα. οὐ πολὺν δὲ χρόνον συν-

οικήσας ταῖς αὐταῖς τύχαις ἐχρήσατο καὶ περὶ ταύτην,
9 αἷσπερ καὶ περὶ τὴν προτέραν. μετὰ δὲ ταῦτ' ἔγημεν
ἐκ Σερίφου παρ' ἀνθρώπων πολὺ πλείονος ἀξίων ἢ
κατὰ τὴν αὐτῶν πόλιν, ἐξ ἧς ἐγένετο Σώπολις καὶ b
Θρασύλοχος καὶ θυγάτηρ ἣ νῦν ἐμοὶ συνοικοῦσα.
Θράσυλλος μὲν οὖν τούτους μόνους παῖδας γνησίους
καταλιπὼν καὶ κληρονόμους τῶν αὑτοῦ καταστήσας
τὸν βίον ἐτελεύτησεν.
10 (γ'.) Ἐγὼ δὲ καὶ Θρασύλοχος τοσαύτην φιλίαν
παρὰ τῶν πατέρων παραλαβόντες, ὅσην ὀλίγῳ πρό-
τερον διηγησάμην, ἔτι μείζω τῆς ὑπαρχούσης αὐτὴν
ἐποιήσαμεν. ἕως μὲν γὰρ παῖδες ἦμεν, περὶ πλείονος c
ἡμᾶς αὐτοὺς ἡγούμεθα ἢ τοὺς ἀδελφοὺς καὶ οὔτε
θυσίαν οὔτε θεωρίαν οὔτ' ἄλλην ἑορτὴν οὐδεμίαν
χωρὶς ἀλλήλων ἤγομεν· ἐπειδὴ δ' ἄνδρες ἐγενόμεθα,
οὐδὲν πώποτ' ἐναντίον ἡμῖν αὐτοῖς ἐπράξαμεν, ἀλλὰ
καὶ τῶν ἰδίων ἐκοινωνοῦμεν καὶ πρὸς τὰ τῆς πόλεως
ὁμοίως διεκείμεθα καὶ φίλοις καὶ ξένοις τοῖς αὐτοῖς
11 ἐχρώμεθα. καὶ τί δεῖ λέγειν τὰς οἴκοι χρήσεις; ἀλλ'
οὐδὲ φυγόντες ἀπ' ἀλλήλων ἠξιώσαμεν γενέσθαι. τὸ
δὲ τελευταῖον φθόῃ σχόμενον αὐτὸν καὶ πολὺν χρό-
νον ἀσθενήσαντα, καὶ τοῦ μὲν ἀδελφοῦ Σωπόλιδος d
αὐτῷ πρότερον τετελευτηκότος, τῆς δὲ μητρὸς καὶ
τῆς ἀδελφῆς οὔπω παρουσῶν, μετὰ τοσαύτης ἐρημίας
γενόμενον οὕτως ἐπιπόνως καὶ καλῶς αὐτὸν ἐθερά-
πευσα, ὥστ' ἐκεῖνον μὴ νομίζειν ἀξίαν μοι δύνασθαι
12 χάριν ἀποδοῦναι τῶν πεπραγμένων. ὅμως δ' οὐδὲν
ἐνέλιπεν, ἀλλ' ἐπειδὴ πονήρως διέκειτο καὶ οὐδεμίαν
ἐλπίδ' εἶχε τοῦ βίου, παρακαλέσας μάρτυρας υἱόν μ' e
ἐποιήσατο καὶ τὴν ἀδελφὴν τὴν αὑτοῦ καὶ τὴν οὐσίαν
ἔδωκεν. καί μοι λαβὲ τὰς διαθήκας.

ΔΙΑΘΗΚΑΙ.

(δ'.) Ἀνάγνωθι δή μοι καὶ τὸν νόμον τὸν Αἰγινητῶν· κατὰ γὰρ τοῦτον ἔδει ποιεῖσθαι τὰς διαθήκας· ἐνθάδε γὰρ μετῳκοῦμεν.

ΝΟΜΟΣ.

13 (ε'.) *Κατὰ τουτονὶ τὸν νόμον, ὦ ἄνδρες Αἰγινῆ-*
ται, υἱόν μ' ἐποιήσατο Θρασύλοχος, πολίτην μὲν αὐ-
τοῦ καὶ φίλον ὄντα, γεγονότα δ' οὐδενὸς χεῖρον 387
Σιφνίων, πεπαιδευμένον δ' ὁμοίως αὐτῷ καὶ τεθραμ-
μένον. ὥστ' οὐκ οἶδ' ὅπως ἂν μᾶλλον κατὰ τὸν νό-
μον ἔπραξεν, ὃς τοὺς ὁμοίους κελεύει παῖδας εἰσποι-
εῖσθαι. λαβὲ δή μοι καὶ τὸν Κείων νόμον, καθ' ὃν
ἡμεῖς ἐπολιτευόμεθα.

ΝΟΜΟΣ.

14 (ϛ'.) *Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Αἰγινῆται, τούτοις*
μὲν τοῖς νόμοις ἠναντιοῦντο, τὸν δὲ παρ' αὐτοῖς κεί-
μενον σύνδικον εἶχον, ἧττον ἄξιον ἦν θαυμάζειν αὐ-
τῶν· νῦν δὲ κἀκεῖνος ὁμοίως τοῖς ἀνεγνωσμένοις b
κεῖται. καί μοι λαβὲ τὸ βιβλίον.

ΝΟΜΟΣ.

15 (ζ'.) *Τί οὖν ὑπόλοιπόν ἐστιν αὐτοῖς, ὅπου τὰς*
μὲν διαθήκας αὐτοὶ προσομολογοῦσι Θρασύλοχον
καταλιπεῖν, τῶν δὲ νόμων τούτοις μὲν οὐδείς, ἐμοὶ
δὲ πάντες βοηθοῦσι, πρῶτον μὲν ὁ παρ' ὑμῖν τοῖς
μέλλουσι διαγνώσεσθαι περὶ τοῦ πράγματος, ἔπειθ'
ὁ Σιφνίων, ὅθεν ἦν ὁ τὴν διαθήκην καταλιπών, ἔτι
δ' ὁ παρ' αὐτοῖς τοῖς ἀμφισβητοῦσι κείμενος; καίτοι
τίνος ἂν ὑμῖν ἀποσχέσθαι δοκοῦσιν, οἵτινες ζητοῦσι c
πείθειν ὑμᾶς, ὡς χρὴ τὰς διαθήκας ἀκύρους ποιῆσαι
τῶν μὲν νόμων οὕτως ἐχόντων, ὑμῶν δὲ κατ' αὐτοὺς
ὀμωμοκότων ψηφιεῖσθαι;

16 (η'.) *Περὶ μὲν οὖν αὐτοῦ τοῦ πράγματος ἱκανῶς*

*ἀποδεδεῖχθαι νομίζω· ἵνα δὲ μηδεὶς οἴηται μήτ' ἐμὲ
διὰ μικρὰς προφάσεις ἔχειν τὸν κλῆρον μήτε ταύτην
ἐπιεικῆ γεγενημένην περὶ Θρασύλοχον ἀποστερεῖσθαι
τῶν χρημάτων, βούλομαι καὶ περὶ τούτων εἰπεῖν. αἰ-* d
*σχυνθείην γὰρ ἂν ὑπὲρ τοῦ τετελευτηκότος, εἰ μὴ
πάντες πεισθείητε, μὴ μόνον ὡς κατὰ τοὺς νόμους*
17 *ἀλλ' ὡς καὶ δικαίως ταῦτ' ἔπραξεν. ῥᾳδίας δ' ἡγοῦ-
μαι τὰς ἀποδείξεις εἶναι. τοσοῦτον γὰρ διηνέγκαμεν,
ὥσθ' αὕτη μὲν ἡ κατὰ γένος ἀμφισβητοῦσα πάντα τὸν
χρόνον διετέλεσε καὶ πρὸς αὐτὸν ἐκεῖνον καὶ πρὸς Σώ-
πολιν καὶ πρὸς τὴν μητέρ' αὐτῶν διαφερομένη καὶ
δυσμενῶς ἔχουσα, ἐγὼ δ' οὐ μόνον περὶ Θρασύλοχον* e
*καὶ τὸν ἀδελφὸν ἀλλὰ καὶ περὶ αὐτὴν τὴν οὐσίαν, ἧς
ἀμφισβητοῦμεν, φανήσομαι πλείστου τῶν φίλων ἄξιος
γεγενημένος.*
18 *(θ'.) Καὶ περὶ μὲν τῶν παλαιῶν πολὺ ἂν ἔργον
εἴη λέγειν· ὅτε δὲ Πασῖνος Πάρον κατέλαβεν, ἔτυχεν
αὐτοῖς ὑπεκκείμενα τὰ πλεῖστα τῆς οὐσίας παρὰ τοῖς
ξένοις τοῖς ἐμοῖς· ᾠόμεθα γὰρ μάλιστα ταύτην τὴν* 388
*νῆσον ἀσφαλῶς ἔχειν. ἀπορούντων δ' ἐκείνων καὶ νο-
μιζόντων αὔτ' ἀπολωλέναι, πλεύσας ἐγὼ τῆς νυκτὸς
ἐξεκόμισ' αὐτοῖς τὰ χρήματα, κινδυνεύσας περὶ τοῦ*
19 *σώματος· ἐφρουρεῖτο μὲν γὰρ ἡ χώρα, συγκατειλη-
φότες δ' ἦσάν τινες τῶν ἡμετέρων φυγάδων τὴν πό-
λιν, οἳ μιᾶς ἡμέρας ἀπέκτειναν αὐτόχειρες γενόμενοι
τόν τε πατέρα τὸν ἐμὸν καὶ τὸν θεῖον καὶ τὸν κηδε-
στὴν καὶ πρὸς τούτοις ἀνεψιοὺς τρεῖς. ἀλλ' ὅμως οὐ-* b
*δέν με τούτων ἀπέτρεψεν, ἀλλ' ᾠχόμην πλέων, ἡγού-
μενος ὁμοίως με δεῖν ὑπὲρ ἐκείνων κινδυνεύειν ὥσπερ*
20 *ὑπὲρ ἐμαυτοῦ. (ι'.) Μετὰ δὲ ταῦτα φυγῆς ἡμῖν γενο-
μένης ἐκ τῆς πόλεως μετὰ τοιούτου θορύβου καὶ δέ-
ους ὥστ' ἐνίους καὶ τῶν σφετέρων αὐτῶν ἀμελεῖν,*

οὐδ' ἐν τούτοις τοῖς κακοῖς ἠγάπησα, εἰ τοὺς οἰκέτας
τοὺς ἐμαυτοῦ διασῶσαι δυνηθείην, ἀλλ' εἰδὼς Σώπολιν
μὲν ἀποδημοῦντα, αὐτὸν δ' ἐκεῖνον ἀρρώστως διακεί- c
μενον, συνεξεκόμισ' αὐτῷ καὶ τὴν μητέρα καὶ τὴν
ἀδελφὴν καὶ τὴν οὐσίαν ἅπασαν. καίτοι τίνα δικαιό-
τερον αὐτὴν ἔχειν ἢ τὸν τότε μὲν συνδιασώσαντα, νῦν
δὲ παρὰ τῶν κυρίων εἰληφότα;
21 (ια'.) Τὰ μὲν τοίνυν εἰρημένα ταῦτ' ἐστὶν, ἐν οἷς
ἐκινδύνευσα μὲν, φλαῦρον δ' οὐδὲν ἀπέλαυσα· ἔχω
δὲ καὶ τοιαῦτ' εἰπεῖν, ἐξ ὧν ἐκείνῳ χαριζόμενος αὐτὸς
ταῖς μεγίσταις συμφοραῖς περιέπεσον. (ιβ'.) Ἐπειδὴ d
γὰρ ἤλθομεν εἰς Μῆλον, αἰσθόμενος, ὅτι μέλλοιμεν
αὐτοῦ καταμένειν, ἐδεῖτό μου συμπλεῖν εἰς Τροιζῆνα
καὶ μηδαμῶς αὐτὸν ἀπολιπεῖν, λέγων τὴν ἀρρωστίαν
τοῦ σώματος καὶ τὸ πλῆθος τῶν ἐχθρῶν, καὶ ὅτι χω-
ρὶς ἐμοῦ γενόμενος οὐδὲν ἕξοι χρῆσθαι τοῖς αὑτοῦ
22 πράγμασιν. φοβουμένης δὲ τῆς μητρὸς, ὅτι τὸ χωρίον
ἐπυνθάνετο νοσῶδες εἶναι, καὶ τῶν ξένων συμβου-
λευόντων αὐτοῦ μένειν, ὅμως ἔδοξεν ἡμῖν ἐκείνῳ χα- e
ριστέον εἶναι. καὶ μετὰ ταῦτ' οὐκ ἔφθημεν εἰς Τροι-
ζῆν' ἐλθόντες καὶ τοιαύταις νόσοις ἐλήφθημεν, ἐξ
ὧν αὐτὸς μὲν παρὰ μικρὸν ἦλθον ἀποθανεῖν, ἀδελ-
φὴν δὲ κόρην τετρακαιδεκέτιν γεγονυῖαν ἐντὸς τριά-
κονθ' ἡμερῶν κατέθαψα, τὴν δὲ μητέρ' οὐδὲ πένθ'
ἡμέραις ἐκείνης ὕστερον. καίτοι τίν' οἴεσθέ με γνώ- 389
μην ἔχειν τοσαύτης μοι μεταβολῆς τοῦ βίου γεγενη-
23 μένης; ὃς τὸν μὲν ἄλλον χρόνον ἀπαθὴς ἦν κακῶν,
νεωστὶ δ' ἐπειρώμην φυγῆς καὶ τοῦ παρ' ἑτέροις μὲν
μετοικεῖν, στέρεσθαι δὲ τῶν ἐμαυτοῦ, πρὸς δὲ τού-
τοις ὁρῶν τὴν μητέρα τὴν αὑτοῦ καὶ τὴν ἀδελφὴν ἐκ
μὲν τῆς πατρίδος ἐκπεπτωκυίας, ἐπὶ δὲ ξένης καὶ παρ'
ἀλλοτρίοις τὸν βίον τελευτώσας. ὥστ' οὐδεὶς ἂν μοι

δικαίως φθονήσειεν, εἴ τι τῶν Θρασυλόχου πραγμα- b
των ἀγαθὸν ἀπολέλαυκα· καὶ γὰρ ἵνα χαρισαίμην
ἐκείνῳ, κατοικισάμενος ἐν Τροιζῆνι τοιαύταις ἐχρη-
σάμην συμφοραῖς, ὧν οὐδέποτ᾽ ἂν ἐπιλαθέσθαι δυ-
νηθείην.
24 (ιγ΄.) Καὶ μὴν οὐδὲ τοῦθ᾽ ἕξουσιν εἰπεῖν, ὡς εὖ
μὲν πράττοντος Θρασυλόχου πάντα ταῦθ᾽ ὑπέμενον,
δυστυχήσαντα δ᾽ αὐτὸν ἀπέλιπον· ἐν αὐτοῖς γὰρ τού-
τοις ἔτι σαφέστερον καὶ μᾶλλον ἐνεπεδειξάμην τὴν εὔ-
νοιαν, ἣν εἶχον εἰς ἐκεῖνον. ἐπειδὴ γὰρ εἰς Αἴγιναν c
κατοικισάμενος ἠσθένησε ταύτην τὴν νόσον, ἐξ ἧσπερ
ἀπέθανεν, οὕτως αὐτὸν ἐθεράπευσα, ὡς οὐκ οἶδ᾽
ὅστις πώποθ᾽ ἕτερος ἕτερον, τὸν μὲν πλεῖστον τοῦ
χρόνου πονήρως μὲν ἔχοντα, περιιέναι δ᾽ ἔτι δυνά-
25 μενον, ἓξ μῆνας δὲ συνεχῶς ἐν τῇ κλίνῃ κείμενον. καὶ
τούτων τῶν ταλαιπωριῶν οὐδεὶς τῶν συγγενῶν μετα-
σχεῖν ἠξίωσεν, ἀλλ᾽ οὐδ᾽ ἐπισκεψόμενος ἀφίκετο πλὴν
τῆς μητρὸς καὶ τῆς ἀδελφῆς, αἳ πλέον θάτερον ἐποίησαν·
ἀσθενοῦσαι γὰρ ἦλθον ἐκ Τροιζῆνος, ὥστ᾽ αὐταὶ θερα- d
πείας ἐδέοντο. ἀλλ᾽ ὅμως ἐγώ, τοιούτων τῶν ἄλλων περὶ
αὐτὸν γεγενημένων, οὐκ ἀπεῖπον οὐδ᾽ ἀπέστην ἀλλ᾽
26 ἐνοσήλευον αὐτὸν μετὰ παιδὸς ἑνός· οὐδὲ γὰρ τῶν
οἰκετῶν οὐδεὶς ὑπέμενεν. καὶ γὰρ φύσει χαλεπὸς ὢν
ἔτι δυσκολώτερον διὰ τὴν νόσον διέκειτο, ὥστ᾽ οὐκ
ἐκείνων ἄξιον θαυμάζειν, εἰ μὴ παρέμενον, ἀλλὰ πολὺ
μᾶλλον, ὅπως ἐγὼ τοιαύτην νόσον θεραπεύων ἀνταρ-
κεῖν ἠδυνάμην· ὃς ἔμπυος μὲν ἦν πολὺν χρόνον, ἐκ
27 δὲ τῆς κλίνης οὐκ ἠδύνατο κινεῖσθαι, τοιαῦτα δ᾽ ἔπα- e
σχεν ὥσθ᾽ ἡμᾶς μηδεμίαν ἡμέραν ἀδακρύτους διαγα-
γεῖν, ἀλλὰ θρηνοῦντες διετελοῦμεν καὶ τοὺς πόνους
τοὺς ἀλλήλων καὶ τὴν φυγὴν καὶ τὴν ἐρημίαν τὴν
ἡμετέραν αὐτῶν. καὶ ταῦτ᾽ οὐδένα χρόνον διέλειπεν.

οὐδὲ γὰρ ἀπελθεῖν οἷόν τ' ἦν ἢ δοκεῖν ἀμελεῖν, ὅ μοι 390
πολὺ δεινότερον ἦν τῶν κακῶν τῶν παρόντων.
28 (ιδ'.) Ἠβουλόμην δ' ἂν ὑμῖν οἷός τ' εἶναι ποιῆ-
σαι φανερὸν, οἷος περὶ αὐτὸν ἐγενόμην· οἶμαι γὰρ
οὐδ' ἂν τὴν φωνὴν ὑμᾶς ἀνασχέσθαι τῶν ἀντιδίκων.
νῦν δὲ τὰ χαλεπώτατα τῶν ἐν τῇ θεραπείᾳ καὶ δυσχε-
ρέστατα καὶ πόνους ἀηδεστάτους ἔχοντα καὶ πλεί-
στης ἐπιμελείας δεηθέντ' οὐκ εὐδιήγητ' ἐστίν. ἀλλ'
ὑμεῖς αὐτοὶ σκοπεῖτε, μετὰ πόσων ἄν τις ἀγρυπνιῶν b
καὶ ταλαιπωριῶν τοιοῦτον νόσημα τοσοῦτον χρόνον
29 θεραπεύσειεν. ἐγὼ μὲν γὰρ οὕτω κακῶς διετέθην,
ὥσθ' ὅσοι περ εἰσῆλθον τῶν φίλων, ἔφασαν δεδιέναι,
μὴ κἀγὼ προσαπόλωμαι, καὶ συνεβούλευόν μοι φυ-
λάττεσθαι, λέγοντες, ὡς οἱ πλεῖστοι τῶν θεραπευ-
σάντων ταύτην τὴν νόσον αὐτοὶ προσδιεφθάρησαν.
πρὸς οὓς ἐγὼ τοιαῦτ' ἀπεκρινάμην, ὅτι πολὺ ἂν θᾶτ-
τον ἑλοίμην ἀποθανεῖν ἢ 'κεῖνον περιιδεῖν δι' ἔνδειαν c
τοῦ θεραπεύσοντος πρὸ μοίρας τελευτήσαντα.
30 (ιε'.) Καὶ τοιούτῳ μοι γεγενημένῳ τετόλμηκεν
ἀμφισβητεῖν τῶν χρημάτων ἡ μηδ' ἐπισκέψασθαι πώ-
ποτ' αὐτὸν ἀξιώσασα, τοσοῦτον μὲν χρόνον ἀσθενή-
σαντα, πυνθανομένη δὲ καθ' ἑκάστην τὴν ἡμέραν, ὡς
διέκειτο, ῥᾳδίας δ' οὔσης αὐτῇ τῆς πορείας. εἶτα νῦν
αὐτὸν ἀδελφίζειν ἐπιχειρήσουσιν, ὥσπερ οὐχ ὅσῳ περ
ἂν οἰκειότερον προσείπωσι τὸν τεθνεῶτα, τοσούτῳ
31 δόξουσαν αὐτὴν μείζω καὶ δεινότερ' ἐξαμαρτεῖν· ἥτις d
οὐδ' ἐπειδὴ τελευτᾶν ἤμελλε τὸν βίον, ὁρῶσα τοὺς
πολίτας τοὺς ἡμετέρους, ὅσοι περ ἦσαν ἐν Τροιζῆνι,
διαπλέοντας εἰς Αἴγιναν, ἵν' αὐτὸν συγκαταθάψειαν,
οὐδ' εἰς τοῦτον τὸν καιρὸν ἀπήντησεν ἀλλ' οὕτως
ὠμῶς καὶ σχετλίως εἶχεν, ὥστ' ἐπὶ μὲν τὸ κῆδος οὐκ
ἠξίωσεν ἀφικέσθαι, τῶν δὲ καταλειφθέντων οὐδὲ δέχ'

ἡμέρας διαλιποῦσ' ἦλθεν ἀμφισβητοῦσα, ὥσπερ τῶν
32 χρημάτων ἀλλ' οὐκ ἐκείνου συγγενὴς οὖσα. καὶ εἰ μὲν e
ὁμολογήσει τοσαύτην ἔχθραν ὑπάρχειν αὐτῇ πρὸς
ἐκεῖνον ὥστ' εἰκότως ταῦτα ποιεῖν, οὐκ ἂν κακῶς εἴη
βεβουλευμένος, εἰ τοῖς φίλοις ἠβουλήθη μᾶλλον ἢ
ταύτῃ τὴν οὐσίαν καταλιπεῖν· εἰ δὲ μηδεμιᾶς διαφο- 391
ρᾶς οὔσης οὕτως ἀμελὴς καὶ κακὴ περὶ αὐτὸν ἐγένετο,
πολὺ ἂν δικαιότερον στερηθείη τῶν αὑτῆς ἢ τῶν ἐκεί-
33 νου κληρονόμος γίγνοιτο. ἐνθυμεῖσθε δ' ὅτι τὸ μὲν
ταύτης μέρος οὔτ' ἐν τῇ νόσῳ θεραπείας ἔτυχεν οὔτ'
ἀποθανὼν τῶν νομιζομένων ἠξιώθη, δι' ἐμὲ δ' ἀμ-
φότερα ταῦτ' αὐτῷ γεγένηται. καίτοι δίκαιόν ἐστιν
ὑμᾶς τὴν ψῆφον φέρειν, οὐκ εἴ τινες γένει μέν φασι
προσήκειν, ἐν δὲ τοῖς ἔργοις ὅμοιοι τοῖς ἐχθροῖς γε- b
γόνασιν, ἀλλὰ πολὺ μᾶλλον ὅσοι μηδὲν ὄνομα συγ-
γενείας ἔχοντες οἰκειοτέρους σφᾶς αὐτοὺς ἐν ταῖς συμ-
φοραῖς τῶν ἀναγκαίων παρέσχον.
34 (ιϛ΄.) Λέγουσι δ' ὡς τὰς μὲν διαθήκας οὐκ ἀπι-
στοῦσι Θρασύλοχον καταλιπεῖν, οὐ μέντοι καλῶς οὐδ'
ὀρθῶς φασὶν αὐτὰς ἔχειν. καίτοι, ὦ ἄνδρες Αἰγινῆ-
ται, πῶς ἄν τις ἄμεινον ἢ μᾶλλον συμφερόντως περὶ
τῶν αὐτοῦ πραγμάτων ἐβουλεύσατο; ὃς οὔτ' ἔρημον c
τὸν οἶκον κατέλιπε τοῖς τε φίλοις χάριν ἀπέδωκεν,
ἔτι δὲ τὴν μητέρα καὶ τὴν ἀδελφὴν οὐ μόνον τῶν αὐ-
τοῦ κυρίας ἀλλὰ καὶ τῶν ἐμῶν κατέστησε, τὴν μὲν
35 ἐμοὶ συνοικίσας, τῇ δ' υἱόν μ' εἰσποιήσας; ἆρ' ἂν
ἐκείνως ἄμεινον ἔπραξεν, εἰ μήτε τῆς μητρὸς τὸν ἐπι-
μελησόμενον κατέστησε, μήτ' ἐμοῦ μηδεμίαν μνείαν
ἐποιήσατο, τὴν δ' ἀδελφὴν ἐπὶ τῇ τύχῃ κατέλιπε, καὶ
τὸν οἶκον ἀνώνυμον τὸν αὐτοῦ περιεῖδε γενόμενον;
36 (ιζ΄.) Ἀλλὰ γὰρ ἴσως ἀνάξιος ἦν υἱὸς εἰσποιηθῆ- d
ναι Θρασυλόχῳ καὶ λαβεῖν αὐτοῦ τὴν ἀδελφήν. ἀλλὰ

πάντες ἂν μαρτυρήσειαν Σίφνιοι τοὺς προγόνους
τοὺς ἐμοὺς καὶ γένει καὶ πλούτῳ καὶ δόξῃ καὶ τοῖς
ἄλλοις ἅπασι πρώτους εἶναι τῶν πολιτῶν. τίνες γὰρ
ἢ μειζόνων ἀρχῶν ἠξιώθησαν, ἢ πλείω χρήματ' εἰσή-
νεγκαν, ἢ κάλλιον ἐχορήγησαν, ἢ μεγαλοπρεπέστερον
τὰς ἄλλας λειτουργίας ἐλειτούργησαν; ἐκ ποίας δ'
οἰκίας τῶν ἐν Σίφνῳ πλείους βασιλεῖς γεγόνασιν; e
37 ὥστε Θρασύλοχός τ' εἰ καὶ μηδὲ πώποτ' αὐτῷ διελέ-
χθην, εἰκότως ἂν ἠβουλήθη μοι διὰ ταῦτα δοῦναι τὴν
ἀδελφήν, ἐγώ τ' εἰ καὶ μηδέν μοι τούτων ὑπῆρχεν,
ἀλλὰ φαυλότατος ἦν τῶν πολιτῶν, δικαίως ἂν παρ'
αὐτοῦ διὰ τὰς εὐεργεσίας τὰς εἰς ἐκεῖνον τῶν μεγί-
στων ἠξιώθην. 392
38 (ιη'.) Οἶμαι τοίνυν αὐτὸν καὶ Σωπόλιδι τἀδελ-
φῷ μάλιστα κεχαρίσθαι ταῦτα διαθέμενον. καὶ γὰρ
ἐκεῖνος ταύτην μὲν ἐμίσει καὶ κακόνουν τοῖς αὑτοῦ
πράγμασιν ἐνόμιζεν, ἐμὲ δὲ περὶ πλείστου τῶν αὑτοῦ
φίλων ἐποιεῖτο. ἐδήλωσε δ' ἐν ἄλλοις τε πολλοῖς καὶ
ὅτ' ἔδοξε τοῖς συμφυγάσιν ἐπιχειρεῖν τῇ πόλει μετὰ
τῶν ἐπικούρων. αἱρεθεὶς γὰρ ἄρχειν αὐτοκράτωρ
ἐμὲ καὶ γραμματέα προσείλετο καὶ τῶν χρημάτων τα-
μίαν ἁπάντων κατέστησε, καὶ ὅτ' ἠμέλλομεν κινδυ- b
39 νεύειν, αὐτὸς αὑτῷ με παρετάξατο. καὶ σκέψασθ' ὡς
σφόδρ' αὐτῷ συνήνεγκεν· δυστυχησάντων γὰρ ἡμῶν
ἐν τῇ προσβολῇ τῇ πρὸς τὴν πόλιν καὶ τῆς ἀναχω-
ρήσεως οὐχ οἵας ἠβουλόμεθα γενομένης, τετρωμένον
αὐτὸν καὶ βαδίζειν οὐ δυνάμενον ἀλλ' ὀλιγοψυχοῦν-
τα ἀπεκόμισ' ἐπὶ τὸ πλοῖον μετὰ τοῦ θεράποντος
τοὐμαυτοῦ, φέρων ἐπὶ τῶν ὤμων, ὥστ' ἐκεῖνον πολ- c
λάκις καὶ πρὸς πολλοὺς εἰπεῖν, ὅτι μόνος ἀνθρώπων
40 αἴτιος εἴην αὐτῷ τῆς σωτηρίας. καίτοι τίς ἂν μείζων
ταύτης εὐεργεσία γένοιτο; ἐπειδὴ τοίνυν εἰς Λυκίαν

ἐκπλεύσας ἀπέθανεν, αὕτη μὲν οὐ πολλαῖς ἡμέραις
ὕστερον μετὰ τὴν ἀγγελίαν ἔθυε καὶ ἑώρταζε καὶ
οὐδὲ τὸν ἀδελφὸν ᾐσχύνετο τὸν ἔτι ζῶντα, οὕτως ὀλί-
γον φροντίζουσα τοῦ τεθνεῶτος, ἐγὼ δ' ἐπένθουν
41 αὐτὸν, ὥσπερ τοὺς οἰκείους νόμος ἐστίν. καὶ ταῦτα
πάντ' ἐποίουν διὰ τὸν τρόπον τὸν ἐμαυτοῦ καὶ τὴν d
φιλίαν τὴν πρὸς ἐκείνους ἀλλ' οὐ ταυτησὶ τῆς δίκης
ἕνεκα· οὐ γὰρ ᾤμην αὐτοὺς οὕτω δυστυχήσειν ὥστ'
ἄπαιδας ἀμφοτέρους τελευτήσαντας εἰς ἔλεγχον κα-
ταστήσειν, ὁποῖός τις ἕκαστος ἡμῶν περὶ αὐτοὺς
ἐγένετο.

42 (ιθ'.) Πρὸς μὲν οὖν Θρασύλοχόν τε καὶ Σώπολιν
ὡς αὕτη τε κἀγὼ διεκείμεθα, σχεδὸν ἀκηκόατε· τρέ-
ψονται δ' ἴσως ἐπ' ἐκεῖνον τὸν λόγον, ὅσπερ αὐτοῖς e
λοιπός ἐστιν, ὡς Θράσυλλος ὁ πατὴρ ὁ ταύτης ἡγοῖτ'
ἂν δεινὰ πάσχειν, εἴ τίς ἐστιν αἴσθησις τοῖς τεθνεῶσι
περὶ τῶν ἐνθάδε γιγνομένων, ὁρῶν τὴν μὲν θυγα-
τέρ' ἀποστερουμένην τῶν χρημάτων, ἐμὲ δὲ κληρο-
43 νόμον ὧν αὐτὸς ἐκτήσατο γιγνόμενον. (κ'.) Ἐγὼ δ'
ἡγοῦμαι μὲν οὐ περὶ τῶν πάλαι τεθνεώτων ἀλλὰ 393
περὶ τῶν ἔναγχος τὸν κλῆρον καταλιπόντων προσή-
κειν ἡμῖν τοὺς λόγους ποιεῖσθαι. Θράσυλλος μὲν
γὰρ, οὕσπερ ἠβούλετο, τούτους κυρίους τῶν αὑτοῦ
κατέλιπεν· δίκαιον δὲ καὶ Θρασυλόχῳ ταὐτὰ ταῦτ'
ἀποδοθῆναι παρ' ὑμῶν, καὶ γενέσθαι διαδόχους τῆς
κληρονομίας μὴ ταύτην, ἀλλ' οἷς ἐκεῖνος διέθετο·
οὐ μέντ' ἂν μοι δοκῶ φυγεῖν οὐδὲ τὴν Θρασύλλου
44 γνώμην. οἶμαι γὰρ ἂν αὐτὸν πάντων γενέσθαι ταύ- b
τῃ χαλεπώτατον δικαστὴν, εἴπερ αἴσθοιτο, οἷα περὶ
τοὺς παῖδας αὐτοῦ γεγένηται. πολλοῦ ἂν δεήσειεν
ἀχθεσθῆναι κατὰ τοὺς νόμους ὑμῶν ψηφισαμένων,
ἀλλὰ πολὺ ἂν μᾶλλον, εἰ τὰς τῶν παίδων διαθήκας

ἀκύρους ἴδοι γενομένας. καὶ γὰρ εἰ μὲν εἰς τὸν οἶ-
κον τὸν ἐμὸν δεδωκὼς ἦν Θρασύλοχος τὴν οὐσίαν,
τοῦτ' ἂν ἐπιτιμᾶν εἶχον αὐτῷ· νῦν δ' εἰς τὸν αὐτῶν
εἰσεποιήσατο, ὥστ' οὐκ ἐλάττω τυγχάνουσιν εἰληφό-
45 τες ὧν δεδώκασιν. χωρὶς δὲ τούτων, οὐδένα μᾶλλον e
εἰκός ἐστιν ἢ Θράσυλλον εὔνουν εἶναι τοῖς κατὰ δό-
σιν ἀμφισβητοῦσιν· καὶ γὰρ αὐτὸς καὶ τὴν τέχνην
ἔμαθε παρὰ Πολεμαινέτου τοῦ μάντεως καὶ τὰ χρή-
ματ' ἔλαβεν οὐ κατὰ γένος ἀλλὰ δι' ἀρετήν, ὥστ'
οὐκ ἂν δήπου φθονήσειεν, εἴ τις περὶ τοὺς παῖδας
αὐτοῦ χρηστὸς γενόμενος τῆς αὐτῆς δωρεᾶς ἧσπερ
46 ἐκεῖνος ἠξιώθη. (κα'.) Μεμνῆσθαι δὲ χρὴ καὶ τῶν
ἐν ἀρχῇ ῥηθέντων. ἐπέδειξα γὰρ ὑμῖν αὐτὸν οὕτω d
περὶ πολλοῦ τὴν ἡμετέραν οἰκειότητα ποιησάμενον
ὥστε γῆμαι καὶ τὴν ἀδελφὴν τὴν τοῦ πατρὸς καὶ τὴν
ἀνεψιάν. καίτοι τίσιν ἂν θᾶττον τὴν αὑτοῦ θυγα-
τέρ' ἐξέδωκεν ἢ τούτοις παρ' ὧν αὐτὸς λαμβάνειν
ἠξίωσεν; ἐκ ποίας δ' ἂν οἰκίας ἥδιον εἶδεν υἱὸν αὑ-
τῷ κατὰ τοὺς νόμους εἰσποιηθέντα μᾶλλον ἢ ταύτης,
ἐξ ἧσπερ καὶ φύσει παῖδας ἐζήτησεν αὑτῷ γενέσθαι;
47 (κβ'.) Ὥστ' ἂν μὲν ἐμοὶ ψηφίσησθε τὸν κλῆρον, e
καὶ πρὸς ἐκεῖνον ὑμῖν καλῶς ἕξει καὶ πρὸς τοὺς ἄλ-
λους ἅπαντας, οἷς προσήκει τι τούτων τῶν πραγμά-
των· ἢν δ' ὑπὸ ταύτης πεισθέντες ἐξαπατηθῆτε, οὐ
μόνον ἔμ' ἀδικήσετε ἀλλὰ καὶ Θρασύλοχον τὸν τὴν
διαθήκην καταλιπόντα καὶ Σώπολιν καὶ τὴν ἀδελ- 394
φὴν τὴν ἐκείνων, ἣ νῦν ἐμοὶ συνοικεῖ, καὶ τὴν μητέρ'
αὐτῶν, ἣ πασῶν ἂν εἴη δυστυχεστάτη γυναικῶν, εἰ
μὴ μόνον ἐξαρκέσειεν αὐτῇ στέρεσθαι τῶν παίδων,
ἀλλὰ καὶ τοῦτ' αὐτῇ προσγένοιτο, ὥστ' ἐπιδεῖν ἄκυ-
ρον μὲν τὴν ἐκείνων γνώμην οὖσαν, ἔρημον δὲ τὸν
48 οἶκον γιγνόμενον, καὶ τὴν μὲν ἐπιχαίρουσαν τοῖς αὐ-

τῆς κακοῖς ἐπιδικαζομένην τῶν χρημάτων, ἐμὲ δὲ μη-
δενος δυνάμενον τῶν δικαίων τυχεῖν, ὃς τοιαῦτ'
ἔπραξα περὶ τοὺς ἐκείνης, ὥστ' εἴ τίς με σκοποῖτο μὴ b
πρὸς ταύτην ἀλλὰ πρὸς τοὺς πώποτε κατὰ δόσιν ἀμ-
φισβητήσαντας, εὑρεθείην ἂν οὐδενὸς χείρων αὐτῶν
περὶ τοὺς φίλους γεγενημένος. καίτοι χρὴ τοὺς τοι-
ούτους τιμᾶν καὶ περὶ πολλοῦ ποιεῖσθαι πολὺ μᾶλλον
ἢ τὰς ὑφ' ἑτέρων δεδομένας δωρεὰς ἀφαιρεῖσθαι.
49 ἄξιον δ' ἐστὶ καὶ τῷ νόμῳ βοηθεῖν, καθ' ὃν ἔξεστιν
ἡμῖν καὶ παῖδας εἰσποιήσασθαι καὶ βουλεύσασθαι
περὶ τῶν ἡμετέρων αὐτῶν, ἐνθυμηθέντας, ὅτι τοῖς c
ἐρήμοις τῶν ἀνθρώπων ἀντὶ παίδων οὗτός ἐστιν· διὰ
γὰρ τοῦτον καὶ οἱ συγγενεῖς καὶ οἱ μηδὲν προσήκον-
τες μᾶλλον ἀλλήλων ἐπιμελοῦνται.
50 (κγ'.) Ἵνα δὲ παύσωμαι λέγων καὶ μηκέτι πλείω
χρόνον διατρίβω, σκέψασθ' ὡς μεγάλα καὶ δίκαι'
ἥκω πρὸς ὑμᾶς ἔχων, πρῶτον μὲν φιλίαν πρὸς τοὺς
καταλιπόντας τὸν κλῆρον παλαιὰν καὶ πατρικὴν καὶ
πάντα τὸν χρόνον διατελέσασαν, ἔπειτ' εὐεργεσίας d
πολλὰς καὶ μεγάλας καὶ περὶ δυστυχοῦντας ἐκείνους
γεγενημένας, πρὸς δὲ τούτοις διαθήκας παρ' αὐτῶν
τῶν ἀντιδίκων ὁμολογουμένας, ἔτι δὲ νόμον ταύταις
βοηθοῦντα, ὃς δοκεῖ τοῖς Ἕλλησιν ἅπασι καλῶς κεῖσθαι.
51 τεκμήριον δὲ μέγιστον· περὶ γὰρ ἄλλων πολλῶν περι-
φερόμενοι περὶ τούτου ταὐτὰ γιγνώσκουσιν. δέομαι
δ' οὖν ὑμῶν καὶ τούτων μεμνημένους καὶ τῶν ἄλλων
τῶν εἰρημένων τὰ δίκαια ψηφίσασθαι, καὶ τοιούτους e
μοι γενέσθαι δικαστάς, οἵων περ ἂν αὐτοὶ τυχεῖν
ἀξιώσαιτε.

20.
ΚΑΤΑ ΛΟΧΙΤΟΥ

[ΜΑΡΤΥΡΙΑΙ].

(α΄.) Ὡς μὲν τοίνυν ἔτυπτέ με Λοχίτης, ἄρχων 395
χειρῶν ἀδίκων, ἅπαντες ὑμῖν οἱ παρόντες μεμαρτυ-
ρήκασιν. (β΄.) Τὸ δ' ἁμάρτημα τοῦθ' οὐχ ὅμοιον δεῖ
νομίζειν τοῖς ἄλλοις οὐδὲ τὰς τιμωρίας ἴσας ποιεῖσθαι
περί τε τοῦ σώματος καὶ τῶν χρημάτων, ἐπισταμέ-
νους, ὅτι τοῦτο πᾶσιν ἀνθρώποις οἰκειότατόν ἐστι,
καὶ τούς τε νόμους ἐθέμεθα καὶ τῆς δημοκρατίας b
ἐπιθυμοῦμεν καὶ τἄλλα πάντα τὰ περὶ τὸν βίον ἕνεκα
τούτου πράττομεν. ὥστ' εἰκὸς ὑμᾶς ἐστι τοὺς περὶ
τοῦτ' ἐξαμαρτάνοντας, ὃ περὶ πλείστου ποιεῖσθε, τῇ
μεγίστῃ ζημίᾳ κολάζειν.

(γ΄.) Εὑρήσετε δὲ καὶ τοὺς θέντας ἡμῖν τοὺς νό-
μους ὑπὲρ τῶν σωμάτων μάλιστα σπουδάσαντας.
πρῶτον μὲν γὰρ περὶ μόνου τούτου τῶν ἀδικημάτων
καὶ δίκας καὶ γραφὰς ἄνευ παρακαταβολῆς ἐποίησαν, c
ἵν' ὅπως ἂν ἕκαστος ἡμῶν τυγχάνῃ δυνάμενος, οὕ-
τως ἔχῃ τιμωρεῖσθαι τοὺς ἀδικοῦντας. ἔπειτα τῶν
μὲν ἄλλων ἐγκλημάτων αὐτῷ τῷ παθόντι μόνον ὁ
δράσας ὑπόδικός ἐστιν· περὶ δὲ τῆς ὕβρεως ὡς κοι- 396
νοῦ τοῦ πράγματος ἔξεστι τῷ βουλομένῳ τῶν πολι-
τῶν γραψαμένῳ πρὸς τοὺς θεσμοθέτας εἰσελθεῖν εἰς
3 ὑμᾶς. (δ΄.) Οὕτω δ' ἡγήσαντο δεινὸν εἶναι τὸ τύ-
πτειν ἀλλήλους, ὥστε καὶ περὶ τῆς κακηγορίας νόμον
ἔθεσαν, ὃς κελεύει τοὺς λέγοντάς τι τῶν ἀπορρήτων
πεντακοσίας δραχμὰς ὀφείλειν. καίτοι πηλίκας τινὰς
χρὴ ποιεῖσθαι τὰς τιμωρίας ὑπὲρ τῶν ἔργῳ παθόν-
των κακῶς, ὅταν ὑπὲρ τῶν λόγῳ μόνον ἀκηκοότων b
οὕτως ὀργιζόμενοι φαίνησθε;

4 (ε΄.) Θαυμαστὸν δ᾽ εἰ τοὺς μὲν ἐπὶ τῆς ὀλιγαρ-
χίας ὑβρίσαντας ἀξίους θανάτου νομίζετε, τοὺς δ᾽ ἐν
δημοκρατίᾳ ταὔτ᾽ ἐκείνοις ἐπιτηδεύοντας ἀζημίους
ἀφήσετε. καίτοι δικαίως ἂν μείζονος οὗτοι τιμωρίας
τυγχάνοιεν· φανερώτερον γὰρ ἐπιδείκνυνται τὴν
αὐτῶν πονηρίαν. ὅστις γὰρ νῦν τολμᾷ παρανομεῖν,
ὅτ᾽ οὐκ ἔξεστι, τί ποτ᾽ ἂν ἐποίησεν, ὅθ᾽ οἱ κρατοῦν- c
τες τῆς πόλεως καὶ χάριν εἶχον τοῖς τὰ τοιαῦτ᾽ ἐξα-
μαρτάνουσιν;
5 (ϛ΄.) Ἴσως οὖν Λοχίτης ἐπιχειρήσει μικρὸν ποιεῖν
τὸ πρᾶγμα, διασύρων τὴν κατηγορίαν καὶ λέγων, ὡς
οὐδὲν ἐκ τῶν πληγῶν κακὸν ἔπαθον ἀλλὰ μείζους
ποιοῦμαι τοὺς λόγους ἢ κατὰ τὴν ἀξίαν τῶν γεγενη-
μένων. (ζ΄.) Ἐγὼ δ᾽ εἰ μὲν μηδεμία προσῆν ὕβρις
τοῖς πεπραγμένοις, οὐκ ἄν ποτ᾽ εἰσῆλθον εἰς ὑμᾶς·
νῦν δ᾽ οὐχ ὑπὲρ τῆς ἄλλης βλάβης τῆς ἐκ τῶν πληγῶν d
γενομένης ἀλλ᾽ ὑπὲρ τῆς αἰκίας καὶ τῆς ἀτιμίας ἥκω
6 παρ᾽ αὐτοῦ δίκην ληψόμενος, ὑπὲρ ὧν προσήκει τοῖς
ἐλευθέροις μάλιστ᾽ ὀργίζεσθαι καὶ μεγίστης τυγχάνειν
τιμωρίας. ὁρῶ δ᾽ ὑμᾶς, ὅταν του καταγνῶθ᾽ ἱεροσυ-
λίαν ἢ κλοπήν, οὐ πρὸς τὸ μέγεθος ὧν ἂν λάβωσι
τὴν τίμησιν ποιουμένους ἀλλ᾽ ὁμοίως ἁπάντων θά-
νατον καταγιγνώσκοντας καὶ νομίζοντας δίκαιον
εἶναι τοὺς τοῖς αὐτοῖς ἔργοις ἐπιχειροῦντας ταῖς αὐ-
7 ταῖς ζημίαις κολάζεσθαι. χρὴ τοίνυν καὶ περὶ τῶν e
ὑβριζόντων τὴν αὐτὴν γνώμην ἔχειν καὶ μὴ τοῦτο
σκοπεῖν, εἰ μὴ σφόδρα συνέκοψαν, ἀλλ᾽ εἰ τὸν νόμον
παρέβησαν, μηδ᾽ ὑπὲρ τοῦ συντυχόντος μόνον ἀλλ᾽
ὑπὲρ ἅπαντος τοῦ τρόπου δίκην παρ᾽ αὐτῶν λαμβά-
νειν, ἐνθυμουμένους, ὅτι πολλάκις ἤδη μικραὶ προ-
8 φάσεις μεγάλων κακῶν αἴτιαι γεγόνασι, καὶ διότι διὰ 397
τοὺς τύπτειν τολμῶντας εἰς τοῦτ᾽ ἤδη τινὲς ὀργῆς

προήχθησαν ὥστ' εἰς τραύματα καὶ θανάτους καὶ
φυγὰς καὶ τὰς μεγίστας συμφορὰς ἐλθεῖν· ὧν οὐδὲν
διὰ τὸν φεύγοντα τὴν δίκην ἀγένητόν ἐστιν, ἀλλὰ
κατὰ μὲν τὸ τούτου μέρος ἅπαντα πέπρακται, διὰ δὲ
τὴν τύχην καὶ τὸν τρόπον τὸν ἐμὸν οὐδὲν τῶν ἀνηκέ-
στων συμβέβηκεν.
9 (θ'.) Ἡγοῦμαι δ' ὑμᾶς οὕτως ἂν ἀξίως ὀργισθῆ- b
ναι τοῦ πράγματος, εἰ διεξέλθοιτε πρὸς ὑμᾶς αὐτούς,
ὅσῳ μεῖζόν ἐστι τοῦτο τῶν ἄλλων ἁμαρτημάτων. εὑ-
ρήσετε γὰρ τὰς μὲν ἄλλας ἀδικίας μέρος τι τοῦ βίου
βλαπτούσας, τὴν δ' ὕβριν ὅλοις τοῖς πράγμασι λυμαι-
νομένην, καὶ πολλοὺς μὲν οἴκους δι' αὐτὴν διαφθα-
ρέντας, πολλὰς δὲ πόλεις ἀναστάτους γεγενημένας.
10 (ι'.) Καὶ τί δεῖ τὰς τῶν ἄλλων συμφορὰς λέγοντα δια-
τρίβειν; αὐτοὶ γὰρ ἡμεῖς δὶς ἤδη τὴν δημοκρατίαν c
ἐπείδομεν καταλυθεῖσαν καὶ δὶς τῆς ἐλευθερίας ἀπε-
στερήθημεν οὐχ ὑπὸ τῶν ταῖς ἄλλαις πονηρίαις ἐνό-
χων ὄντων ἀλλὰ διὰ τοὺς καταφρονοῦντας τῶν νόμων
καὶ βουλομένους τοῖς μὲν πολεμίοις δουλεύειν, τοὺς
11 δὲ πολίτας ὑβρίζειν. ὧν οὗτος εἷς ὢν τυγχάνει. καὶ
γὰρ εἰ τῶν τότε κατασταθέντων νεώτερός ἐστιν,
ἀλλὰ τόν γε τρόπον ἔχει τὸν ἐξ ἐκείνης τῆς πολιτείας.
αὗται γὰρ αἱ φύσεις εἰσὶν αἱ παραδοῦσαι μὲν τὴν δύ-
ναμιν τὴν ἡμετέραν τοῖς πολεμίοις, κατασκάψασαι
δὲ τὰ τείχη τῆς πατρίδος, πεντακοσίους δὲ καὶ χιλίους d
ἀκρίτους ἀποκτείνασαι τῶν πολιτῶν.
12 (ια'.) Ὧν εἰκὸς ὑμᾶς μεμνημένους τιμωρεῖσθαι
μὴ μόνον τοὺς τότε λυμηναμένους ἀλλὰ καὶ τοὺς νῦν
βουλομένους οὕτω διαθεῖναι τὴν πόλιν, καὶ τοσούτῳ
μᾶλλον τοὺς ἐπιδόξους γενήσεσθαι πονηροὺς τῶν
πρότερον ἡμαρτηκότων, ὅσῳ περ κρεῖττόν ἐστι τῶν
μελλόντων κακῶν ἀποτροπὴν εὑρεῖν ἢ τῶν ἤδη γεγε-

13 νημένων δίκην λαβεῖν, καὶ μὴ περιμείνηθ' ἕως ἂν
ἀθροισθέντες καὶ καιρὸν λαβόντες εἰς ὅλην τὴν πόλιν e
ἐξαμάρτωσιν, ἀλλ' ἐφ' ἧς ἂν ὑμῖν προφάσεως παρα-
δοθῶσιν, ἐπὶ ταύτης αὐτοὺς τιμωρεῖσθε, νομίζοντες
εὕρημ' ἔχειν, ὅταν τινὰ λάβητ' ἐν μικροῖς πράγμασιν
14 ἐπιδεδειγμένον ἅπασαν τὴν αὐτοῦ πονηρίαν. κράτι- 398
στον μὲν γὰρ ἦν, εἴ τι προσῆν ἄλλο σημεῖον τοῖς πο-
νηροῖς τῶν ἀνθρώπων, πρὶν ἀδικηθῆναί τινα τῶν
πολιτῶν, πρότερον κολάζειν αὐτούς· ἐπειδὴ δ' οὐχ
οἷόν τ' ἐστὶν αἰσθέσθαι πρὶν κακῶς τινὰ παθεῖν ὑπ'
αὐτῶν, ἀλλ' οὖν γ' ἐπειδὰν γνωρισθῶσι, προσήκει
πᾶσι μισεῖν τοὺς τοιούτους καὶ κοινοὺς ἐχθροὺς νο-
μίζειν.
15 (ιβ'.) Ἐνθυμεῖσθε δ' ὅτι τῶν μὲν περὶ τὰς οὐ-
σίας κινδύνων οὐ μέτεστι τοῖς πένησι, τῆς δ' εἰς τὰ
σώματ' αἰκίας ὁμοίως ἅπαντες κοινωνοῦμεν· ὥσθ' b
ὅταν μὲν τοὺς ἀποστεροῦντας τιμωρῆσθε, τοὺς πλου-
σίους μόνον ὠφελεῖτε, ὅταν δὲ τοὺς ὑβρίζοντας κολά-
16 ζητε, ὑμῖν αὐτοῖς βοηθεῖτε. ὧν οὖν ἕνεκα δεῖ περὶ
πλείστου ποιεῖσθαι ταύτας τῶν δικῶν, καὶ περὶ μὲν
τῶν ἄλλων συμβολαίων τοσούτου τιμᾶν, ὅσον προσ-
ήκει τῷ διώκοντι κομίσασθαι, περὶ δὲ τῆς ὕβρεως,
ὅσον ἀποτίσας ὁ φεύγων παύσεσθαι μέλλει τῆς παρ-
17 ούσης ἀσελγείας. ἂν οὖν περιαιρῆτε τὰς οὐσίας τῶν
νεανιευομένων εἰς τοὺς πολίτας καὶ μηδεμίαν νομί- c
ζηθ' ἱκανὴν εἶναι ζημίαν, οἵτινες ἂν εἰς τὰ σώματ'
ἐξαμαρτάνοντες τοῖς χρήμασι τὰς δίκας ὑπέχωσιν,
ἅπανθ' ὅσα δεῖ τοὺς καλῶς δικάζοντας διαπράξεσθε·
18 καὶ γὰρ περὶ τοῦ παρόντος πράγματος ὀρθῶς γνώ-
σεσθε καὶ τοὺς ἄλλους πολίτας κοσμιωτέρους ποιή-
σετε καὶ τὸν βίον τὸν ὑμέτερον αὐτῶν ἀσφαλέστερον
καταστήσετε. ἔστι δὲ δικαστῶν νοῦν ἐχόντων περὶ

τῶν ἀλλοτρίων τὰ δίκαια ψηφιζομένους ἅμα καὶ τὰ d
σφέτερ' αὐτῶν εὖ τίθεσθαι.
19 (ιγ'.) Καὶ μηδεὶς ὑμῶν εἰς τοῦτ' ἀποβλέψας, ὅτι
πένης εἰμὶ καὶ τοῦ πλήθους εἷς, ἀξιούτω τοῦ τιμή-
ματος ἀφαιρεῖν. οὐ γὰρ δίκαιον ἐλάττους ποιεῖσθαι
τὰς τιμωρίας ὑπὲρ τῶν ἀδόξων ἢ τῶν διωνομασμένων,
οὐδὲ χείρους ἡγεῖσθαι τοὺς πενομένους ἢ τοὺς πολλὰ
κεκτημένους. ὑμᾶς γὰρ ἂν αὐτοὺς ἀτιμάζοιτ' εἰ τοι-
20 αῦτα γιγνώσκοιτε περὶ τῶν πολιτῶν. ἔτι δὲ καὶ πάν- e
των ἂν εἴη δεινότατον, εἰ δημοκρατουμένης τῆς πό-
λεως μὴ τῶν αὐτῶν ἅπαντες τυγχάνοιμεν, ἀλλὰ τῶν
μὲν ἀρχῶν μετέχειν ἀξιοῖμεν, τῶν δ' ἐν τοῖς νόμοις
δικαίων ἀποστεροῖμεν ἡμᾶς αὐτούς, καὶ μαχόμενοι 399
μὲν ἐθέλοιμεν ἀποθνήσκειν ὑπὲρ τῆς πολιτείας, ἐν
δὲ τῇ ψήφῳ πλέον νέμοιμεν τοῖς τὰς οὐσίας ἔχουσιν.
21 οὐκ ἄν γε σωφρονῆθ' οὕτω διακείσεσθε πρὸς ὑμᾶς
αὐτούς, οὐδὲ διδάξετε τοὺς νεωτέρους καταφρονεῖν
τοῦ πλήθους τῶν πολιτῶν, οὐδὲ ἀλλοτρίους ἡγήσεσθ'
εἶναι τοὺς τοιούτους τῶν ἀγώνων, ἀλλ' ὡς ὑπὲρ αὑ-
τοῦ δικάζων, οὕτως ἕκαστος ὑμῶν οἴσει τὴν ψῆφον.
ἅπαντας γὰρ ὁμοίως ἀδικοῦσιν οἱ τολμῶντες τοῦτον
τὸν νόμον παραβαίνειν τὸν ὑπὲρ τῶν σωμάτων τῶν
22 ὑμετέρων κείμενον. (ιδ'.) Ὥστ' ἂν σωφρονῆτε, παρα-
καλέσαντες ἀλλήλους ἐνσημανεῖσθε Λοχίτῃ τὴν ὀργὴν
τὴν ὑμετέραν αὐτῶν, εἰδότες, ὅτι πάντες οἱ τοιοῦτοι
τῶν μὲν νόμων τῶν κειμένων καταφρονοῦσι, τὰ δ'
ἐνθάδε γιγνωσκόμενα, ταῦτα νόμους εἶναι νομίζουσιν.

(ιε'.) Ἐγὼ μὲν οὖν ὡς οἷός τ' ἦν εἴρηκα περὶ
τοῦ πράγματος· εἰ δέ τις τῶν παρόντων ἔχει τί μοι
συνειπεῖν, ἀναβὰς εἰς ὑμᾶς λεγέτω.

21.
ΠΡΟΣ ΕΥΘΥΝΟΥΝ ΑΜΑΡΤΥΡΟΣ.

(α΄.) Οὐκ προφάσεως ἀπορῶ, δι' ἥντινα λέγω 400
ὑπὲρ Νικίου τουτουί· καὶ γὰρ φίλος ὤν μοι τυγχάνει
καὶ δεόμενος καὶ ἀδικούμενος καὶ ἀδύνατος εἰπεῖν,
ὥστε διὰ ταῦτα πάντα ὑπὲρ αὐτοῦ λέγειν ἀναγκά-
ζομαι.

2 (β΄.) Ὅθεν οὖν τὸ συμβόλαιον αὐτῷ πρὸς Εὐθύ-
νουν γεγένηται, διηγήσομαι ὑμῖν ὡς ἂν δύνωμαι διὰ
βραχυτάτων. (γ΄.) Νικίας γὰρ οὑτοσί, ἐπειδὴ οἱ b
τριάκοντα κατέστησαν καὶ αὐτὸν οἱ ἐχθροὶ ἐκ μὲν
τῶν μετεχόντων τῆς πολιτείας ἐξήλειφον, εἰς δὲ τὸν
μετὰ Λυσάνδρου κατάλογον ἐνέγραφον, δεδιὼς τὰ
παρόντα πράγματα τὴν μὲν οἰκίαν ὑπέθηκε, τοὺς δ'
οἰκέτας ἔξω τῆς γῆς ἐξέπεμψε, τὰ δ' ἔπιπλα ὡς ἐμὲ
ἐκόμισε, τρία δὲ τάλαντα ἀργυρίου Εὐθύνῳ φυλάτ-
3 τειν ἔδωκεν, αὐτὸς δ' εἰς ἀγρὸν ἐλθὼν διῃτᾶτο. οὐ
πολλῷ δὲ χρόνῳ ὕστερον βουλόμενος ἐκπλεῖν ἀπῄτησε c
τἀργύριον· Εὐθύνους δὲ τὰ μὲν δύο τάλαντα ἀποδί-
δωσι, τοῦ δὲ τρίτου ἔξαρνος γίγνεται. ἄλλο μὲν οὖν
οὐδὲν εἶχε Νικίας ἐν τῷ τότε χρόνῳ ποιῆσαι, προσ-
ιὼν δὲ πρὸς τοὺς ἐπιτηδείους ἐνεκάλει καὶ ἐμέμφετο
καὶ ἔλεγεν, ἃ πεπονθὼς εἴη. καίτοι οὕτω τοῦτόν τε
περὶ πολλοῦ ἐποιεῖτο καὶ τὰ καθεστῶτα ἐφοβεῖτο,
ὥστε πολὺ ἂν θᾶττον ὀλίγων στερηθεὶς ἐσιώπησεν ἢ
μηδὲν ἀπολέσας ἐνεκάλεσεν.

4 Τὰ μὲν οὖν γεγενημένα ταῦτ' ἐστίν. (δ΄.) Ἀπό- d
ρως δ' ἡμῖν ἔχει τὸ πρᾶγμα. Νικίᾳ γὰρ οὔτε παρα-
κατατιθεμένῳ τὰ χρήματα οὔτε κομιζομένῳ οὐδεὶς
οὔτ' ἐλεύθερος οὔτε δοῦλος παρεγένετο, ὥστε μήτ'

ἐκ βασάνων μήτ' ἐκ μαρτύρων οἷόν τ' εἶναι γνῶναι
περὶ αὐτῶν, ἀλλ' ἀνάγκη ἐκ τεκμηρίων καὶ ἡμᾶς δι-
δάσκειν καὶ ὑμᾶς δικάζειν, ὁπότεροι ἀληθῆ λέγουσιν.
5 (ε'.) Οἶμαι δὴ πάντας εἰδέναι, ὅτι μάλιστα συκο-
φαντεῖν ἐπιχειροῦσιν οἱ λέγειν μὲν δεινοί, ἔχοντες δὲ
μηδέν, τοὺς ἀδυνάτους μὲν εἰπεῖν, ἱκανοὺς δὲ χρή- 401
ματα τελεῖν. Νικίας τοίνυν Εὐθύνου πλείω μὲν ἔχει,
ἧττον δὲ δύναται λέγειν· ὥστε οὐκ ἔστι δι' ὅτι ἂν ἐπήρθη
6 ἀδίκως ἐπ' Εὐθύνουν ἐλθεῖν. ἀλλὰ μὴν καὶ ἐξ αὐτοῦ
ἄν τις τοῦ πράγματος γνοίη, ὅτι πολὺ μᾶλλον εἰκὸς
ἦν Εὐθύνουν λαβόντα ἐξαρνεῖσθαι ἢ Νικίαν μὴ δόντα
αἰτιᾶσθαι. δῆλον γάρ, ὅτι πάντες κέρδους ἕνεκ' ἀδι-
κοῦσιν. οἱ μὲν οὖν ἀποστεροῦντες ὧνπερ ἕνεκ' ἀδι-
κοῦσιν, ἔχουσιν, οἱ δ' ἐγκαλοῦντες οὐδ' εἰ λήψεσθαι b
7 μέλλουσιν ἴσασιν. (ζ'.) Πρὸς δὲ τούτοις, ἀκαταστά-
τως ἐχόντων τῶν ἐν τῇ πόλει καὶ δικῶν οὐκ οὐσῶν
τῷ μὲν οὐδὲν πλέον ἦν ἐγκαλοῦντι, τῷ δὲ οὐδὲν ἦν
δέος ἀποστεροῦντι. ὥστε τὸν μὲν οὐδὲν ἦν θαυ-
μαστόν, ὅτε καὶ οἱ μετὰ μαρτύρων δανεισάμενοι
ἐξηρνοῦντο, τότε ἃ μόνος παρὰ μόνου ἔλαβεν ἀπο-
στερῆσαι· τὸν δ' οὐκ εἰκός, ὅτε οὐδ' οἷς δικαίως ὠφεί-
λετο οἷόν τ' ἦν πράττεσθαι, τότε ἀδίκως ἐγκαλοῦντα c
οἴεσθαί τι λήψεσθαι.
8 (η'.) Ἔτι δ' εἰ καὶ μηδὲν αὐτὸν ἐκώλυεν, ἀλλὰ
καὶ ἐξῆν καὶ ἐβούλετο συκοφαντεῖν, ὡς οὐκ ἂν ἐπ'
Εὐθύνουν ἦλθε, ῥᾴδιον γνῶναι. οἱ γὰρ τοιαῦτα
πράττειν ἐπιθυμοῦντες οὐκ ἀπὸ τῶν φίλων ἄρχονται
ἀλλὰ μετὰ τούτων ἐπὶ τοὺς ἄλλους ἔρχονται, καὶ τού-
τοις ἐγκαλοῦσιν, οὓς ἂν μήτ' αἰσχύνωνται μήτε δε-
δίωσι, καὶ οὓς ἂν ὁρῶσι πλουσίους μέν, ἐρήμους δὲ
9 καὶ ἀδυνάτους πράττειν. (θ'.) Εὐθύνῳ τοίνυν τἀ- d
ναντία τούτων ὑπάρχει· ἀνεψιὸς γὰρ ὢν Νικίου τυγ

χάνει, λέγειν δὲ καὶ πράττειν μᾶλλον δύναται τού-
του, ἔτι δὲ χρήματα μὲν ὀλίγα, φίλους δὲ πολλοὺς
κέκτηται. ὥστ᾿ οὐκ ἔστιν ἐφ᾿ ὅντινα ἂν ἧττον ἢ ἐπὶ
τοῦτον ἦλθεν· ἐπεὶ ἔμοιγε δοκεῖ, εἰδότι τὴν τούτων
οἰκειότητα, οὐδ᾿ ἂν Εὐθύνους Νικίαν ἀδικῆσαι, εἰ
10 ἐξῆν ἄλλον τινὰ τοσαῦτα χρήματα ἀποστερῆσαι. νῦν e
δ᾿ ἀρχαιότερον ἦν αὐτοῖς τὸ πρᾶγμα· ἐγκαλεῖν μὲν
γὰρ ἔξεστιν ἐξ ἁπάντων ἐκλεξάμενον, ἀποστερεῖν δ᾿
οὐχ οἷόν τ᾿ ἄλλον ἢ τὸν παρακαταθέμενον. ὥστε Νι-
κίας μὲν συκοφαντεῖν ἐπιθυμῶν οὐκ ἂν ἐπὶ τοῦτον
ἦλθεν, Εὐθύνους δ᾿ ἀποστερεῖν ἐπιχειρῶν οὐκ ἄλ-
λον εἶχεν.
11 (ι΄.) Ὃ δὲ μέγιστον τεκμήριον καὶ πρὸς ἅπαντα 402
ἱκανόν· ὅτε γὰρ τὸ ἔγκλημα ἐγένετο, ὀλιγαρχία καθ-
ειστήκει, ἐν ᾗ οὕτως ἑκάτερος αὐτῶν διέκειτο, ὥστε
Νικίας μέν, εἰ καὶ τὸν ἄλλον χρόνον εἴθιστο συκο-
φαντεῖν, τότ᾿ ἂν ἐπαύσατο, Εὐθύνους δέ, καὶ εἰ μηδὲ
12 πώποτε διενοήθη ἀδικεῖν, τότ᾿ ἂν ἐπήρθη. ὁ μὲν γὰρ
διὰ τὰ ἁμαρτήματα ἐτιμᾶτο, ὁ δὲ διὰ τὰ χρήματα
ἐπεβουλεύετο. πάντες γὰρ ἐπίστασθε, ὅτι ἐν ἐκείνῳ
τῷ χρόνῳ δεινότερον ἦν πλουτεῖν ἢ ἀδικεῖν· οἱ μὲν b
γὰρ τὰ ἀλλότρια ἐλάμβανον, οἱ δὲ τὰ σφέτερ᾿ αὐ-
τῶν ἀπώλλυον. ἐφ᾿ οἷς γὰρ ἦν ἡ πόλις, οὐ τοὺς
ἁμαρτάνοντας ἐτιμωροῦντο ἀλλὰ τοὺς ἔχοντας ἀφῃ-
ροῦντο, καὶ ἡγοῦντο τοὺς μὲν ἀδικοῦντας πιστούς,
13 τοὺς δὲ πλουτοῦντας ἐχθρούς. ὥστε μὴ περὶ τοῦτ᾿
εἶναι Νικίᾳ, ὅπως συκοφαντῶν τἀλλότρια λήψοιτο,
ἀλλ᾿ ὅπως μηδὲν ἀδικῶν κακόν τι πείσοιτο. τῷ μὲν
γὰρ ὅσον Εὐθύνους δυναμένῳ ἐξῆν ἅ τ᾿ ἔλαβεν ἀπο- c
στερεῖν καὶ οἷς μὴ συνέβαλεν ἐγκαλεῖν· οἱ δ᾿ ὥσπερ
Νικίας διακείμενοι ἠναγκάζοντο τοῖς τ᾿ ὀφείλουσι τὰ
χρέα ἀφιέναι καὶ τοῖς συκοφαντοῦσι τὰ αὑτῶν διδό-

14 ναι. καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, αὐτὸς ἂν ὑμῖν Εὐ-
θύνους μαρτυρήσειεν· ἐπίσταται γὰρ, ὅτι Τιμόδημος
τουτονὶ τριάκοντα μνᾶς ἐπράξατο, οὐ χρέος ἐγκαλῶν
ἀλλ' ἀπάξειν ἀπειλῶν. καίτοι πῶς εἰκὸς Νικίαν εἰς
τοῦτ' ἀνοίας ἐλθεῖν ὥστ' αὐτὸν περὶ τοῦ σώματος
15 κινδυνεύοντα ἑτέρους συκοφαντεῖν καὶ μὴ δυνάμε- d
νον τὰ αὑτοῦ σώζειν τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν
καὶ πρὸς τοῖς ὑπάρχουσιν ἐχθροῖς ἑτέρους διαφόρους
ποιεῖσθαι καὶ τούτοις ἀδίκως ἐγκαλεῖν, παρ' ὧν οὐδ'
ὁμολογούντων ἀποστερεῖν οἷός τ' ἂν ἦν δίκην λαβεῖν,
καὶ τότε πλέον ἔχειν ζητεῖν, ὅτε οὐδὲ ἴσον ἐξῆν αὐ-
τῷ; καὶ ὅτε ἃ οὐκ ἔλαβεν ἀποτίνειν ἠναγκάζετο, τότε
καὶ ἃ μὴ συνέβαλεν ἐλπίζειν πράξασθαι; e
16 Περὶ μὲν οὖν τούτων ἱκανὰ τὰ εἰρημένα. (ια'.)
Ἴσως δ' Εὐθύνους ἐρεῖ, ἃ καὶ πρότερον ἤδη, ὅτι οὐκ
ἄν ποτ' ἀδικεῖν ἐπιχειρῶν τὰ μὲν δύο μέρη τῆς παρα-
καταθήκης ἀπέδωκε, τὸ δὲ τρίτον μέρος ἀπεστέρη- 403
σεν, ἀλλ' εἴτε ἀδικεῖν ἐπεθύμει εἴτε δίκαιος ἐβούλετο
εἶναι, περὶ ἁπάντων ἂν τὴν αὐτὴν γνώμην ἔσχεν.
17 (ιβ'.) Ἐγὼ δ' ἡγοῦμαι πάντας ὑμᾶς εἰδέναι, ὅτι πάν-
τες ἄνθρωποι, ὅταν περ ἀδικεῖν ἐπιχειρῶσιν, ἅμα καὶ
τὴν ἀπολογίαν σκοποῦνται· ὥστ' οὐκ ἄξιον θαυμά-
ζειν, εἰ τούτων ἕνεκα τῶν λόγων οὕτως Εὐθύνους
ἠδίκησεν. ἔτι δ' ἔχοιμ' ἂν ἐπιδεῖξαι καὶ ἑτέρους, οἳ
χρήματα λαβόντες τὰ μὲν πλεῖστ' ἀπέδοσαν, ὀλίγα δ' b
ἀπεστέρησαν, καὶ ἐν μικροῖς μὲν συμβολαίοις ἀδική-
σαντας, ἐν μεγάλοις δὲ δικαίους γενομένους· ὥστ'
οὐ μόνος οὐδὲ πρῶτος Εὐθύνους τοιαῦτα πεποίηκεν.
18 ἐνθυμεῖσθαι δὲ χρὴ, εἰ ἀποδέξεσθε τῶν τὰ τοιαῦτα
λεγόντων, ὅτι νόμον θήσετε, πῶς χρὴ ἀδικεῖν· ὥστε
τοῦ λοιποῦ χρόνου τὰ μὲν ἀποδώσουσι, τὰ δ' ὑπο-
λείψονται. λυσιτελήσει γὰρ αὐτοῖς, εἰ μέλλουσιν, οἷς

ἂν ἀποδῶσι τεκμηρίοις χρώμενοι, ὧν ἂν ἀποστερῶσι
μὴ δώσειν δίκην. c
19 (ιγ΄.) Σκέψασθε δὲ καί, ὡς ὑπὲρ Νικίου ῥᾴδιον
εἰπεῖν ὅμοια τῇ Εὐθύνου ἀπολογίᾳ. ὅτε γὰρ ἀπελάμ-
βανε τὰ δύο τάλαντα, οὐδεὶς αὐτῷ παρεγένετο· ὥστ'
εἴπερ ἐβούλετο καὶ ἐδόκει αὐτῷ συκοφαντεῖν, δῆλον,
ὅτι οὐδ' ἂν ταῦτα ὡμολόγει κεκομίσθαι ἀλλὰ περὶ
ἁπάντων ἂν τοὺς αὐτοὺς λόγους ἐποιεῖτο, καὶ περὶ
πλειόνων τε χρημάτων Εὐθύνους ἂν ἐκινδύνευεν,
καὶ ἅμα οὐκ ἂν εἶχεν οἷσπερ νυνὶ τεκμηρίοις χρῆσθαι.
20 (ιδ΄.) Καὶ μὲν δὴ καὶ Νικίαν μὲν οὐδ' ἂν εἷς δύ- d
ναιτο ἀποδεῖξαι, δι' ἥντινά ποτε αἰτίαν ἐνεκάλεσεν,
Εὐθύνουν δὲ ῥᾴδιον γνῶναι, ὧν ἕνεκεν τοῦτον τὸν
τρόπον ἠδίκησεν. ὅτε γὰρ Νικίας ἦν ἐν ταῖς συμφο-
ραῖς, πάντες οἱ συγγενεῖς καὶ οἱ ἐπιτήδειοι ἀκηκοότες
ἦσαν, ὅτι τὸ ἀργύριον, ὃ ἦν αὐτῷ, τούτῳ παρακατέ-
21 θετο. ἐγίγνωσκεν οὖν Εὐθύνους, ὅτι μὲν ἔκειτο τὰ
χρήματα παρ' αὐτῷ, πολλοὺς ᾐσθημένους, ὁπόσα δέ,
οὐδένα πεπυσμένον· ὥσθ' ἡγεῖτο ἀπὸ μὲν τοῦ ἀριθ- e
μοῦ ἀφαιρῶν οὐ γνωσθήσεσθαι, πάντα δ' ἀποστε-
ρῶν καταφανὴς γενήσεσθαι. ἐβούλετο οὖν ἱκανὰ λα-
βὼν ἀπολογίαν ὑπολείπεσθαι μᾶλλον ἢ μηδὲν ἀπο-
δοὺς μηδ' ἀρνηθῆναι δύνασθαι.

ΙΣΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ.

1.

ΙΣΟΚΡΑΤΗΣ ΔΙΟΝΥΣΙΩι ΧΑΙΡΕΙΝ.

(α΄.) Εἰ μὲν νεώτερος ἦν, οὐκ ἂν ἐπιστολὴν 404
ἔπεμπον ἀλλ' αὐτὸς ἂν σοι πλεύσας ἐνταῦθα διε-

λέχθην· ἐπειδὴ δ' οὐ κατὰ τοὺς αὐτοὺς χρόνους ὅ τε
τῆς ἡλικίας τῆς ἐμῆς καιρὸς καὶ τῶν σῶν πραγμάτων
συμβέβηκεν, ἀλλ' ἐγὼ μὲν προαπείρηκα, τὰ δὲ πράτ-
τεσθαι νῦν ἀκμὴν εἴληφεν, ὡς οἷόν τ' ἐστὶν ἐκ
τῶν παρόντων, οὕτω σοι πειράσομαι δηλῶσαι περὶ
αὐτῶν.

2 (β'.) Οἶδα μὲν οὖν, ὅτι τοῖς συμβουλεύειν ἐπι-
χειροῦσι πολὺ διαφέρει μὴ διὰ γραμμάτων ποιεῖσθαι
τὴν συνουσίαν ἀλλ' αὐτοὺς πλησιάσαντας, οὐ μόνον
ὅτι περὶ τῶν αὐτῶν πραγμάτων ῥᾷον ἄν τις παρὼν
πρὸς παρόντας φράσειεν ἢ δι' ἐπιστολῆς δηλώσειεν,
οὐδ' ὅτι πάντες τοῖς λεγομένοις μᾶλλον ἢ τοῖς γε-
γραμμένοις πιστεύουσι, καὶ τῶν μὲν ὡς εἰσηγημάτων,
3 τῶν δ' ὡς ποιημάτων ποιοῦνται τὴν ἀκρόασιν· ἔτι 405
δὲ πρὸς τούτοις ἐν μὲν ταῖς συνουσίαις ἢν ἀγνοηθῇ
τι τῶν λεγομένων ἢ μὴ πιστευθῇ, παρὼν ὁ τὸν λόγον
διεξιὼν ἀμφοτέροις τούτοις ἐπήμυνεν, ἐν δὲ τοῖς ἐπι-
στελλομένοις καὶ γεγραμμένοις ἤν τι συμβῇ τοιοῦτον,
οὐκ ἔστιν ὁ διορθώσων· ἀπόντος γὰρ τοῦ γράψαντος
ἔρημα τοῦ βοηθήσοντός ἐστιν. οὐ μὴν ἀλλ' ἐπειδὴ
σὺ μέλλεις αὐτῶν ἔσεσθαι κριτής, πολλὰς ἐλπίδας
ἔχω φανήσεσθαι λέγοντας ἡμᾶς τι τῶν δεόντων·
ἡγοῦμαι γὰρ ἁπάσας ἀφέντα σε τὰς δυσχερείας τὰς
προειρημένας αὐταῖς ταῖς πράξεσι προσέξειν τὸν νοῦν. b

4 (γ'.) Καίτοι τινὲς ἤδη με τῶν σοὶ πλησιασάντων
ἐκφοβεῖν ἐπεχείρησαν, λέγοντες, ὡς σὺ τοὺς μὲν κολα-
κεύοντας τιμᾷς, τῶν δὲ συμβουλευόντων καταφρο-
νεῖς. ἐγὼ δ' εἰ μὲν ἀπεδεχόμην τοὺς λόγους τούτους
ἐκείνων, πολλὴν ἂν ἡσυχίαν εἶχον· νῦν δ' οὐδεὶς ἂν
με πείσειεν, ὡς οἷόν τ' ἐστὶ τοσοῦτον καὶ τῇ γνώμῃ
καὶ ταῖς πράξεσι διενεγκεῖν, ἂν μή τις τῶν μὲν μαθη-
τής, τῶν δ' ἀκροατής, τῶν δ' εὑρετὴς γένηται καὶ c

πανταχόθεν προσαγάγηται καὶ συλλέξηται, δι' ὧν οἷόν
τ' ἐστὶν ἀσκῆσαι τὴν αὑτοῦ διάνοιαν.
5 Ἐπήρθην μὲν οὖν ἐπιστέλλειν σοι διὰ ταῦτα.
(δ΄.) Λέγειν δὲ μέλλω περὶ μεγάλων πραγμάτων καὶ
περὶ ὧν οὐδενὶ τῶν ζώντων ἀκοῦσαι μᾶλλον ἢ σοὶ
προσήκει. καὶ μὴ νόμιζέ με προθύμως οὕτω σε παρα-
καλεῖν, ἵνα γένῃ συγγράμματος ἀκροατής· οὐ γὰρ οὔτ'
ἐγὼ τυγχάνω φιλοτίμως διακείμενος πρὸς τὰς ἐπι-
δείξεις οὔτε σὺ λανθάνεις ἡμᾶς ἤδη πλήρης ὢν τῶν
6 τοιούτων. πρὸς δὲ τούτοις κἀκεῖνο πᾶσι φανερόν, d
ὅτι τοῖς μὲν ἐπιδείξεως δεομένοις αἱ πανηγύρεις ἁρ-
μόττουσιν, ἐκεῖ γὰρ ἄν τις ἐν πλείστοις τὴν αὑτοῦ
δύναμιν διασπείρειεν, τοῖς δὲ διαπράξασθαί τι βου-
λομένοις πρὸς τοῦτον διαλεκτέον, ὅστις τάχιστα μέλ-
λει τὰς πράξεις ἐπιτελεῖν τὰς ὑπὸ τοῦ λόγου δηλω-
7 θείσας. εἰ μὲν οὖν μιᾷ τινι τῶν πόλεων εἰσηγούμην,
πρὸς τοὺς ἐκείνης προεστῶτας τοὺς λόγους ἂν ἐποι-
ούμην· ἐπειδὴ δ' ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας
παρεσκεύασμαι συμβουλεύειν, πρὸς τίν' ἂν δικαιότε- e
ρον διαλεχθείην ἢ πρὸς τὸν πρωτεύοντα τοῦ γένους
καὶ μεγίστην ἔχοντα δύναμιν; 406
8 (ε΄.) Καὶ μὴν οὐδ' ἀκαίρως φανησόμεθα μεμνη-
μένοι περὶ τούτων. ὅτε μὲν γὰρ Λακεδαιμόνιοι τὴν
ἀρχὴν εἶχον, οὐ ῥᾴδιον ἦν ἐπιμεληθῆναί σοι τῶν περὶ
τὸν τόπον τὸν ἡμέτερον, οὐδὲ τούτοις ἐναντία πράτ-
τειν ἅμα καὶ Καρχηδονίοις πολεμεῖν· ἐπειδὴ δὲ Καρ-
χηδόνιοι μὲν οὕτω πράττουσιν ὥστ' ἀγαπᾶν, ἢν τὴν
χώραν τὴν αὑτῶν ἔχωσιν, ἡ δ' ἡμετέρα πόλις ἡδέως
ἂν αὐτήν σοι παράσχοι συναγωνιζομένην, εἴ τι πράτ-
τοις ὑπὲρ τῆς Ἑλλάδος ἀγαθόν, πῶς ἂν παραπέσοι
καλλίων καιρὸς τοῦ νῦν σοι παρόντος; b
9 (ς΄.) Καὶ μὴ θαυμάσῃς, εἰ μήτε δημηγορῶν μήτε

στρατηγῶν μήτ' ἄλλως δυνάστης ὢν οὕτως ἐμβριθὲς
αἴρομαι πρᾶγμα καὶ δυοῖν ἐπιχειρῶ τοῖν μεγίστοιν,
ὑπέρ τε τῆς Ἑλλάδος λέγειν καὶ σοὶ συμβουλεύειν.
ἐγὼ γὰρ τοῦ μὲν πράττειν τι τῶν κοινῶν εὐθὺς
ἐξέστην, δι' ἃς δὲ προφάσεις πολὺ ἂν ἔργον εἴη λέ-
γειν, τῆς δὲ παιδεύσεως τῆς τῶν μὲν μικρῶν κατα- c
φρονούσης, τῶν δὲ μεγάλων ἐφικνεῖσθαι πειρωμένης
οὐκ ἂν φανείην ἄμοιρος γεγενημένος. ὥστ' οὐδὲν
ἄτοπον, εἴ τι τῶν συμφερόντων ἰδεῖν ἂν μᾶλλον δυ-
νηθείην τῶν εἰκῇ μὲν πολιτευομένων, μεγάλην δὲ
δόξαν εἰληφότων. δηλώσομεν δ' οὐκ εἰς ἀναβολάς, εἴ
τινος ἄξιοι τυγχάνομεν ὄντες, ἀλλ' ἐκ τῶν ῥηθήσε-
σθαι μελλόντων. . . . .

. . . .

2.

ΦΙΛΙΠΠΩι.

(α'.) Οἶδα μέν, ὅτι πάντες εἰώθασι πλείω χάριν 406
ἔχειν τοῖς ἐπαινοῦσιν ἢ τοῖς συμβουλεύουσιν, ἄλλως
τε κἂν μὴ κελευσθεὶς ἐπιχειρῇ τις τοῦτο ποιεῖν. ἐγὼ 407
δ' εἰ μὲν μὴ καὶ πρότερον ἐτύγχανόν σοι παρῃνεκὼς
μετὰ πολλῆς εὐνοίας, ἐξ ὧν ἐδόκεις μοι τὰ πρέποντα
μάλιστ' ἂν σαυτῷ πράττειν, ἴσως οὐδ' ἂν νῦν ἐπε-
χείρουν ἀποφαίνεσθαι περὶ τῶν σοὶ συμβεβηκότων·
2 ἐπειδὴ δὲ προειλόμην φροντίζειν τῶν σῶν πραγμά-
των καὶ τῆς πόλεως ἕνεκα τῆς ἐμαυτοῦ καὶ τῶν ἄλλων
Ἑλλήνων, αἰσχυνθείην ἄν, εἰ περὶ μὲν τῶν ἧττον
ἀναγκαίων φαινοίμην σοι συμβεβουλευκώς, ὑπὲρ δὲ b
τῶν μᾶλλον κατεπειγόντων μηδένα λόγον ποιοίμην,
καὶ ταῦτ' εἰδὼς ἐκεῖνα μὲν ὑπὲρ δόξης ὄντα, ταῦτα δ'
ὑπὲρ σωτηρίας, ἧς ὀλιγωρεῖν ἅπασιν ἔδοξας τοῖς ἀκού-
3 σασι τὰς περὶ σοῦ ῥηθείσας βλασφημίας. (β'.) Οὐ-

δεὶς γάρ ἐστιν, ὅστις οὐ κατέγνω προπετέστερόν σε
κινδυνεύειν ἢ βασιλικώτερον, καὶ μᾶλλόν σοι μέλειν
τῶν περὶ τὴν ἀνδρίαν ἐπαίνων ἢ τῶν ὅλων πραγμά-
των. ἔστι δ' ὁμοίως αἰσχρὸν περιστάντων τε τῶν πο- c
λεμίων μὴ διαφέροντα γενέσθαι τῶν ἄλλων, μηδεμιᾶς
τε συμπεσούσης ἀνάγκης αὐτὸν ἐμβαλεῖν εἰς τοιού-
τους ἀγῶνας, ἐν οἷς κατορθώσας μὲν οὐδὲν ἂν ἦσθα
μέγα διαπεπραγμένος, τελευτήσας δὲ τὸν βίον ἅπασαν
4 ἂν τὴν ὑπάρχουσαν εὐδαιμονίαν συνανεῖλες. χρὴ δὲ
μὴ καλὰς ἁπάσας ὑπολαμβάνειν τὰς ἐν τοῖς πολέμοις
τελευτάς, ἀλλὰ τὰς μὲν ὑπὲρ τῆς πατρίδος καὶ
τῶν γονέων καὶ τῶν παίδων ἐπαίνων ἀξίας, τὰς
δὲ ταῦτά τε πάντα βλαπτούσας καὶ τὰς πράξεις τὰς d
πρότερον κατωρθωμένας καταρρυπαινούσας αἰσχρὰς
νομίζειν καὶ φεύγειν ὡς αἰτίας πολλῆς ἀδοξίας γι-
γνομένας.
5 (γ'.) Ἡγοῦμαι δέ σοι συμφέρειν μιμεῖσθαι τὰς
πόλεις, ὃν τρόπον διοικοῦσι τὰ περὶ τοὺς πολέμους.
ἅπασαι γάρ, ὅταν στρατόπεδον ἐκπέμπωσιν, εἰώθασι
τὸ κοινὸν καὶ τὸ βουλευσόμενον ὑπὲρ τῶν ἐνεστώτων
εἰς ἀσφάλειαν καθιστάναι· διὸ δὴ συμβαίνει μηδὲ
μιᾶς ἀτυχίας συμπεσούσης ἀνῃρῆσθαι καὶ τὴν δύνα- e
μιν αὐτῶν, ἀλλὰ πολλὰς ὑποφέρειν δύνασθαι συμ-
6 φορὰς καὶ πάλιν αὑτὰς ἐκ τούτων ἀναλαμβάνειν. ὃ
καὶ σὲ δεῖ σκοπεῖν καὶ μηδὲν μεῖζον ἀγαθὸν τῆς σω-
τηρίας ὑπολαμβάνειν, ἵνα καὶ τὰς νίκας τὰς συμβαι-
νούσας κατὰ τρόπον διοικῇς. ἴδοις δ' ἂν καὶ Λακε- 408
δαιμονίους περὶ τῆς τῶν βασιλέων σωτηρίας πολλὴν
ἐπιμέλειαν ποιουμένους καὶ τοὺς ἐνδοξοτάτους τῶν
πολιτῶν φύλακας αὐτῶν καθιστάντας, οἷς αἴσχιόν
ἐστιν ἐκείνους τελευτήσαντας περιιδεῖν ἢ τὰς ἀσπίδας
7 ἀποβαλεῖν. ἀλλὰ μὴν οὐδ' ἐκεῖνά σε λέληθεν, ἃ Ξέρξη

τε τῷ καταδουλώσασθαι τοὺς Ἕλληνας βουληθέντι
καὶ Κύρῳ τῷ τῆς βασιλείας ἀμφισβητήσαντι συνέπε-
σεν. ὁ μὲν γὰρ τηλικαύταις ἥτταις καὶ συμφοραῖς πε- b
ριπεσὼν, ἡλίκας οὐδεὶς οἶδεν ἄλλοις γενομένας, διὰ
τὸ περιποιῆσαι τὴν αὑτοῦ ψυχὴν τήν τε βασιλείαν
κατέσχε καὶ τοῖς παισὶ τοῖς αὑτοῦ παρέδωκε καὶ τὴν
Ἀσίαν οὕτω διῴκησεν ὥστε μηδὲν ἧττον αὐτὴν εἶναι
8 φοβερὰν τοῖς Ἕλλησιν ἢ πρότερον· Κῦρος δὲ νικήσας
ἅπασαν τὴν βασιλέως δύναμιν καὶ κρατήσας ἂν τῶν
πραγμάτων, εἰ μὴ διὰ τὴν αὑτοῦ προπέτειαν, οὐ μό-
νον αὑτὸν ἀπεστέρησε τηλικαύτης δυναστείας ἀλλὰ c
καὶ τοὺς συνακολουθήσαντας εἰς τὰς ἐσχάτας συμ-
φορὰς κατέστησεν. ἔχοιμι δ᾽ ἂν παμπληθεῖς εἰπεῖν,
οἳ μεγάλων στρατοπέδων ἡγεμόνες γενόμενοι διὰ τὸ
προδιαφθαρῆναι πολλὰς μυριάδας αὑτοῖς συναπώ-
λεσαν.

9 (δ΄.) Ὧν ἐνθυμούμενον χρὴ μὴ τιμᾶν τὴν ἀν-
δρίαν τὴν μετ᾽ ἀνοίας ἀλογίστου καὶ φιλοτιμίας ἀκαί-
ρου γιγνομένην, μηδὲ πολλῶν κινδύνων ἰδίων ὑπαρ-
χόντων ταῖς μοναρχίαις ἑτέρους ἀδόξους καὶ στρατιω-
τικοὺς αὑτῷ προσεξευρίσκειν, μηδ᾽ ἁμιλλᾶσθαι τοῖς d
ἢ βίου δυστυχοῦς ἀπαλλαγῆναι βουλομένοις ἢ μισθο-
φορᾶς ἕνεκα μείζονος εἰκῇ τοὺς κινδύνους προαιρου-
10 μένοις, μηδ᾽ ἐπιθυμεῖν τοιαύτης δόξης, ἧς πολλοὶ
καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων τυγχάνουσιν,
ἀλλὰ τῆς τηλικαύτης τὸ μέγεθος, ἣν μόνος ἂν τῶν
νῦν ὄντων κτήσασθαι δυνηθείης· μηδ᾽ ἀγαπᾶν λίαν
τὰς τοιαύτας ἀρετὰς, ὧν καὶ τοῖς φαύλοις μέτεστιν,
ἀλλ᾽ ἐκείνας, ὧν οὐδεὶς ἂν πονηρὸς κοινωνήσειεν·
11 μηδὲ ποιεῖσθαι πολέμους ἀδόξους καὶ χαλεποὺς, ἐξὸν e
ἐντίμους καὶ ῥᾳδίους, μηδ᾽ ἐξ ὧν τοὺς μὲν οἰκειοτά-
τους εἰς λύπας καὶ φροντίδας καταστήσεις, τοὺς δ᾽

ἐχθροὺς ἐν ἐλπίσι μεγάλαις ποιήσεις, οἵας καὶ νῦν
αὐτοῖς παρέσχες· ἀλλὰ τῶν μὲν βαρβάρων, πρὸς οὓς 409
νῦν πολεμεῖς, ἐπὶ τοσοῦτον ἐξαρκέσει σοι κρατεῖν, ὅσον
ἐν ἀσφαλείᾳ καταστῆσαι τὴν σαυτοῦ χώραν, τὸν δὲ
νῦν μέγαν προσαγορευόμενον καταλύειν ἐπιχειρήσεις,
ἵνα τήν τε σαυτοῦ δόξαν μείζω ποιήσῃς καὶ τοῖς Ἕλ-
λησιν ὑποδείξῃς, πρὸς ὃν χρὴ πολεμεῖν.

12 (ε´.) Πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην ἐπιστεῖλαί σοι
ταῦτα πρὸ τῆς στρατείας, ἵν' εἰ μὲν ἐπείσθης, μὴ τη-
λικούτῳ κινδύνῳ περιέπεσες, εἰ δ' ἠπίστησας, μὴ b
συμβουλεύειν ἐδόκουν ταὐτὰ τοῖς ἤδη διὰ τὸ πάθος
ὑπὸ πάντων ἐγνωσμένοις, ἀλλὰ τὸ συμβεβηκὸς ἐμαρ-
τύρει τοὺς λόγους ὀρθῶς ἔχειν τοὺς ὑπ' ἐμοῦ περὶ
αὐτῶν εἰρημένους.

13 (ς´.) Πολλὰ δ' ἔχων εἰπεῖν διὰ τὴν τοῦ πράγμα-
τος φύσιν παύσομαι λέγων· οἶμαι γὰρ καὶ σὲ καὶ τῶν
ἑταίρων τοὺς σπουδαιοτάτους ῥᾳδίως ὁπόσ' ἂν βού-
λησθε προσθήσειν τοῖς εἰρημένοις. πρὸς δὲ τούτοις
φοβοῦμαι τὴν ἀκαιρίαν· καὶ γὰρ νῦν κατὰ μικρὸν c
προϊὼν ἔλαθον ἐμαυτὸν οὐκ εἰς ἐπιστολῆς συμμετρίαν
ἀλλ' εἰς λόγου μῆκος ἐξοκείλας.

14 (ζ´.) Οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων
οὐ παραλειπτέον ἐστὶ τὰ περὶ τῆς πόλεως ἀλλὰ πει-
ρατέον παρακαλέσαι σε πρὸς τὴν οἰκειότητα καὶ τὴν
χρῆσιν αὐτῆς. οἶμαι γὰρ πολλοὺς εἶναι τοὺς ἀπαγ-
γέλλοντας καὶ λέγοντας οὐ μόνον τὰ δυσχερέστατα
τῶν περὶ σοῦ παρ' ἡμῖν εἰρημένων ἀλλὰ καὶ παρ'
αὐτῶν προστιθέντας· οἷς οὐκ εἰκὸς προσέχειν
15 τὸν νοῦν. καὶ γὰρ ἂν ἄτοπον ποιοίης, εἰ τὸν μὲν
δῆμον τὸν ἡμέτερον ψέγοις, ὅτι ῥᾳδίως πείθεται d
τοῖς διαβάλλουσιν, αὐτὸς δὲ φαίνοιο πιστεύων τοῖς
τὴν τέχνην ταύτην ἔχουσι καὶ μὴ γιγνώσκοις, ὡς

ὅσῳ περ ἂν τὴν πόλιν εὐαγωγοτέραν ὑπὸ τῶν τυχόν-
των οὖσαν ἀποφαίνωσι, τοσούτῳ μᾶλλόν σοι συμ-
φερόντως ἔχουσαν αὐτὴν ἐπιδεικνύουσιν. εἰ γὰρ οἱ
μηδὲν ἀγαθὸν οἷοί τ' ὄντες ποιῆσαι διαπράττονται
τοῖς λόγοις ὅ τι ἂν βουληθῶσιν, ἦ που σέ γε προσ-
ήκει τὸν πλεῖστ' ἂν ἔργῳ δυνάμενον εὐεργετῆσαι μη- e
δενὸς ἀποτυχεῖν παρ' ἡμῶν. . . . .
16 (η). Ἡγοῦμαι δὲ δεῖν πρὸς μὲν τοὺς πικρῶς τῆς
πόλεως ἡμῶν κατηγοροῦντας ἐκείνους ἀντιτάττεσθαι
τοὺς πάντα γε ταῦτ' εἶναι λέγοντας καὶ μήτε μεῖζον 410
μήτ' ἔλαττον αὐτὴν ἠδικηκέναι φάσκοντας· ἐγὼ δ'
οὐδὲν ἂν εἴποιμι τοιοῦτον· αἰσχυνθείην γὰρ ἄν, εἰ
τῶν ἄλλων μηδὲ τοὺς θεοὺς ἀναμαρτήτους εἶναι νο-
μιζόντων αὐτὸς τολμῴην λέγειν, ὡς οὐδὲν πώποθ' ἡ
17 πόλις ἡμῶν πεπλημμέληκεν. οὐ μὴν ἀλλ' ἐκεῖν' ἔχω
περὶ αὐτῆς εἰπεῖν, ὅτι χρησιμωτέραν οὐκ ἂν εὕροις
ταύτης οὔτε τοῖς Ἕλλησιν οὔτε τοῖς σοῖς πράγμασιν·
ᾧ μάλιστα προσεκτέον τὸν νοῦν ἐστίν. οὐ μόνον γὰρ b
ἂν συναγωνιζομένη γίγνοιτ' ἂν αἰτία σοι πολλῶν ἀγα-
18 θῶν ἀλλὰ καὶ φιλικῶς ἔχειν δοκοῦσα μόνον· τούς τε
γὰρ ὑπὸ σοὶ νῦν ὄντας ῥᾷον ἂν κατέχοις, εἰ μηδεμίαν
ἔχοιεν ἀποστροφήν, τῶν τε βαρβάρων οὓς βουλη-
θείης θᾶττον ἂν καταστρέψαιο. καίτοι πῶς οὐ χρὴ
προθύμως ὀρέγεσθαι τῆς τοιαύτης εὐνοίας, δι' ἣν οὐ
μόνον τὴν ὑπάρχουσαν ἀρχὴν ἀσφαλῶς καθέξεις c
19 ἀλλὰ καὶ πολλὴν ἑτέραν ἀκινδύνως προσκτήσει; θαυ-
μάζω δ' ὅσοι τῶν τὰς δυνάμεις ἐχόντων τὰ μὲν τῶν
ξενιτευομένων στρατόπεδα μισθοῦνται καὶ χρήματα
πολλὰ δαπανῶσι, συνειδότες, ὅτι πλείους ἠδίκηκε
τῶν πιστευσάντων αὐτοῖς ἢ σέσωκε, τὴν δὲ πόλιν τὴν
τηλικαύτην δύναμιν κεκτημένην μὴ πειρῶνται θερα-
πεύειν, ἣ καὶ μίαν ἑκάστην τῶν πόλεων καὶ σύμπα-

20 σαν τὴν Ἑλλάδα πολλάκις ἤδη σέσωκεν. ἐνθυμοῦ δ' d
ὅτι πολλοῖς καλῶς βεβουλεῦσθαι δοκεῖς, ὅτι δικαίως
κέχρησαι Θετταλοῖς καὶ συμφερόντως ἐκείνοις, ἀν-
δράσιν οὐκ εὐμεταχειρίστοις ἀλλὰ μεγαλοψύχοις καὶ
στάσεως μεστοῖς. χρὴ τοίνυν καὶ περὶ ἡμᾶς πειρᾶσθαι
γίγνεσθαί σε τοιοῦτον, ἐπιστάμενον, ὅτι τὴν μὲν χώ-
ραν Θετταλοὶ, τὴν δὲ δύναμιν ἡμεῖς ὅμορόν σοι τυγ-
χάνομεν ἔχοντες, ἣν ἐκ παντὸς τρόπου ζήτει προσαγα-
21 γέσθαι. πολὺ γὰρ κάλλιόν ἐστι τὰς εὐνοίας τὰς τῶν e
πόλεων αἱρεῖν ἢ τὰ τείχη. τὰ μὲν γὰρ τοιαῦτα τῶν
ἔργων οὐ μόνον ἔχει φθόνον, ἀλλὰ καὶ τῶν τοιούτων
τὴν αἰτίαν τοῖς στρατοπέδοις ἀνατιθέασιν· ἢν δὲ τὰς
οἰκειότητας καὶ τὰς εὐνοίας κτήσασθαι δυνηθῇς, ἅπαν-
τες τὴν σὴν διάνοιαν ἐπαινέσονται.
22 (θ'.) Δικαίως δ' ἂν μοι πιστεύσοις οἷς εἴρηκα περὶ
τῆς πόλεως· φανήσομαι γὰρ οὔτε κολακεύειν αὐτὴν 411
ἐν τοῖς λόγοις εἰθισμένος ἀλλὰ πλεῖστα πάντων ἐπιτε-
τιμηκὼς, οὔτ' εὖ παρὰ τοῖς πολλοῖς καὶ τοῖς εἰκῇ δοκιμά-
ζουσι φερόμενος ἀλλ' ἀγνοούμενος ὑπ' αὐτῶν καὶ φθο-
νούμενος ὥσπερ σύ. πλὴν τοσοῦτον διαφέρομεν, ὅτι
πρὸς σὲ μὲν διὰ τὴν δύναμιν καὶ τὴν εὐδαιμονίαν οὕτως
ἔχουσι, πρὸς δ' ἐμὲ, διότι προσποιοῦμαι τὸ βέλτιον
αὐτῶν φρονεῖν, καὶ πλείους ὁρῶσιν ἐμοὶ διαλέγεσθαι
23 βουλομένους ἢ σφίσιν αὐτοῖς. ἠβουλόμην δ' ἂν ἡμῖν
ὁμοίως ῥᾴδιον εἶναι τὴν δόξαν, ἣν ἔχομεν παρ' αὐ-
τοῖς, διαφεύγειν. νῦν δὲ σὺ μὲν οὐ χαλεπῶς, ἢν βου-
ληθῇς, αὐτὴν διαλύσεις, ἐμοὶ δ' ἀνάγκη καὶ διὰ τὸ
γῆρας καὶ δι' ἄλλα πολλὰ στέργειν τοῖς παροῦσιν.
24 (ι'.) Οὐκ οἶδ' ὅ τι πλείω δεῖ λέγειν πλὴν το-
σοῦτον, ὅτι καλόν ἐστι τὴν βασιλείαν καὶ τὴν εὐδαι-
μονίαν τὴν ὑπάρχουσαν ὑμῖν παρακαταθέσθαι τῇ τῶν
Ἑλλήνων εὐνοίᾳ.

3.

ΦΙΛΙΠΠῼ.

(α΄.) Ἐγὼ διελέχθην μὲν καὶ πρὸς Ἀντίπατρον 411
περί τε τῶν τῇ πόλει καὶ τῶν σοὶ συμφερόντων ἐξαρ-
κούντως, ὡς ἐμαυτὸν ἔπειθον, ἠβουλήθην δὲ καὶ
πρὸς σὲ γράψαι, περὶ ὧν μοι δοκεῖ πρακτέον εἶναι
μετὰ τὴν εἰρήνην, παραπλήσια τοῖς ἐν τῷ λόγῳ γε-
γραμμένοις, πολὺ δ' ἐκείνων συντομώτερα.

2 (β΄.) Κατ' ἐκεῖνον μὲν γὰρ τὸν χρόνον συνεβού-
λευον, ὡς χρὴ διαλλάξαντά σε τὴν πόλιν τὴν ἡμετέ-
ραν καὶ τὴν Λακεδαιμονίων καὶ τὴν Θηβαίων καὶ τὴν
Ἀργείων εἰς ὁμόνοιαν καταστῆσαι τοὺς Ἕλληνας, ἡγού-
μενος, ἂν τὰς προεχούσας πόλεις πείσῃς οὕτω φρο-
νεῖν, ταχέως καὶ τὰς ἄλλας ἐπακολουθήσειν. τότε 412
μὲν οὖν ἄλλος ἦν καιρὸς, νῦν δὲ συμβέβηκε μηκέτι
δεῖν πείθειν· διὰ γὰρ τὸν ἀγῶνα τὸν γενενημένον
ἠναγκασμένοι πάντες εἰσὶν εὖ φρονεῖν καὶ τούτων
ἐπιθυμεῖν, ὧν ὑπενοούμην σε βούλεσθαι πράττειν
καὶ λέγειν, ὡς δεῖ παυσαμένους τῆς μανίας καὶ τῆς
πλεονεξίας, ἣν ἐποιοῦντο πρὸς ἀλλήλους, εἰς τὴν Ἀσίαν
3 τὸν πόλεμον ἐξενεγκεῖν. (γ΄.) Καὶ πολλοὶ πυνθάνονται
παρ' ἐμοῦ, πότερον ἐγώ σοι παρῄνεσα ποιεῖσθαι τὴν b
στρατείαν τὴν ἐπὶ τοὺς βαρβάρους ἢ σοῦ διανοηθέντος
συνεῖπον· ἐγὼ δ' οὐκ εἰδέναι μέν φημι τὸ σαφὲς, οὐ
γὰρ συγγεγενῆσθαί σοι πρότερον, οὐ μὴν ἀλλ' οἴεσθαι
σὲ μὲν ἐγνωκέναι περὶ τούτων, ἐμὲ δὲ συνειρηκέναι
ταῖς σαῖς ἐπιθυμίαις. ταῦτα δ' ἀκούοντες ἐδέοντό μου
πάντες παρακελεύεσθαί σοι καὶ προτρέπειν ἐπὶ τῶν
αὐτῶν τούτων μένειν, ὡς οὐδέποτ' ἂν γενομένων
οὔτε καλλιόνων ἔργων οὔτ' ὠφελιμωτέρων τοῖς Ἕλ-
λησιν οὔτ' ἐν καιρῷ μᾶλλον πραχθησομένων. c

4 (δ′.) Εἰ μὲν οὖν εἶχον τὴν αὐτὴν δύναμιν, ἥνπερ
πρότερον, καὶ μὴ παντάπασιν ἦν ἀπειρηκὼς, οὐκ ἂν
δι᾽ ἐπιστολῆς διελεγόμην ἀλλὰ παρὼν αὐτὸς παρώ-
ξυνον ἄν σε καὶ παρεκάλουν ἐπὶ τὰς πράξεις ταύτας.
νῦν δ᾽ ὡς δύναμαι παρακελεύομαί σοι μὴ καταμελῆ-
σαι τούτων, πρὶν ἂν τέλος ἐπιθῇς αὐτοῖς. ἔσται δὲ
πρὸς μὲν ἄλλο τι τῶν δεόντων ἀπλήστως ἔχειν οὐ κα-
λὸν, αἱ γὰρ μετριότητες παρὰ τοῖς πολλοῖς εὐδοκι- d
μοῦσι, δόξης δὲ μεγάλης καὶ καλῆς ἐπιθυμεῖν καὶ μη-
δέποτ᾽ ἐμπίπλασθαι προσήκει τοῖς πολὺ τῶν ἄλλων
5 διενεγκοῦσιν· ὅπερ σοὶ συμβέβηκεν. ἡγοῦ δὲ τόθ᾽
ἕξειν ἀνυπέρβλητον αὐτὴν καὶ τῶν σοὶ πεπραγμένων
ἀξίαν, ὅταν τοὺς μὲν βαρβάρους ἀναγκάσῃς εἱλωτεύειν
τοῖς Ἕλλησι πλὴν τῶν σοὶ συναγωνισαμένων, τὸν δὲ
βασιλέα τὸν νῦν μέγαν προσαγορευόμενον ποιήσῃς
τοῦτο πράττειν, ὅ τι ἂν σὺ προστάττῃς. ταῦτα δὲ e
κατεργάσασθαι πολὺ ῥᾷόν ἐστιν ἐκ τῶν νῦν παρόν-
των ἢ προελθεῖν ἐπὶ τὴν δύναμιν καὶ τὴν δόξαν, ἣν
νῦν ἔχεις, ἐκ τῆς βασιλείας τῆς ἐξ ἀρχῆς ὑμῖν ὑπαρ-
ξάσης· οὐδὲν γὰρ ἔσται λοιπὸν ἔτι πλὴν θεὸν γενέ-
6 σθαι. χάριν δ᾽ ἔχω τῷ γήρᾳ ταύτην μόνην, ὅτι προ- 413
ήγαγεν εἰς τοῦτό μου τὸν βίον, ὥσθ᾽ ἃ νέος ὢν διενο-
ούμην καὶ γράφειν ἐπεχείρουν ἔν τε τῷ πανηγυρικῷ
λόγῳ καὶ τῷ πρὸς σὲ πεμφθέντι, ταῦτα νῦν τὰ μὲν
ἤδη γιγνόμενα διὰ τῶν σῶν ἐφορῶ πράξεων, τὰ δ᾽
ἐλπίζω γενήσεσθαι.

4.

ΑΝΤΙΠΑΤΡΩι.

(α′.) Ἐγὼ, καίπερ ἐπικινδύνου παρ᾽ ἡμῖν ὄντος 413
εἰς Μακεδονίαν πέμπειν ἐπιστολὴν, οὐ μόνον νῦν,
ὅτε πολεμοῦμεν πρὸς ὑμᾶς, ἀλλὰ καὶ τῆς εἰρήνης οὔ-

σης, ὅμως γράψαι πρὸς σὲ προειλόμην περὶ Διοδότου,
δίκαιον εἶναι νομίζων πάντας μὲν περὶ πολλοῦ ποιεῖ-
σθαι τοὺς ἐμαυτῷ πεπλησιακότας καὶ γεγενημένους
ἀξίους ἡμῶν, οὐχ ἥκιστα δὲ τοῦτον καὶ διὰ τὴν εὔ-
2 νοιαν τὴν εἰς ἡμᾶς καὶ διὰ τὴν ἄλλην ἐπιείκειαν. μά-
λιστα μὲν οὖν ἠβουλόμην ἂν αὐτὸν συσταθῆναί σοι
δι᾽ ἡμῶν· ἐπειδὴ δὲ δι᾽ ἑτέρων ἐντετύχηκέ σοι, λοι-
πόν ἐστί μοι μαρτυρῆσαι περὶ αὐτοῦ καὶ βεβαιῶσαι
τὴν γεγενημένην αὐτῷ πρὸς σὲ γνῶσιν. ἐμοὶ γὰρ
πολλῶν καὶ παντοδαπῶν συγγεγενημένων ἀνδρῶν καὶ
δόξας ἐνίων μεγάλας ἐχόντων, τῶν μὲν ἄλλων ἁπάν-
των οἱ μέν τινες περὶ αὐτὸν λόγον, οἱ δὲ περὶ τὸ δια-
νοηθῆναι καὶ πρᾶξαι δεινοὶ γενόνασιν, οἱ δ᾽ ἐπὶ μὲν
τοῦ βίου σώφρονες καὶ χαρίεντες, πρὸς δὲ τὰς ἄλλας
3 χρήσεις καὶ διαγωγὰς ἀφυεῖς παντάπασιν· οὗτος δ᾽
οὕτως εὐάρμοστον τὴν φύσιν ἔσχεν ὥστ᾽ ἐν ἅπασι
τοῖς εἰρημένοις τελειότατος εἶναι. καὶ ταῦτ᾽ οὐκ ἂν
ἐτόλμων λέγειν, εἰ μὴ τὴν ἀκριβεστάτην πεῖραν αὐ-
τός τ᾽ εἶχον αὐτοῦ καὶ σὲ λήψεσθαι προσεδόκων, τὰ
μὲν αὐτὸν χρώμενον αὐτῷ, τὰ δὲ καὶ παρὰ τῶν ἄλλων 414
4 τῶν ἐμπείρων αὐτοῦ πυνθανόμενον, ὧν οὐδεὶς ὅστις
οὐκ ἂν ὁμολογήσειεν, εἰ μὴ λίαν εἴη φθονερὸς, καὶ
εἰπεῖν καὶ βουλεύσασθαι μηδενὸς ἧττον αὐτὸν δύνα-
σθαι καὶ δικαιότατον καὶ σωφρονέστατον εἶναι καὶ
χρημάτων ἐγκρατέστατον, ἔτι δὲ συνημερεῦσαι καὶ
συμβιῶναι πάντων ἥδιστον καὶ λιγυρώτατον, πρὸς
δὲ τούτοις πλείστην ἔχειν παρρησίαν, οὐχ ἣν οὐ
προσῆκεν, ἀλλὰ τὴν εἰκότως ἂν μέγιστον γιγνομένην
5 σημεῖον τῆς εὐνοίας τῆς πρὸς τοὺς φίλους· ἣν τῶν b
δυναστῶν οἱ μὲν ἀξιόχρεων τὸν ὄγκον τὸν τῆς ψυχῆς
ἔχοντες τιμῶσιν ὡς χρησίμην οὖσαν, οἱ δ᾽ ἀσθενέ-
στεροι τὰς φύσεις ὄντες ἢ κατὰ τὰς ὑπαρχούσας ἐξου-

σίας δυσχεραίνουσιν, ὡς ἂν οὐ προαιροῦνταί τι ποιεῖν
βιαζομένην αὐτούς, οὐκ εἰδότες, ὡς οἱ μάλιστα περὶ
τοῦ συμφέροντος ἀντιλέγειν τολμῶντες, οὗτοι πλεί-
στην ἐξουσίαν αὐτοῖς τοῦ πράττειν ἃ βούλονται πα-
6 ρασκευάζουσιν. εἰκὸς γὰρ διὰ μὲν τοὺς ἀεὶ πρὸς ἡδο- c
νὴν λέγειν προαιρουμένους οὐχ ὅπως τὰς μοναρχίας
δύνασθαι διαμένειν, αἳ πολλοὺς τοὺς ἀναγκαίους
ἐφέλκονται κινδύνους, ἀλλ' οὐδὲ τὰς πολιτείας, αἳ
μετὰ πλείονος ἀσφαλείας εἰσί, διὰ δὲ τοὺς ἐπὶ τῷ βελ-
τίστῳ παρρησιαζομένους πολλὰ σῴζεσθαι καὶ τῶν
ἐπιδόξων διαφθαρήσεσθαι πραγμάτων. ὧν ἕνεκα
προσῆκε μὲν παρὰ πᾶσι τοῖς μονάρχοις πλέον φέρε-
σθαι τοὺς τὴν ἀλήθειαν ἀποφαινομένους τῶν ἅπαντα d
μὲν πρὸς χάριν, μηδὲν δὲ χάριτος ἄξιον λεγόντων·
συμβαίνει δ' ἔλαττον ἔχειν αὐτοὺς παρ' ἐνίοις αὐτῶν.
7 ὃ καὶ Διοδότῳ παθεῖν συνέπεσε παρά τισι τῶν περὶ
τὴν Ἀσίαν δυναστῶν, οἷς περὶ πολλὰ χρήσιμος γενό-
μενος οὐ μόνον τῷ συμβουλεύειν ἀλλὰ καὶ τῷ πράτ-
τειν καὶ κινδυνεύειν διὰ τὸ παρρησιάζεσθαι πρὸς αὐ-
τοὺς περὶ ὧν ἐκείνοις συνέφερε, καὶ τῶν οἴκοι τι-
μῶν ἀπεστέρηται καὶ πολλῶν ἄλλων ἐλπίδων, καὶ μεῖ- e
ζον ἴσχυσαν αἱ τῶν τυχόντων ἀνθρώπων κολακεῖαι
8 τῶν εὐεργεσιῶν τῶν τούτου. διὸ δὴ καὶ πρὸς ὑμᾶς
ἀεὶ προσιέναι διανοούμενος ὀκνηρῶς εἶχεν, οὐχ ὡς
ἅπαντας ὁμοίους εἶναι νομίζων τοὺς ὑπὲρ αὐτὸν ὄν- 415
τας, ἀλλὰ διὰ τὰς πρὸς ἐκείνους γεγενημένας δυσχε-
ρείας καὶ πρὸς τὰς παρ' ὑμῶν ἐλπίδας ἀθυμότερος ἦν,
παραπλήσιον, ὡς ἐμοὶ δοκεῖ, πεπονθὼς τῶν πεπλευ-
κότων τισίν, οἳ τὸ πρῶτον, ὅταν χρήσωνται χειμῶ-
σιν, οὐκέτι θαρροῦντες εἰσβαίνουσιν εἰς θάλατταν,
καίπερ εἰδότες, ὅτι καὶ καλοῦ πλοῦ πολλάκις ἐπιτυ-
χεῖν ἔστιν. οὐ μὴν ἀλλ' ἐπειδὴ συνέστηκέ σοι, καλῶς

9 ποιεῖ. λογίζομαι γὰρ αὐτῷ συνοίσειν, μάλιστα μὲν b
τῇ φιλανθρωπίᾳ τῇ σῇ στοχαζόμενος, ἣν ἔχειν ὑπεί-
ληφαι παρὰ τοῖς ἔξωθεν ἀνθρώποις, ἔπειτα νομίζων
οὐκ ἀγνοεῖν ὑμᾶς, ὅτι πάντων ἐστὶν ἥδιστον καὶ λυ-
σιτελέστατον πιστοὺς ἅμα καὶ χρησίμους φίλους κτᾶ-
σθαι ταῖς εὐεργεσίαις καὶ τοὺς τοιούτους εὖ ποιεῖν,
ὑπὲρ ὧν πολλοὶ καὶ τῶν ἄλλων ὑμῖν χάριν ἕξουσιν.
ἅπαντες γὰρ οἱ χαρίεντες τοὺς τοῖς σπουδαίοις τῶν
ἀνδρῶν καλῶς ὁμιλοῦντας ὁμοίως ἐπαινοῦσι καὶ τι- c
μῶσιν ὥσπερ αὐτοὶ τῶν ὠφελειῶν ἀπολαύοντες.
10 (β΄.) Ἀλλὰ γὰρ Διόδοτον αὐτὸν οἶμαι μάλιστά σε
προτρέψεσθαι πρὸς τὸ φροντίζειν αὐτοῦ. συνέπειθον
δὲ καὶ τὸν υἱὸν αὐτοῦ τῶν ὑμετέρων ἀντέχεσθαι πραγ-
μάτων καὶ παραδόνθ᾽ ὑμῖν αὐτὸν ὥσπερ μαθητὴν
εἰς τοὔμπροσθε πειραθῆναι προελθεῖν. ὁ δὲ ταῦτά
μου λέγοντος ἐπιθυμεῖν μὲν ἔφασκε τῆς ὑμετέρας φι-
λίας, οὐ μὴν ἀλλὰ παραπλήσιόν τι πεπονθέναι πρὸς d
11 αὐτὴν καὶ πρὸς τοὺς στεφανίτας ἀγῶνας. ἐκείνους τε
γὰρ νικᾶν μὲν ἂν βούλεσθαι, καταβῆναι δ᾽ εἰς αὐ-
τοὺς οὐκ ἂν τολμῆσαι διὰ τὸ μὴ μετεσχηκέναι ῥώμης
ἀξίας τῶν στεφάνων, τῶν τε παρ᾽ ὑμῶν τιμῶν εὔξα-
σθαι μὲν ἂν τυχεῖν, ἐφίξεσθαι δ᾽ αὐτῶν οὐ προσδο-
κᾶν· τήν τε γὰρ ἀπειρίαν τὴν αὑτοῦ καταπεπλῆχθαι
καὶ τὴν λαμπρότητα τὴν ὑμετέραν, ἔτι δὲ καὶ τὸ σω-
μάτιον οὐκ εὐκρινὲς ὂν ἀλλ᾽ ἔχον ἅττα σίνη νομίζειν e
ἐμποδιεῖν αὐτὸν πρὸς πολλὰ τῶν πραγμάτων.
12 (γ΄.) Οὗτος μὲν οὖν, ὅ τι ἂν αὑτῷ δοκῇ συμφέ-
ρειν, τοῦτο πράξει· σὺ δ᾽ ἄν τε περὶ ὑμᾶς ἄν θ᾽ ἡσυ-
χίαν ἔχων διατρίβῃ περὶ τούτους τοὺς τόπους, ἐπιμε- 416
λοῦ καὶ τῶν ἄλλων μὲν ἁπάντων, ὧν ἂν τυγχάνῃ δεό-
μενος, μάλιστα δὲ τῆς ἀσφαλείας καὶ τῆς τούτου καὶ
τῆς τοῦ πατρὸς αὐτοῦ, νομίσας ὥσπερ παρακαταθήκην

ἔχειν τοῦτον παρά τε τοῦ γήρως ἡμῶν, ὃ προσηκόντως ἂν πολλῆς τυγχάνοι προνοίας, καὶ τῆς δόξης τῆς ὑπαρχούσης, εἴ τινος ἄρα σπουδῆς ἐστὶν ἀξία, καὶ τῆς εὐνοίας τῆς περὶ ὑμᾶς, ἣν ἔχων ἅπαντα τὸν χρόνον
13 διατετέλεκα. καὶ μὴ θαυμάσῃς, μήτ' εἰ μακροτέραν γέγραφα τὴν ἐπιστολὴν μήτ' εἴ τι περιεργότερον καὶ πρεσβυτικώτερον εἰρήκαμεν ἐν αὐτῇ· πάντων γὰρ τῶν ἄλλων ἀμελήσας ἑνὸς μόνου ἐφρόντισα, τοῦ φανῆναι σπουδάζων ὑπὲρ ἀνδρῶν φίλων καὶ προσφιλεστάτων μοι γεγενημένων.

5.

ΑΛΕΞΑΝΔΡΩι.

(α'.) Πρὸς τὸν πατέρα σου γράφων ἐπιστολὴν 416
ἄτοπον ᾤμην ποιήσειν, εἰ περὶ τὸν αὐτὸν ὄντα σὲ τόπον ἐκείνῳ μήτε προσερῶ μήτ' ἀσπάσομαι μήτε γράψω τι τοιοῦτον, ὃ ποιήσει τοὺς ἀναγνόντας μὴ νομίζειν ἤδη με παραφρονεῖν διὰ τὸ γῆρας μηδὲ παντάπασι ληρεῖν ἀλλ' ἔτι τὸ καταλελειμμένον μου μέρος καὶ λοιπὸν ὂν οὐκ ἀνάξιον εἶναι τῆς δυνάμεως, ἣν ἔσχον νεώτερος ὤν.
2 (β'.) Ἀκούω δέ σε πάντων λεγόντων, ὡς φιλάνθρωπος εἶ καὶ φιλαθήναιος καὶ φιλόσοφος, οὐκ ἀφρόνως ἀλλὰ νοῦν ἐχόντως. τῶν τε γὰρ πολιτῶν ἀποδέχεσθαί σε τῶν ἡμετέρων οὐ τοὺς ἠμεληκότας αὑτῶν καὶ πονηρῶν πραγμάτων ἐπιθυμοῦντας, ἀλλ' οἷς συνδιατρίβων τ' οὐκ ἂν λυπηθείης, συμβάλλων τε καὶ 417
κοινωνῶν πραγμάτων οὐδὲν ἂν βλαβείης οὐδ' ἀδικηθείης, οἵοις περ χρὴ πλησιάζειν τοὺς εὖ φρονοῦντας·
3 τῶν τε φιλοσοφιῶν οὐκ ἀποδοκιμάζειν μὲν οὐδὲ τὴν περὶ τὰς ἔριδας ἀλλὰ νομίζειν εἶναι πλεονεκτικὴν ἐν ταῖς ἰδίαις διατριβαῖς, οὐ μὴν ἁρμόττειν οὔτε τοῖς τοῦ

πλήθους προεστῶσιν οὔτε τοῖς τὰς μοναρχίας ἔχουσιν·
οὐδὲ γὰρ συμφέρον οὐδὲ πρέπον ἐστὶ τοῖς μεῖζον τῶν
ἄλλων φρονοῦσιν οὔτ᾽ αὐτοῖς ἐρίζειν πρὸς τοὺς συμ- b
πολιτευομένους οὔτε τοῖς ἄλλοις ἐπιτρέπειν πρὸς αὐ-
4 τοὺς ἀντιλέγειν. ταύτην μὲν οὖν οὐκ ἀγαπᾶν σε τὴν
διατριβὴν, προαιρεῖσθαι δὲ τὴν παιδείαν τὴν περὶ
τοὺς λόγους, οἷς χρώμεθα περὶ τὰς πράξεις τὰς προσ-
πιπτούσας καθ᾽ ἑκάστην τὴν ἡμέραν καὶ μεθ᾽ ὧν
βουλευόμεθα περὶ τῶν κοινῶν· δι᾽ ἣν νῦν τε δοξά-
ζεις περὶ τῶν μελλόντων ἐπιεικῶς, τοῖς τ᾽ ἀρχομένοις
προστάττειν οὐκ ἀνοήτως, ἃ δεῖ πράττειν ἑκάστους, c
ἐπιστήσει, περὶ δὲ τῶν καλῶν καὶ δικαίων καὶ τῶν
τούτοις ἐναντίων ὀρθῶς κρίνειν, πρὸς δὲ τούτοις τι-
μᾶν τε καὶ κολάζειν, ὡς προσῆκόν ἐστιν ἑκατέρους.
5 σωφρονεῖς οὖν νῦν ταῦτα μελετῶν· ἐλπίδας γὰρ τῷ
τε πατρὶ καὶ τοῖς ἄλλοις παρέχεις, ὡς, ἂν πρεσβύτερος
γενόμενος ἐμμείνῃς τούτοις, τοσοῦτον προέξεις τῇ
φρονήσει τῶν ἄλλων, ὅσον περ ὁ πατήρ σου διενήνο-
χεν ἁπάντων.

6.

ΤΟΙΣ ΙΑΣΟΝΟΣ ΠΑΙΣΙΝ.

(α΄.) Ἀπήγγειλέ τίς μοι τῶν πρεσβευσάντων ὡς 417
ὑμᾶς, ὅτι καλέσαντες αὐτὸν ἄνευ τῶν ἄλλων ἐρωτή-
σαιτ᾽ εἰ πεισθείην ἂν ἀποδημῆσαι καὶ διατρῖψαι παρ᾽ 418
ὑμῖν. ἐγὼ δ᾽ ἕνεκα μὲν τῆς Ἰάσονος καὶ Πολυαλκοῦς
ξενίας ἡδέως ἂν ἀφικοίμην ὡς ὑμᾶς· οἶμαι γὰρ ἂν
τὴν ὁμιλίαν τὴν γενομένην ἅπασιν ἡμῖν συνενεγκεῖν·
2 ἀλλὰ γὰρ ἐμποδίζει με πολλὰ, μάλιστα μὲν τὸ μὴ δύ-
νασθαι πλανᾶσθαι καὶ τὸ μὴ πρέπειν ἐπιξενοῦσθαι
τοῖς τηλικούτοις, ἔπειθ᾽ ὅτι πάντες οἱ πυθόμενοι τὴν
ἀποδημίαν δικαίως ἄν μου καταφρονήσειαν, εἰ προῃ- b

ρημένος τὸν ἄλλον χρόνον ἡσυχίαν ἄγειν ἐπὶ γήρως
ἀποδημεῖν ἐπιχειροίην, ὅτ' εἰκὸς ἦν, εἰ καὶ πρότερον
ἄλλοθί που διέτριβον, νῦν οἴκαδε σπεύδειν, οὕτως
3 ὑπογυίου μοι τῆς τελευτῆς οὔσης. πρὸς δὲ τούτοις
φοβοῦμαι καὶ τὴν πόλιν· χρὴ γὰρ τἀληθῆ λέγειν.
ὁρῶ γὰρ τὰς συμμαχίας τὰς πρὸς αὐτὴν γιγνομένας
ταχέως διαλυομένας. εἰ δή τι συμβαίη καὶ πρὸς ὑμᾶς
τοιοῦτον, εἰ καὶ τὰς αἰτίας καὶ τοὺς κινδύνους δια- c
φυγεῖν δυνηθείην, ὃ χαλεπόν ἐστιν, ἀλλ' οὖν αἰ-
σχυνθείην ἄν, εἴτε διὰ τὴν πόλιν δόξαιμί τισιν ἀμε-
λεῖν ὑμῶν, εἴτε δι' ὑμᾶς τῆς πόλεως ὀλιγωρεῖν. μὴ
κοινοῦ δὲ τοῦ συμφέροντος ὄντος οὐκ οἶδ' ὅπως ἂν
ἀμφοτέροις ἀρέσκειν δυνηθείην. αἱ μὲν οὖν αἰτίαι,
δι' ἃς οὐκ ἔξεστί μοι ποιεῖν ἃ βούλομαι, τοιαῦτα
συμβεβήκασιν.

4 (β'.) Οὐ μὴν περὶ τῶν ἐμαυτοῦ μόνον ἐπιστείλας
οἶμαι δεῖν ἀμελῆσαι τῶν ὑμετέρων, ἀλλ' ἅπερ ἂν
παραγενόμενος πρὸς ὑμᾶς διελέχθην, πειράσομαι d
καὶ νῦν περὶ τῶν αὐτῶν τούτων ὅπως ἂν δύνωμαι
διεξελθεῖν. μηδὲν δ' ὑπολάβητε τοιοῦτον, ὡς ἄρ'
ἐγὼ ταύτην ἔγραψα τὴν ἐπιστολὴν οὐχ ἕνεκα τῆς
ὑμετέρας ξενίας ἀλλ' ἐπίδειξιν ποιήσασθαι βουλόμε-
νος. οὐ γὰρ εἰς τοῦθ' ἥκω μανίας ὥστ' ἀγνοεῖν, ὅτι
κρείττω μὲν γράψαι τῶν πρότερον διαδεδομένων οὐκ
ἂν δυναίμην, τοσοῦτον τῆς ἀκμῆς ὑστερῶν, χείρω δ'
ἐξενεγκὼν πολὺ φαυλοτέραν ἂν λάβοιμι δόξαν τῆς e
5 νῦν ἡμῖν ὑπαρχούσης. ἔπειτ' εἴπερ ἐπιδείξει προσ-
εῖχον τὸν νοῦν ἀλλὰ μὴ πρὸς ὑμᾶς ἐσπούδαζον, οὐκ
ἂν ταύτην ἐξ ἁπασῶν προειλόμην τὴν ὑπόθεσιν,
περὶ ἧς χαλεπόν ἐστιν ἐπιεικῶς εἰπεῖν, ἀλλὰ πολὺ
καλλίους ἑτέρας ἂν εὗρον καὶ μᾶλλον λόγον ἐχούσας.
ἀλλὰ γὰρ οὔτε πρότερον οὐδὲ πώποτ' ἐφιλοτιμήθην 419

ἐπὶ τούτοις, ἀλλ' ἐφ' ἑτέροις μᾶλλον, ἃ τοὺς πολλοὺς
διαλέληθεν, οὔτε νῦν ἔχων ταύτην τὴν διάνοιαν
6 ἐπραγματευσάμην, ἀλλ' ὑμᾶς μὲν ὁρῶν ἐν πολλοῖς
καὶ μεγάλοις πράγμασιν ὄντας, αὐτὸς δ' ἀποφήνα-
σθαι βουλόμενος, ἣν ἔχω γνώμην περὶ αὐτῶν. ἡγοῦ-
μαι δὲ συμβουλεύειν μὲν ἀκμὴν ἔχειν, αἱ γὰρ ἐμπει-
ρίαι παιδεύουσι τοὺς τηλικούτους καὶ ποιοῦσι μᾶλλον b
τῶν ἄλλων δύνασθαι καθορᾶν τὸ βέλτιστον, εἰπεῖν
δὲ περὶ τῶν προτεθέντων ἐπιχαρίτως καὶ μουσικῶς
καὶ διαπεπονημένως οὐκέτι τῆς ἡμετέρας ἡλικίας
ἐστίν, ἀλλ' ἀγαπῴην ἄν, εἰ μὴ παντάπασιν ἐκλελυ-
μένως διαλεχθείην περὶ αὐτῶν.
7 (γ'.) Μὴ θαυμάζετε δ' ἄν τι φαίνωμαι λέγων ὧν
πρότερον ἀκηκόατε· τῷ μὲν γὰρ ἴσως ἄκων ἂν ἐντύ-
χοιμι, τὸ δὲ καὶ προειδώς, εἰ πρέπον εἰς τὸν λόγον
εἴη, προσλάβοιμι· καὶ γὰρ ἂν ἄτοπος εἴην, εἰ τοὺς ἄλ- c
λους ὁρῶν τοῖς ἐμοῖς χρωμένους αὐτὸς μόνος ἀπε-
χοίμην τῶν ὑπ' ἐμοῦ πρότερον εἰρημένων. τούτου
δ' ἕνεκα ταῦτα προεῖπον, ὅτι τὸ πρῶτον ἐπιφερόμε-
8 νον ἓν τῶν τεθρυλημένων ἐστίν. εἴθισμαι γὰρ λέγειν
πρὸς τοὺς περὶ τὴν φιλοσοφίαν τὴν ἡμετέραν διατρί-
βοντας, ὅτι τοῦτο πρῶτον δεῖ σκέψασθαι, τί τῷ λόγῳ
καὶ τοῖς τοῦ λόγου μέρεσι διαπρακτέον ἐστίν· ἐπει-
δὰν δὲ τοῦθ' εὕρωμεν καὶ διακριβωσώμεθα, ζητητέον d
εἶναί φημι τὰς ἰδέας, δι' ὧν ταῦτ' ἐξεργασθήσεται καὶ
λήψεται τέλος, ὅπερ ὑπεθέμεθα. καὶ ταῦτα φράζω
μὲν ἐπὶ τῶν λόγων, ἔστι δὲ τοῦτο τὸ στοιχεῖον καὶ κατὰ
τῶν ἄλλων ἁπάντων καὶ κατὰ τῶν ὑμετέρων πραγμά-
9 των. οὐδὲν γὰρ οἷόν τ' ἐστὶ πραχθῆναι νοῦν ἐχόντως,
ἂν μὴ τοῦτο πρῶτον μετὰ πολλῆς προνοίας λογίσησθε
καὶ βουλεύσησθε, πῶς χρὴ τὸν ἐπίλοιπον χρόνον e
ὑμῶν αὐτῶν προστῆναι καὶ τίνα βίον προελέσθαι καὶ

ποίας δόξης ὀριγνηθῆναι καὶ ποτέρας τῶν τιμῶν ἀγα-
πῆσαι, τὰς παρ' ἑκόντων γιγνομένας ἢ τὰς παρ' ἀκόν-
των τῶν πολιτῶν· ταῦτα δὲ διορισαμένους τότ' ἤδη
τὰς πράξεις τὰς καθ' ἑκάστην τὴν ἡμέραν σκεπτέον,
ὅπως συντενοῦσι πρὸς τὰς ὑποθέσεις τὰς ἐξ ἀρχῆς 420
10 γενομένας. καὶ τοῦτον μὲν τὸν τρόπον ζητοῦντες
ὥσπερ σκοποῦ κειμένου στοχάσεσθε τῇ ψυχῇ καὶ μᾶλ-
λον ἐπιτεύξεσθε τοῦ συμφέροντος· ἂν δὲ μηδεμίαν
ποιήσησθε τοιαύτην ὑπόθεσιν ἀλλὰ τὸ προσπῖπτον
ἐπιχειρῆτε πράττειν, ἀναγκαῖόν ἐστιν ὑμᾶς ταῖς δια-
νοίαις πλανᾶσθαι καὶ πολλῶν διαμαρτάνειν πραγ-
μάτων.
11 (δ'.) Ἴσως ἂν οὖν τις τῶν εἰκῇ ζῆν προῃρημένων b
τοὺς μὲν τοιούτους λογισμοὺς διασύρειν ἐπιχειρή-
σειεν, ἀξιώσειε δ' ἂν ἤδη με συμβουλεύειν περὶ τῶν
προειρημένων. ἔστιν οὖν οὐκ ὀκνητέον ἀποφήνασθαι
περὶ αὐτῶν, ἃ τυγχάνω γιγνώσκων. ἐμοὶ γὰρ αἱρε-
τώτερος ὁ βίος εἶναι δοκεῖ καὶ βελτίων ὁ τῶν ἰδιωτευ-
όντων ἢ τῶν τυραννούντων, καὶ τὰς τιμὰς ἡδίους
ἡγοῦμαι τὰς ἐν ταῖς πολιτείαις ἢ τὰς ἐν ταῖς μοναρ-
12 χίαις· καὶ περὶ τούτων λέγειν ἐπιχειρήσω. καίτοι μ' c
οὐ λέληθεν, ὅτι πολλοὺς ἕξω τοὺς ἐναντιουμένους,
καὶ μάλιστα τοὺς περὶ ὑμᾶς ὄντας. οἶμαι γὰρ οὐχ
ἥκιστα τούτους ἐπὶ τὴν τυραννίδα παροξύνειν ὑμᾶς·
σκοποῦσι γὰρ οὐ πανταχῇ τὴν φύσιν τοῦ πράγματος
ἀλλὰ πολλὰ παραλογίζονται σφᾶς αὐτούς. τὰς μὲν
γὰρ ἐξουσίας καὶ τὰ κέρδη καὶ τὰς ἡδονὰς ὁρῶσι καὶ
τούτων ἀπολαύσεσθαι προσδοκῶσι, τὰς δὲ ταραχὰς
καὶ τὰς συμφορὰς τὰς τοῖς ἄρχουσι συμπιπτούσας καὶ d
τοῖς φίλοις αὐτῶν οὐ θεωροῦσιν, ἀλλὰ πεπόνθασιν,
ὅπερ οἱ τοῖς αἰσχίστοις καὶ παρανομωτάτοις τῶν ἔρ-
13 γων ἐπιχειροῦντες. καὶ γὰρ ἐκεῖνοι τὰς μὲν πονηρίας

τὰς τῶν πραγμάτων οὐκ ἀγνοοῦσιν, ἐλπίζουσι δ'
ὅσον μὲν ἀγαθόν ἐστιν ἐν αὐτοῖς, τοῦτο μὲν ἐκλήψε-
σθαι, τὰ δὲ δεινὰ πάντα τὰ προσόντα τῷ πράγματι
καὶ τὰ κακὰ διαφεύξεσθαι, καὶ διοικήσειν τὰ περὶ
σφᾶς αὐτοὺς οὕτως, ὥστε τῶν μὲν κινδύνων εἶναι
14 πόρρω, τῶν δ' ὠφελειῶν ἐγγύς. τοὺς μὲν οὖν ταύτην e
ἔχοντας τὴν διάνοιαν ζηλῶ τῆς ῥαθυμίας, αὐτὸς δ'
αἰσχυνθείην ἄν, εἰ συμβουλεύων ἑτέροις ἐκείνων
ἀμελήσας τὸ συμφέρον ποιοίην καὶ μὴ παντάπασιν
ἔξω θεὶς ἐμαυτὸν καὶ τῶν ὠφελειῶν καὶ τῶν ἄλ- 421
λων ἁπάντων τὰ βέλτιστα παραινοίην. ὡς οὖν ἐμοῦ
ταύτην ἔχοντος τὴν γνώμην, οὕτως ἐμοὶ προσέχετε
τὸν νοῦν. . . . .
. . . .

7.

ΤΙΜΟΘΕΩι.

(α'.) Περὶ μὲν τῆς οἰκειότητος τῆς ὑπαρχούσης 421
ἡμῖν πρὸς ἀλλήλους οἶμαί σε πολλῶν ἀκηκοέναι, συγ-
χαίρω δέ σοι πυνθανόμενος, πρῶτον μὲν ὅτι τῇ δυ-
ναστείᾳ τῇ παρούσῃ κάλλιον χρῇ τοῦ πατρὸς καὶ
φρονιμώτερον, ἔπειθ' ὅτι προαιρεῖ δόξαν καλὴν κτή-
σασθαι μᾶλλον ἢ πλοῦτον μέγαν συναγαγεῖν. σημεῖον
γὰρ οὐ μικρὸν ἐκφέρεις ἀρετῆς ἀλλ' ὡς δυνατὸν μέ-
γιστον, ταύτην ἔχων τὴν γνώμην· ὥστ' ἢν ἐμμείνῃς
τοῖς περὶ σοῦ νῦν λεγομένοις, οὐκ ἀπορήσεις τῶν
ἐγκωμιασομένων τήν τε φρόνησιν τὴν σὴν καὶ τὴν
2 προαίρεσιν ταύτην. ἡγοῦμαι δὲ καὶ τὰ διηγγελμένα
περὶ τοῦ πατρός σου συμβάλλεσθαι μεγάλην πίστιν
πρὸς τὸ δοκεῖν εὖ φρονεῖν σε καὶ διαφέρειν τῶν ἄλ-
λων· εἰώθασι γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων οὐχ
οὕτως ἐπαινεῖν καὶ τιμᾶν τοὺς ἐκ τῶν πατέρων τῶν

εὐδοκιμούντων γεγονότας, ὡς τοὺς ἐκ τῶν δυσκόλων
καὶ χαλεπῶν, ἤν περ φαίνωνται μηδὲν ὅμοιοι τοῖς
γονεῦσιν ὄντες. μᾶλλον γὰρ ἐπὶ πάντων κεχαρισμέ-
νον αὐτοῖς ἐστὶ τὸ παρὰ λόγον συμβαῖνον ἀγαθὸν
τῶν εἰκότως καὶ προσηκόντως γιγνομένων.
3 (β΄.) Ὧν ἐνθυμούμενον χρὴ ζητεῖν καὶ φιλοσο-
φεῖν, ἐξ ὅτου τρόπου καὶ μετὰ τίνων καὶ τίσι συμ-
βούλοις χρώμενος τάς τε τῆς πόλεως ἀτυχίας ἐπανορ-
θώσεις καὶ τοὺς πολίτας ἐπί τε τὰς ἐργασίας καὶ τὴν
σωφροσύνην προτρέψεις καὶ ποιήσεις αὐτοὺς ἥδιον 422
ζῆν καὶ θαρραλεώτερον ἢ τὸν παρελθόντα χρόνον.
ταῦτα γάρ ἐστιν ἔργα τῶν ὀρθῶς καὶ φρονίμως τυ-
4 ραννευόντων. ὧν ἔνιοι καταφρονήσαντες οὐδὲν ἄλλο
σκοποῦσι, πλὴν ὅπως αὐτοί θ᾿ ὡς μετὰ πλείστης ἀσελ-
γείας τὸν βίον διάξουσι, τῶν τε πολιτῶν τοὺς βελτί-
στους καὶ πλουσιωτάτους καὶ φρονιμωτάτους λυμα-
νοῦνται καὶ δασμολογήσουσι, κακῶς εἰδότες, ὅτι
προσήκει τοὺς εὖ φρονοῦντας καὶ τὴν τιμὴν ταύτην
ἔχοντας μὴ τοῖς τῶν ἄλλων κακοῖς αὑτοῖς ἡδονὰς b
παρασκευάζειν ἀλλὰ ταῖς αὑτῶν ἐπιμελείαις τοὺς πο-
5 λίτας εὐδαιμονεστέρους ποιεῖν, μηδὲ πικρῶς μὲν καὶ
χαλεπῶς διακεῖσθαι πρὸς ἅπαντας, ἀμελεῖν δὲ τῆς
αὑτῶν σωτηρίας, ἀλλ᾿ οὕτω μὲν πράως καὶ νομίμως
ἐπιστατεῖν τῶν πραγμάτων ὥστε μηδένα τολμᾶν αὐ-
τοῖς ἐπιβουλεύειν, μετὰ τοσαύτης δ᾿ ἀκριβείας τὴν
τοῦ σώματος ποιεῖσθαι φυλακὴν ὡς ἁπάντων αὐτοὺς c
ἀνελεῖν βουλομένων. ταύτην γὰρ τὴν διάνοιαν ἔχον-
τες αὐτοί τ᾿ ἂν ἔξω τῶν κινδύνων εἶεν καὶ παρὰ τοῖς
ἄλλοις εὐδοκιμοῖεν· ὧν ἀγαθὰ μείζω χαλεπὸν εὑρεῖν
6 ἐστίν. ἐνεθυμήθην δὲ μεταξὺ γράφων, ὡς εὐτυχῶς
ἅπαντά σοι συμβέβηκεν. τὴν μὲν γὰρ εὐπορίαν, ἣν
ἀναγκαῖον ἦν κτήσασθαι τυραννικῶς μετὰ βίας καὶ

πολλῆς ἀπεχθείας, ὁ πατήρ σοι καταλέλοιπε, τὸ δὲ
χρῆσθαι τούτοις καλῶς καὶ φιλανθρώπως ἐπὶ σοὶ γέ- d
γονεν· ὧν χρή σε πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν.
7 (γ'.) Ἃ μὲν οὖν ἐγὼ γιγνώσκω, ταῦτ' ἐστίν· ἔχει
δ' οὕτως. εἰ μὲν ἐρᾷς χρημάτων καὶ μείζονος δυνα-
στείας καὶ κινδύνων, δι' ὧν αἱ κτήσεις τούτων εἰσίν,
ἑτέρους σοι συμβούλους παρακλητέον· εἰ δὲ ταῦτα
μὲν ἱκανῶς ἔχεις, ἀρετῆς δὲ καὶ δόξης καλῆς καὶ τῆς
παρὰ τῶν πολλῶν εὐνοίας ἐπιθυμεῖς, τοῖς τε λόγοις e
τοῖς ἐμοῖς προσεκτέον τὸν νοῦν ἐστὶ καὶ τοῖς καλῶς
τὰς πόλεις τὰς αὑτῶν διοικοῦσιν ἁμιλλητέον καὶ πει-
8 ρατέον αὐτῶν διενεγκεῖν. ἀκούω δὲ Κλέομμιν τὸν ἐν
Μηθύμνῃ ταύτην ἔχοντα τὴν δυναστείαν περί τε τὰς
ἄλλας πράξεις καλὸν κἀγαθὸν εἶναι καὶ φρόνιμον,
καὶ τοσοῦτον ἀπέχειν τοῦ τῶν πολιτῶν τινας ἀπο-
κτείνειν ἢ φυγαδεύειν ἢ δημεύειν τὰς οὐσίας ἢ ποι- 423
εῖν ἄλλο τι κακὸν, ὥστε πολλὴν μὲν ἀσφάλειαν παρ-
έχειν τοῖς συμπολιτευομένοις, κατάγειν δὲ τοὺς φεύ-
9 γοντας, ἀποδιδόναι δὲ τοῖς μὲν κατιοῦσι τὰς κτήσεις,
ἐξ ὧν ἐξέπεσον, τοῖς δὲ πριαμένοις τὰς τιμὰς τὰς ἑκά-
στοις γιγνομένας, πρὸς δὲ τούτοις καθοπλίζειν ἅπαν-
τας τοὺς πολίτας, ὡς οὐδενὸς μὲν ἐπιχειρήσοντος
περὶ αὐτὸν νεωτερίζειν, ἢν δ' ἄρα τινὲς τολμήσωσιν,
ἡγούμενος λυσιτελεῖν αὐτῷ τεθνάναι τοιαύτην ἀρε- b
τὴν ἐνδειξαμένῳ τοῖς πολίταις μᾶλλον ἢ ζῆν πλείω
χρόνον τῇ πόλει τῶν μεγίστων κακῶν αἰτίῳ γενομένῳ.
10 (δ'.) Ἔτι δ' ἂν πλείω σοι περὶ τούτων διελέχθην,
ἴσως δ' ἂν καὶ χαριέστερον, εἰ μὴ παντάπασιν ἔδει με
διὰ ταχέων γράψαι σοι τὴν ἐπιστολήν. νῦν δὲ σοὶ
μὲν αὖθις συμβουλεύσομεν, ἂν μὴ κωλύσῃ με τὸ γῆ-
ρας, ἐν δὲ τῷ παρόντι περὶ τῶν ἰδίων δηλώσομεν.
(ε'.) Αὐτοκράτωρ γὰρ ὁ τὰ γράμματα φέρων οἰκείως c

11 ἡμῖν ἔχει· περί τε γὰρ τὰς διατριβὰς τὰς αὐτὰς γεγό-
ναμεν καὶ τῇ τέχνῃ πολλάκις αὐτοῦ κέχρημαι καὶ τὸ
τελευταῖον περὶ τῆς ἀποδημίας τῆς ὡς σὲ σύμβουλος
ἐγενόμην αὐτῷ. διὰ δὴ ταῦτα πάντα βουλοίμην ἂν
σε καλῶς αὐτῷ χρήσασθαι καὶ συμφερόντως ἀμφοτέ-
ροις ὑμῖν, καὶ γενέσθαι φανερὸν, ὅτι μέρος τι καὶ δι'
ἐμὲ γίγνεται τῶν δεόντων αὐτῷ.

12 (ϛ'.) Καὶ μὴ θαυμάσῃς, εἰ σοὶ μὲν οὕτως ἐπιστέλλω d
προθύμως, Κλεάρχου δὲ μηδὲν πώποτ' ἐδεήθην. σχε-
δὸν γὰρ ἅπαντες οἱ παρ' ὑμῶν καταπλέοντες σὲ μὲν ὅ-
μοιόν φασιν εἶναι τοῖς βελτίστοις τῶν ἐμοὶ πεπλησια-
κότων, Κλέαρχον δὲ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον, ὅτ'
ἦν παρ' ἡμῖν, ὡμολόγουν, ὅσοι περ ἐνέτυχον, ἐλευ-
θεριώτατον εἶναι καὶ πραότατον καὶ φιλανθρωπότα-
τον τῶν μετεχόντων τῆς διατριβῆς· ἐπειδὴ δὲ τὴν δύ- e
ναμιν ἔλαβε, τοσοῦτον ἔδοξε μεταπεσεῖν ὥστε πάντας
13 θαυμάζειν τοὺς πρότερον αὐτὸν γιγνώσκοντας. πρὸς
μὲν οὖν ἐκεῖνον διὰ ταύτας τὰς αἰτίας ἀπηλλοτριώθην·
σὲ δ' ἀποδέχομαι καὶ πρὸ πολλοῦ ποιησαίμην ἂν οἰ-
κείως διατεθῆναι πρὸς ἡμᾶς. δηλώσεις δὲ καὶ σὺ διὰ
ταχέων, εἰ τὴν αὐτὴν γνώμην ἔχεις ἡμῖν· Αὐτοκρά- 424
τορός τε γὰρ ἐπιμελήσει καὶ πέμψεις ἐπιστολὴν ὡς
ἡμᾶς, ἀνανεούμενος τὴν φιλίαν καὶ ξενίαν τὴν πρό-
τερον ὑπάρχουσαν. ἔρρωσο, κἂν του δέῃ τῶν παρ'
ἡμῶν, ἐπίστελλε.

8.

ΤΟΙΣ ΜΥΤΙΛΗΝΑΙΩΝ ΑΡΧΟΥΣΙΝ.

(α'.) Οἱ παῖδες οἱ μὲν Ἀφαρέως, υἱιδεῖς δ' ἐμοί,
παιδευθέντες ὑπ' Ἀγήνορος τὰ περὶ τὴν μουσικὴν, b
ἐδεήθησάν μου γράμματα πέμψαι πρὸς ὑμᾶς, ὅπως
ἂν, ἐπειδὰν καὶ τῶν ἄλλων τινὰς καταγάγητε φυγά

δων, καὶ τοῦτον καταδέξησθε καὶ τὸν πατέρα καὶ τοὺς
ἀδελφούς. λέγοντος δέ μου πρὸς αὐτοὺς, ὅτι δέδοικα,
μὴ λίαν ἄτοπος εἶναι δόξω καὶ περίεργος, ζητῶν εὑ-
ρίσκεσθαι τηλικαῦτα τὸ μέγεθος παρ' ἀνδρῶν, οἷς
οὐδὲ πώποτε πρότερον οὔτε διελέχθην οὔτε συνήθης c
ἐγενόμην, ἀκούσαντες ταῦτα πολὺ μᾶλλον ἐλιπάρουν.
2 ὡς δ' οὐδὲν αὐτοῖς ἀπέβαινεν ὧν ἤλπιζον, ἅπασιν
ἦσαν καταφανεῖς ἀηδῶς διακείμενοι καὶ χαλεπῶς φέ-
ροντες. ὁρῶν δ' αὐτοὺς λυπουμένους μᾶλλον τοῦ
προσήκοντος, τελευτῶν ὑπεσχόμην γράψειν τὴν ἐπι-
στολὴν καὶ πέμψειν ὑμῖν. ὑπὲρ μὲν οὖν τοῦ μὴ δικαίως
ἂν δοκεῖν μωρὸς εἶναι μηδ' ὀχληρὸς ταῦτ' ἔχω λέγειν.
3 (β'.) Ἡγοῦμαι δὲ καλῶς ὑμᾶς βεβουλεῦσθαι καὶ d
διαλλαττομένους τοῖς πολίταις τοῖς ὑμετέροις, καὶ πει-
ρωμένους τοὺς μὲν φεύγοντας ὀλίγους ποιεῖν, τοὺς
δὲ συμπολιτευομένους πολλοὺς, καὶ μιμουμένους τὰ
περὶ τὴν στάσιν τὴν πόλιν τὴν ἡμετέραν. μάλιστα δ'
ἄν τις ὑμᾶς ἐπαινέσειεν, ὅτι τοῖς κατιοῦσιν ἀποδίδοτε
τὴν οὐσίαν· ἐπιδείκνυσθε γὰρ καὶ ποιεῖτε πᾶσι φανε-
ρὸν, ὡς οὐ τῶν κτημάτων ἐπιθυμήσαντες τῶν ἀλλο-
τρίων ἀλλ' ὑπὲρ τῆς πόλεως δείσαντες ἐποιήσασθε τὴν 425
4 ἐκβολὴν αὐτῶν. (γ'.) Οὐ μὴν ἀλλ' εἰ καὶ μηδὲν ὑμῖν
ἔδοξε τούτων μηδὲ προσεδέχεσθε μηδένα τῶν φυγά-
δων, τούτους γε νομίζω συμφέρειν ὑμῖν κατάγειν.
αἰσχρὸν γὰρ τὴν μὲν πόλιν ὑμῶν ὑπὸ πάντων ὁμολο-
γεῖσθαι μουσικωτάτην εἶναι καὶ τοὺς ὀνομαστοτάτους
ἐν αὐτῇ παρ' ὑμῖν τυγχάνειν γεγονότας, τὸν δὲ προ-
έχοντα τῶν νῦν ὄντων περὶ τὴν ἱστορίαν τῆς παιδείας
ταύτης φεύγειν ἐκ τῆς τοιαύτης πόλεως, καὶ τοὺς μὲν b
ἄλλους Ἕλληνας τοὺς διαφέροντας περί τι τῶν καλῶν
ἐπιτηδευμάτων, κἂν μηδὲν προσήκωσι, ποιεῖσθαι πο-
λίτας, ὑμᾶς δὲ τοὺς εὐδοκιμοῦντάς τε παρὰ τοῖς ἄλ-

λοις καὶ μετασχόντας τῆς αὐτῆς φύσεως περιορᾶν παρ'
5 ἑτέροις μετοικοῦντας. θαυμάζω δ' ὅσαι τῶν πόλεων
μειζόνων δωρεῶν ἀξιοῦσι τοὺς ἐν τοῖς γυμνικοῖς ἀ-
γῶσι κατορθοῦντας μᾶλλον ἢ τοὺς τῇ φρονήσει καὶ
τῇ φιλοπονίᾳ τι τῶν χρησίμων εὑρίσκοντας, καὶ μὴ c
συνορῶσιν, ὅτι πεφύκασιν αἱ μὲν περὶ τὴν ῥώμην καὶ
τὸ τάχος δυνάμεις συναποθνήσκειν τοῖς σώμασιν, αἱ
δ' ἐπιστῆμαι παραμένειν ἅπαντα τὸν χρόνον ὠφελοῦ-
6 σαι τοὺς χρωμένους αὐταῖς. ὧν ἐνθυμουμένους χρὴ
τοὺς νοῦν ἔχοντας περὶ πλείστου μὲν ποιεῖσθαι τοὺς
καλῶς καὶ δικαίως τῆς αὑτῶν πόλεως ἐπιστατοῦντας,
δευτέρους δὲ τοὺς τιμὴν καὶ δόξαν αὐτῇ καλὴν συμ-
βαλέσθαι δυναμένους· ἅπαντες γὰρ ὥσπερ δείγματι d
τοῖς τοιούτοις χρώμενοι καὶ τοὺς ἄλλους τοὺς συμ-
πολιτευομένους ὁμοίους εἶναι τούτοις νομίζουσιν.
7 (δ'.) Ἴσως οὖν εἴποι τις ἄν, ὅτι προσήκει τοὺς
εὑρέσθαι τι βουλομένους μὴ τὸ πρᾶγμα μόνον ἐπαι-
νεῖν ἀλλὰ καὶ σφᾶς αὐτοὺς ἐπιδεικνύναι δικαίως ἂν
τυγχάνοντας, περὶ ὧν ἂν ποιῶνται τοὺς λόγους.
(ε'.) Ἔχει δ' οὕτως. ἐγὼ τοῦ μὲν πολιτεύεσθαι καὶ
ῥητορεύειν ἀπέστην· οὔτε γὰρ φωνὴν εἶχον ἱκανὴν
οὔτε τόλμαν· οὐ μὴν παντάπασιν ἄχρηστος ἔφυν οὐδ' e
ἀδόκιμος, ἀλλὰ τοῖς τε προῃρημένοις λέγειν ἀγαθόν
τι περὶ ὑμῶν καὶ τῶν ἄλλων συμμάχων φανείην ἂν
καὶ σύμβουλος καὶ συναγωνιστὴς γεγενημένος, αὐ-
τός τε πλείους λόγους πεποιημένος ὑπὲρ τῆς ἐλευθε- 426
ρίας καὶ τῆς αὐτονομίας τῆς τῶν Ἑλλήνων ἢ σύμπαν-
8 τες οἱ τὰ βήματα κατατετριφότες. ὑπὲρ ὧν ὑμεῖς ἂν
μοι δικαίως πλείστην ἔχοιτε χάριν· μάλιστα γὰρ ἐπι-
θυμοῦντες διατελεῖτε τῆς τοιαύτης καταστάσεως. οἶ-
μαι δ' εἰ Κόνων μὲν καὶ Τιμόθεος ἐτύγχανον ζῶντες,
Διόφαντος δ' ἧκεν ἐκ τῆς Ἀσίας, πολλὴν ἂν αὐτοὺς

ποιήσασθαι σπουδὴν, εὑρέσθαι με βουλομένους ὧν τυγχάνω δεόμενος. περὶ ὧν οὐκ οἶδα, τί δεῖ πλείω b λέγειν· οὐδεὶς γὰρ ὑμῶν οὕτως ἐστὶ νέος οὐδ' ἐπιλήσμων, ὅστις οὐκ οἶδε τὰς ἐκείνων εὐεργεσίας.

9 (ϛ'.) Οὕτω δ' ἂν μοι δοκεῖτε κάλλιστα βουλεύσασθαι περὶ τούτων, εἰ σκέψεσθε, τίς ἐστιν ὁ δεόμενος καὶ ὑπὲρ ποίων τινῶν ἀνθρώπων. εὑρήσετε τοίνυν ἐμὲ μὲν οἰκειότατα κεχρημένον τοῖς μεγίστων ἀγαθῶν αἰτίοις γεγενημένοις ὑμῖν τε καὶ τοῖς ἄλλοις, ὑπὲρ ὧν δὲ δέομαι τοιούτους ὄντας, οἵους τοὺς μὲν πρεσβυτέρους καὶ τοὺς περὶ τὴν πολιτείαν ὄντας μὴ λυπεῖν, τοῖς δὲ c νεωτέροις διατριβὴν παρέχειν ἡδεῖαν καὶ χρησίμην καὶ πρέπουσαν τοῖς τηλικούτοις.

10 (ζ'.) Μὴ θαυμάζετε δ' εἰ προθυμότερον καὶ διὰ μακροτέρων τῶν ἄλλων γέγραφα τὴν ἐπιστολήν· βούλομαι γὰρ ἀμφότερα, τοῖς τε παισὶν ἡμῶν χαρίσασθαι καὶ ποιῆσαι φανερὸν αὐτοῖς, ὅτι, κἂν μὴ δημηγορῶσι μηδὲ στρατηγῶσιν ἀλλὰ μόνον μιμῶνται τὸν τρόπον τὸν ἐμὸν, οὐκ ἠμελημένως διάξουσιν ἐν τοῖς Ἕλλη- d σιν. ἓν ἔτι λοιπόν· ἂν ἄρα δόξῃ τι τούτων ὑμῖν πράττειν, Ἀγήνορί τε δηλώσατε καὶ τοῖς ἀδελφοῖς, ὅτι μέρος τι καὶ δι' ἐμὲ τυγχάνουσιν ὧν ἐπεθύμουν.

9.

ΑΡΧΙΔΑΜΩι.

(α'.) Εἰδὼς ὦ Ἀρχίδαμε πολλοὺς ὡρμημένους 431 ἐγκωμιάζειν σὲ καὶ τὸν πατέρα καὶ τὸ γένος ὑμῶν, εἱλόμην τοῦτον μὲν τὸν λόγον, ἐπειδὴ λίαν ῥᾴδιος ἦν, ἐκείνοις παραλιπεῖν, αὐτὸς δέ σε διανοοῦμαι παρακαλεῖν ἐπὶ στρατηγίας καὶ στρατείας οὐδὲν ὁμοίας ταῖς νῦν ἐνεστηκυίαις, ἀλλ' ἐξ ὧν μεγάλων ἀγαθῶν

αἴτιος γενήσει καὶ τῇ πόλει τῇ σαυτοῦ καὶ τοῖς Ἕλλη-
2 σιν ἅπασιν. ταύτην δ' ἐποιησάμην τὴν αἵρεσιν, οὐκ
ἀγνοῶν τὸν λόγον τὸν εὐμεταχειριστότερον ἀλλ'
ἀκριβῶς εἰδὼς, ὅτι πράξεις μὲν εὑρεῖν καλὰς καὶ με-
γάλας καὶ συμφερούσας χαλεπὸν καὶ σπάνιόν ἐστιν,
ἐπαινέσαι δὲ τὰς ἀρετὰς τὰς ὑμετέρας ῥᾳδίως οἷός τ'
ἂν ἐγενόμην. οὐ γὰρ ἔδει με παρ' ἐμαυτοῦ πορίζε-
σθαι τὰ λεχθησόμενα περὶ αὐτῶν, ἀλλ' ἐκ τῶν ὑμῖν
πεπραγμένων τοσαύτας ἂν καὶ τοιαύτας ἀφορμὰς ἔλα-
βον ὥστε τὰς περὶ τῶν ἄλλων εὐλογίας μηδὲ κατὰ
μικρὸν ἐναμίλλους γενέσθαι τῇ περὶ ὑμᾶς ῥηθείσῃ.
3 (β'.) Πῶς γὰρ ἄν τις ἢ τὴν εὐγένειαν. ὑπερεβάλετο
τῶν γεγονότων ἀφ' Ἡρακλέους καὶ Διὸς, ἣν πάντες
ἴσασι μόνοις ὑμῖν ὁμολογουμένως ὑπάρχουσαν, ἢ τὴν
ἀρετὴν τῶν ἐν Πελοποννήσῳ τὰς Δωρικὰς πόλεις κτι-
σάντων καὶ τὴν χώραν ταύτην κατασχόντων, ἢ τὸ
πλῆθος τῶν κινδύνων καὶ τῶν τροπαίων τῶν διὰ τὴν
4 ὑμετέραν ἡγεμονίαν καὶ βασιλείαν σταθέντων; τίς
δ' ἂν ἠπόρησε, διεξιέναι βουληθεὶς τὴν ὅλης τῆς πό-
λεως καὶ σωφροσύνην καὶ πολιτείαν τὴν ὑπὸ τῶν προ-
γόνων τῶν ὑμετέρων συνταχθεῖσαν; πόσοις δ' ἂν λό-
γοις ἐξεγένετο χρήσασθαι περὶ τὴν φρόνησιν τοῦ σοῦ 435
πατρὸς καὶ τὴν ἐν ταῖς συμφοραῖς διοίκησιν καὶ τὴν
μάχην τὴν ἐν τῇ πόλει γενομένην, ἧς ἡγεμὼν σὺ κα-
ταστὰς καὶ μετ' ὀλίγων πρὸς πολλοὺς κινδυνεύσας
καὶ πάντων διενεγκὼν αἴτιος ἐγένου τῇ πόλει τῆς
σωτηρίας, οὗ κάλλιον ἔργον οὐδεὶς ἂν ἐπιδείξειεν;
5 οὔτε γὰρ πόλεις ἑλεῖν οὔτε πολλοὺς ἀποκτεῖναι τῶν
πολεμίων οὕτω μέγα καὶ σεμνόν ἐστιν, ὡς ἐκ τῶν
τοιούτων κινδύνων σῶσαι τὴν πατρίδα, μὴ τὴν τυ-
χοῦσαν ἀλλὰ τὴν τοσοῦτον ἐπ' ἀρετῇ διενεγκοῦσαν.
περὶ ὧν μὴ κομψῶς ἀλλ' ἁπλῶς διελθὼν, μηδὲ τῇ

λέξει κοσμήσας ἀλλ' ἐξαριθμήσας μόνον καὶ χύδην εἰπὼν οὐδεὶς ὅστις οὐκ ἂν εὐδοκιμήσειεν.

6 (γ'.) Ἐγὼ τοίνυν δυνηθεὶς ἂν καὶ περὶ τούτων ἐξαρκούντως διαλεχθῆναι, κἀκεῖνο γιγνώσκων, πρῶτον μὲν ὅτι ῥᾷόν ἐστι περὶ τῶν γεγενημένων εὐπόρως ἐπιδραμεῖν ἢ περὶ τῶν μελλόντων νοῦν ἐχόντως εἰπεῖν, ἔπειθ' ὅτι πάντες ἄνθρωποι μείζω χάριν ἔχουσι τοῖς ἐπαινοῦσιν ἢ τοῖς συμβουλεύουσι, τοὺς μὲν γὰρ ὡς εὔνους ὄντας ἀποδέχονται, τοὺς δ' ἂν μὴ κελευ-
7 σθέντες παραινῶσιν, ἐνοχλεῖν νομίζουσιν, ἀλλ' ὅμως ἅπαντα ταῦτα προειδὼς τῶν μὲν πρὸς χάριν ἂν ῥηθέντων ἀπεσχόμην, περὶ δὲ τοιούτων μέλλω λέγειν, περὶ ὧν οὐδεὶς ἂν ἄλλος τολμήσειεν, ἡγούμενος δεῖν τοὺς περὶ ἐπιεικείας καὶ φρονήσεως ἀμφισβητοῦντας μὴ τοὺς ῥᾴστους προαιρεῖσθαι τῶν λόγων ἀλλὰ τοὺς ἐργωδεστάτους, μηδὲ τοὺς ἡδίστους τοῖς ἀκούουσιν, ἀλλ' ἐξ ὧν ὠφελήσουσι καὶ τὰς πόλεις τὰς αὑτῶν καὶ τοὺς ἄλλους Ἕλληνας· ἐφ' οἷσπερ ἐγὼ τυγχάνω νῦν ἐφεστηκώς.

8 (δ'.) Θαυμάζω δὲ καὶ τῶν ἄλλων τῶν πράττειν ἢ λέγειν δυναμένων, εἰ μηδὲ πώποτ' αὐτοῖς ἐπῆλθεν ἐνθυμηθῆναι περὶ τῶν κοινῶν πραγμάτων, μηδ' ἐλεῆσαι τὰς τῆς Ἑλλάδος δυσπραξίας οὕτως αἰσχρῶς καὶ δεινῶς διατιθεμένης, ἧς οὐδεὶς παραλέλειπται τόπος, ὃς οὐ γέμει καὶ μεστός ἐστι πολέμου καὶ στάσεων καὶ σφαγῶν καὶ κακῶν ἀναριθμήτων· ὧν πλεῖστον μέρος μετειλήφασιν οἱ τῆς Ἀσίας τὴν παραλίαν οἰκοῦν- 436
τες, οὓς ἐν ταῖς συνθήκαις ἅπαντας ἐκδεδώκαμεν οὐ μόνον τοῖς βαρβάροις ἀλλὰ καὶ τῶν Ἑλλήνων τοῖς τῆς μὲν φωνῆς τῆς ἡμετέρας κοινωνοῦσι, τῷ δὲ τρόπῳ
9 τῷ τῶν βαρβάρων χρωμένοις· οὕς, εἰ νοῦν εἴχομεν, οὐκ ἂν περιεωρῶμεν ἀθροιζομένους οὐδ' ὑπὸ τῶν

τυχόντων στρατηγουμένους, οὐδὲ μείζους καὶ κρείτ-
τους συντάξεις στρατοπέδων γιγνομένας ἐκ τῶν πλα-
νωμένων ἢ τῶν πολιτευομένων· οἳ τῆς μὲν βασιλέως
χώρας μικρὸν μέρος λυμαίνονται, τὰς δὲ πόλεις τὰς
Ἑλληνίδας, εἰς ἣν ἂν εἰσέλθωσιν, ἀναστάτους ποι-
οῦσι, τοὺς μὲν ἀποκτείνοντες, τοὺς δὲ φυγαδεύοντες,
10 τῶν δὲ τὰς οὐσίας διαρπάζοντες, ἔτι δὲ παῖδας καὶ
γυναῖκας ὑβρίζοντες, καὶ τὰς μὲν εὐπρεπεστάτας κατ-
αισχύνοντες, τῶν δ' ἄλλων ἃ περὶ τοῖς σώμασιν
ἔχουσι περισπῶντες, ὥσθ' ἃς πρότερον οὐδὲ κεκο-
σμημένας ἦν ἰδεῖν τοῖς ἀλλοτρίοις, ταύτας ὑπὸ πολ-
λῶν ὁρᾶσθαι γυμνάς, ἐνίας δ' αὐτῶν ἐν ῥάκεσι πε-
ριφθειρομένας δι' ἔνδειαν τῶν ἀναγκαίων.
11 (ε'.) Ὑπὲρ ὧν πολὺν ἤδη χρόνον γιγνομένων
οὔτε πόλις οὐδεμία τῶν προεστάναι τῶν Ἑλλήνων
ἀξιουσῶν ἠγανάκτησεν, οὔτ' ἀνὴρ τῶν πρωτευόντων
οὐδεὶς βαρέως ἤνεγκε, πλὴν ὁ σὸς πατήρ· μόνος γὰρ
Ἀγησίλαος ὧν ἡμεῖς ἴσμεν ἐπιθυμῶν ἅπαντα τὸν
χρόνον διετέλεσε τοὺς μὲν Ἕλληνας ἐλευθερῶσαι,
πρὸς δὲ τοὺς βαρβάρους πόλεμον ἐξενεγκεῖν. οὐ μὴν
12 ἀλλὰ κἀκεῖνος ἑνὸς πράγματος διήμαρτεν. καὶ μὴ
θαυμάσῃς, εἰ πρὸς σὲ διαλεγόμενος μνησθήσομαι
τῶν οὐκ ὀρθῶς ὑπ' αὐτοῦ γνωσθέντων· εἴθισμαί τε
γὰρ μετὰ παρρησίας ἀεὶ ποιεῖσθαι τοὺς λόγους, καὶ
δεξαίμην ἂν δικαίως ἐπιτιμήσας ἀπεχθέσθαι μᾶλλον
13 ἢ παρὰ τὸ προσῆκον ἐπαινέσας χαρίσασθαι. τὸ μὲν
οὖν ἐμὸν οὕτως ἔχον ἐστὶν, ἐκεῖνος δ' ἐν πᾶσι τοῖς
ἄλλοις διενεγκὼν καὶ γενόμενος ἐγκρατέστατος καὶ
δικαιότατος καὶ πολιτικώτατος διττὰς ἔσχεν ἐπιθυ-
μίας, χωρὶς μὲν ἑκατέραν καλὴν εἶναι δοκοῦσαν, οὐ
συμφωνούσας δ' ἀλλήλαις οὐδ' ἅμα πράττεσθαι δυ-
ναμένας· ἠβούλετο γὰρ βασιλεῖ τε πολεμεῖν καὶ τῶν

φίλων τους φεύγοντας εἰς τὰς πόλεις καταγαγεῖν καὶ 437
14 κυρίους καταστῆσαι τῶν πραγμάτων. συνέβαινεν
οὖν ἐκ μὲν τῆς πραγματείας τῆς ὑπὲρ τῶν ἑταίρων
ἐν κακοῖς καὶ κινδύνοις εἶναι τοὺς Ἕλληνας, διὰ δὲ
τὴν ταραχὴν τὴν ἐνθάδε γιγνομένην μὴ σχολὴν ἄγειν
μηδὲ δύνασθαι πολεμεῖν τοῖς βαρβάροις. ὥστ' ἐκ
τῶν ἀγνοηθέντων κατ' ἐκεῖνον τὸν χρόνον ῥᾴδιον
καταμαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς βουλευομένους μὴ
πρότερον ἐκφέρειν πρὸς βασιλέα πόλεμον, πρὶν ἂν
διαλλάξῃ τις τοὺς Ἕλληνας καὶ παύσῃ τῆς μανίας καὶ
τῆς φιλονεικίας ἡμᾶς. περὶ ὧν ἐγὼ καὶ πρότερον εἴ-
ρηκα καὶ νῦν ποιήσομαι τοὺς λόγους.
15 (ϛ'.) Καίτοι τινὲς τῶν οὐδεμιᾶς μὲν παιδείας μετ-
εσχηκότων, δύνασθαι δὲ παιδεύειν τοὺς ἄλλους ὑπ-
ισχνουμένων, καὶ ψέγειν μὲν τἀμὰ τολμώντων, μι-
μεῖσθαι δὲ γλιχομένων, τάχ' ἂν μανίαν εἶναι φήσειαν
τὸ μέλειν ἐμοὶ τῶν τῆς Ἑλλάδος συμφορῶν, ὥσπερ
παρὰ τοὺς ἐμοὺς λόγους ἢ βέλτιον ἢ χεῖρον αὐτὴν
πράξουσαν. (ζ'.) Ὧν δικαίως ἂν ἅπαντες πολλὴν ἀναν-
δρίαν καὶ μικροψυχίαν καταγνοῖεν, ὅτι προσποιού-
μενοι φιλοσοφεῖν αὐτοὶ μὲν ἐπὶ μικροῖς φιλοτιμοῦν-
ται, τοῖς δὲ δυναμένοις περὶ τῶν μεγίστων συμβου-
16 λεύειν φθονοῦντες διατελοῦσιν. οὗτοι μὲν οὖν βοη-
θοῦντες ταῖς αὑτῶν ἀσθενείαις καὶ ῥᾳθυμίαις ἴσως
τοιαῦτ' ἐροῦσιν· ἐγὼ δ' οὕτως ἐπ' ἐμαυτῷ μέγα φρο-
νῶ, καίπερ ἔτη γεγονὼς ὀγδοήκοντα καὶ παντάπασιν
ἀπειρηκὼς, ὥστ' οἶμαι καὶ λέγειν ἐμοὶ προσήκειν μά-
λιστα περὶ τούτων καὶ καλῶς βεβουλεῦσθαι πρὸς σὲ
ποιούμενον τοὺς λόγους, καὶ τυχὸν ἀπ' αὐτῶν γενή-
17 σεσθαί τι τῶν δεόντων. ἡγοῦμαι δὲ καὶ τοὺς ἄλλους
Ἕλληνας, εἰ δεήσειεν αὐτοὺς ἐξ ἁπάντων ἐκλέξασθαι
τόν τε τῷ λόγῳ κάλλιστ' ἂν δυνηθέντα παρακαλέσαι

τοὺς Ἕλληνας ἐπὶ τὴν τῶν βαρβάρων στρατείαν καὶ τὸν τάχιστα μέλλοντα τὰς πράξεις ἐπιτελεῖν τὰς συμφέρειν δοξάσας, οὐκ ἂν ἄλλους ἀνθ' ἡμῶν προκριθῆναι. καίτοι πῶς οὐκ ἂν αἰσχρὸν ποιήσαιμεν, εἰ τούτων ἀμελήσαιμεν οὕτως ἐντίμων ὄντων, ὧν ἅπαν-
8 τες ἂν ἡμᾶς ἀξιώσειαν; τὸ μὲν οὖν ἐμὸν ἔλαττόν 438
ἐστιν· ἀποφήνασθαι γάρ, ἃ γιγνώσκει τις, οὐ πάνυ τῶν χαλεπῶν πέφυκεν· σοὶ δὲ προσήκει προσέχοντι τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ λεγομένοις βουλεύσασθαι, πότερον ὀλιγωρητέον ἐστὶ τῶν Ἑλληνικῶν πραγμάτων γεγονότι μέν, ὥσπερ ὀλίγῳ πρότερον ἐγὼ διῆλθον, ἡγεμόνι δὲ Λακεδαιμονίων ὄντι, βασιλεῖ δὲ προσαγορευομένῳ, μεγίστην δὲ τῶν Ἑλλήνων ἔχοντι δόξαν, ἢ τῶν μὲν ἐνεστώτων πραγμάτων ὑπεροπτέον, μείζοσι δ' ἐπιχειρητέον.

19 (η'.) Ἐγὼ μὲν γάρ φημι χρῆναί σε πάντων ἀφέμενον τῶν ἄλλων δυοῖν τούτοιν προσέχειν τὸν νοῦν, ὅπως τοὺς μὲν Ἕλληνας ἀπαλλάξεις τῶν πολέμων καὶ τῶν ἄλλων κακῶν τῶν νῦν αὐτοῖς παρόντων, τοὺς δὲ βαρβάρους παύσεις ὑβρίζοντας καὶ πλείω κεκτημένους ἀγαθὰ τοῦ προσήκοντος. ὡς δ' ἐστὶ ταῦτα δυνατὰ καὶ συμφέροντα καὶ σοὶ καὶ τῇ πόλει καὶ τοῖς ἄλλοις ἅπασιν, ἐμὸν ἔργον ἤδη διδάξαι περὶ αὐτῶν ἐστιν. . . . .

. . . .

10.

[ΔΙΟΝΥΣΙΩι.

Pag. Steph.

Πρόπομποι καὶ ῥαβδοῦχοι καὶ κήρυκες καὶ θρό- 427
νων ὑψηλοτάτων ἐπίτευξις φιλοσοφίας εἰσὶν ἀχλύς, καὶ διαιρετικώτατος πέφυκε τῶν ἀρετῶν χωρισμός. οὐκ ἤμειψας μετὰ τῆς τύχης τὴν φύσιν. ἔτι τὸν θύ-

λακον ἔχεις δερμάτινον· θνητὴν γὰρ ἔχεις ἐκ προοιμίου τὴν σύστασιν. τί δῆτα τὸ κενὸν τοῦτο καὶ κοῦφον δοξάριον ἐπὶ τοσοῦτο τὸν πήλινον ἀσκὸν διεφύσησε; μεγάλης ἀνοίας ἐνεφορήθης, ὦ δύστηνε, καὶ
2 τῆς φύσεως τὴν γνῶσιν ἀφῄρησαι· οὕτω τὰ μετέωρα τῆς τύχης κινήματα ἐκστῆναί σε τῆς πάλαι θεωρίας ἠνάγκασε καὶ τῆς σώφρονος ἐκείνης μανίας ἀπαναχωρεῖν παρεσκεύασε. ἦν σοι πάλαι μετάρσιον τὸ χαμαίζηλον, νῦν δὲ καὶ χθαμαλὸν καὶ περίγειον ὁ τῆς τύχης ὅρος ἀκρότατος. οὐκοῦν τῆς ψευδοῦς εὐδαιμονίας ἀφίστασο, καὶ τὴν δραπέτιν τύχην δραπέτευε· προφθάνων γαρ τὴν ἀγνώμονα, ἄφνω τὴν μεταβολὴν οὐ δυσφορήσεις προσπίπτουσαν.]

ΑΠΟΣΠΑΣΜΑΤΑ.

I.

ΛΟΓΟΙ ΕΠΕΙΣΦΕΡΟΜΕΝΟΙ.

(Anonym. Vit. Isocr.)

Εἰ δέ τινες ἐπεισάγουσιν ἄλλους τινὰς λόγους ὡς ὄντας αὐτοῦ, οὐ προσδεκτέον ἐκείνους παρὰ τοὺς φερομένους· εἰσὶ δὲ οἱ ἐπεισφερόμενοι οὗτοι·

Συμβουλευτικοὶ ἐννέα·

α΄. Περὶ παρασκευῆς ἱππομεδῶν. (?)
β΄. Περὶ αὐτονομίας.
γ΄. Σινωπικός.
δ΄. Νησιωτικός.
ε΄. ϛ΄. ζ΄. Σύμμικτοι τρεῖς·
(*ε΄. ὑπὲρ Τιμοθέου,*
ϛ΄. ἐπιτροπικός,
ζ΄. περὶ τῆς ὑδρίας).
η΄. Ἀμφικτυονικός.
θ΄. Περὶ τοῦ κατοικισμοῦ Μιλησίοις.

Ἐπιδεικτικαὶ ἑπτά·

α΄. Κλυταιμνήστρας ἐγκώμιον.
β΄. Πηνελόπης.
γ΄. Μενεκράτης.
δ΄. Ἐπιτάφιος τοῖς ἐν Θυραίᾳ.
ε΄. Νεοπτόλεμος.
ϛ΄. Παριακός.
ζ΄. Συνηγορία πρὸς τὴν ἐπιστολὴν του ἐπιστάτου περὶ τοῦ ὄρτυγος.

Σύμμικτοι πέντε·

α΄. Περὶ φιλοσοφίας.
β΄. Περὶ Πλάτωνος.
γ΄. Περὶ Ἔριδος.
δ΄. Προτρεπτικός.
ε΄. Καταδρομὴ σοφιστῶν.

(Photius Cod. CCLX.)

Ἀνεγνώσθησαν Ἰσοκράτους λόγοι διάφοροι. Φέρονται δὲ αὐτοῦ τὸν ἀριθμὸν ἑξήκοντα· ὧν ἐκρίθησαν γνήσιοι κατὰ μὲν Διονύσιον ἐπὶ τοῖς πέντε καὶ εἴκοσι, κατὰ δὲ Καικίλιον ὀκτὼ καὶ εἴκοσι. Γεγραφέναι δὲ αὐτὸν τέχνην ῥητορικὴν λέγουσιν, ἣν καὶ ἡμεῖς ἴσμεν τοῦ ἀνδρὸς ἐπιγραφομένην τῷ ὀνόματι. Οἱ δὲ συνασκήσει μᾶλλον ἢ τέχνῃ χρήσασθαι κατὰ τοὺς λόγους τὸν ἄνδρα φασί.

II.
ΤΕΧΝΗ.

1. *Ἰσοκράτης φησὶ μηδὲν ἄλλο ἐπιτηδεύειν τοὺς ῥήτορας ἢ ἐπιστήμην πειθοῦς.* (Sextus Empir. *πρὸς μαθημ.* II. §. 62. p. 301, F.) — esse rhetoricen persuadendi opificem, idest, *πειθοῦς δημιουργόν*. (Quint. inst. orat. II, 15, 4.)

2. *Ἐν γὰρ τοῖς καταστάσεσι τά τε οἰκεῖα συνιστῶμεν καὶ τὰ τῶν ἐναντίων διαβάλλομεν πρὸς τὸ οἰκεῖον συμφέρον ἐργαζόμενοι τὰς καταστάσεις, ὡς Ἰσοκράτης ἐδίδαξεν.* (Anon. et Maxim. Planud. V, 551, 10. W.)

3. *Ἰσοκράτης ἐν τῇ τέχνῃ φησίν· ὡς ἐν τῇ διηγήσει λεκτέον τό τε πρᾶγμα καὶ τὰ πρὸ τοῦ πράγματος καὶ τὰ μετὰ τὸ πρᾶγμα καὶ τὰς διανοίας, αἷς ἑκάτερος τῶν ἀγωνιζομένων χρώμενος τόδε τι πέπραχεν ἢ μέλλει πράττειν, καὶ τούτων τοῖς συμβαλλομένοις ἡμῖν χρηστέον.* (Syrianus Venetus IV. p. 302. not. Sopater Aldinus IV. p. 712, 23. Anonymus VII. p. 721, 17. et 917, 16. Walz.)

4. *Ἐκ τῆς Ἰσοκράτους τέχνης διδασκόμεθα, ποῖαι τῶν λέξεων λέγονται καθαραί· τοσοῦτον γὰρ πεφρόντικε τῆς καθαρότητος τῶν λέξεων ὁ ἀνὴρ, ὡς καὶ ἐν τῇ οἰκείᾳ τέχνῃ τοιάδε παραγγέλλειν περὶ λέξεως· δεῖ δὲ ἐν τῇ μὲν λέξει τὰ φωνήεντα μὴ συμπίπτειν· χωλὸν γὰρ τὸ τοιόνδε· μηδὲ τελευτᾶν καὶ ἄρχεσθαι ἀπὸ τῆς αὐτῆς συλλαβῆς, οἷον* εἰποῦσα σαφῆ, ἡλίκα καλά, ἔνθα Θαλῆς· *καὶ τοὺς συνδέσμους τοὺς αὐτοὺς μὴ σύνεγγυς τιθέναι καὶ τὸν ἑπόμενον τῷ ἡγουμένῳ εὐθὺς ἀνταποδιδόναι, ὀνόματι δὲ χρῆσθαι ἢ μεταφορᾷ μὴ σκληρᾷ ἢ τῷ καλλίστῳ ἢ τῷ ἥκιστα πεποιημένῳ ἢ τῷ γνωριμωτάτῳ· ὅλως δὲ ὁ λόγος μὴ λόγος ἔστω· ξηρὸν γάρ· μηδὲ ἔμμετρος· καταφανὲς γάρ· ἀλλὰ μεμίχθω παντὶ ῥυθμῷ, μάλιστα ἰαμβικῷ ἢ τροχαϊκῷ. Διηγητέον δὲ τὸ πρῶτον καὶ τὸ δεύτερον καὶ τὰ λοιπὰ ἑπομένως· καὶ μὴ πρὶν ἀποτελέσαι τὸ πρῶτον ἐπ' ἄλλο ἰέναι, εἶτα ἐπὶ τὸ πρῶτον ἐπανιέναι ἀπὸ τοῦ τέλους· καὶ αἱ ἐπὶ μέρος δὲ διάνοιαι τελειούσθωσαν ἐφ' ἑαυτὰς περιγραφόμεναι.* (Maxim. Planud. ad Hermog. V. p. 469, 8. et Ioannes Sicel. VI. p. 156, 19.)

5. *Οἱ Ἀττικισταὶ παντελῶς ἀποτρέπουσι τοῦ ὀνοματοποιεῖν καὶ μόνοις προστάττουσι κεχρῆσθαι ταῖς εἰρημέναις λέξεσι καὶ τοῖς τεταγμένοις ὀνόμασιν, ὥς φησιν Ἰσοκράτης.* (Maxim. Planud. V. p. 497, 26.)

III.
ΑΠΟΦΘΕΓΜΑΤΑ.

(α'.) 1. *Ἰσοκράτης ὁ ῥήτωρ ἔλεγεν ὑπὲρ τῆς Ἀθηναίων πόλεως, ὁμοίαν εἶναι ταῖς ἑταίραις. Καὶ γὰρ ἐκείναις τοὺς ἁλισκομένους ὑπὸ τῆς ὥρας αὐτῶν βούλεσθαι συνεῖναι αὐταῖς· ὅμως δὲ μηδένα εὐτελῶς οὕτως αυτοῦ πέρι φρονεῖν, ὡς ὑπομεῖναι ἂν συνοικῆσαί τινι αὐτῶν. Καὶ οὖν καὶ τὴν Ἀθηναίων πόλιν ἐνεπιδημῆσαι μὲν εἶναι ἡδίστην καὶ κατά γε τοῦτο πασῶν τῶν κατὰ τὴν Ἑλλάδα διαφέρειν· ἐνοικῆσαι δὲ ἀσφαλῆ μηκέτι εἶναι. Ἠινίττετο δὲ διὰ τούτων τοὺς ἐπιχωριάζοντας αὐτῇ συκοφάντας καὶ τὰς ἐκ τῶν δημαγωγούντων ἐπιβουλάς.* (Aelian. V. Hist. XII, 52.)

2. *Ἑστιώμενος δέ ποτε παρὰ Νικοκρέοντι* (l. *Νικοκλεῖ*) *τῷ Κύπρου*

τυράννῳ, προτρεπομένων αὐτὸν τῶν παρόντων διαλεχθῆναι, ἔφη· οἷς μὲν ἐγὼ δεινὸς, οὐχ ὁ νῦν καιρός· οἷς δ' ὁ νῦν καιρὸς, οὐκ ἐγὼ δεινός. (Pseudoplut. p. 838, F. Plutarch. qu. symp. p. 913, A. Macrob. qu. Saturn. VII. 1. Ioannes Sicel. VI. p. 449, 24. Maxim. Planud. V. p. 543. Alexander VIII. p. 480. W. Anonym. de schemat. v. 17.)

3. Ἰσοκράτης κάκιστον ἄρχοντα ἔλεγεν εἶναι τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον. (Stephan. Apophthegm. syllog. p. 697. Arsen. Violet. ed. Walz. p. 307. Maxim. Confess. Serm. p. Excerpt. p. 559.)

4. Ἰσοκράτης εἶπεν, ὅτι τὸν χρηστὸν καὶ ἀγαθὸν ἄνδρα δεῖ τῶν μὲν προγεγεννημένων μεμνῆσθαι, τὰ δὲ ἐνεστῶτα πράττειν, περὶ δὲ τῶν μελλόντων φυλάττεσθαι. (Stob. Flor. 1, 45.)

5. Εὖ σοι τὸ μέλλον ἕξει, ἂν τὸ παρὸν εὖ τιθῇς. Ἰσοκράτους. (Anton. Melissus p. 10. Gesn.)

6. Ἰσοκράτους. Ὕδωρ θολερὸν καὶ ἀπαίδευτον ψυχὴν οὐ δεῖ ταράττειν. (Georgides gnomol. p. 93.)

7. Οἱ ἄνθρωποι τότε γίνονται βελτίους, ὅταν θεῷ προσέρχωνται· ὅμοιον δὲ ἔχουσι θεῷ τὸ εὐεργετεῖν καὶ ἀληθεύειν. Ἰσοκράτους. (Anton. Meliss. p. 53. Maxim. Conf. p. 578.)

8. Ἐρωτηθεὶς, τίνι οἱ φιλόπονοι τῶν ῥαθύμων διαφέρουσιν, εἶπεν, „ὡς οἱ εὐσεβεῖς τῶν ἀσεβῶν, ἐλπίσιν ἀγαθαῖς." (Steph. Apophthegm. p. 697. Arsen. Viol. p. 307. Maxim. Conf. p. 621.)

9. Πεφύκασιν αἱ πονηραὶ φύσεις καὶ φιλόνεικοι μὴ πρότερον λήγειν τῆς διαμάχης καὶ ἔριδος, πρὶν ἢ καιρίαν δέξασθαι τὴν πληγὴν καὶ ἀνεπιλήστου τιμωρίας πεῖραν λαβεῖν. Ἰσοκράτους. (Anton. Meliss. p. 133.)

10. Ἐὰν καλὸν ἔχῃς σῶμα καὶ ψυχὴν κακὴν, καλὴν ἔχεις ναῦν καὶ κακὸν κυβερνήτην. Ἰσοκράτους. (Anton. Meliss. p. 65.)

11. Τὸν λογισμὸν ὥσπερ ἰατρὸν ἀγαθὸν ἐπικαλεῖσθαι δεῖ ἐν ἀτυχίᾳ βοηθόν. Ἰσοκράτους. (Anton. Meliss. p. 71. Maxim. Conf. p. 590.)

(β'.) 1. Πρὸς τὸν εἰπόντα πατέρα, ὡς οὐδὲν ἀλλ' ἢ ἀνδράποδον συνέπεμψε τῷ παιδίῳ, τοιγαροῦν, ἔφη, ἄπιθι, δύο γὰρ ἀνθ' ἑνὸς ἕξεις ἀνδράποδα. (Pseudoplut. Vitt. X Oratt. 838, B. Phot. Bibl. Cod. CCLX.)

2. Σοφοκλέα δὲ τὸν τραγικὸν θεασάμενος ἑπόμενον ἐρωτικῶς παιδὶ, εἶπεν, οὐ μόνον δεῖ, Σοφόκλεις, τὰς χεῖρας ἔχειν παρ' αὐτῷ, ἀλλὰ καὶ τοὺς ὀφθαλμούς. (Pseudoplut. Vitt. X Oratt. 839. Stob. Serm. VI, 78.)

3. Ἰδὼν νεανίαν φιλοπονοῦντα, ἔφη, κάλλιστον ὄψον τῷ γήρατι ἀρτύεις. (Steph. Apophth. 697. Arsen. Viol. p. 307. Maxim. Conf. p. 621.)

4. Ὁ Ἰσοκράτης ἔφησε τῆς παιδείας τὴν μὲν ῥίζαν εἶναι πικρὰν, τὸν δὲ καρπὸν γλυκύν. (Hermog. I. 22, 1. W. Aphthon. I. p. 63, 14. Liban. Prog. Chr. III.)

5. Καὶ εἰ τοῖς χείροσι καὶ ἥττοσι καὶ ἀφρονεστέροις δυνατον, καὶ τοῖς ἐναντίοις μᾶλλον· ὥσπερ καὶ Ἰσοκράτης ἔφη δεινὸν εἶναι, εἰ ὁ μὲν Εὔθυνος ἔμαθεν, αὐτὸς δὲ μὴ δυνήσεται εὑρεῖν. (Aristot. rhetor. II, 19.)

6. Περὶ δὲ Θεοπόμπου καὶ Ἐφόρου φέρεταί τι τοιοῦτο αὐτοῦ καὶ ἀστεῖον· εἶχε γὰρ καὶ τοῦτο. ὡς ἑώρα τὸν Θεόπομπον μικρὰν ὑπόθεσίν τινα λαμβάνοντα καὶ ἐπεκτείνοντα ταύτην καὶ διὰ πολλῶν λέγοντα, ὥσπερ ἐν τῇ Φιλιππικῇ αὐτοῦ ἱστορίᾳ ἐποίησε, τὸν δὲ Ἔφορον μεγάλην μὲν ὑπόθεσιν λαμβάνοντα καὶ πολλῶν δεομένην, εἶτα δι' ὀλίγων αυτὴν

λέγοντα καὶ ἐλλειπῶς, ἔφησεν, ὡς ὅτι ἔχω τινὰς δύο μαθητάς, ὧν ὁ μὲν δεῖται μάστιγος, ὁ δὲ χαλινοῦ· μάστιγος μὲν λέγων περὶ τοῦ Ἐφόρου διὰ τὸ νωθὲς καὶ βραδὺ τῆς φύσεως· χαλινοῦ δὲ διὰ τὸ Θεοπόμπου πολύ τε καὶ ἀκρατὲς τῆς γλώττης. (Anonym. Vit. Isocr. et Suidas s. v. Ἔφορος. cf. Cic. d. or. II, 13. Phot. Bibl. Cod. CLXXVI. CCLX. et Pseudoplut. Vitt. X Oratt. 839.)

7. Τοῦ δὲ Κυμαίου Ἐφόρου ἀπράκτου τῆς σχολῆς ἐξελθόντος καὶ πάλιν ὑπὸ τοῦ πατρὸς Δημοφίλου πεμφθέντος ἐπὶ δευτέρῳ μισθῷ, παίζων Δίφορον αὐτὸν ἐκάλει. (Pseudoplut. 839. Anonym. Vit. Isocr.)

8. Ἰσοκράτης ὁ σοφιστὴς τοὺς εὐφυεῖς τῶν μαθητῶν θεῶν παῖδας ἔλεγεν εἶναι. (Theo I. p. 203. cf. 220. 215.)

9. Ἰσοκράτης ὁ ῥήτωρ παρῄνει τοῖς γνωρίμοις προτιμᾶν τῶν γονέων τοὺς διδασκάλους, ὅτι οἱ μὲν τοῦ ζῆν μόνον, οἱ δὲ διδάσκαλοι καὶ τοῦ καλῶς ζῆν αἴτιοι γεγόνασιν. (Theo I. p. 207, 2. cf. 213, 4.)

(γ΄.) 1. Καρέωνος ὄντος λάλου καὶ σχολάζειν παρ' αὐτῷ βουλομένου διττοὺς ᾔτησε μισθούς. Τοῦ δὲ τὴν αἰτίαν πυθομένου, ἕνα μέν, ἔφη, ἵνα λαλεῖν μάθῃς· τὸν δὲ ἕτερον, ἵνα σιγᾶν. (Steph. Apophthegm. p. 697. Arsen. Viol. p. 307. Maxim. Conf. 647.)

2. Ἰσοκράτης τοῖς μαθηταῖς παρεκελεύετο μὴ πράγματα λέγειν ἀλλὰ πράγματα παρέχειν τοῖς ἀκροωμένοις. (Ioannes Damascen. app. flor. Stob. XVI, 104.)

3. Εἰώθει δὲ πρὸς τοὺς γνωρίμους αὐτοῦ λέγειν, ὡς αὐτὸς μὲν δέκα μνῶν διδάσκοι, τῷ δὲ αὐτὸν διδάξαντι τόλμαν καὶ εὐφωνίαν δώσειν δεκακισχιλίας. (Pseudoplut. Vitt. X Oratt. 838, E.)

4. Ἡνίκα καὶ τὸν μισθὸν ἰδὼν τῆς διδασκαλίας ἀριθμούμενον φάναι δακρύσαντα, ὡς „νῦν ἐμαυτὸν ἔγνων τούτοις πεπραμένον." (Phot. Bibl. Cod. CCLX.)

5. Καὶ Δημοσθένην δὲ ἔτι ῥητορεύοντί φασι μετὰ σπουδῆς προσελθεῖν αὐτῷ καὶ χιλίας μὲν ἃς εἰσεπράττετο οὐκ ἔχειν φάναι παρασχεῖν, διακοσίας δὲ μόνας δώσειν ἐφ' ᾧ τε τὸ πέμπτον μέρος ἐκμάθῃ, τὸν δὲ ἀποκρίνασθαι ὡς „οὐ τεμαχίζομεν, ὦ Δημόσθενες, τὴν πραγματείαν, ὥσπερ δὲ τοὺς καλοὺς ἰχθῦς ὅλους πωλοῦμεν, οὕτω κἀγώ σοι, εἰ βούλοιο μαθητεύειν, ὁλόκληρον ἀποδώσομαι τὴν τέχνην." (Pseudoplutarch. Vitt. X Oratt. 837, D.)

6. Εἶχε δ' ἀλλοτρίως πρὸς ἐπίδειξιν, ὡς ἀφικομένων ποτὲ πρὸς αὐτὸν τριῶν ἐπὶ τὴν ἀκρόασιν τοὺς μὲν δύο κατασχεῖν, τὸν δὲ τρίτον ἀπολῦσαι, φάμενος εἰς τὴν ἐπιοῦσαν ἥξειν, νῦν γὰρ αὐτῷ τὸ θέατρον εἶναι ἐν ἀκροατηρίῳ. (Pseudoplut. Vitt. X Oratt. 838, D.)

7. Καὶ πρὸς τὸν ἐρόμενον, διότι οὐκ ἂν αὐτὸς ἱκανὸς ἄλλους ποιεῖ, εἶπεν, ὅτι καὶ αἱ ἀκόναι αὐταὶ μὲν τεμεῖν οὐ δύνανται, τὸν δὲ σίδηρον τμητικὸν ποιοῦσιν. (Pseudoplut. Vitt. X Oratt. 838, E. Photius Bibl. Cod. CCLX. Stephan. Apophthegm. p. 697. Arsen. Viol. p. 307.)

8. Κατὰ ἀμφιβολίαν δέ, οἷον Ἰσοκράτης ὁ ῥήτωρ συνισταμένου αὐτῷ παιδίον καὶ ἐρωτῶντος, τίνος αὐτῷ δεῖ, εἶπε· πινακιδίου καὶ νοῦ, καὶ γραφειδίου καὶ νοῦ· ἀμφιβαλλόμενον γάρ, πότερον νοῦ καὶ πινακιδίου λέγει ἢ πινακίδος καινῆς καὶ καινοῦ γραφειδίου. (Theo I. p. 209, 1. W.)

9. *Πάλιν δὲ ἐρομένου τινὸς αὐτὸν, τί ῥητορική, εἶπεν, τὰ μὲν μικρὰ μεγάλα, τὰ δὲ μεγάλα μικρὰ ποιεῖν.* (Pseudoplut. 838, F. coll. Max. Planud. V. p. 455, 10. W. Hermog. III. p. 363, 15. Ioannes Sicel. VI. p. 132, 17. 133, 13. 459, 12. Longin. *π. ὕψους* 39, 2. Auctor epist. Socrat. p. 37. Orell. Harpocr. p. 36, 3. 105, 3. Suidas s. v. *ἀρχαίως* et *καινῶς*. Bekk. Anecd. p. 449.)

(δ'.) 1. *Ἰσοκράτης εἰπόντος αὐτῷ τινος, ὅτι ὁ δῆμος ὑπὸ τῶν ῥητόρων ἁρπάζεται, τί θαυμαστὸν, εἰ Κόρακος ἐφευρόντος τὴν ῥητορικὴν οἱ ἀπ' ἐκείνου κόρακές εἰσιν.* Arsen. Violet. ed. Walz. p. 506.

2. *Οὗτος ἀκούσας παρά τινος, ὅτι ὁ δεῖνα ἐπ' ἐμοῦ τάδε κατὰ σοῦ ἐλοιδόρει· Εἰ μὴ σὺ, εἶπεν, ἡδέως ἤκουσας, οὐκ ἂν ἐκεῖνος ἐλοιδόρει.* Maxim. Confess. Serm. per Excerpt. p. 563. ed. Combef.

3. *Καὶ κυβερνήτης ἀγαθὸς ἐνιότε ναυαγεῖ καὶ ἀνὴρ σπουδαῖος ἀτυχεῖ.* Ibid. p. 589.

4. *Εὐτυχίας ὥσπερ μέθης ἄφρων ἐπὶ πλεῖον ἀπολαύσας ἀνοητότερος γίνεται.* Ibid. p. 590.

5. *Τῶν εὐτυχόντων ἀνταγωνιστὴς ὁ φθόνος.* Ibid.

6. *Ὁ μεμνημένος τί ἐστιν ἄνθρωπος, ἐπ' οὐδενὶ τῶν συμβάντων δυσχαιρανεῖ.* Ibid.

7. *Εἰς μὲν τὸ εὐπλοῆσαι κυβερνήτου καὶ πνεύματος, εἰς δὲ τὸ εὐδαιμονῆσαι λογισμοῦ δεῖ καὶ τέχνης.* Ibid. p. 591.

8. *Τῆς εὐτυχίας ὥσπερ ὀπώρας παρούσης ἀπολαύειν δεῖ.* Ibid.

9. *Ἀλόγιστός ἐστιν ὁ ἐν τοῖς συμβαίνουσι κατὰ φυσικὴν ἀνάγκην ἀχθόμενος.* Ibid.

10. *Φαύλου ἀνδρὸς καθάπερ κυνὸς σιγηροῦ δεῖ τὴν σιγὴν ἢ τὴν φωνὴν εὐλαβεῖσθαι.* Ibid. p. 597.

11. *Γύμναζε τοῖς μὲν πόνοις τὸ σῶμα, τὴν δὲ ψυχὴν γενναίως ὑπομένειν τοὺς κινδύνους.* Ibid. p. 621.

12. *Ὧν τὰς δόξας ζηλοῖς, τούτων καὶ τὰ ἀγαθὰ πράξῃς.* Ibid. p. 645.

13. *Νόμῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἴκειν κόσμιον.* Ibid. p. 650.

14. *Ἃ ἂν σοι λογιζομένῳ βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει.* Ibid. p. 669.

15. *Δεῖ ὥσπερ ἐξ εὐνομουμένης πόλεως φυγαδεύειν στασιαστὴν ἄνθρωπον, οὕτως ἐκ τῆς ψυχῆς τὸν πρὸς τὰ φαῦλα κεκλικότα λογισμόν.* Ibid.

16. *Τῷ γὰρ πάθει τοῦ σώματος καὶ τὸ νοερὸν τῆς ψυχῆς συνομολογεῖν ἀνέχεται.* Ibid.

17. *Προαιρετέον μέτριον μετα δικαιοσύνης μᾶλλον ἢ μέγαν πλοῦτον μετ' ἀδικίας.* Ibid. p. 689.

18. *Ἡ ἀληθινὴ φιλία τρία ζητεῖ μάλιστα· τὴν ἀρετὴν, ὡς καλόν· καὶ τὴν συνήθειαν, ὡς ἡδύ· καὶ τὴν χρείαν, ὡς ἀναγκαῖον. δεῖ γὰρ ἀποδέξασθαι κρίναντα καὶ χαίρειν συνόντα καὶ χρῆσθαι δεόμενον.* (Ibid. p. 548.)

INDEX NOMINUM.

A.

B.

C.

Enneacrunus (Λυσίας (immo Isocrates) ἐν τῷ περὶ τῆς ἀντιδόσεως. κρήνη τις ἐν Ἀθήναις. πρότερον δ' ἐκαλεῖτο Καλλιρόη. Harp.). Vinum ad eam refrigerant. XV, 287.

Eos (Aurora), mater Memnonis. X, 52.

Epaphus, pater Libyae. XI, 10.

[Ἤπειρον συνηθές ἐστι τῷ Ἰσοκράτει τὴν ὑπὸ τῷ βασιλεῖ τῶν Περσῶν γῆν οὕτω καλεῖν, ὥσπερ ἔν τε Φιλίππῳ (112.) καὶ Ἀρχιδάμῳ (73.). Harp.]

Ephialtes diminuit Areopagi auctoritatem. Ὑπόθ. 7.

[Ἔφοροι: ἄρχοντες ἦσαν ἄνδρες ἐννέα ἐν Λακεδαίμονι, κληθέντες ἀπὸ τοῦ πάντας ἐφορᾶν· ἦσαν δὲ ἡ μεγίστη ἀρχή. Bekk. Anecd. 257. — XII, 181.]

Ephorus, Isocratis discipulus. Ἀποσπ. III. β'. 6. 7.

[Ἐπιγραφεῖς: ἀρχή τίς ἐστιν ἡ τῶν ἐπιγραφέων, ἥτις ἐν ταῖς δίκαις ἐπέγραφε τὰ ἐπιτίμια τοῖς ἁλισκομένοις. ἢ ἐπιγραφεῖς οἱ ὁρίζοντες καὶ ἐπιγράφοντες τὰς εἰσφορὰς ἑκάστῳ. Bekk. Anecd. 254. — XVII, 41.]

Epidaurii, nullius momenti populus. VI, 91.

[Ἐπιστάτης: ἄρχων ἐπὶ τῆς βουλῆς κληρωτὸς, ὁ ἐφεστὼς τοῖς ὑπὸ πάντων βουλευτῶν πραττομένοις. εἰσὶ δὲ δύο, εἷς μὲν ἐκ τῶν πρυτανέων κληρούμενος, ἕτερος δὲ ἐκ τῶν δέκα προέδρων, ὧν ἑκάτερος διοίκησίν τινα διῴκει. Bekk. Anecd. 244. — IV, 121. Oratio Συνηγορία πρὸς τὴν ἐπιστολὴν τοῦ ἐπιστάτου iniuria Isocrati tributa. V. Ἀποσπάσμ. 1.]

[Ἐπίσταθμοι: οἱ ἄρχοντες καὶ σατράπαι, οἱ κατέχοντες βασιλεῖ τὰς ὑπηκόους πόλεις, παρὰ τὸ ἐπὶ τοῖς σταθμοῖς εἶναι· σταθμοὶ δὲ αἱ καταγωγαί. οἱ δὲ Λακεδαιμόνιοι τοὺς τοιούτους ἁρμοστὰς ἐκάλουν. Bekk. Anecd. 253. Ἰσοκράτης Πανηγυρικῷ (162.) „Ἑκάτομνος ὁ Καρίας ἐπίσταθμος," ὃς οὐδὲν ἕτερον ἦν ἢ κατὰ σατραπείαν Καρίας κύριος. Harp.] IV, 120.

[Ἐπώνυμοι: Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (18.). Διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν ι' τὸν ἀριθμὸν, ἀφ' ὧν αἱ φυλαὶ, ἕτεροι δὲ β' καὶ μ', ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ' ἕκαστον ἔτος, ἀπὸ ιη' ἐτῶν μέχρις ξ'. (Harp.) XVIII, 61.]

Erechtheus contendit cum Eumolpo de urbe Athenarum. XII, 193.

Erichthonius, Vulcani et Terrae f., a Cecrope regnum Athenarum accepit, a quo omnes Atheniensium ad Theseum reges originem ducunt. XII, 126.

Erythea insula, unde Hercules boves abduxit. VI, 19. X, 24.

Ἔρις. Περὶ Ἔριδος oratio iniuria Isocrati tributa. V. Ἀποσπάσμ. 1.

Euagoras (ὄνομα κύριον, εἰς ὃν τὸ ἐγκώμιον Ἰσοκράτους. Harp.). Aeacidae (Teucridae) eius maiores. IX, 12. Patre exulante nascitur Salamine. IX, 20. 21. Eius a pueritia virtus. 22—26. E Solis in Cilicia, quo confugerat, in patriam redit. 27. Salaminis regnum in Cypro suis recuperat et Phoenicibus eripit. III, 28. Merita eius de civitate sua. IX, 41—50. Graecorum multi et inter eos Conon ad eum confugiunt et ab Atheniensibus ob merita ius civitatis accipit et statua ei ponitur. IX, 51—57. Socio filio Pnytagora tota paene Cypro est potitus et postquam rex Persarum ei bellum intulerat, Phoenicen vastavit, Tyrum expugnavit, Ciliciam ad defectionem compulit regemque pacem facere coegit. IX, 57—69. Nam unius urbis in Cypro rex et in foedere Antalcidae cum aliis insulis Persarum regi traditus (a. Chr. n. 387.) ab eo subigi non potuit IV, 141. sed beatam egit vitam IX, 71. et plures reliquit liberos (mortuus a. Chr. n. 374.) 72., inter eos Nicoclem. III, 42. Laudatio eius funebris Orat. IX. Evagoras inscripta et ab Isocrate sene est composita, v. s. Isocrat. et Ὑπόθ. 9., fort. a. Chr. n. 352.

Euander de Isocrate. Ὑπόθ. 2.

Euboea insula, multis commodis abundans, cuius situs ad maris imperium est aptissimus. IV, 108. Thebani eam vastant. V 53.

I.

μὲν τινές φασι, τὰ πρῶτα ἐπὶ Χίου, μαθητὰς ἔχων ἐννέα. Photius.) Primi ad eum accesserunt Eunomus et Lysithides et Callippus, post hos Onetor, Anticles, Philonides, Philomelus, Charmantides, quos omnes civitas aureis coronis donavit. XV, 93—94. Fuit etiam amicus et magister Timothei. XV, 102. Ep. VIII, 8. (Ἠκροάσαντο δὲ αὐτοῦ ἄλλοι τε πολλοί, ὡς καὶ εἰς ἑκατὸν συντελέσαι, καὶ δὴ καὶ Τιμόθεος ὁ Κόνωνος· μεθ᾽ οὗ καὶ πολλὰς ἐπιὼν πόλεις τὰς πρὸς Ἀθηναίους ἐπιστολὰς συνετίθει, αἳ τὸν Τιμόθεον ἐπεγράφοντο (a. Ch. n. 375.). Ὅθεν ἐκεῖνος ταλάντῳ αὐτὸν ἐδωρήσατο. Γεγόνασι δὲ αὐτοῦ ἀκροαταὶ καὶ Ξενοφῶν ὁ Γρύλλου καὶ Θεόπομπος ὁ Χῖος καὶ Ἔφορος ὁ Κυμαῖος· οὓς καὶ ταῖς ἱστορικαῖς συγγραφαῖς προὐτρέψατο χρήσασθαι, πρὸς τὴν ἑκάστου φύσιν ἀναλόγως καὶ τὰς ὑποθέσεις τῆς ἱστορίας αὐτοῖς διανειμάμενος. Ἐπὶ τούτοις καὶ Ἀσκληπιάδης, ὃς τὰ τραγῳδούμενα συνεγράψατο· Θεοδέκτης δὲ ὁ Φασηλίτης, καὶ αὐτὸς ὕστερον τραγῳδίας συνταξάμενος. Ἀλλὰ καὶ Λαοδάμας ὁ Ἀθηναῖος καὶ Λάκριτος ὁ νομοθετήσας Ἀθηναίοις· [Ἔσχε δὲ μαθητὰς πολλοὺς μέν, τοὺς δὲ εὐδοκιμηκότας καὶ ἐπιφανεῖς τούτους, Θεόπομπον, Ἔφορον, ὧν καὶ ἱστορίαι φέρονται, Ὑπερίδην, Ἰσαῖον, Λυκοῦργον, οἵτινες εἰσὶ τῶν δέκα ῥητόρων τῶν κριθέντων τε καὶ ἀναγινωσκομένων, εἶτα Φίλισκον, Ἰσοκράτην ὁμώνυμον αὐτοῦ, Θεοδέκτην, Ἀνδροτίωνα, τὸν τὴν Ἀτθίδα γράψαντα, καθ᾽ οὗ καὶ ὁ Δημοσθένης ἔγραψε, καὶ Πύθωνα τὸν Βυζάντιον, τὸν ῥήτορα Φιλίππου. Ἀν.] Phot. et Anon.) Divitias inde nactus invidiam excitavit. XV, 4. 146 154. Nam non solum privatos homines discipulos habuit, sed rhetores, duces, reges et tyrannos, omnino plures, quam omnes reliqui rhetores. XV, 30. 42. Indicat ipse se plura bona sibi comparasse quam Gorgiam ib. 158., quae tamen ab externis potissimum accepit et a Nicocle. XV, 39. 40. Ὑπόθ. 2. (Ἐλάμβανε δὲ χρήματα πάμπολλα ὑπὲρ τῆς διδασκαλίας, παρὰ μὲν τῶν πολιτῶν οὐδὲν, ὥσπερ γέρας τοῦτο κατατιθέμενος καὶ τροφεῖα καταβάλλων τῇ πατρίδι, παρὰ δὲ τῶν ξένων χιλίας δραχμάς. Anon.) Erat ea de caussa inter mille et ducentos illos, qui tributum militare conferebant una cum filio, et ter trierarchia est functus, ceteris etiam ministeriis sumtuosius gestis et pulcrius, quam leges iubebant. XV, 145. (Εὐπόρησε δ᾽ ἱκανῶς, οὐ μόνον ἀργύριον εἰσπράττων τοὺς γνωρίμους, ἀλλὰ καὶ παρὰ Νικοκλέους τοῦ Κυπρίων βασιλέως, ὃς ἦν υἱὸς Εὐαγόρου, εἴκοσι τάλαντα λαβὼν ὑπὲρ τοῦ πρὸς αὐτὸν γραφέντος λόγου· ἐφ᾽ οἷς φθονηθεὶς τρὶς προεβλήθη τριηραρχεῖν. καὶ δὶς μὲν ἀσθένειαν σκηψάμενος διὰ τοῦ παιδὸς παρῃτήσατο· τὸ δὲ τρίτον ὑποστὰς ἀνήλωσεν οὐκ ὀλίγα. Pseudopl.) Quum vitae finis prope ei instabat, facultatum permutatio ob triremium instruendarum munus ei est facta et per Lysimachum ea de re iudicium conflatum. XV, 4. 14. Antea enim nunquam erat in iudicium vocatus, neque in praetoriis, neque apud arbitrum apparuit XV, 27., quia neminem laesit. XV, 33. (Δύο δ᾽ ἐν ἅπαντι τῷ βίῳ συνέστησαν αὐτῷ ἀγῶνες· πρότερος μὲν εἰς ἀντίδοσιν προκαλεσαμένου αὐτὸν Μεγακλείδου, πρὸς ὃν οὐκ ἀπήντησε διὰ νόσον· τὸν δὲ υἱὸν πέμψας Ἀφαρέα (a. Ch. n. 355.) ἐνίκησε. Δεύτερος δὲ Λυσιμάχου αὐτὸν προκαλεσαμένου περὶ τριηραρχίας εἰς ἀντίδοσιν· ἡττηθεὶς δὲ τὴν τριηραρχίαν ὑπέστη. Pseudopl.) Nam sophistae et alii oratores ei invidebant, quia sapientiorem se obtrectatoribus profitebatur et plures discipulos habebat, etiam civitati Atheniensium non adulari sed illam obiurgare solebat. XII, 5. Epp. II, 22. IX, 15. Erat autem ad capessendam rempublicam omnium civium minime a natura instructus, voce et audacia carens, et ingenio praeditus, quod

ad bene sentiendum et cogitandum valebat, sed ad res gerendas infirmius neque ad eloquentiam satis aptum et ad dicendum in magna hominum frequentia prorsus ineptum erat. V, 81. 82. XII, 9. 10. Epp. I, 9. VIII, 7. His igitur omnibus destitutus ad sapientiae studium deque Graeciae statu regumque et rerumpublicarum negotiis scribendum confugit. XII, 11. Orationes conscripsit Atheniensium civitati totique Graeciae utilia suadentes, ornate copioseque compositas. XII, 2. Non destitit Graecos ad concordiam et expeditionem in Asiam excitare. XII, 13. et plures de libertate Graecorum conscripsit orationes, quam omnes Graeci oratores. Ep. VIII, 7. Adolescentes ad virtutem et patriae defensionem est adhortatus Atheniensium maiores laudibus extollens, ut nemo alius, quum in aliis orationibus, XV, 67., tum in Panegyrico. XV, 60. 61. (*Τίς γὰρ οὐκ ἂν γένοιτο φιλόπολίς τε καὶ φιλόδημος; ἢ τίς οὐκ ἂν ἐπιτηδεύσειε τὴν πολιτικὴν καλοκαγαθίαν, ἀναγνοὺς αὐτοῦ τὸν Πανηγυρικόν; ἐν ᾧ διεξιὼν τὰς τῶν ἀρχαίων ἀρετάς, φησίν, ὡς οἱ τὴν Ἑλλάδα ἐλευθερώσαντες ἀπὸ τῶν βαρβάρων οὐ τὰ πολέμια δεινοὶ μόνον ἦσαν ἀλλὰ καὶ τὰ ἤθη γενναῖοι καὶ φιλότιμοι καὶ σώφρονες· οἵ γε τῶν μὲν κοινῶν μᾶλλον ἐφρόντιζον ἢ τῶν ἰδίων, τῶν δ' ἀλλοτρίων ἧττον ἐπεθύμουν ἢ τῶν ἀδυνάτων· καὶ τὴν εὐδαιμονίαν οὐ πρὸς ἀργύριον ἔκρινον ἀλλὰ πρὸς εὐδοξίαν· μέγαν οἰόμενοι τοῖς παισὶ καταλείψειν πλοῦτον καὶ ἀνεπίφθονον, τὴν παρὰ τοῖς πλήθεσι τιμήν. Κρείττονα δ' ἡγοῦντο τὸν εὐσχήμονα θάνατον ἢ τὸν ἀκλεῆ βίον· ἐσκόπουν δ' οὐχ ὅπως οἱ νόμοι καλῶς καὶ ἀκριβῶς αὐτοῖς ἕξουσιν, ἀλλ' ὡς ἡ τῶν καθ' ἡμέραν ἐπιτηδευμάτων μετριότης μηδὲν ἐκβήσεται τῶν πατρίων· οὕτω δ' εἶχεν αὐτοῖς τὰ πρὸς ἀλλήλους φιλοτίμως καὶ πολιτικῶς, ὥστε καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς ἀλλήλους, πότεροι πλείω τὴν πόλιν ἀγαθὰ ποιήσουσιν, οὐχ οἵτινες ἑτέρους ἀπολέσαντες τῶν λοιπῶν αὐτοὶ ἄρξουσι· τῇ δ' αὐτῇ προθυμίᾳ χρώμενοι καὶ πρὸς τὴν Ἑλλάδα τῷ θεραπεύειν προσήγοντο τὰς πόλεις, καὶ τῷ πείθειν ταῖς εὐεργεσίαις μᾶλλον ἢ τῷ βιάζεσθαι τοῖς ὅπλοις κατεῖχον, πιστοτέροις χρώμενοι τοῖς λόγοις ἢ νῦν τοῖς ὅρκοις, καὶ ταῖς συνθήκαις ἀξιοῦντες μᾶλλον ἐμμένειν ἢ ταῖς ἀνάγκαις τοιαῦτα δὲ περὶ τῶν ἡττόνων ἀξιοῦντες γινώσκειν, οἷα περὶ σφῶν αὐτῶν τοὺς κρείττους ἂν ἠξίωσαν φρονεῖν· οὕτω δὲ παρεσκευασμένοι τὰς γνώμας, ὡς ἰδίᾳ μὲν ἔχοντες τὰς ἑαυτῶν πόλεις, κοινὴν δὲ πατρίδα τὴν Ἑλλάδα οἰκοῦντες.* Dion.) Quam orationem hac ipsa de caussa et invidi et obtrectatores imitabantur. V, 11. (*Συνέθηκε μέντοι τὸν Πανηγυρικὸν, οἱ μὲν ἔτεσι φασὶ δέκα, οἱ δὲ ἐπὶ τούτοις ἕτερα πέντε· καίτοι γε Γοργίου τοῦ Λεοντίνου καὶ Λυσίου τῶν ἐνθυμημάτων καὶ ἐπιχειρημάτων μικροῦ μεταβολὴ καθέστηκε καὶ μετάθεσις ὁ Πανηγυρικὸς Ἰσοκράτους λόγος. Διατρίψαι δ' ἄν τις οἰηθείη μακρὸν οὕτω χρόνον τοῦ Πανηγυρικοῦ προσεδρεύοντα τὸν ῥήτορα τῇ συνθήκῃ διὰ τὸ τῆς λέξεως κατεσκευασμένον καὶ περιττὸν καὶ διὰ τὴν εἰς ἀκρίβειαν τῶν ὀνομάτων ἐκλογὴν καὶ δὴ καὶ τῆς πρὸς ἄλληλα τούτων συνθήκης. Ἀλλὰ καὶ ἡ τῶν κώλων καὶ περιόδων ἐπὶ τοσοῦτον ἀκρίβεια ἱκανὴ καταναλῶσαι χρόνον. Μάλιστα δὲ αὐτῷ ἡ τῶν πραγμάτων εὕρεσις καὶ διοίκησις τὴν τοσαύτην ἀσχολίαν ἐνεποίησε· τὰ γὰρ κεφάλαια καὶ τὰ ἐπιχειρήματα, οἷς ὁ λόγος οἰκονομούμενος ἀπαρτίζεται, εἴ τις ἐπιμελῶς καὶ καθ' ἕκαστον μέρος ἐπισκέψοιτο, εὑρήσει συντελεσθῆναι πολλοῦ δεόμενα χρόνου. Διὸ καὶ πολλὰς πολλοῖς παρέσχε τῶν κριτικῶν διατριβὰς μὲν καθ' ἑαυτοὺς, διαφωνίας δὲ*

πρὸς ἀλλήλους, τῶν μὲν ἐμβαθυνομένων τῇ μελέτῃ καὶ διασκέψει τοῦ λόγου, τῶν δὲ κατὰ τὸ ἐπιπόλαιον τὴν ἀνάγνωσιν ποιουμένων· ἔστι δ' εἰπεῖν καὶ διότι τοῖς μὲν ἔνεστι φύσις εὖ ἔχουσα πρὸς τὰς κρίσεις, τοὺς δὲ ὁ ἐλαττούμενος ἐπιγινώσκει λόγος. Photius.) Eadem patriae caritate instigatus est aetate iam provectus de Graecis reconciliandis inferendoque Persis communi Graecorum bello scribere in oratione ad Philippum. V, 10. et sqq. 16. Ep. III, 2. Idem fecit in epistolis ad Philippum scriptis (Epp. II. et III.). Omnino non desiit bellum gerere cum Persis idoneos viros ad id hortando. V, 130. Qua de caussa etiam epistolam ad Dionysium tyrannum misit. V, 81. et Epist. I. Nunquam operam dedit orationibus ad ostentationem compositis. Ep. VI, 5. neque oratt. forens. XV, 38. XII, 1. Tamen a civibus suis est neglectus XII, 11. et inde, quum senio esset confectus, morosus factus et querulus XII, 8., quamquam neque gloria destitutus erat et sanitatis insignis corporis et animi particeps XII, 7., ita ut octoginta esset natus, quum epistolam nonam scribebat. Ep. IX, 16. Etiam epistolam quartam et sextam aetate senili scripsit. Epp. IV, 13. VI, 6. item orationem ad Philippum scriptam V, 1. 10. 149. et Evagoram IX, 73. et orationem de Permutatione anno aetatis octogesimo secundo XV, 9., voluitque hanc imaginem vitae et animi esse. XV, 7. Panathenaici autem scribendi initium fecit annos nonaginta quattuor natus XII, 3. eumque absolvit nonaginta septem annos habens, quum triennium morbo laborasset. XII, 267. et sqq. Nam quinque et nonaginta annos natus in morbum incidit periculosissimum, qui verecunde nominari nequit, cum eoque ipsum triennium conflixit. XII, 267. (Ἐτελεύτα τὸν βίον ἐπὶ Χαιρωνίδου ἄρχοντος, ὀλίγαις ἡμέραις ὕστερον τῆς ἐν Χαιρωνείᾳ μάχης (a. Ch. n. 338.), δυοῖν δέοντα βεβιωκὼς ἑκατὸν ἔτη, γνώμῃ χρησάμενος ἅμα τοῖς ἀγαθοῖς τῆς πόλεως συγκαταλῦσαι τὸν ἑαυτοῦ βίον, ἀδήλου ἔτι ὄντος, πῶς χρήσεται τῇ τύχῃ Φίλιππος παραλαβὼν τὴν τῶν Ἑλλήνων ἀρχήν. Dion. Ἀποκαρτερήσας δ' ἐτελεύτησεν, ὡς μὲν Δημήτριός φησιν, ἐννέα ἡμέρας, ὡς δὲ Ἀφαρεύς, δεκατέσσαρας. προαναγνοὺς δὲ τούτους τοὺς στίχους ἐτελεύτησεν, ἐκ τριῶν δραμάτων Εὐριπίδου·

Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατήρ.
Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών.
Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολών.

δηλῶν ἐκ τούτων ὡς ὅτι, ὥσπερ ἐκεῖνοι, βάρβαροι ὄντες, ἐλθόντες εἰς τὴν Ἑλλάδα κατέσχον αὐτῆς, οὕτω καὶ τέταρτός τις οὗτος ἀνεφύη δεσπότης τῆς Ἑλλάδος ὁ Φίλιππος. Anon. Ἐτάφη δὲ μετὰ τῆς συγγενείας πλησίον Κυνοσάργους ἐπὶ τοῦ λόφου ἐν ἀριστερᾷ αὐτός τε καὶ ὁ πατὴρ αὐτοῦ Θεόδωρος καὶ ἡ μήτηρ αὐτοῦ, ταύτης τε ἀδελφή, τηθὶς τοῦ ῥήτορος, Ἀνακὼ καὶ ὁ ποιητὸς υἱὸς Ἀφαρεὺς καὶ ὁ ἀνεψιὸς αὐτοῦ Σωκράτης, μητρὸς Ἰσοκράτους ἀδελφῆς Ἀνακοῦς υἱὸς ὤν, ὅ τε ἀδελφὸς αὐτοῦ ὁμώνυμος τοῦ πατρὸς Θεόδωρος καὶ οἱ υἱωνοὶ αὐτοῦ, τοῦ ποιηθέντος αὐτῷ παῖδες Ἀφαρέως, ἥ τε γυνὴ Πλαθάνη, μήτηρ δὲ τοῦ ποιητοῦ Ἀφαρέως. — νέον μὲν ὄντα μὴ γῆμαι, γηράσαντα δὲ ἑταίρᾳ συνεῖναι (a. Ch. n. 384.), ᾗ ὄνομα ἦν Λαγίσκη, ἐξ ἧς ἔσχε θυγάτριον, ὃ γενόμενον ἐτῶν δώδεκα πρὸ γάμων ἐτελεύτησεν. Ἔπειτα Πλαθάνην τὴν Ἱππίου τοῦ ῥήτορος γυναῖκα ἠγάγετο τρεῖς παῖδας ἔχουσαν, ὧν τὸν Ἀφαρέα, ὡς προείρηται, ἐποιήσατο· ὃς καὶ εἰκόνα αὐτοῦ χαλκῆν ἀνέθηκε πρὸς τῷ Ὀλυμπιείῳ ἐπὶ κίονος καὶ ἐπέγραψεν·

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκε
Ζηνί, θεούς τε σέβων καὶ γονέων ἀρετήν. —

Ἐπὶ μὲν οὖν τούτων τράπεζαι

R.

S.

X.

Z.